ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

30

Ο Μ Ι Λ Ι Ε Σ

Κ Α Τ Η Χ Η Τ Ι Κ Ε Σ - Η Θ Ι Κ Ε Σ
Α

Ε Ι Σ Α Γ Ω Γ Η

ΚΕΙΜΕΝΟ - ΜΕΤΑΦΡΑΣΗ - ΣΧΟΛΙΑ

Ἀπὸ τὸν

ΕΛΕΥΘΕΡΙΟ ΜΕΡΕΤΑΚΗ


Θεολόγο

Ἐπόπτης

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΜΕΡΕΤΑΚΗΣ Γ. ΕΛΕΥΘΕΡΙΟΣ, Θεολόγος



ΕΠΕ

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ

«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1987



ΕΙΣΑΓΩΓΗ

Στὸν τόμο αὐτὸν δημοσιεύονται κατὰ σειρὰ ἐκ τῶν ἔργων τοῦ Ἰωάννου Χρυσοστόμου τὰ δύο δοκίμια *Πρὸς Νεαρὰν Χήραν*, τὸ πρῶτον μὲ τὸν τίτλο *Πρὸς Νεωτέραν Χηρεύσασαν* καὶ τὸ δεύτερο *Πρὸς τὴν Αὐτὴν περὶ Μονανδρίας*, οἱ ἐννέα λόγοι *Περὶ Μετανοίας*, οἱ δώδεκα *Κατηχητικοὶ Λόγοι* καὶ τέλος ἡ πραγματεία *Περὶ Κενοδοξίας καὶ Ἀνατροφῆς τῶν τέκνων*.

1. **Πρὸς Νεωτέραν Χηρεύσασαν.** Πρόκειται γιὰ δοκίμιο ποὺ τὸ ἔγραψε ἐνῶ ἦταν διάκονος καὶ τὸ ἔστειλε στὴ νεαρὴ χήρα γιὰ νὰ τὴν παρηγορήσει γιὰ τὴν ἀπώλεια τοῦ συζύγου της. Γράφτηκε ἀφοῦ εἶχε περάσει ἀρκετὸς χρόνο[illegible] ἀπὸ τότε ποὺ πέθανε ὁ σύζυγός της, ὥστε ἔτσι τὰ λόγια το[illegible]ήσουν ἀποτελεσματικότερα τὴν τρικυμισμένη καρδιά τ[illegible] ἀπὸ [illegible]εγάλο πένθος.

Στὴν ἀρχὴ τῆς ἐξήγ[illegible] τω[illegible] ὄνομα ‘χήρα’ δὲν εἶναι ὄνομα συμφορᾶς, ἀλλὰ τιμῆς, [illegible] χηρα γυναίκα ἔχει προστάτη της ὄχι πιὰ τὸν σύζυγ[illegible]ὸν ἴδιο τὸ Θεό, τὸν πατέρα τῆς εὐσπλαχνίας καὶ [illegible]η τῶν χηρῶν καὶ ὀρφανῶν. Ἡ χήρα μοιάζει μὲ πόλ[illegible]η, ποὺ βρίσκεται στὴ διάθεση ὅλων ἐκείνων ποὺ θέλουν ν[illegible] βλάψουν τόσο χρηματικὰ ὅσο καὶ ἠθικά. Ἀμέτρητοι οἱ κίνδυνοι καὶ ἀπὸ τοὺς ἐκτὸς τῆς οἰκίας καὶ ἀπὸ τοὺς ἐντὸς τῆς οἰκίας (τοὺς ὑπηρέτες). Ἀλλ’ ἡ πραγματικὴ χήρα θαυμάζεται ὄχι μόνο ἀπὸ τοὺς πιστούς, ἀλλὰ καὶ ἀπὸ τοὺς ἀπίστους. Στὴ συνέχεια, παρουσιάζοντας τὴν ἀκτινοβολία τῆς χηρείας μεγαλύτερη καὶ ἀπὸ τὴν τῆς παρθενίας, ποὺ τόσο πολὺ διέλαμψε αὐτὴ κατὰ τοὺς χρόνους τῆς χάριτος, συνιστᾶ αὐτὴν νὰ μὴ θρηνεῖ γιὰ τὴν ἀποδημία τοῦ συζύγου της πρὸς τὸν Κύριο, πρὸς τὴ μόνιμη καὶ αἰώνια ἐκείνη δόξα. Γιατὶ ἡ δόξα τῆς ἐδῶ ζωῆς, ποὺ προέρχεται

ἀπὸ τὰ ἀξιώματα καὶ τὰ λοιπὰ λαμπρὰ αὐτῆς, μοιάζει μὲ ἄνθος τοι χόρτου καὶ μὲ τὶς θεατρικὲς σκηνὲς ποὺ μέσα σὲ μιὰ στιγμὴ ἐμφανίζονται καὶ χάνονται, ἐπιφυλάσσοντας καὶ πολλὰ δυσάρεστα ἐπακόλουθα καὶ γιὰ τοὺς ἴδιους καὶ γιὰ τοὺς συγγενεῖς τους. Ἐπιδίωκε λοιπόν, λέγει, τὸν οὐρανό, καὶ ἔχοντας στηριγμένη τὴν ἀσφάλειά σου στὸν Κύριο, νὰ εἶσαι σίγουρη ποὺ δὲν θὰ μπορέσει κανένας νὰ σὲ βλάψει οὔτε καὶ αὐτὸς ὁ ἴδιος ὁ διάβολος, ἀλλὰ καὶ θὰ μπορέσεις νὰ ἐπιτύχεις τὴ μελλοντικὴ ἐκείνη ἕνωση μὲ τὸν τόσο ἀγαπητό σου σύζυγο, ἂν ἐπιδείξεις καὶ σὺ τὸν ἴδιο μὲ ἐκεῖνον ἐνάρετο βίο.

2. Στὸ ἄλλο δοκίμιο **Πρὸς τὴν Αὐτὴν περὶ Μονανδρίας** συνιστᾶ αὐτὴν νὰ διατηρήσει τὴν παρούσα κατάσταση, γιατὶ ὁ δεύτερος γάμος εἶναι τόσο ὑποδεέστερος τοῦ πρώτου ὅσο αὐτὸς εἶναι τῆς παρθενίας. Χρησιμοποιεῖται στὸ δοκίμιο αὐτὸ τὸ ἕβδομο κεφάλαιο τῆς *Α' Πρὸς Κορινθίους* ἐπιστολῆς τοῦ Παύλου. Καὶ τὰ δύο αὐτὰ δοκίμια γράφτηκαν στὴν Ἀντιόχεια πιθανῶς κατὰ τὸ χρόνο τῆς ἐκεῖ διακονίας του.

3. **Περὶ Μετανοίας, Λόγοι Α–Θ.** Ἡ κύρηξη τῆς μετάνοιας ὑπῆρξε κύριο ἔργο ὅλων σχεδὸν τῶν προφητῶν τῆς Π. Διαθήκης ποὺ κορυφώθηκε μὲ τὸ γνωστὸ κήρυγμα μετανοίας τοῦ Ἰωάννη Βαπτιστῆ. Μέσα στὸ εὐαγγέλιο ὅμως τῆς χάριτος ἡ μετάνοια καταλαμβάνει ὅλως ξεχωριστὴ θέση. «Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν»[1], εἶναι οἱ λόγοι μὲ τοὺς ὁποίους ἀρχίζει ὁ Κύριος τὸ κήρυγμά του, γιὰ νὰ ἔρθει στὴ συνέχεια νὰ παρουσιάσει μὲ τὸν πιὸ παραστατικὸ τρόπο τὴν ἀξία καὶ σπουδαιότητα τῆς μετάνοιας μὲ τὴ τόσο γνωστὴ παραβολὴ τοῦ ἄσωτου υἱοῦ[2]. Ἀλλὰ καὶ τὸ πρῶτο κήρυγμα τῶν ἀποστόλων κατὰ τὴν ἡμέρα τῆς Πεντηκοστῆς αὐτὴν ἔχει σὰν ἐπίκεντρο· «μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν»[3]. Ὁ Παῦλος πάλι, ὁ μεγάλος αὐτὸς δάσκαλος τῆς οἰκουμένης, δὲν παρέλειπε νὰ κηρύττει μετάνοια τόσο στοὺς Ἰουδαίους ὅσο καὶ στοὺς Ἕλληνες[4].

1. Ματθ. 4,17.
2. Λουκᾶ 15,11 ἑ.
3. Πράξ. 2,38.
4. Πράξ. 17,30 · 2ο,20 · 26,20.

Ἐκεῖνοι ὅμως ποὺ κατ' ἐξοχὴ κήρυξαν καὶ ἀνέπτυξαν τὴ σημασία καὶ σπουδαιότητα τῆς μετάνοιας εἶναι οἱ πατέρες τῆς Ἐκκλησίας. Ἄπειρες εἶναι οἱ ὁμιλίες τοῦ Μ. Βασιλείου καὶ Γρηγορίου Θεολόγου ποὺ ἔχουν σὰν κύριο θέμα τὴ μετάνοια. Ἀλλ' ἐκεῖνος ποὺ ὑπερέβαλε ὅλους στὸ θέμα αὐτὸ εἶναι ὁ ἱ. Χρυσόστομος. Σὲ κάθε εὐκαιρία δὲν ἔπαυε νὰ τονίζει τὴ μεγάλη σπουδαιότητα τῆς μετάνοιας καὶ νὰ καλεῖ τὸ ἀκροατήριό του πρὸς τὸ λιμάνι αὐτὸ τῆς σωτηρίας, χαρακτηρίζοντας αὐτὴν «ὅπλο κατὰ τοῦ διαβόλου», «ἰατρεῖο ἀναιρετικὸ τῆς ἁμαρτίας», «χωνευτήρι τῆς ἁμαρτίας» καθὼς καὶ μὲ πλῆθος ἄλλων χαρακτηρισμῶν. Μεταξὺ λοιπὸν τῶν ἠθικολογικοῦ περιεχομένου λόγων του ὑπάρχουν καὶ οἱ ἐννέα *Περὶ μετανοίας* λόγοι του. Οἱ λόγοι αὐτοὶ στρέφονται περὶ τὰ θέματα τῆς νηστείας, τῆς ἐλεημοσύνης, τῆς μετάνοιας καὶ τῆς κατανύξεως καὶ ἐκφωνήθηκαν σὲ περίοδο νηστειῶν καὶ μάλιστα κατὰ τὸν χρόνο τῆς Μεγάλης Τεσσσαρακοστῆς, ἂν καὶ αὐτὸ δὲν ἀποσαφινίζεται γιὰ ὅλους. Τονίζεται ὅτι πρέπει νὰ ἀποφεύγεται τόσο ἡ ἀπόγνωση ὅσο καὶ ἡ ραθυμία· «ἑκάτερα γὰρ ταῦτα ὀλέθρια»[5]. Ἡ μετάνοια εἶναι ἡ ρυθμιστικὴ δύναμη στὴ πορεία πρὸς τὴν ἐπίτευξη τῆς ἀρετῆς.

Ἡ ὑπ' ἀριθμὸ 5 ἀποδίδεται ἀπὸ μερικοὺς ἐρευνητὲς στὸν Γερμανὸ Β' Κωνσταντινουπόλεως, ἐνῶ ἡ ὑπ' ἀριθμὸν 7 στὸν λαμπρὸ ρήτορα καὶ ἐχθρὸ τοῦ Χρυσοστόμου Σεβηριανὸ Γαβάλων. Κατὰ πάσα πιθανότητα ἐκφωνήθηκαν στὴν Ἀντιόχεια.

4. **Κατηχητικοὶ Λόγοι.** Ἐξ αἰτίας τοῦ χαρακτήρα τοῦ διδακτικοῦ του ἔργου ὁ Χρυσόστομος πρέπει νὰ ἐκφώνησε πολλὲς σειρὲς λόγων τόσο πρὶν ἀπὸ τὸ βάπτισμα ὅσο καὶ ἀμέσως μετὰ τὸ βάπτισμα, κατηχητικοῦ καὶ μυσταγωγικοῦ περιεχομένου. Τουλάχιστο καθ' ὅλη τὴ διάρκεια τῆς θητείας του ὡς πρεσβυτέρου στην Ἀντιόχεια (386–397) πρέπει νὰ ἐκφωνοῦσε ἐτησίως ἀνὰ μία σειρὰ τέτοιων λόγων. Ἀπὸ τὸ πλῆθος τῶν λόγων αὐτῶν δὲν περισώθηκε, παρὰ μία δωδεκάδα μόνο, ἀλλὰ σ' αὐτὴν ἐκπρσωποῦνται τρεῖς ἢ τέσσερις σειρές. Χωρὶς ἀμφιβολία οἱ περισσότερες ἀπ' αὐτὲς χάθηκαν, γιατὶ κατ' ἀνάγκη τὸ περιεχόμενό τους ἦταν τὸ ἴδιο.

---

5. *Ὁμιλία* 1,2.

Στὴν PG συμπεριελήφθηκαν δυὸ μόνο ἀπὸ τὶς ὁμιλίες αὐτοῦ τοῦ εἴδους[1]. Ἡ πρώτη ἀπὸ αὐτὲς συμπίπτει μὲ τὴν πρώτη τῆς ἐκδόσεως τοῦ Ἀθ. Παπαδοπούλου– Κεραμέως, ἐνῶ ἡ δεύτερη δὲν συνδέεται μὲ τὴν πρώτη. Ἑπομένως οἱ δύο αὐτὲς ὁμιλίες ἀνήκουν σὲ δυὸ διαφορετικες σειρές. Ἀπὸ τὸ περιεχόμενό τους, ποὺ εἶναι σχετικὸ μὲ τὰ ὀνόματα τοῦ βαπτίσματος καὶ τοὺς χαρακτηρισμοὺς τοῦ βαπτισθέντος σὰν πιστοῦ καὶ νεοφωτίστου, γίνεται φανερὸ ὅτι αὐτὴ ἐκφωνήθηκε δέκα ἡμέρες μετὰ ἀπὸ κάποια ἄλλη, ποὺ ὅμως χάθηκε.

Ὁ Ἀθ. Παπαδόπουλος–Κεραμεὺς ἐξέδωσε τέσσερις κατηχητικούς λόγους[2], ἀπὸ τοὺς ὁποίους ὁ πρῶτος συμπίπτει μὲ τὸν πρῶτο τῆς PG. Ὁ ὁμιλητὴς ἐπισημαίνει τὴν πορεία τῶν κατηχουμένων. Μετὰ τρεῖς ἡμέρες, λέγει πρὸς αὐτούς, θὰ ἀνέλθετε στὴν τάξη τοῦ οἰνοχόου τοῦ ἡγεμόνος, ἀλλὰ μετὰ τριάντα ἡμέρες –κατὰ τὴν ἡμέρα τῆς βαπτίσεως, τὸ Πάσχα– θὰ σᾶς ἐγκαταστήσει ὄχι ὁ Φαραὼ πλέον, ἀλλ' ὁ βασιλεὺς τῶν οὐρανῶν στὴν οὐράνια πατρίδα, τὴ νέα Ἰερουσαλήμ.

Μετὰ δέκα ἡμέρες ἀναλαμβάνει τὸ λόγο πρὸς τοὺς κατηχουμένους, γιὰ νὰ τοὺς ὑπενθυμίσει τὴν ὑπόσχεση ποὺ τοῦ εἶχαν δώσει· «ἀπηλάσατε ἐκ τοῦ στόματος ὑμῶν τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν;». Στὴ συνέχεια ἀναπτύσσει τὸ νόημα τῆς θείας μυσταγωγίας τοῦ βαπτίσματος, μνημονεύοντας τὰ χαρίσματα τοῦ Πνεύματος.

Ὁ τρίτος λόγος ἐκφωνήθηκε τὴ Μεγάλη Πέμπτη· στὴν ἀρχὴ ἐξηγεῖ τὰ τῆς ἀκολουθίας τῆς ἀποτάξεως τοῦ σατανᾶ, ποὺ ἐπρόκειτο νὰ γίνει τὴν προηγούμενη, κι ἔπειτα τὰ τῆς ἀκολουθίας τοῦ βαπτίσματος, ἡ ὁποία ἐπρόκειτο νὰ τελεσθεῖ τὴ μεθεπόμενη, Σάββατο ἑσπέρας πρὸς Κυριακὴ τοῦ Πάσχα.

Ὁ τέταρτος λόγος ἀπευθύνεται πλέον πρὸς τοὺς φωτισθέντες, ἀφοῦ ἤδη εἶχε τελεσθεῖ τὸ βάπτισμα, ἄρα κατὰ τὴν ἡμέρα τοῦ Πάσχα. «Εὐλογητὸς ὁ Θεός. Ἰδοὺ ἀπὸ γῆς ἀστέρες φαίνουσιν, ἀστέρες τῶν οὐρανῶν φαιδρότεροι». Ὁ Χριστὸς ἔδωσε μὲ τὸ βάπτισμα ἰσχυρὰ ὅπλα γιὰ νὰ ἀντιστέκονται οἱ νεοφώτιστοι πρὸς τὸν ἐχθρό·

1. PG 42,223–240.

2. *Varia Graeca Sacra*, St. Paterbourg 1909, 154–183.

ἔδωσε ἐπίσης καὶ πλούσια τράπεζα, γιὰ νὰ πολεμοῦν χορτασμένοι, τὴν τράπεζα τῆς θείας εὐχαριστίας.

Ὁ W. Jehger ἐξέδωσε ἄλλες ὀκτὼ ὁμιλίες ἀπὸ ἕνα χειρόγραφο τῆς Μονῆς Σταυρονικήτα[3]. Στὴν ἀρχὴ τοῦ πρώτου ἀπὸ αὐτοὺς λόγου ὁ Ἰωάννης ἐκφράζει τὸν ἐνθουσιασμό του γιατὶ «παραγεγόνασιν αἱ ποθειναὶ καὶ ἐπέραστοι τῶν πνευματικῶν γάμων ἡμέραι». Γι' αὐτὸ χαρὰ γίνεται στὸν οὐρανό. Σ' αὐτοὺς ποὺ πρόκειται νὰ βαπτισθοῦν διανοίγονται νέες πραγματικότητες, ποὺ εἶναι αἰσθητὲς μὲ τὰ μάτια τῆς πίστεως.

Στὸ δεύτερο λόγο περιγράφονται τὰ τελούμενα συμβολικῶς καὶ τυπικῶς κατὰ τὸ θεῖο βάπτισμα. «Ταῦτ' οὖν εἰδότες μετὰ χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς πρὸς ὑποδοχὴν τῆς χάριτος ἑαυτοὺς εὐτρεπίσωμεν».

Ὁ τρίτος ταυτίζεται μὲ τὸ τέταρτο τῆς ἐκδόσεως τοῦ Κεραμέως. Πιθανῶς νὰ ἦταν ἀπὸ τὴν ἀρχὴ ταυτόσημος ἢ ἐλαφρῶς μόνο διάφορος καὶ ἀντικαταστάθηκε ἀπὸ ἐκεῖνον ποὺ ἔκαμε τὴ συλλογὴ μὲ ἐκεῖνον σὰν πληρέστερος.

Ἀπὸ τὸν τέταρτο καὶ ἑξῆς μέχρι καὶ τοῦ τελευταίου λέχθηκαν κατὰ τὴ διακαινήσιμη ἑβδομάδα, ὁ τελευταῖος μάλιστα κατὰ τὸ Σάββατο, ὁπότε ἔληγε ὁ Πασχάλιος ἑορτασμὸς τῶν νεφωτίστων. Ἀλλ' ὅλοι αὐτοὶ οἱ λόγοι ἀπευθύνονται καὶ πρὸς ἐκείνους ποὺ βαπτίσθηκαν παλαιότερα. Ὁ βαπτιζόμενος καθίσταται «καινὴ κτίσις» καὶ πρέπει νὰ λάμπει μὲ τὶς ἀρετές του.

Ὁ πέμπτος λόγος ἀποτελεῖ γενικὴ ἠθικὴ παραίνεση μὲ ἰδιαίτερη ἔμφαση τὴν προσοχὴ στὰ φαγοπότια, ποὺ συνηθιζόταν καὶ τότε λόγω τῶν ἡμερῶν τοῦ Πάσχα. Στὴ συνέχεια στρέφεται πρὸς τοὺς νεοφώτιστους, χαρακτηρίζοντας αὐτοὺς νέους στρατιῶτες, καὶ τοὺς συνιστᾶ νὰ καθαρίζουν καθημερινὰ τὰ πνευματικὰ ὅπλα τους γιὰ ν' ἀπομακρύνεται ὁ πολέμιος βλέποντας τὴ λαμπρότητά τους. Δὲν παραλείπει νὰ τονίσει ὅτι καὶ οἱ παλαιοὶ Χριστιανοὶ μποροῦν μὲ τὴ μετάνοια νὰ ἐπιτύχουν τὴν καθαρότητά τους.

Στὸν ἕκτο λόγο στὴν ἀρχὴ ἀπευθύνει παραινέσεις πρὸς ἐκείνους ποὺ ἐγκατέλειψαν τὴν ἐκκλησία γιὰ νὰ μεταβοῦν στὰ ἱπποδρόμια καὶ τὰ θέατρα. Στὴ συνέχεια ζητᾶ ἀπὸ τοὺς νεοβαπτισθέ-

3. *Huit Catéchèses baptismates ivédites, Sources Chrét.* 50, Paris 1957.

ντες νὰ παραμείνουν σ' ὅλη τὴ ζωή τους νεοφώτιστοι. Ἔτσι μὲ τὸν καιρὸ θὰ καταστοῦν λαμπρότεροι καὶ θὰ προσελκύουν «τὸν νυμφίον εἰς ἔρωτα πλείονα».

Ὁ ἕβδομος λόγος ἐκφωνήθηκε πιθανῶς τὴν Παρασκευὴ τῆς Διακαινησίμου σὲ μαρτύριο ἐκτὸς τῆς πόλεως. Τονίζεται σ' αὐτὸν ἡ μεγάλη σημασία τῶν λειψάνων τῶν μαρτύρων στὴ χριστιανικὴ εὐσέβεια. Ὁ Θεὸς πῆρε τὴν ψυχὴ τῶν μαρτύρων καὶ μᾶς ἄφησε πρὸς παρηγοριὰ τὰ σώματά τους, μὲ τὰ ὁποῖα καθίστανται οἱ μάρτυρες φάρμακα πνευματικά.

Ὁ ὄγδοος λόγος ἀρχίζει μὲ ἔπαινο τῶν μοναχῶν ποὺ ἦρθαν ἀπὸ τὴν ἐξοχή. Οἱ μοναχοὶ αὐτοὶ ἀνῆκαν σὲ μοναχικὴ κοινότητα ποὺ χρησιμοποιοῦσαν «βάρβαρον γλῶσσαν», δηλαδὴ ἢ ξένη ὅπως εἶναι ἡ συριακὴ ἢ τὴν ἑλληνικὴ μὲ βαρβαρισμούς. Συνιστᾶ νὰ ζητοῦν ὅλοι «τὰ ἀεὶ μένοντα καὶ μεταβολὴν οὐκ ἐπιδεχόμενα». Ὁ λόγος αὐτὸς κατακλείει μιὰ σειρὰ κατηχητικῶν καὶ μυσταγωγικῶν ὁμιλιῶν, ἀλλ' ὡρισμένα στοιχεῖα του μαρτυροῦν ὅτι ἀρχικὰ ἀνῆκε σὲ ἄλλη σειρὰ τῆς κατηγορίας αὐτῆς.

5. Περὶ Κενοδοξίας καὶ Ἀνατροφῆς τῶν Τέκνων. Στὴ σπουδαιότατη αὐτὴ πραγματεία στὴν ἀρχὴ θίγει τὸ πρόβλημα τῆς κενοδοξίας καὶ βρίσκει σὰν αἰτία αὐτῆς τὴν κακὴ ἀνατροφὴ τῶν παιδιῶν. Γι' αὐτὸ παρέχει ἐν ἐκτάσει ὁδηγίες γιὰ τὴ διαπαιδαγώγηση αὐτῶν καθὼς καὶ παραδείγματα προσφορᾶς τοῦ μορφωτικοῦ ὑλικοῦ. Βέβαια δὲν πραγματεύεται τὰ θέματα σύμφωνα μὲ τὶς νεώτερες μεθόδους καὶ βάσει τῆς προοδευτικῆς ἀναπτύξεως τῆς νοημοσύνης τῶν παιδιῶν. Τὸ κείμενο αὐτὸ διατηρεῖται σὲ δυὸ χειρόγραφα, ἀπὸ τὰ ὁποῖα τὸ ἕνα ἔγινε γνωστὸ μόλις τὸ 1885 κατόπιν τῆς περιγραφῆς τοῦ Ἀ. Παπαδοπούλου– Κεραμέως, καὶ θεωροῦνταν ψευδεπίγραφο. Ἐπειδὴ στὴν ἀρχὴ φέρει γνωρίσματα ὁμιλίας, ἀλλὰ στὴ συνέχεια φαίνεται σὰν πραγματεία, πιθανῶς πρόκειται περὶ ὁμιλίας ποὺ διασκευάσθηκε σὲ πραγματεία εἴτε ἀπὸ τὸν ἴδιο τὸν Χρυσόστομο εἴτε ἀπὸ κάποιο μαθητή του. Ὅμως ἐκεῖνο ποὺ δὲν εἶναι δυνατὸ ν' ἀμφισβητηθεῖ σήμερα μετὰ τὴν ἀποφασιστικὴ ἐπιχειρηματολογία τοῦ Β. Ἐξάρχου εἶναι ὅτι αὐτὸ κατ' ἀρχὴ προέρχεται ἀπὸ τὸν ἴδιο τὸν Χρυσόστομο καὶ γράφθηκε κατὰ τὸ 393.

ΠΡΟΣ
ΝΕΑΡΑΝ ΧΗΡΕΥΣΑΣΑΝ



ΕΙΣ ΝΕΩΤΕΡΑΝ ΧΗΡΕΥΣΑΣΑΝ

1. Ὅτι μὲν χαλεπὴν ἔλαβες τὴν πληγὴν καὶ ἐν καιρίῳ τὸ πεμφθὲν καὶ ἄνωθεν ἐδέξω τὸ βέλος ἅπαντες ἂν σοι συνομολογήσαιεν καὶ οὐδὲ τῶν σφόδρα φιλοσοφούντων οὐδεὶς ἀντερεῖ· ἐπεὶ δὲ τοὺς πληττομένους οὐκ εἰς πένθος καὶ δάκρυα τὸν ἅπαντα χρόνον ἀναλίσκειν δεῖ, ἀλλὰ καὶ τῆς θεραπείας τῶν τραυμάτων πολλὴν ποιεῖσθαι τὴν πρόνοιαν, ὥστε μὴ παροφθέντα μείζονα τοῖς δάκρυσι παρασχεῖν τὴν πληγὴν καὶ τῆς ὀδύνης σφοδροτέραν τὴν φλόγα ἐργάσασθαι, καλὸν καὶ τῆς διὰ τῶν λόγων ἀνασχέσθαι παρακλήσεως, καὶ τοὺς κρουνοὺς μικρὸν ἀνασχοῦσαν τῶν δακρύων χρόνον γοῦν βραχὺν καὶ τοῖς παραμυθεῖσθαί σε ἐπιχειροῦσι παρασχεῖν σεαυτήν. Διὰ γάρ τοι τοῦτο καὶ ἡμεῖς οὐ παρ᾽ αὐτὴν τοῦ πένθους τὴν ἀκμήν, οὐδ᾽ ἅμα τῷ κατενεχθῆναι τὸν σκηπτὸν ἠνωχλήσαμεν, ἀλλ᾽ ἀναμείναντες τὸν ἐν μέσῳ τουτονὶ χρόνον, καὶ συγχωρήσαντες ἐμπλησθῆναί σε τῶν ὀδυρμῶν, ὅτε λοιπὸν καὶ διαβλέψαι μικρὸν ἀπὸ τῆς ἀχλύος ἐκείνης, καὶ τὰς ἀκοὰς παρανοῖξαι δεδύνησαι τοῖς σὲ παρακαλεῖν πειρωμένοις, τότε καὶ αὐτοὶ μετὰ τοὺς τῶν θεραπαινίδων λόγους καὶ τὰ παρ᾽ ἑαυτῶν προστεθείκαμεν. Ἔτι μὲν γὰρ τοῦ χειμῶνος ὄντος σφοδροῦ, καὶ πολλοῦ τοῦ πένθους πνέοντος, ὁ παρακαλῶν ἀποσχέσθαι τῆς λύπης πλέον ἂν παρώξυνε πρὸς τὰς οἰμωγάς, καὶ τὸ μισηθῆναι κερδάνας μόνον ὕλην ἂν πολλὴν τοῖς τοιού-



ΠΡΟΣ ΝΕΑΡΗ ΧΗΡΑ

1. Τὸ ὅτι βέβαια δέχθηκες βαρὺ πλῆγμα καὶ ὅτι τὸ ἐκσφενδονισμένο βέλος στάλθηκε ἀπὸ τὸν οὐρανὸ καὶ σὲ εὐαίσθητο σημεῖο, ὅλοι θὰ μποροῦσαν νὰ συμφωνήσουν μαζί σου καὶ δὲν θὰ προβάλει ἀντίρρηση κανεὶς ἀκόμη οὔτε καὶ ἀπὸ ἐκείνους ποὺ ζοῦν πάρα πολὺ εὐσεβῆ ζωή· ἐπειδὴ ὅμως ἐκεῖνοι ποὺ δέχονται τὰ πλήγματα δὲν πρέπει νὰ περνοῦν ὅλο τὸ χρόνο τους μὲ πένθος καὶ δάκρυα, ἀλλὰ πρέπει νὰ ἐπιδεικνύουν καὶ πολλὴ φροντίδα γιὰ τὴ θεραπεία τῶν τραυμάτων, ὥστε παραμεληθέντα νὰ μὴ δημιουργήσουν μεγαλύτερη πληγὴ μὲ τὰ δάκρυα καὶ κάμουν μεγαλύτερη τὴ φλόγα τῆς ὀδύνης, καλὸ εἶναι καὶ νὰ δεχθεῖς τὴν παρηγοριὰ ἀπὸ τὰ λόγια καὶ ἀφοῦ σταματήσεις γιὰ σύντομο χρονικὸ διάστημα τοὺς κρουνοὺς τῶν δακρύων, νὰ παραδώσεις τὸν ἑαυτό σου γιὰ λίγο χρόνο σ' αὐτοὺς ποὺ ἐπιχειροῦν νὰ σὲ παρηγοροῦν. Καὶ ἀκριβῶς γι' αὐτὸ τὸ λόγο καὶ ἐγὼ δὲν σὲ ἐνόχλησα τότε ποὺ ἡ λύπη σου βρισκόταν στὸ ἀποκορύφωμά της οὔτε ἀμέσως μὲ τὴν ἐναντίον σου πτώση τοῦ κεραυνοῦ, ἀλλά, ἀφοῦ περίμενα κατὰ τὸ χρονικὸ αὐτὸ διάστημα ποὺ μεσολάβησε ἀπὸ τότε καὶ ἀφοῦ σὲ ἄφησα νὰ χορτάσεις ἀπὸ τὰ κλάματά σου, ὅταν πλέον βρῆκες τὴ δύναμη νὰ δεῖς κάπως μέσα ἀπὸ τὴν ὁμίχλη ἐκείνη καὶ ν' ἀκούσεις τὰ λόγια αὐτῶν ποὺ ἐπιχειροῦν νὰ σὲ παρηγοροῦν, τότε καὶ ἐγὼ πρόσθεσα, μετὰ ἀπὸ τὰ λόγια τῶν ὑπηρετριῶν, καὶ τὰ δικά μου λόγια. Γιατί, ὅσο ἡ κακοκαιρία ἦταν πάρα πολὺ ἰσχυρὴ καὶ πολὺ μεγάλο τὸ πένθος ποὺ ἔπνεε, θὰ σὲ ὁδηγοῦσε σὲ πολὺ μεγαλύτερους θρήνους ἐκεῖνος ποὺ θὰ σὲ παρακαλοῦσε ν' ἀποβάλεις τὴ λύπη ἀπὸ τὴν ψυχή σου καὶ ἀφοῦ ἀπεκόμιζε σὰν κέρδος τὸ νὰ μισηθεῖ ἐκ

τοις λόγοις παρέσχε τῷ πυρὶ μετὰ τοῦ καὶ ἐχθροῦ καὶ ἀνοήτου δόξαν λαβεῖν· ἐπειδὴ δὲ λοιπὸν ἤρξατο λήγειν ἡ ζάλη καὶ τὸ τῶν κυμάτων ἄγριον κατεστόρεσεν ὁ Θεός, εὐκόλως τοῦ λόγου τὰ ἱστία ἀναπετάσομεν. Ἐν συμμέτρῳ μὲν γὰρ χειμῶνι δυνήσεται ἴσως ἡ τέχνη ποιῆσαι τὸ ἑαυτῆς· ὅταν δὲ ἄμαχος ᾖ τῶν πνευμάτων ἡ προσβολή, τῆς ἐμπειρίας ὄφελος οὐδέν.

Διὰ ταῦτα πάντα τὸν ἔμπροσθεν χρόνον σιγήσαντες, μόλις καὶ νῦν ἐπεχειρήσαμεν ῥῆξαι φωνήν, ἐπειδὴ παρὰ τοῦ θείου ἠκούσαμεν τοῦ σοῦ, ὅτι λοιπὸν χρὴ θαρρεῖν· καὶ γὰρ καὶ τῶν θεραπαινίδων τὰς ἐν τιμῇ κατατολμᾶν ὑπὲρ τούτων μακροὺς ἀποτείνειν λόγους, τάς τε ἔξωθεν γυναῖκας καὶ τὰς γένει προσηκούσας καὶ τὰς ἄλλως πως ἐπιτηδείως ἐχούσας. Ὅτι δὲ τοὺς παρ' ἐκείνων δεχομένη λόγους οὐκ ἀτιμάσεις τοὺς παρ' ἡμῶν, ἀλλὰ καὶ ἡσυχίαν καὶ ἀταραξίαν παρέξεις αὐτοῖς κατὰ δύναμιν, σφόδρα θαρροῦμεν καὶ πεπιστεύκαμεν. Καὶ ἄλλως μὲν οὖν τὸ γυναικεῖον γένος ἐπιρρεπέστερόν πώς ἐστι πρὸς συμπάθειαν, ὅταν δὲ καὶ νεότης προσῇ καὶ χηρεία ἄωρος καὶ πραγμάτων ἀπειρία καὶ φροντίδων ὄχλος πολὺς καὶ τὸ ἐν τρυφῇ καὶ εὐθυμίᾳ καὶ πλούτῳ τὸν ἔμπροσθεν ἅπαντα τετράφθαι χρόνον, πολλαπλάσιον γίνεται τὸ δεινόν, κἂν ἡ τοῦτο παθοῦσα μὴ τῆς ἄνωθεν τύχῃ ῥοπῆς καὶ ὁ τυχὼν αὐτὴν λογισμὸς καταλῦσαι δυνήσεται, ὅπερ πρῶτον καὶ μέγιστον τῆς πολλῆς περὶ σὲ τοῦ Θεοῦ κηδεμονίας τίθεμαι εἶναι τεκμήριον.

Τὸ γὰρ τοσούτων συνδραμόντων ἐξαίφνης κακῶν μὴ ἀποπνιγῆναι τῇ λύπῃ μηδὲ τῶν κατὰ φύσιν ἐκστῆναι φρενῶν, οὐκ ἀνθρωπίνης τινὸς βοηθείας ἦν, ἀλλὰ τῆς τὰ πάντα δυναμένης χειρός, τῆς συνέσεως, ἧς οὐκ ἔστιν ἀριθμός, τῆς φρονήσεως, ἧς οὐκ ἔστιν ἐξεύρεσις, τοῦ Πατρὸς τῶν οἰκτιρμῶν καὶ Θεοῦ πάσης παρακλή-

μέρους σου, μαζὶ μὲ τὸ ὅτι θὰ θεωροῦνταν ἐχθρός σου καὶ ἀνόητος, θὰ πρόσθετε μόνο πολλὴ τροφὴ μὲ τὰ λόγια του αὐτὰ στὴ φωτιά. Ἐπειδὴ ὅμως ἄρχισε πλέον νὰ παίρνει τέλος ἡ ζάλη καὶ κατέπαυσε ὁ Θεὸς τὴν ἀγριότητα τῶν κυμάτων, εὔκολα θ' ἁπλώσομε τοῦ λόγου τὰ πανιά. Γιατί, ὅταν ἡ κακοκαρία εἶναι μέτρια, θὰ μπορέσει ἴσως τότε ἡ τέχνη νὰ προσφέρει τὴ βοήθειά της, ὅταν ὅμως εἶναι ἀκαταμάχητη ἡ προσβολὴ τῶν ἀνέμων, δὲν ὠφελεῖ σὲ τίποτε ἡ ἐμπειρία.

Ἐξ αἰτίας ὅλων αὐτῶν, ἂν καὶ τήρησα σιγὴ ὅλο τὸν προηγούμενο χρόνο, μόλις τώρα ἐπιχείρησα νὰ μιλήσω, ἐπειδὴ πληροφορήθηκα ἀπὸ τὸ θεῖο σου, ὅτι τώρα πλέον εἶναι κατάλληλη στιγμὴ γιὰ νὰ τὸ κάμω αὐτό· γιατὶ καὶ ἀπὸ τὶς ὑπηρέτριές σου, ἐκεῖνες γιὰ τὶς ὁποῖες τρέφεις ἰδιαίτερη ἐκτίμηση, τολμοῦν νὰ σοῦ λέγουν πάρα πολλὰ γιὰ ὅλα αὐτά, καθὼς ἐπίσης καὶ γυναῖκες ἐκτὸς τῆς οἰκίας σου καὶ συγγενεῖς σου καὶ ἐκεῖνες ποὺ ἔχουν κάποια σχέση μαζί σου. Καὶ ἐλπίζω πάρα πολὺ καὶ τὸ πιστεύω ἐξ ὁλοκλήρου ὅτι, ἐφ' ὅσον δέχεσαι τὰ λόγια ἐκείνων, δὲν θὰ περιφρονήσεις καὶ τὰ δικά μου, ἀλλὰ θ' ἀκούσεις αὐτὰ ὅσο εἶναι δυνατὸ μὲ ἡσυχία καὶ ἀταραξία. Βέβαια κατ' ἐξοχὴ τὸ γυναικεῖο φύλο ἔχει μεγαλύτερη ἀνάγκη τῆς συμπάθειας τῶν ἄλλων, ὅταν ὅμως προστεθεῖ καὶ ἡ νεότητα καὶ ἡ πρόωρη χηρεία καὶ ἡ ἀπειρία τῶν πραγμάτων καὶ πολὺ μεγάλο βάρος φροντίδων καὶ τὸ νὰ ἔχει ζήσει ὅλο τὸν προηγούμενο χρόνο μέσα στὴν τρυφή, στὴν εὐθυμία καὶ τὸν πλοῦτο, τότε τὸ κακὸ πολλαπλασιάζεται, καὶ ἐκείνη ποὺ ἔπαθε αὐτὸ ἂν δὲν τύχει τῆς οὐράνιας βοήθειας καὶ ἡ παραμικρὴ σκέψη εἶναι δυνατὸ νὰ τὴν καταστρέψει, πράγμα ποὺ θεωρῶ σὰν τὴν πρώτη καὶ τὴν πιὸ μεγάλη ἀπόδειξη τῆς μεγάλης φροντίδας τοῦ Θεοῦ πρὸς ἐσένα.

Πράγματι λοιπὸν τὸ νὰ μὴ πνιγεῖς ἀπὸ τὴ λύπη οὔτε νὰ χάσεις τὸ ἐκ φύσεως λογικό σου, ἂν καὶ ἐπέδραμαν ἐναντίον σου τελείως ξαφνικὰ τόσα πολλὰ κακά, αὐτὸ δὲν ἦταν ἀποτέλεσμα κάποιας ἀνθρώπινης βοήθειας, ἀλλὰ τοῦ παντοδύναμου χεριοῦ, τῆς συνέσεως ἐκείνης ποὺ δὲν ἀπαριθμεῖται, τῆς φρονήσεως ἐκείνης ποὺ δὲν εἶναι δυνατὸ νὰ ἐξερευνηθεῖ, τοῦ Πατρὸς τῆς εὐσπλαγ-

σεως. «Αὐτὸς γὰρ πέπαικεν ἡμᾶς», φησί, «καὶ ἰάσεται ἡμᾶς· πατάξει, καὶ μοτώσει ἡμᾶς καὶ ὑγιάσει ἡμᾶς». Ἕως μὲν γάρ σοι συνῆν ὁ μακάριος ἐκεῖνος ἀνήρ, ἀπέλαυες μὲν τιμῆς καὶ φροντίδος καὶ σπουδῆς, ἀπέλαυες δὲ οἵας παρὰ ἀνθρώπου ἀπολαύειν εἰκὸς ἦν· ἐπειδὴ δὲ ἐκεῖνον ἔλαβε πρὸς ἑαυτὸν ὁ Θεός, ἀντ' ἐκείνου σοι γέγονεν αὐτός. Καὶ οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλὰ τοῦ μακαρίου προφήτου Δαυίδ· φησὶ γάρ· «ὀρφανὸν καὶ χήραν ἀναλήψεται». Καὶ ἀλλαχοῦ δὲ αὐτόν· «πατέρα» καλεῖ, «τῶν ὀρφανῶν καὶ κριτὴν τῶν χηρῶν»· οὕτω πολλὴν ὑπὲρ τούτου τοῦ γένους πολλαχοῦ ποιούμενον αὐτὸν ὄψει τὴν σπουδήν.

2. Ἵνα δὲ μὴ συνεχῶς τοῦτο λεγόμενον τὸ ὄνομα στρέφῃ σου τὴν ψυχὴν καὶ συγχέῃ σου τὸν λογισμόν, ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει ἐπελθόν, ὑπὲρ τούτου διαλεχθῆναι βούλομαι πρῶτον καὶ δεῖξαι ὅτι οὐ συμφορᾶς, ἀλλὰ τιμῆς ἐστιν ὄνομα (τὸ τῆς χηρείας ὄνομα) καὶ τιμῆς τῆς μεγίστης. Μὴ γάρ μοι τὴν τῶν πολλῶν δόξαν τὴν πεπλανημένην εἰς μαρτυρίαν ἀγάγῃς, ἀλλὰ τοῦ μακαρίου Παύλου, μᾶλλον δὲ τοῦ Χριστοῦ τὴν νομοθεσίαν. Ἃ γὰρ ἐκεῖνος ἐφθέγγετο, ταῦτα ὁ Χριστὸς ἐλάλει δι' αὐτοῦ, καθὼς καὶ αὐτὸς ἔλεγεν, «εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ». Τί οὖν φησι; «Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα»· καὶ πάλιν, «νεωτέρας δὲ χήρας παραιτοῦ», δι' ἀμφοτέρων τοῦ πράγματος ἡμῖν τὸ μέγεθος παραστῆσαι βουλόμενος. Καὶ περὶ μὲν ἐπισκόπων διατάττόμενος οὐδαμοῦ τίθησιν ἐτῶν ἀριθμόν, ἐνταῦθα δὲ πολλὴν ποιεῖται τὴν ἀκρίβειαν.

Τί δήποτε; Οὐχ ὅτι ἡ χηρεία μείζων ἱερωσύνης ἐστίν, ἀλλ' ὅτι μείζονα αὗται πόνον ἐκείνων ἔχουσι, πραγμάτων αὐτὰς πολλῶν πολλαχόθεν περιρρεόντων, δημοσίων καὶ ἰδιωτικῶν. Καθάπερ

---

1. Ὠσ. 6,1–2.
2. Ψαλμ. 145,9.
3. Ψαλμ. 67,6.
4. Β' Κορ. 13,3.
5. Α' Τιμ. 5,9.
6. Α' Τιμ. 5,11.

χνίας καὶ Θεοῦ κάθε παρηγοριᾶς. Γιατὶ λέγει· «αὐτὸς μᾶς ἔχει δώσει τὸ πλῆγμα καὶ αὐτὸς θὰ μᾶς θεραπεύσει· θὰ μᾶς πατάξει καὶ ὁ ἴδιος θὰ δέσει τὶς πληγές μας καὶ θὰ μᾶς χαρίσει τὴν ὑγεία»[1]. Γιατί, ὅσο χρόνο ζοῦσε μαζί σου ὁ μακάριος ἐκεῖνος ἄνδρας, ἀπολάμβανες βέβαια τιμὴ καὶ φροντίδα καὶ ἐκτίμηση, ἀλλ' ὅμως ἀπολάμβανες αὐτὰ ποὺ εἶναι φυσικὸ νὰ ἀπλαμβάνει κανεὶς ἀπὸ κάποιον ἄνθρωπο· ἀπὸ τότε ὅμως ποὺ ἐκεῖνον τὸν πῆρε κοντά του ὁ Θεός, τὴ θέση ἐκείνου τὴν πῆρε ὁ ἴδιος ὁ Θεός. Καὶ δὲν εἶναι δικά μου αὐτὰ τὸ λόγια, ἀλλὰ τοῦ μακάριου προφήτη Δαυΐδ· γιατὶ λέγει· «αὐτὸς θὰ βοηθήσει τὸ ὀρφανὸ καὶ τὴ χήρα»[2]. Καὶ σ' ἄλλη πάλι περίπτωση ὀνομάζει αὐτὸν «πατέρα τῶν ὀρφανῶν καὶ κριτὴ τῶν χηρῶν»[3]. Τόσο μεγάλο ἐνδιαφέρον θὰ δεῖς σὲ κάθε περίπτωση νὰ δείχνει γιὰ τὸ γυναικεῖο φύλο.

Γιὰ νὰ μὴ συνταράσσει λοιπὸν τὴν ψυχή σου καὶ συγχέει τὸ λογικό σου ἀναφερόμενο συνέχεια αὐτὸ τὸ ὄνομα τῆς 'χήρας', ποὺ σοῦ ἦρθε σ' αὐτὸ τὸ ἄνθος τῆς ἡλικίας σου, θέλω κατ' ἀρχὴν νὰ σοῦ μιλήσω γι' αὐτὸ τὸ ὄνομα καὶ νὰ σοῦ δείξω ὅτι δὲν εἶνα ὄνομα συμφορᾶς, ἀλλὰ τιμῆς (τὸ ὄνομα δηλαδὴ τῆς χηρείας) καὶ μάλιστα τῆς πιὸ μεγάλης τιμῆς. Μὴ λοιπόν, σὲ παρακαλῶ, μοῦ προβάλεις σὰν ἀπόδειξη τὴν ἐσφαλμένη γνώμη τῶν πολλῶν, ἀλλὰ τοῦ μακάριου Παύλου, ἢ καλύτερα τὴ νομοθεσία τοῦ Χριστοῦ. Γιατὶ αὐτὰ ποὺ ἔλεγε ἐκεῖνος, τὰ ἔλεγε ὁ Χριστὸς μέσω αὐτοῦ, ὅπως καὶ ὁ ἴδιος ἔλεγε· «ἐφόσον ζητεῖτε ἀπόδειξη γιὰ τὸ Χριστὸ ποὺ ὁμιλεῖ μέσω ἐμοῦ»[4]. Τί λέγει λοιπόν; «Κάποια μπορεῖ νὰ συγκαταλεχθεῖ μεταξὺ τῶν χηρῶν ἐὰν δὲν εἶναι κάτω τῶν ἑξήντα ἐτῶν»[5]· καὶ πάλι, «νὰ μὴ συμπεριλαμβάνεις ὅμως στὸν κατάλογο τῶν χηρῶν νεώτερες χῆρες»[6], θέλοντας νὰ μᾶς παρουσιάσει καὶ μὲ τὶς δύο αὐτὲς ἐντολές του τὸ μέγεθος τοῦ πράγματος αὐτοῦ. Καὶ δίνοντας βέβαια ἐντολὲς γιὰ τοὺς ἐπισκόπους σὲ καμιὰ περίπτωση δὲν ὁρίζει ἀριθμὸ ἐτῶν, ἐνῶ στὴν περίπτωση αὐτὴ ὁμιλεῖ μὲ πολλὴ ἀκρίβεια.

Γιατί λοιπὸν τὸ κάμνει αὐτό; Ὄχι βέβαια ἐπειδὴ ἡ χηρεία εἶναι ἀνώτερη ἀπὸ τὴν ἱερωσύνη, ἀλλ' ἐπειδὴ αὐτὲς ἀντιμετωπίζουν μεγαλύτερο πόνο ἀπὸ τοὺς ἐπισκόπους, ἀφοῦ περιβάλλονται

γὰρ πόλις ἀτείχιστος εἰς μέσον ἅπασι τοῖς βουλομένοις ἁρπάζειν πρόκειται, οὕτω καὶ κόρη χηρείᾳ συζῶσα πολλοὺς ἔχει πανταχόθεν τοὺς ἐπιβουλεύοντας, οὐ τοὺς τῶν χρημάτων αὐτῆς ἐφιεμένους μόνον, ἀλλὰ καὶ τοὺς τὴν σωφροσύνην αὐτῆς διαφθεῖραι σπεύδοντας. Καὶ οὐ ταύτας μόνον, ἀλλὰ καὶ ἑτέρας πρὸς τὸ πεσεῖν αὐτὴν ἀφορμὰς προσγενομένας εὑρήσομεν. Καὶ γὰρ οἰκέται καταφρονοῦντες καὶ πράγματα ἀμελούμενα καὶ τὸ μηκέτι ἐν τῇ προτέρᾳ εἶναι τιμῇ καὶ τὸ τὰς ὁμήλικας εὖ πραττούσας ὁρᾶν, πολλάκις δὲ καὶ τὸ τρυφῆς ἐπιθυμεῖν, δευτέροις αὐτὰς ἔπεισεν ὁμιλῆσαι γάμοις. Εἰσὶ δὲ αἳ νόμῳ μὲν γάμου οὐκ ἐθέλουσι συγγενέσθαι τοῖς ἀνδράσι, λάθρα δὲ καὶ μετὰ τοῦ κρύπτεσθαι. Τοῦτο δὲ ποιοῦσιν, ἵνα τὰ ἐγκώμια τῆς χηρείας καρπώσωνται· οὕτως οὐκ ἐπονείδιστον, ἀλλὰ θαυμαστὸν καὶ τιμῆς ἄξιον τὸ πρᾶγμα παρὰ ἀνθρώποις εἶναι δοκεῖ, οὐ παρ' ἡμῖν μόνον τοῖς πιστοῖς, ἀλλὰ καὶ τοῖς ἀπίστοις αὐτοῖς.

Καὶ γὰρ ἐγώ ποτε νέος ἔτι ὤν, τὸν σοφιστὴν τὸν ἐμὸν (πάντων δὲ ἀνδρῶν δεισιδαιμονέστερος ἐκεῖνος ἦν) οἶδα ἐπὶ πολλῶν τὴν μητέρα τὴν ἐμὴν θαυμάζοντα. Τῶν γὰρ παρακαθημένων αὐτῷ πυνθανόμενος, οἷα εἴωθε, τίς εἴην ἐγώ, καί τινος εἰπόντος, ὅτι χήρας γυναικός, ἐμάνθανε παρ' ἐμοῦ τήν τε ἡλικίαν τῆς μητρὸς καὶ τῆς χηρείας τὸν χρόνον· ὡς δὲ εἶπον, ὅτι ἐτῶν τεσσαράκοντα γεγονυῖα εἴκοσιν ἔχει λοιπόν, ἐξ οὗ τὸν πατέρα ἀπέβαλε τὸν ἐμόν, ἐξεπλάγη καὶ ἀνεβόησε μέγα καὶ πρὸς τοὺς παρόντας ἰδών, 'βαβαί', ἔφη, 'οἷαι παρὰ Χριστιανοῖς γυναῖκές εἰσι'. Τοσούτου οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ἔξωθεν τὸ πρᾶγμα ἀπολαύει τοῦ θαύματος καὶ τοῦ ἐπαίνου. Ἅπερ ἅπαντα συνιδὼν ὁ μακάριος Παῦλος, ἔλεγε· «χήρα καταλεγέσθω, μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα». Καὶ οὐδὲ μετὰ τὴν τοσαύτην τῶν χρόνων μαρτυρίαν ἀφίησιν αὐτὴν

---

7. Πρόκειται γιὰ τὸν εἰδωλολάτρη δάσκαλό του Λιβάνιο.

8. Α' Τιμ. 5,9.

ἀπὸ πολλὰ προβλήματα, δημόσια καὶ ἰδιωτικά. Γιατί, ὅπως ἀκριβῶς μιὰ πύλη ἀτείχιστη βρίσκεται στὴ διάθεση ὅλων ἐκείνων ποὺ θέλουν νὰ τὴ λεηλατοῦν, ἔτσι καὶ μιὰ κόρη ποὺ ζεῖ σὰν χήρα ἔχει πολλοὺς ποὺ τὴν ἐπιβουλεύονται ἀπὸ παντοῦ, ὄχι μόνο ἐκείνους ποὺ ἀποβλέπουν στὰ χρήματα αὐτῆς, ἀλλὰ καὶ ἐκείνους ποὺ σπεύδουν νὰ διαφθείρουν καὶ τὴ σωφροσύνη της. Καὶ ὄχι μόνο αὐτές, ἀλλὰ θὰ βροῦμε καὶ ἄλλες ἀφορμὲς νὰ τῆς δίνονται γιὰ τὴν πτώση της. Γιατὶ τὸ ὅτι περιφρονοῦνται ἀπὸ τοὺς ὑπηρέτες, τὰ παραμελούμενα ἐπίσης πράγματα, τὸ ὅτι δὲν χαίρουν πλέον τῆς ἴδιας, ὅπως καὶ προηγουμένως, ἐκτιμήσεως, καὶ τὸ ὅτι βλέπουν τὶς συνομήλικές τους νὰ εὐτυχοῦν, καὶ πολλὲς φορὲς καὶ ἡ ἐπιθυμία πρὸς ἀπόλαυση, τὶς ἔπεισαν νὰ συνάψουν δεύτερο γάμο. Ἀκόμη ὑπάρχουν καὶ ἐκεῖνες ποὺ δὲν θέλουν νὰ ἔρθουν σὲ νόμιμο γάμο μὲ ἄνδρα, ἀλλὰ θέλουν νὰ συζοῦν μὲ αὐτοὺς κρυφά. Αὐτὸ τὸ κάμνουν γιὰ νὰ ἀπολαμβάνουν τὰ ἐκγώμια τῆς χηρείας· ἔτσι τὸ πράγμα αὐτὸ ὄχι μόνο δὲν θεωρεῖται ἀπὸ τοὺς ἀνθρώπους ἄξιο κατηγορίας, ἀλλ' ἀντίθετα καὶ ἄξιο θαυμασμοῦ καὶ τιμῆς, ὄχι μόνο ἀπὸ ἐμᾶς τοὺς πιστούς, ἀλλὰ καὶ ἀπὸ τοὺς ἴδους τοὺς ἀπίστους.

Πράγματι λοιπόν, κάποτε, ὅταν ἀκόμη ἤμουν νέος, συνέβηκε νὰ δῶ τὸ δάσκαλό μου (ἦταν ἐκεῖνος ὁ πιὸ φανατικὸς εἰδωλολάτρης ἀπὸ ὅλους τοὺς ἄνδρες)[7] νὰ θαυμάζει, παρουσία πολλῶν, τὴ μητέρα μου. Ἐρώτησε τότε, ὅπως συνήθιζε, αὐτοὺς ποὺ κάθονταν κοντά του, ποῖος ἤμουν ἐγώ, καὶ κάποιος τοῦ εἶπε, ὅτι εἶμαι τέκνο χήρας γυναίκας· στὴ συνέχεια πληροφορήθηκε ἀπὸ μένα καὶ τὴν ἡλικία τῆς μητέρας μου καὶ τὸ χρόνο τῆς χηρείας της. Ὅταν λοιπὸν τοῦ εἶπα, ὅτι εἶναι σαράντα ἐτῶν καὶ ἔχει εἴκοσι καὶ πλέον ἔτη ἀπὸ τότε ποὺ ἔχασε τὸν πατέρα μου, ἔμεινε κατάπληκτος, φώναξε δυνατά, καί, στρεφόμενος πρὸς τοὺς παραβρισκομένους ἐκεῖ, εἶπε· 'Πώ, πώ! κοιτάξτε τί γυναῖκες ὑπάρχουν μεταξὺ τῶν Χριστιανῶν!' Τόσο πολὺ λοιπὸν τὸ πράγμα αὐτὸ θαυμάζεται καὶ ἐπαινεῖται, ὄχι μόνον ἀπὸ μᾶς τοὺς πιστούς, ἀλλὰ καὶ ἀπὸ τοὺς εἰδωλολάτρες. Ἔχοντας ἀκριβῆ γνώση ὅλων αὐτῶν ὁ Παῦλος ἔλεγε· «νὰ μὴ συμπεριλαμβάνεις στὸν κατάλογο τῶν χηρῶν τὴ χήρα ἐκείνη ποὺ εἶναι κάτω τῶν ἑξήντα ἐτῶν»[8]. Καὶ οὔτε μετὰ ἀπὸ τὴν τόση ἐπιβε-

εἰς τὸν ἅγιον τοῦτον ταγῆναι χορόν, ἀλλὰ καὶ ἕτερα προστίθησι λέγων, «ἐν ἔργοις ἀγαθοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε». Βαβαὶ τῆς δοκιμασίας καὶ τῆς βασάνου, ὅσην παρὰ τῆς χήρας ἀπαιτεῖ τὴν ἀρετὴν καὶ πῶς ἀκριβολογεῖται; οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ πρᾶγμα τίμιον καὶ σεμνὸν ἔμελλεν ἐμπιστεύειν αὐτῇ. «Καὶ Νεωτέρας δέ», φησί, «χήρας παραιτοῦ». Εἶτα καὶ τὴν αἰτίαν προστίθησιν· «ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι». Διὰ τούτου γὰρ ἡμῖν τοῦ ῥήματος αἰνίττεται, ὅτι αἱ τοὺς ἄνδρας ἀποβαλοῦσαι ἀντ' ἐκείνων ἁρμόττονται τῷ Χριστῷ.

Ὅρα πῶς δεικνὺς τὴν ἁρμονίαν ταύτην ῥᾴονα οὖσαν καὶ ἐπιεικῆ, τοῦτο τίθησι· λέγω δὲ τό, «ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι», καθάπερ τινὸς ἀνδρὸς ἐπιεικοῦς καὶ οὐ μετ' ἐξουσίας αὐταῖς κεχρημένου, ἀλλ' ἐῶντος ἐν ἐλευθερίᾳ ζῆν. Καὶ οὐδὲ μέχρι τούτων τὸν λόγον ἔστησεν, ἀλλὰ καὶ ἑτέρωθι πάλιν πολλὴν ὑπὲρ αὐτῆς τὴν φροντίδα πεποίηται λέγων· «ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν· ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπισεν ἐπὶ τὸν Θεόν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς ἡμέρας καὶ νυκτός». Καὶ Κορινθίοις ἐπιστέλλων φησί· «μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτω μείνῃ».

3. Εἶδες ὅσα τῆς χηρείας τὰς ἐγκώμια καὶ ταῦτα ἐν τῇ Καινῇ, ὅτε καὶ τὸ τῆς παρθενίας διέλαμψε καλόν; Ἀλλ' ὅμως οὐδὲ τότε τὰς μαρμαρυγὰς αὐτῆς ἀποκρύψαι ἴσχυσεν ἡ ταύτης φαιδρότης, ἀλλὰ διαλάμπει καὶ οὕτω τὴν οἰκείαν ἔχουσα ἀρετήν. Ὅταν οὖν μνημονεύωμεν μεταξὺ χηρείας, μὴ καταπέσῃς μηδὲ ὄνειδος τὸ

---

9. Α' Τιμ. 5,10.
10. Α' Τιμ. 5,11.
11. Α' Τιμ. 5,11.
12. Α' Τιμ. 5,5–6.
13. Α' Κορ. 7,40.

βαίωση τῶν ἐτῶν της ἐπιτρέπει αὐτὴν νὰ καταταγεῖ στὸν ἅγιο αὐτὸ χορό, ἀλλὰ προσθέτει καὶ ἄλλα λέγοντας· «ἐὰν ὑπάρχουν ἀποδεικτικὰ στοιχεῖα γιὰ ἀγαθὰ ἔργα της, ἐὰν ἀνέθρεψε παιδιά, ἐὰν φιλοξένησε ἀνθρώπους, ἐὰν ἔπλυνε τὰ πόδια ἁγίων ἀνδρῶν, ἐὰν ἀνακούφισε θλιμμένους, ἐὰν ἀσχολήθηκε μὲ κάθε εἶδος ἀγαθῶν ἔργων»[9]. Ἀλήθεια, πόση δοκιμασία καὶ ἐξέταση ἀπαιτεῖ, πόσο μεγάλη θέλει νὰ εἶναι ἡ ἀρετὴ τῆς χήρας καὶ πῶς ἀκριβολογεῖ· δὲν θὰ ἦταν ἀνάγκη νὰ τὸ κάμει αὐτό, ἐὰν δὲν ἐπρόκειτο νὰ τῆς ἐμπιστευθεῖ κάποιο πράγμα πολύτιμο καὶ σπουδαῖο. Καὶ ἀκόμη λέγει· «νὰ μὴ καταγράφεις ὅμως στὸν κατάλογο τῶν χηρῶν νεώτερες χῆρες»[10]. Στὴ συνέχεια προσθέτει καὶ τὴν αἰτία· «γιατί, ὅταν ἀποχωρισθοῦν ἀπὸ τὸ Χριστὸ ἐξ αἰτίας τῶν παθῶν τους, θέλουν νὰ παντρευτοῦν»[11]. Μὲ αὐτὰ τὰ λόγια ὑπαινίσσεται σὲ μᾶς, ὅτι ἐκεῖνες ποὺ ἔχασαν τοὺς συζύγους τους, ἀντὶ ἐκείνων προσκολλοῦνται στὸ Χριστό.

Πρόσεχε πῶς τὸ ἐκθέτει αὐτὸ γιὰ νὰ δείξει αὐτὴ τὴ σύνδεση σὰν προτιμότερη καὶ ἀνώτερη· ἐννοῶ δηλαδὴ τό, «ὅταν ἀποχωρισθοῦν ἀπὸ τὸ Χριστό, θέλουν νὰ παντρευτοῦν», σὰν νὰ εἶναι δηλαδὴ κάποιος ἐπιεικὴς σύζυγος ποὺ δὲν χρησιμοποιεῖ ἐναντίον τους αὐστηρότητα, ἀλλὰ τὶς ἀφήνει νὰ ζοῦν μὲ ἐλευθερία. Καὶ οὔτε μέχρις ἐδῶ σταμάτησε τὸ λόγο, ἀλλὰ καὶ σ' ἄλλη περίπτωση πάλι δείχνει μεγάλη φροντίδα γι' αὐτήν, λέγοντας· «ἐκείνη ὅμως ποὺ ζεῖ μέσα στὶς ἀπολαύσεις, ἔχει πεθάνει, ἔστω καὶ ἂν ἀκόμη ζεῖ· ἐνῶ ἡ πραγματικὴ χήρα καὶ ποὺ ζεῖ τελείως μόνη της ἔχει στηριγμένες τὶς ἐλπίδες της στὸ Θεὸ καὶ ἐμμένει στὶς παρακλήσεις καὶ τὶς προσευχές της μέρα καὶ νύχτα»[12]. Καὶ πρὸς τοὺς Κορινθίους γράφοντας, λέγει· «εἶναι μακαριότερη ἐὰν παραμείνει ἔτσι ποὺ εἶναι»[13].

Εἶδες πόσα εἶναι τὰ ἐγκώμια τῆς χηρείας καὶ ὅλα αὐτὰ κατὰ τὴν ἐποχὴ τῆς Καινῆς Διαθήκης, ὅταν διέλαμψε καὶ τὸ καλὸ τῆς παρθενίας; Ἀλλ' ὅμως οὔτε τότε μπόρεσε ἡ φαιδρότητα αὐτῆς νὰ ἐπισκιάσει τὴν ἀκτινοβολία τῆς χηρείας, ἀλλὰ διαλάμπει καὶ τότε διατηρώντας ἔτσι τὴν ἀρετή της. Ὅταν λοιπὸν ἐνδιάμεσα ἀναφέρω τὴ χηρεία, μὴ τὸ θεωρεῖς σὰν κάτι ταπεινωτικό, οὔτε νὰ τὸ θε-

πρᾶγμα νόμιζε· εἰ γὰρ τοῦτο ἐπονείδιστον, πολλῷ μᾶλλον ἡ παρθενία. Ἀλλ᾽ οὐκ ἔστιν, οὐκ ἔστι, μὴ γένοιτο. Ὅπου γὰρ τὰς ἔτι περιόντων ἀπεχομένας τῶν ἀνδρῶν θαυμάζομεν ἅπαντες καὶ ἀποδεχόμεθα, τὰς καὶ ἀπελθόντων αὐτῶν τὴν αὐτὴν περὶ αὐτοὺς ἐπιδεικνυμένας εὔνοιαν, πῶς οὐκ ἐκπλήττεσθαι δεῖ καὶ ἐπαινεῖν;

Ἕως μὲν οὖν, ὅπερ ἔφη, συνῇς τῷ μακαρίῳ Θηρασίῳ καὶ τιμῆς καὶ προνοίας ἀπέλαυσας, οἵας παρὰ ἀνθρώπου ἀπολαύειν εἰκός· νῦν δὲ εἰς τὴν ἐκείνου τάξιν ἔχεις τὸν ἁπάντων Δεσπότην Θεόν, ὃς καὶ πάλαι σου προεστὼς μειζόνως καὶ μετὰ πλείονος τοῦτο ποιήσει τῆς σπουδῆς νῦν· καὶ τῆς πολλῆς αὐτοῦ προνοίας οὐ μικρόν, ὥσπερ ἔφθην εἰπών, τεκμήριον ἔδειξεν ἡμῖν ἤδη, ἐν τοσαύτῃ καμίνῳ φροντίδων καὶ λύπης ὑγιῆ καὶ ἀνέπαφόν σε διαφυλάξας, καὶ μηδὲν ἀφεὶς τῶν ἀβουλήτων παθεῖν. Ὁ δὲ ἐν τοσούτῳ σάλῳ μηδὲν συγχωρήσας γίνεσθαι ναυάγιον, πολλῷ μᾶλλον ἐν γαλήνῃ διατηρήσει τὴν σὴν ψυχὴν καὶ κούφην ποιήσει τὴν χηρείαν καὶ τὰ ἐκ ταύτης δοκοῦντα εἶναι δεινά.

Εἰ δέ σε οὐ τὸ τῆς χηρείας ὄνομα θορυβεῖ, ἀλλὰ τὸ ἄνδρα τοιοῦτον ἀποβαλεῖν, συνομολογῶ μέν σοι κἀγὼ πανταχοῦ γῆς ὀλίγους γεγενῆσθαι τοιούτους ἐν ἀνδράσι βιωτικοῖς φιλοστόργους, ἐπιεικεῖς, ταπεινούς, ἀπλάστους, συνετούς, εὐλαβεῖς. Ἀλλ᾽ εἰ μὲν διελύετο παντελῶς καὶ εἰς τὸ μηδὲν ἔληγεν, ἔδει θορυβεῖσθαι καὶ ἀλγεῖν, εἰ δὲ εἰς τὸν εὔδιον κατέπλευσε λιμένα καὶ πρὸς τὸν ὄντως αὐτοῦ βασιλέα ἀποδεδήμηκεν, οὐ πενθεῖν ὑπὲρ τούτων, ἀλλὰ καὶ χαίρειν δεῖ. Οὐ γὰρ θάνατος ὁ θάνατος οὗτος, ἀλλ᾽ ἀποδημία καὶ μετάστασίς τις ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω, ἀπὸ τῆς γῆς πρὸς τὸν οὐρανόν, ἀπὸ τῶν ἀνθρώπων πρὸς ἀγγέλους καὶ ἀρχαγγέλους

ωρεῖς σὰν κάτι ποὺ εἶναι ἄξιο κατηγορίας· γιατί, ἐὰν αὐτὸ εἶναι ἄξιο κατηγορίας, πολὺ περισσότερο τότε εἶναι ἄξιο κατηγορίας ἡ παρθενία. Ἀλλ' ὅμως δὲν εἶναι, ὄχι δὲν εἶναι· μὴ περάσει κάτι τέτοιο ἀπὸ τὴ σκέψη σου. Γιατί, ὅταν ὅλοι μᾶς θαυμάζομε καὶ παραδεχόμαστε τὶς συζύγους ἐκεῖνες ποὺ ἀπέχουν ἀπὸ τοὺς συζύγους τους, ἐνῶ ἀκόμη βρίσκονται στὴ ζωή, πῶς δὲν πρέπει νὰ ἐκπλαγόμαστε καὶ νὰ ἐπαινοῦμε ἐκεῖνες, πού, ἂν καὶ πέθαναν οἱ σύζυγοί τους, ἐξακολουθοῦν νὰ δείχνουν τὴν ἰδία ἀγάπη πρὸς αὐτούς;

Ὅσο λοιπόν, ὅπως προανέφερα, συζοῦσες μὲ τὸν μακάριο Θηράσιο, ἀπόλαυσες τὴν τιμὴ καὶ τὴ φροντίδα ἐκείνη, ποὺ εἶναι φυσικὸ ν' ἀπολαμβάνει κάποια ἀπὸ τὸ σύζυγό της, τώρα ὅμως στὴ θέση ἐκείνου ἔχεις τὸν Κύριο τῶν πάντων, τὸ Θεό, ὁ ὁποῖος καὶ κατὰ τὸ παρελθὸν ἐπέδειξε πρὸς ἐσένα μεγάλη συμπαράσταση καὶ τώρα θὰ τὸ κάμει αὐτὸ μὲ μεγαλύτερη προθυμία· καί, ὅπως προηγουμένως εἶπα, δὲν εἶναι ἤδη μικρὴ ἡ ἀπόδειξη ποὺ μᾶς ἔδωσε γιὰ τὴ μεγάλη πρόνοιά του, ἀφοῦ σὲ διαφύλαξε, μέσα ἀπὸ ἕνα τόσο μεγάλο καμίνι φροντίδων καὶ λύπης, ὑγιῆ καὶ ἀνέπαφη καὶ δὲν σὲ ἄφησε νὰ πάθεις τίποτε τὸ ἀνεπιθύμητο. Αὐτὸς λοιπὸν ποὺ δὲν σὲ ἄφησε νὰ ναυαγήσεις μέσα σὲ μιὰ τόσο μεγάλη τρικυμία, πολὺ περισσότερο θὰ διαφυλάξει σὲ καιρὸ γαλήνης τὴν ψυχή σου καὶ θὰ κάνει ἐλαφρὴ τὴ χειρία σου καὶ τὰ δεινὰ ἐκεῖνα ποὺ θεωρεῖται ὅτι προέρχονται ἀπὸ αὐτήν.

Ἐὰν ὅμως δὲν σὲ θορυβεῖ τὸ ὄνομα τῆς χηρείας, ἀλλὰ τὸ ὅτι ἔχασες ἕνα τέτοιο σύζυγο, συμφωνῶ βέβαια καὶ ἐγὼ μαζί σου, ὅτι σ' ὁλόκληρη τὴ γῆ λίγοι ἔχουν παρουσιασθεῖ μεταξὺ τῶν κοσμικῶν ἀνδρῶν ποὺ νὰ εἶναι τόσο πολὺ φιλόστοργοι, ἐπιεικεῖς, ταπεινόφρονες, ἀπροσποίητοι, συνετοί, εὐλαβεῖς. Ἀλλ', ἂν ἐξαφανιζόταν τελείως καὶ κατέληγε στὸ μηδέν, ἔπρεπε τότε νὰ ἀνησυχεῖς καὶ νὰ ὑποφέρεις, ἐφόσον ὅμως κατέπλευσε στὸ γαλήνιο λιμάνι καὶ ἀπεδήμησε πρὸς τὸν πραγματικὸ βασιλιά του, δὲν πρέπει νὰ πενθεῖς γιὰ ὅλα αὐτά, ἀλλὰ νὰ χαίρεσαι. Γιατὶ αὐτὸς ὁ θάνατος δὲν εἶναι θάνατος, ἀλλὰ ἀποδημία καὶ ἕνα εἶδος μεταθέσεως ἀπὸ τὰ χειρότερα πρὸς τὰ καλύτερα, ἀπὸ τὴ γῆ πρὸς τὸν οὐρανό, ἀπὸ τοὺς ἀνθρώπους πρὸς τοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους καὶ τὸν Κύ-

καὶ τὸν τῶν ἀγγέλων καὶ ἀρχαγγέλων Δεσπότην. Ἐνταῦθα μὲν γὰρ ἐπὶ τῆς γῆς στρατευόμενον βασιλεῖ καὶ κινδύνους ἦν προσδοκᾶν καὶ πολλὰς παρὰ τῶν φθονούντων τὰς ἐπιβουλάς· ὅσῳ γὰρ αὐτῷ τὰ τῆς εὐδοκιμήσεως ηὔξετο, τοσούτῳ καὶ τὰ παρὰ τῶν ἐχθρῶν ἐπλεόναζεν· ἐκεῖ δὲ ἀπελθόντα οὐκ ἔστιν ὑποπτεῦσαι τούτων οὐδέν.

Ὥστε ὅσῳπερ ἂν πενθῇς ὅτι χρηστὸν ὄντα καὶ ἐνάρετον ἔλαβεν ὁ Θεός, τοσούτῳ χαίρειν δεῖ ὅτι μετὰ πολλῆς τῆς ἀσφαλείας καὶ τῆς δόξης ἀποδεδήμηκε, καὶ τῆς ἐν τῷ παρόντι κινδύνῳ ταραχῆς ἀπαλλαγείς, ἐστὶν ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ πολλῇ. Πῶς γὰρ οὐκ ἄτοπον τὸν μὲν οὐρανὸν πολλῷ βελτίω τῆς γῆς εἶναι ὁμολογεῖν, τοὺς δὲ ἀπὸ ταύτης ἐκεῖ μεταστάντας πενθεῖν; Εἰ μὲν γὰρ τῶν αἰσχρῶς βεβιωκότων καὶ παρὰ τὸ τῷ Θεῷ δοκοῦν ὁ μακάριος ἐκεῖνος ἦν, ἔδει κόπτεσθαι καὶ θρηνεῖν, οὐκ ἀπελθόντα μόνον, ἀλλὰ καὶ ζῶντα ἐκεῖνον· ἐπειδὴ δὲ τῶν αὐτῷ φίλων καὶ οὗτος εἷς ἐτύγχανεν ὤν, οὐ ζῶντι μόνον, ἀλλὰ καὶ κοιμηθέντι συνήδεσθαι χρή. Καὶ ὅτι τοῦτο ποιεῖν δεῖ, τοῦ μακαρίου Παύλου πάντως ἤκουσας λέγοντος· «τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον».

4. Ἀλλὰ ρημάτων ἴσως ποθεῖς ἀκοῦσαι τῶν ἐκείνου, καὶ φιλίας ἀπολαῦσαι τῆς πρὸς αὐτόν, καὶ συνήθειαν ἐπιζητεῖς, καὶ δόξαν τὴν δι' αὐτόν, καὶ λαμπρότητα καὶ τιμὴν καὶ ἀσφάλειαν, καὶ ταῦτά τε πάντα φροῦδα γενόμενα θορυβεῖ καὶ σκοτοῖ. Τὴν μὲν οὖν φιλίαν τὴν πρὸς ἐκεῖνον ἔξεστί σοι φυλάττειν καὶ νῦν ὁμοίως, ὥσπερ καὶ πρότερον. Τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις· οὐ τοὺς παρόντας μόνον καὶ πλησίον ὄντας ἡμῶν καὶ ὁρωμένους, ἀλλὰ καὶ τοὺς μακρὰν ἀφεστῶτας περιλαμβάνει καὶ συγκολλᾷ καὶ συνδεῖ· καὶ οὔτε

14. Φιλιπ. 1,23.

ριο τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων. Γιατὶ ἐδῶ βέβαια στὴ γῆ, ὅταν ἐξεστράτευε γιὰ χάρη τοῦ βασιλιᾶ φυσικὸ ἦταν ν' ἀνέμενε καὶ κινδύνους καὶ πολλὲς ἐπιβουλὲς ἐκ μέρους ἐκείνων ποὺ τὸν φθονοῦσαν, ἀφοῦ, ὅσο περισσότερο αὔξαναν οἱ ἐπιτυχίες του, τόσο περισσότερο πλεόναζαν καὶ οἱ ἐπιβουλὲς ἐκ μέρους τῶν ἐχθρῶν του· ἀπὸ τὴ στιγμὴ ὅμως ποὺ μετέβηκε ἐκεῖ δὲν εἶναι δυνατὸ νὰ τὸν ὑποπτευθεῖ κανεὶς γιὰ τίποτε ἀπὸ ὅλα αὐτά.

Ὥστε λοιπόν, ὅσο περισσότερο τὸν πενθεῖς ποὺ τὸν πῆρε ὁ Θεός, ἂν καὶ ἦταν τόσο καλὸς καὶ ἐνάρετος, τόσο περισσότερο πρέπει νὰ χαίρεσαι ποὺ ἀποδήμησε πρὸς τὸ Θεὸ μὲ τόση μεγάλη ἀσφάλεια καὶ δόξα, καί, ἀφοῦ ἀπαλλάχθηκε ἀπὸ τὴν ταραχὴ τῶν κινδύνων τῆς παρούσας ζωῆς, συνεχίζει τὴ ζωή του μὲ πολλὴ εἰρήνη καὶ ἡσυχία. Καὶ πῶς δὲν εἶναι παράξενο νὰ ὁμολογεῖς βέβαια ὅτι ὁ οὐρανὸς εἶναι κατὰ πολὺ καλύτερος ἀπὸ τὴ γῆ, νὰ πενθεῖς ὅμως αὐτοὺς ποὺ μεταβαίνουν ἀπὸ τὴν ἐδῶ ζωὴ στὴν ἐκεῖ; Γιατί, ἂν ἦταν ὁ μακάριος ἐκεῖνος ἕνας ἀπὸ ἐκείνους ποὺ ἔχουν ζήσει πολὺ αἰσχρὰ καὶ ἀντίθετα πρὸς τὶς ἐντολὲς τοῦ Θεοῦ, ἔπρεπε τότε νὰ ὀδύρεσαι καὶ νὰ θρηνεῖς, ὄχι μόνο τώρα ποὺ πέθανε, ἀλλὰ καὶ ὅσο ἐκεῖνος ζοῦσε ἀκόμη. Ἐπειδὴ ὅμως καὶ αὐτὸς τύχαινε νὰ εἶναι ἕνας ἀπὸ τοὺς φίλους τοῦ Θεοῦ, πρέπει νὰ χαιρόμαστε ὄχι μόνο γιὰ τὴν ἐδῶ ζωή του, ἀλλὰ καὶ τώρα ποὺ πέθανε. Καὶ ὅτι πρέπει νὰ τὸ κάμνομε αὐτό, ἄκουσες ὁπωσδήποτε τὸν μακάριο Παῦλο ποὺ λέγει· «τὸ νὰ πεθάνω καὶ νὰ εἶμαι μαζὶ μὲ τὸ Χριστὸ εἶναι κατὰ πολὺ προτιμότερο»[14].

Ἴσως ὅμως ποθεῖς ν' ἀκούσεις τὰ λόγια του, νὰ νιώσεις τὴν ἀγάπη πρὸς αὐτόν, νὰ ἐπιζητεῖς τὴ συνουσία μὲ αὐτὸν καὶ τὴν ἐκτίμηση ποὺ ἀπολάμβανες ἐξ αἰτίας του, τὴ λαμπρότητα καὶ τὴν τιμὴ καὶ τὴν ἀσφάλεια, καὶ ἐπειδὴ ὅλα αὐτὰ χάθηκαν, σὲ κάνουν ν' ἀνησυχεῖς καὶ συσκοτίζουν τὴ σκέψη σου. Τὴν ἀγάπη σου λοιπὸν πρὸς ἐκεῖνον σοῦ εἶναι δυνατὸ νὰ τὴν φυλάττεις καὶ τώρα ὁμοίως, ὅπως ἀκριβῶς καὶ προηγουμένως. Γιατὶ εἶναι τέτοια ἡ δύναμη τῆς ἀγάπης· δὲν περιβάλλει καὶ δὲν συνενώνει καὶ δὲν συνδέει μόνο αὐτοὺς ποὺ εἶναι παρόντες καὶ βρίσκονται πλησίον μας καὶ τοὺς βλέπομε, ἀλλὰ καὶ ἐκείνους ποὺ ἔχουν ἀπομακρυνθεῖ ἀπὸ κοντά

χρόνου πλῆθος, οὔτε ὁδῶν διάστημα, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν ψυχῆς φιλίαν διακόψαι δύναιτ' ἂν καὶ διατεμεῖν. Εἰ δὲ καὶ πρόσωπον αὐτὸν βούλει πρὸς πρόσωπον ἰδεῖν (τοῦτο γὰρ οἶδα ὅτι μάλιστα ποθεῖς), διαφύλαξον αὐτῷ τὴν εὐνὴν ἀνέπαφον ἀνδρὸς ἑτέρου καὶ βίον ἐπιδείξασθαι σπούδασον ἴσον ἐκείνῳ, καὶ πάντως εἰς τὸν αὐτὸν ἀπελεύσῃ χορὸν αὐτῷ, οὐ πέντε ἔτη καθάπερ ἐνθάδε, οὐδὲ εἴκοσι καὶ ἑκατόν, οὐδὲ χίλια καὶ δὶς τοσαῦτα, οὐδὲ μύρια καὶ πολλάκις τοσαῦτα, ἀλλὰ τοὺς ἀπείρους καὶ ἀτελευτήτους αἰῶνας αὐτῷ συνοικήσουσα. Τοὺς γὰρ τῆς ἀναπαύσεως τόπους ἐκείνους οὐχ αἱ συγγένειαι αἱ σωματικαί, ἀλλ' ἡ τῶν βίων ἰσότης κληρονομεῖν πέφυκεν.

Εἰ γὰρ καὶ τὸν Λάζαρον ἀγνῶτα ὄντα τῷ Ἀβραὰμ εἰς τοὺς αὐτοὺς αὐτῷ κόλπους ἤγαγε καὶ πολλοὺς ἀπὸ ἀνατολῶν καὶ δυσμῶν μετ' ἐκείνου ἀνακλιθῆναι παρασκευάζει τὸ τῆς πολιτείας ἀπαράλλακτον, καὶ σὲ μετὰ τοῦ καλοῦ Θηρασίου ὁ τῆς ἀνέσεως ἐκδέξεται τόπος, ἂν ἐκείνῳ τὸν βίον θέλῃς ἐπιδείξασθαι τὸν αὐτόν· καὶ τότε αὐτὸν οὐκ ἐν τούτῳ τῷ κάλλει τοῦ σώματος, ὅπερ ἔχων ἀπῆλθεν, ἀπολήψῃ πάλιν, ἀλλ' ἐν ἑτέρᾳ τινὶ μαρμαρυγῇ καὶ φαιδρότητι μᾶλλον τῶν ἡλιακῶν ἀκτίνων ἀπολαμπούσῃ. Τοῦτο γὰρ τὸ σῶμα, κἂν ἐν ὕψει τρέχῃ πολλῷ, φθαρτὸν ὅμως ἐστί, τὰ δὲ σώματα τῶν εὐηρεστηκότων τῷ Θεῷ τοσαύτην ἐνδύσεται δόξαν, ὅσην οὐδὲ ἰδεῖν ἔνι τούτοις τοῖς ὀφθαλμοῖς. Καὶ τούτων ἡμῖν σημεῖά τινα καὶ ἴχνη ἀμυδρὰ καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ δοθῆναι παρεσκεύασεν ὁ Θεός. Ἐκεῖ μὲν γὰρ τὸ πρόσωπον τοῦ Μωϋσέως τοσαύτῃ κατελάμπετο δόξῃ τότε, ὡς ἀπρόσιτον εἶναι τοῖς τῶν Ἰσραηλιτῶν ὀφθαλμοῖς· ἐν δὲ τῇ Καινῇ τούτου πολλῷ πλέον ἐξέλαμψε τὸ τοῦ Χριστοῦ.

Εἰπέ γάρ μοι, εἰ βασιλέα τις αὐτὸν ἐπηγγέλλετο πάσης ποιῆσαι

μας· καὶ οὔτε τὸ πλῆθος τῶν χρόνων, οὔτε τὸ διάστημα τῶν ὁδῶν, οὔτε τίποτε ἄλλο παρόμοιο θὰ μποροῦσε νὰ διακόψει καὶ νὰ σπάσει τὸν ψυχικὸ σύνδεσμο. Ἐὰν ὅμως ἐπιθυμεῖς νὰ δεῖς τὸ πρόσωπό του (γιατὶ τὸ γνωρίζω πολὺ καλὰ ὅτι αὐτὸ πρὸ πάντων ἐπιθυμεῖς), διαφύλαξε γιὰ χάρη του τὸ κρεββάτι σου ἀνέπαφο ἀπὸ ἄλλον ἄνδρα καὶ φρόντισε νὰ ἐπιδείξεις βίο ἰσάξιο ἐκείνου καὶ ὁπωσδήποτε θὰ μεταβεῖς στὸν ἴδιο μὲ αὐτὸν σύλλογο, ὄχι γιὰ πέντε, ὅπως ἀκριβῶς ἐδῶ, ἔτη, οὔτε γιὰ εἴκοσι καὶ ἑκατό, οὔτε γιὰ χίλια καὶ δυὸ χιλιάδες ἔτη, οὔτε γιὰ μύρια καὶ πολλὲς φορὲς περισσότερα ἀπὸ αὐτά, ἀλλὰ γιὰ νὰ συγκατοικήσεις μαζί του στοὺς ἄπειρους καὶ χωρὶς τέλος αἰῶνες. Γιατὶ τοὺς τόπους ἐκείνους τῆς ἀναπαύσεως ἔχει ὁρισθεῖ νὰ κληρονομοῦν ὄχι οἱ σωματικὰ συγγενεῖς, ἀλλ' αὐτοὶ ποὺ ἡ ζωή τους εἶναι ἰσάξια τῆς ζωῆς ἐκείνων.

Ἐὰν λοιπὸν καὶ τὸν Λάζαρο, πού, ἂν καὶ ἦταν ἄγνωστος στὸν Ἀβραάμ, τὸν ὁδήγησε ὁ Θεὸς στοὺς ἴδιους μὲ αὐτὸν κόλπους καὶ ἑτοιμάζει πολλοὺς καὶ ἀπὸ ἀνατολῶν καὶ ἀπὸ δυσμῶν νὰ καθίσουν πλησίον του ἡ κατὰ πάντα ὁμοιότης τοῦ βίου τους μὲ τὸν βίο ἐκείνου, καὶ ἐσένα θὰ ὑποδεχθεῖ μαζὶ μὲ τὸν καλὸ Θηράσιο ὁ τόπος τῆς ἀναπαύσεως, ἐὰν θελήσεις νὰ ἐπιδείξεις τὸν ἴδιο βίο μὲ τὸ βίο ἐκείνου· καὶ τότε θὰ τὸν ἀποκτήσεις καὶ πάλι ὄχι μὲ αὐτὸ τὸ κάλλος τοῦ σώματος ποὺ εἶχε ὅταν ἔφυγε ἀπὸ κοντά σου, ἀλλὰ μὲ κάποια ἄλλη λαμπρότητα καὶ φαιδρότητα ποὺ λάμπει περισσότερο ἀπὸ τὶς ἡλιακὲς ἀκτίνες. Γιατὶ αὐτὸ ἐδῶ τὸ σῶμα, καὶ ἂν ἀκόμη φθάσει σὲ πάρα πολὺ μεγάλο ὕψος, ὅμως εἶναι φθαρτό, ἐνῶ τὰ σώματα αὐτῶν ποὺ ἔχουν εὐαρεστήσει τὸ Θεό, θὰ ντυθοῦν μὲ τόση δόξα, ὅση δὲν εἶναι δυνατὸ νὰ δεῖ κανεὶς οὔτε μὲ αὐτοὺς τοὺς ὀφθαλμούς. Καὶ ὅλων αὐτῶν μερικὰ μόνο σημεῖα καὶ ἀμυδρὰ ἴχνη ἐπέτρεψε ὁ Θεὸς νὰ μᾶς δοθοῦν καὶ στὴν Παλαιὰ Διαθήκη καὶ στὴν Καινή. Γιατὶ στὴν Παλαιὰ Διαθήκη τὸ πρόσωπο τοῦ Μωϋσῆ ἀπὸ τόση δόξα ἀκτινοβολοῦσε τότε, ὥστε νὰ εἶναι ἀπρόσιτο στὰ μάτια τῶν Ἰσραηλιτῶν, ἐνῶ στὴν Καινὴ Διαθήκη πολὺ περισσότερο ἀπὸ τὸ πρόσωπο τοῦ Μωϋσῆ διέλαμψε τὸ πρόσωπο τοῦ Χριστοῦ.

Πές μου λοιπὸν σὲ παρακαλῶ· ἐὰν κάποιος σοῦ ὑποσχόταν

τῆς γῆς, εἶτα ἐτῶν εἴκοσι χρόνον ἀποστῆναί σε ἐκέλευσεν ὑπὲρ τούτου, καὶ μετὰ ταῦτά σοι μετὰ τοῦ διαδήματος καὶ τῆς ἁλουργίδος ἀποδώσειν αὐτὸν ἐπηγγέλλετο, καὶ πάλιν εἰς τὴν αὐτὴν τάξειν ἐκείνῳ τιμήν, ἆρα οὐκ ἂν τὸν χωρισμὸν πράως ἐνέγκῃς καὶ μετὰ σωφροσύνης τῆς προσηκούσης; ἆρα οὐκ ἂν ἠσμένισας τῷ δώρῳ καὶ πρᾶγμα εὐχῆς ἄξιον εἶναι ἐνόμισας; Τοῦτο τοίνυν ἀνάσχου καὶ νῦν, οὐχ ὑπὲρ βασιλείας τῆς ἐν τῇ γῇ, ἀλλ' ὑπὲρ τῆς ἐν οὐρανοῖς· οὐχ ἵνα ἱμάτιον χρυσοῦν φοροῦντα ἀπολάβῃς, ἀλλ' ἵνα ἀθανασίαν καὶ δόξαν, ὅσην τοὺς ἐν οὐρανοῖς διάγοντας ἔχειν εἰκός. Εἰ δὲ σφόδρα ἀφορήτως ἔχεις πρὸς τὸ τοῦ χρόνου μακρόν, εἰκὸς αὐτὸν καὶ δι' ὀνειράτων ἐπιστῆναί σοί ποτε καὶ διαλέγεσθαι τὰ ἐν συνηθείᾳ, καὶ δείξειν ὄψιν τὴν ποθουμένην· τοῦτό σοι ἀντὶ τῶν ἐπιστολῶν ἔστω παραμύθιον, μᾶλλον δὲ τοῦτο καὶ ἐπιστολῶν τρανότερον. Ἐκεῖ μὲν γὰρ γράμματα μόνον ἐστὶν ἰδεῖν, ἐνταῦθα δὲ καὶ τύπον ὄψεως καὶ γέλωτα προσηνῆ καὶ σχῆμα καὶ βάδισιν καὶ ἠχῆς ἀκοῦσαι καὶ φωνῆς ἐπιγνῶναι τὴν φιλτάτην.

5. *Ἐπειδὴ δὲ καὶ ὑπὲρ ἀσφαλείας θρηνεῖς, ἣν δι' ἐκεῖνον πάλαι ἐκέκτησο, ἴσως δὲ καὶ διὰ τὸ μείζους ἐμφαίνειν ἐλπίδας εὐδοκιμήσεως (καὶ γὰρ ἤκουον εὐθέως ἐπὶ τὸν τῶν ὑπάρχων θρόνον ἥξειν αὐτόν, ὃ μάλιστα πάντων, οἶμαι, συστρέφει σου τὴν ψυχὴν καὶ συγχεῖ), ἐννόησον τοὺς ἐπὶ μείζονος ἀξιώματος ὄντας ἐκείνου καὶ τὸν βίον σφόδρα ἐλεεινῶς καταστρέψαντας. Ἀναμνήσω δέ σε· Θεόδωρον ἴσως ἀκούεις τὸν ἀπὸ Σικελίας· καὶ γὰρ τῶν σφόδρα ἐπισήμων ἐτύγχανεν ὤν. Οὗτος καὶ κάλλει καὶ μεγέθει σώματος καὶ παρρησίᾳ τῇ πρὸς τὸν βασιλέα πάντων κρατῶν, καὶ δυνάμενος ὅσα*

νὰ τὸν κάμει βασιλιὰ ὁλόκληρης τῆς γῆς καὶ σὲ διέτασσε στὴ συνέχεια ν' ἀπομακρυνθεῖς ἀπὸ κοντά του γιὰ χάρη του ἐπὶ εἴκοσι ἔτη, ὑποσχόμενος μετὰ ἀπὸ ὅλα αὐτὰ νὰ σοῦ τὸν παραδώσει μὲ τὸ βασιλικὸ στέμμα καὶ τὴ βασιλικὴ πορφύρα καὶ νὰ σὲ τοποθετήσει καὶ πάλι στὴν ἴδια μὲ ἐκεῖνον τιμητικὴ θέση, ἄραγε δὲ θὰ ὑπέφερες τὸ χωρισμὸ αὐτὸ μὲ τὴν πρέπουσα ἠρεμία καὶ σωφροσύνη; ἄραγε δὲν θὰ ἔνιωθες ὑπερβολικὴ χαρὰ γιὰ τὸ δῶρο καὶ δὲ θὰ τὸ θεωροῦσες σὰν κάτι ποὺ ἀξίζει κανεὶς νὰ εὔχεται νὰ τοῦ συμβεῖ; Αὐτὸ λοιπὸν νὰ τὸ ὑποφέρεις τώρα, ὄχι χάριν τῆς ἐπίγειας βασιλείας, ἀλλὰ χάριν τῆς οὐράνιας βασιλείας· ὄχι γιὰ νὰ τὸν ἀποκτήσεις καὶ πάλι φορώντας ἔνδυμα χρυσό, ἀλλὰ ἔχοντας ἀθανασία καὶ δόξα τόση, ὅση εἶναι φυσικὸ νὰ ἔχουν ἐκεῖνοι ποὺ ζοῦν στοὺς οὐρανούς. Ἐὰν ὅμως θεωρεῖς πάρα πολὺ ἀνυπόφορο τὸ μῆκος τοῦ χρόνου, εἶναι πιθανὸ κάποτε νὰ ἔρχεται καὶ στὰ ὄνειρά σου καὶ νὰ σοῦ ὁμιλεῖ ὅπως συνήθιζε τότε καὶ νὰ σοῦ δείξει τὸ πρόσωπό του ποὺ τόσο πολὺ τὸ ποθεῖς· αὐτὸ ἂς ἀποτελεῖ παρηγοριά σου ἀντὶ τῶν ἐπιστολῶν, ἢ καλύτερα αὐτὸ εἶναι πιὸ σπουδαῖο καὶ ἀπὸ τὶς ἐπιστολές. Γιατὶ ἐκεῖ βέβαια εἶναι δυνατὸ νὰ δεῖ κανεὶς μόνο γράμματα, ἐνῶ στὴν περίπτωση αὐτὴ εἶναι δυνατὸ νὰ δεῖς καὶ τὴ μορφὴ τοῦ προσώπου του καὶ ν' ἀκούσεις καὶ τὸ εὐχάριστο γέλοιο του, νὰ δεῖς τὸ ὅλο παράστημά του καὶ ν' ἀκούσεις τὸ βάδισμά του καὶ τὰ λόγια του, καὶ νὰ γνωρίσεις τὴν τόσο ἀγαπημένη φωνή του.

Ἐπειδὴ ὅμως θρηνεῖς καὶ γιὰ τὴν ἀσφάλεια ποὺ εἶχες ἐξ αἰτίας του προηγουμένως, ἐνδεχομένως καὶ ἐπειδὴ φανέρωνε πολὺ μεγάλες ἐλπίδες εὐδοκιμήσεως (γιατὶ ἄκουσα ὅτι πολὺ σύντομα θὰ ἔφθανε καὶ σ' αὐτὸ τὸ ἀξίωμα τοῦ ὑπάρχου, πράγμα πού, κατὰ τὴ γνώμη μου, πρὸ πάντων συγκλονίζει τὴν ψυχή σου καὶ τῆς δημιουργεῖ σύγχυση), ἀναλογίσου αὐτοὺς ποὺ ἀνῆλθαν σὲ μεγαλύτερα ἀξιώματα ἀπὸ ἐκεῖνον καὶ ποὺ κατέστρεψαν τὴ ζωή τους κατὰ τὸν πιὸ ἐλεεινὸ τρόπο. Θὰ σοῦ ὑπενθυμίσω τὸ ἑξῆς· ἐνδεχομένως νὰ ἔχεις ἀκούσει γιὰ τὸν Θεόδωρο ποὺ καταγόταν ἀπὸ τὴν Σικελία· γιατὶ αὐτὸς ἔτυχε νὰ εἶναι ἀπὸ τοὺς πάρα πολὺ ἐπιφανεῖς. Αὐτὸς λοιπὸν ἂν καὶ ὑπερέβαλλε ὅλους ὡς πρὸς τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ σώματος καὶ τὴν παρρησία ἐνώπιον τοῦ βασιλιᾶ, καὶ

τῶν ἔνδον στρεφομένων οὐδείς, οὐκ ἤνεγκε τὴν εὐπραγίαν πρᾴως ἐκείνην, ἀλλ' ἐπιβουλεύσας βασιλεῖ καὶ ἁλούς, αὐτὸς μὲν ἀπετμήθη σφόδρα ἐλεεινῶς, ἡ δὲ τούτου γυνή, καὶ ἀνατροφῆς καὶ γένους καὶ τῶν ἄλλων ἁπάντων οὐδὲν ἔλαττον ἔχουσα τῆς εὐγενείας τῆς σῆς, πάντων ἄφνω γυμνωθεῖσα τῶν αὐτῆς καὶ τῆς ἐλευθερίας αὐτῆς ἐκπεσοῦσα ταῖς ταμιακαῖς ἐρίθοις ἐγκατελέγετο, καὶ πάσης θεραπαινίδος οἰκτρότερον ζῆν ἠναγκάζετο βίον, τοσοῦτον ἔχουσα τῶν ἄλλων πλέον, ὅσον διὰ τὴν ὑπερβολὴν τῆς συμφορᾶς ἐδακρύετο παρὰ τῶν ὁρώντων ἁπάντων αὐτήν.

Λέγεται δὲ καὶ Ἀρτεμισία ἀνδρὸς σφόδρα εὐδοκίμου γενομένη γυνή, ἐπειδὴ κἀκεῖνος τυραννίδος ἐπεθύμησεν, οὕτως εἰς ταύτην τὴν πενίαν ἐλθεῖν καὶ τὴν πήρωσιν. Τό τε γὰρ μέγεθος τῆς ἀθυμίας, τό τε πλῆθος τῶν δακρύων ἔσβεσεν αὐτῇ τοὺς ὀφθαλμούς· καὶ νῦν τῶν χειραγωγησόντων δεῖται καὶ πρὸς τὰς ἑτέρων ἀξόντων θύρας, ἵνα τῆς ἀναγκαίας οὕτως εὐπορεῖν ἔχῃ τροφῆς. Καὶ πολλὰς ἂν ἑτέρας εἶχον οἰκίας εἰπεῖν οὕτως κατενεχθείσας, εἰ μὴ τήν τε εὐλάβειαν καὶ τὴν σύνεσιν τῆς σῆς ἠπιστάμην ψυχῆς, οὐκ ἐκ τῶν ἀλλοτρίων κακῶν τῆς οἰκείας συμφορᾶς παραμυθίαν βουλομένην εὑρεῖν. Καὶ τούτων δέ, ὧν ἐμνήσθην, δι' οὐδὲν ἕτερον ἐμνήσθην νῦν, ἀλλ' ἵνα μάθῃς ὅτι τὰ ἀνθρώπινα οὐδέν ἐστι πράγματα, ἀλλ' ἀληθῶς, ὡς ὁ προφήτης φησί, «πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου». Ὅσῳ γὰρ ἂν ἐπαρθῇ καὶ λάμψῃ, τοσούτῳ μείζονα τὴν πτῶσιν ἐργάζεται, οὐ τὰ τῶν ἀρχομένων μόνον, ἀλλὰ καὶ τὰ τῶν βασιλευόντων αὐτῶν. Οὐδὲ γὰρ ἂν εὕροι τις οἰκίαν ἰδιωτικὴν τοσούτων ἐμπεπλησμένην συμφορῶν, ὅσων τὰ βασίλεια γέμει τῶν κακῶν. Καὶ γὰρ ὀρφανίαι ἄωροι καὶ χηρεῖαι καὶ θάνατοι βίαιοι καὶ

---

15. Ἠσ. 40,6.

ἐνῶ εἶχε τόση δύναμη ποὺ δὲν εἶχε κανεὶς ἄλλος ἀπὸ τοὺς αὐλικούς, δὲν διετήρησε τὴν εὐτυχία ἐκείνη μὲ τρόπο ἤρεμο, ἀλλά, ἀφοῦ συνωμότισε ἐναντίον τοῦ βασιλιᾶ καὶ συνελήφθηκε, ὁ ἴδιος βέβαια ἀποκεφαλίσθηκε μὲ τὸν πιὸ ἐλεεινὸ τρόπο, ἐνῶ ἡ σύζυγός του, ποὺ δὲν ἦταν ὡς πρὸς τίποτε κατώτερη ἡ ἀνατροφή της, ἡ καταγωγή της καὶ ὅλα τὰ ἄλλα, ἀπὸ τὴ ἰδική σου εὐγένεια, ἀφοῦ γυμνώθηκε ἐντελῶς ξαφνικὰ ἀπὸ ὅλα της τὰ ὑπάρχοντα καὶ ἀφοῦ ἔχασε τὴν ἐλευθερία της, συγκατατέχθηκε μεταξὺ ἐκείνων ποὺ ἐργάζονται μὲ ἡμερομίσθιο καὶ ἀναγκαζόταν νὰ ζεῖ κατὰ τρόπο πιὸ ἐλεεινὸ ἀπὸ κάθε ἄλλη ὑπηρέτρια, ἔχοντας αὐτὸ μόνο περισσότερο ἀπὸ τὶς ἄλλες, τὸ ὅτι ἔκαμνε νὰ δακρύζουν ὅλοι ὅσοι τὴν ἔβλεπαν ἐξ αἰτίας τῆς ὑπερβολικῆς συμφορᾶς της.

Ἐπίσης ἀναφέρεται ὅτι καὶ ἡ Ἀρτεμισία, ποὺ ἦταν σύζυγος πάρα πολὺ ἐπιτυχημένου ἄνδρα, ἐπειδὴ καὶ ἐκεῖνος ἐπιθύμησε τὴ βασιλικὴ ἐξουσία, περιῆλθε καὶ αὐτὴ κατὰ τὸν ἴδιο τρόπο στὴν ἴδια φτώχεια καὶ δοκιμασία. Γιατὶ καὶ τὸ μέγεθος τῆς λύπης καὶ τὸ πλῆθος τῶν δακρύων τῆς ἀφήρησαν τὸ φῶς τῶν ὀφθαλμῶν της· καὶ τώρα ἔχει ἀνάγκη νὰ τὴν ὁδηγοῦν ἀπὸ τὸ χέρι καὶ νὰ τὴν φέρουν στὶς θύρες τῶν ἄλλων, γιὰ νὰ μπορεῖ νὰ ἐξοικονομεῖ τὴν ἀναγκαία τροφή της. Καὶ πολλὲς ἄλλες οἰκογένειες θὰ μποροῦσα νὰ σοῦ ἀναφέρω ποὺ εἶχαν αὐτὸ τὰ κατάντημα, ἂν δὲν γνώριζα τόσο καλὰ καὶ τὴν εὐλάβεια καὶ τὴ σύνεσή σου, ἡ ὁποία δὲν θὰ ἤθελε νὰ βρεῖς παρηγορία στὴ συμφορά σου ἀπὸ τὶς ξένες συμφορές. Καὶ αὐτὰ ἀκόμη ποὺ σοῦ ὑπενθύμισα τώρα δὲν σοῦ τὰ ὑπενθύμισα γιὰ κανένα ἄλλο λόγο, παρὰ γιὰ νὰ σκεφθεῖς ὅτι τὰ ἀνθρώπινα πράγματα δὲν εἶναι τίποτε, ἀλλὰ πραγματικά, ὅπως λέγει ὁ προφήτης, «ὁποιαδήποτε δόξα τοῦ ἀνθρώπου εἶναι σὰν τὸ ἄνθος τοῦ χόρτου»[15]. Γιατί, ὅσο περισσότερο συμβεῖ νὰ ὑψωθεῖ καὶ λάμψει, τόσο μεγαλύτερη πτώση προξενεῖ, καὶ ὄχι μόνο στοὺς ἀρχομένους, ἀλλὰ καὶ σ' αὐτοὺς τοὺς ἴδιους τοὺς βασιλεῖς. Πραγματικὰ δὲν εἶναι δυνατὸ νὰ βρεῖ κανεὶς ἰδιωτικὴ οἰκία γεμάτη ἀπὸ τόσες πολλὲς συμφορές, ὅσο εἶναι γεμάτα ἀπὸ δεινὰ τὰ ἀνάκτορα. Γιατὶ αὐτὰ πρὸ πάντων πλήττουν καὶ πρόωρες ὀρφάνιες καὶ χηρεῖες καὶ

τῶν ἐν ταῖς τραγῳδίαις παρανομώτεροι πολλῷ καὶ πικρότεροι μάλιστα εἰς ταύτην κατασκήπτουσι τὴν ἀρχήν.

6. Καὶ ἵνα τὰ παλαιὰ ἀφῶμεν, τῶν βασιλευσάντων ἁπάντων, δύο μόνοι κοινῷ θανάτῳ τὸν βίον κατέλυσαν, τῶν δὲ ἄλλων ὁ μὲν ὑπὸ τυράννου, ὁ δὲ ἐν πολέμῳ, ὁ δὲ ὑπὸ τῶν ἔνδον φυλαττόντων αὐτὸν ἐπιβουλευθείς, ὁ δὲ ὑπ' αὐτοῦ τοῦ χειροτονήσαντος καὶ τὴν ἁλουργίδα περιθέντος αὐτῷ· αἱ δὲ τούτοις συνοικήσασαι γυναῖκες, αἱ μέν, ὥς φασι, φαρμάκοις ἀπέθανον, αἱ δὲ ὑπὸ τῆς ἀθυμίας αὐτῆς. Τῶν δὲ ἔτι περιουσῶν ἡ μὲν παῖδα ἔχουσα ὀρφανὸν τρέμει καὶ δέδοικε μή τις αὐτὸν τῶν κρατούτων φόβῳ τῶν μελλόντων ἀνέλῃ, ἡ δὲ μόλις πολλῶν δεηθέντων ἀπὸ τῆς ὑπερορίας ἐπανῆλθεν, εἰς ἣν αὐτὴν ὁ κρατῶν ἐξέβαλε πρότερον. Τῶν δὲ τοῖς νῦν βασιλεύουσι συνοικουσῶν ἡ μὲν ἀπὸ τῶν προτέρων ἀναπνεύσασα συμφορῶν ἀναμεμιγμένην ἔχει πολλὴν τῇ ἡδονῇ τὴν ὀδύνην διὰ τὸ σφόδρα ἔτι νέον εἶναι καὶ ἄπειρον τὸν κρατοῦντα, καὶ πολλοὺς πολλαχόθεν ἔχειν τοὺς ἐπιβουλεύοντας, ἡ δὲ ἀποτέθνηκε τῷ δέει, καὶ τῶν καταδίκων ἀθλιώτερον ζῇ διὰ τὸ τὸν ἄνδρα αὐτῆς, ἐξ οὗ τὸ διάδημα ἀνεδήσατο μέχρι τῆς σήμερον, ἐν πολέμοις διατρίβειν καὶ μάχαις, καὶ τῶν συμφορῶν πλέον ὑπὸ τῆς αἰσχύνης ἀναλίσκεσθαι καὶ τοῖς παρὰ πάντων ὀνείδεσιν. Ὃ γὰρ μηδέποτε γέγονε, συνέβη νῦν, καὶ τὴν αὐτῶν ἀφέντες οἱ βάρβαροι χώραν μυρίους σταδίους τῆς ἡμετέρας καὶ πολλάκις τοσούτους ἐπέδραμον, καὶ τὰς χώρας κατακαύσαντες καὶ τὰς πόλεις ἑλόντες, οὐκ ἐθέλουσιν ὑποστρέφειν οἴκαδε πάλιν, ἀλλ' ὥσπερ χορεύοντες μᾶλλον ἢ πολεμοῦντες, οὕτω καταγελῶσι τοὺς ἡμετέρους ἅπαντας· καί τινα τῶν παρ' ἐκείνοις βασιλέων φασὶν εἰπεῖν ὅτι τῆς ἀναισχυντίας ἐκπλήττοιτο τοὺς ἡμε-

16. Πρόκειται γιὰ τοὺς ἑξῆς: 1) Κώνστας ποὺ ἐξοντώθηκε τὸ 350, 2) Γάλλος ποὺ φονεύθηκε τὸ 354 κατὰ διαταγὴ τοῦ Κωνσταντίνου, 3) Κωνστάντιος, ποὺ πέθανε τὸ 361 μὲ φυσικὸ θάνατο, 4) Ἰουλιανὸς ποὺ πέθανε κατὰ τὴν ἐκστρατεία ἐναντίων τοῦν Περσῶν, 5) Ἰοβιανὸς ποὺ πέθανε ἀπὸ δυστύχημα στὴ Γαλατία τὸ 364, 6) Οὐαλεντιανὸς ποὺ πέθανε τὸ 375 μὲ φυσικὸ θάνατο, 7) Οὐάλης.

θάνατοι βίαιοι κατὰ πολὺ πιὸ παράνομοι καὶ σκληρότεροι καὶ ἀπὸ ἐκεῖνα ποὺ ἀναφέρονται στὶς τραγωδίες.

Καὶ γιὰ ν' ἀφήσομε τὰ παλιά, ἀπὸ αὐτοὺς ποὺ βασίλευσαν κατὰ τὴ διάρκεια τῆς δικῆς μας γενεᾶς, καὶ ποὺ ἦταν ἐννέα συνολικά[16], δυὸ μόνο τελείωσαν τὴ ζωή τους μὲ κοινὸ θάνατο, ἐνῶ ἀπὸ τοὺς ἄλλους, ἄλλος φονεύθηκε ἀπὸ τὸν τύραννο, ἄλλος στὸν πόλεμο, ἄλλος ἀφοῦ ἐπιβουλεύθηκε ἀπὸ τοὺς ἴδιους τοὺς φρουρούς του, καὶ ἄλλος ἀπ' αὐτὸν τὸν ἴδιο ποὺ τὸν ἀνέβασε στὸ θρόνο καὶ τοῦ φόρεσε τὴ βασιλικὴ πορφύρα· οἱ γυναῖκες πάλι ποὺ ἔζησαν μὲ αὐτούς, ἄλλες, ὅπωςλένε, πέθαναν ἀφοῦ φαρμακώθηκαν, καὶ ἄλλες ἀπὸ τὴν ὑπερβολικὴ λύπη τους. Ἀπὸ αὐτὲς πάλι ποὺ ἀκόμη ζοῦν ἐκείνη ποὺ ἔχει παιδὶ ὀρφανὸ τρέμει καὶ φοβᾶται μήπως κάποιος ἀπὸ τοὺς κυβερνῶντες, ἀπὸ φόβο γιὰ τὸ μέλλον του, τὸ φονεύσει, ἐνῶ ἡ ἄλλη μὲ πολλὲς δυσκολίες καὶ ὕστερα ἀπὸ πολλὲς παρακλήσεις ἐπέστρεψε ἀπὸ τὴν ξένη χώρα, ὅπου τὴν εἶχε διώξει προηγουμένως ἐκεῖνος ποὺ ἀνέλαβε τὴν ἐξουσία. Ἀπὸ τὶς συζύγους ἐπίσης αὐτῶν ποὺ σήμερα βασιλεύουν, ἡ μία, ἀφοῦ ἀνακουφίσθηκε ἀπὸ τὶς προηγούμενες συμφορές, ἔχει ἀναμειγμένη σὲ μεγάλο βαθμὸ τὴν ὀδύνη μὲ τὴν ἡδονή, λόγω τοῦ ὅτι εἶναι πάρα πολὺ νέος καὶ ἄπειρος ὁ σύζυγός της ποὺ ἀσκεῖ τὴν ἐξουσία καὶ ἔχει πάρα πολλοὺς ἀπὸ παντοῦ ποὺ τὸν ἐπιβουλεύονται, ἐνῶ ἡ ἄλλη κοντεύει νὰ πεθάνει ἀπὸ τὸ φόβο της καὶ ζεῖ ἀθλιότερα καὶ ἀπὸ τοὺς κατάδικους, ἐξ αἰτίας τοῦ συζύγου της, ὁ ὁποῖος, ἀπὸ τότε ποὺ φόρεσε τὸ βασιλικὸ στέμμα καὶ μέχρι σήμερα, περνᾶ τὴ ζωή του στοὺς πολέμους καὶ τὶς μάχες καὶ λειώνει περισσότερο ἐξ αἰτίας τῆς ντροπῆς καὶ τῶν ὀνειδισμῶν, παρὰ ἀπὸ τὶς συμφορές. Καὶ αὐτὸ ποὺ δὲν συνέβηκε ποτέ, συνέβηκε τώρα. Ἀφοῦ ἐγκατέλειψαν δηλαδὴ οἱ βάρβαροι τὴ χώρα τους ποὺ ἀπέχει μύρια στάδια καὶ ἀκόμη περισσότερα μακριὰ ἀπὸ τὴ δική μας ἐπέδραμαν ἐναντίον τῆς χώρας μας καί, ἀφοῦ κατέκαυσαν τὴν ὕπαιθρο καὶ κυρίεψαν τὶς πόλεις, δὲ θέλησαν νὰ ἐπιστρέψουν καὶ πάλι στὴν πατρίδα τους, ἀλλά, σὰν ἀκριβῶς νὰ χορεύουν παρὰ νὰ πολεμοῦν, ἔτσι περιγελοῦν ὅλους γενικὰ τοὺς δικούς μας. Καὶ λένε ὅτι κάποιος ἀπὸ ἐκείνους τοὺς βασιλεῖς εἶπε, κατάπληκτος ἀπὸ τὴν ἀδια-

τέρους στρατιώτας, οἳ μᾶλλον προβάτων κατασφαττόμενοι προσδοκῶσιν ἔτι νικᾶν, καὶ οὐκ ἐθέλουσιν ἐκστῆναι τῆς ἑαυτῶν· αὐτὸς μὲν γὰρ ἔφασκε καὶ κόρον εἰληφέναι πολλάκις κατακόπτων αὐτούς. Ποίαν οὖν οἴει καὶ τὸν βασιλέα καὶ τὴν τούτου γυναῖκα ταῦτα ἀκούουσαν τὰ ῥήματα, ἔχειν ψυχήν;

Ἐπειδὴ δὲ ἐμνήσθην τοῦ πολέμου τούτου, ἑσμός μοι πολὺ χηρῶν ἐπέδραμεν, αἳ πάλαι μὲν σφόδρα ἔλαμπον ἀπὸ τῆς τῶν ἀνδρῶν τιμῆς, νῦν δὲ ἀθρόως ἅπασαι πενθήρη καὶ μέλαιναν περιθέμεναι στολὴν θρηνοῦσι τὸν ἅπαντα χρόνον. Οὐδὲ γὰρ τοῦτο αὐταῖς ὑπῆρξεν, ὅπερ τῇ τιμίᾳ σου κεφαλῇ. Σὺ μὲν γάρ, ὦ θαυμασία, καὶ κείμενον ἐπὶ τῆς κλίνης εἶδες τὸν καλὸν ἐκεῖνον, καὶ ἐσχάτης ἤκουσας φωνῆς, καὶ τίνα χρὴ πρᾶξαι ὑπὲρ τῶν πραγμάτων τῆς οἰκίας ἔμαθες ἐπισκήπτοντος, καὶ διὰ τῶν διαθηκῶν ἅπασαν τοῖς πλεονέκταις καὶ συκοφάνταις ἀποτειχίζοντος ἔφοδον. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ νεκρῷ ἔτι κειμένῳ πολλάκις ἐπέπεσες καὶ κατεφίλησας ὀφθαλμοὺς καὶ περιεχύθης καὶ ἐκώκυσας καὶ προπεμφθέντα εἶδες μετὰ πολλῆς τῆς τιμῆς καὶ τὰ πρὸς τὴν ταφὴν πάντα ἔπραξας, ὡς προσῆκον ἦν, καὶ πρὸς τὸν τάφον πολλάκις ἐρχομένη τὴν ἐκείνου παραμυθίαν ἔχεις τῆς ὀδύνης οὐ μικράν. Αὗται δε τούτων ἁπάντων ἐστέρηνται, ἐκπέμψασαι μὲν εἰς πόλεμον ἅπασαι τοὺς ἑαυτῶν ἄνδρας, ὡς πάλιν αὐτοὺς ἀποληψόμεναι, ἀντὶ δὲ ἐκείνων τὴν πικρὰν τῆς τελευτῆς αὐτῶν ἀγγελίαν στρέφονται δεξάμεναι. Οὐδὲ γὰρ τὰ σώματά τις αὐτῶν κομίζων ἐπανῆλθεν αὐταῖς, ἀλλὰ ῥήματα μόνον τὸν τρόπον διηγούμενα τῆς τελευτῆς. Εἰσὶ δὲ αἳ οὐδὲ ταύτης ἠξιώθησαν τῆς διηγήσεως, οὐδὲ ὅπως κατέπεσον μαθεῖν ἠδυνήθησαν, ἐν πολλῷ τῷ πλήθει τῆς συμβολῆς καταχωσθέντων αὐτῶν.

Καὶ τί θαυμαστὸν εἰ τῶν στρατηγῶν οὕτως ἀπέθανον οἱ πολλοί, ὅπου γε καὶ αὐτὸς ὁ βασιλεὺς εἰς κώμην τινὰ ἀπολειφθεὶς μετ'

ποὺ κάηκε τὸ 378 στὴ σκηνή του στὴν Ἀνδριανούπολη πολεμώντας ἐναντίων τῶν Γότθων· ἐπιζοῦσαν ἀκόμη στὶς ἡμέρες του ὁ Θεοδόσιος καὶ ὁ Γρατιανός.

ντροπιὰ τῶν στρατιωτῶν μας, ὅτι ἂν καὶ κατασφάζονται αὐτοὶ χειρότερα ἀπὸ πρόβατα, περιμένουν ἀκόμη νὰ νικήσουν καὶ δὲ θέλουν νὰ ἐγκαταλείψουν τὴν πατρίδα τους· μάλιστα ὁ ἴδιος ἔλεγε ὅτι χόρτασε ἀπὸ τοὺς τόσο πολλοὺς ποὺ φόνευσε ἀπ' αὐτούς. Ποιά λοιπὸν νομίζεις θὰ μποροῦσε νὰ εἶναι ἡ ψυχικὴ διάθεση τοῦ βασιλιᾶ καὶ τῆς συζύγου του, ἀκούοντας αὐτὰ τὰ λόγια;

Ἀλλ' ἐπειδὴ θυμήθηκα τὸν πόλεμο αὐτόν, ἦρθε στὴ σκέψη μου ἕνα μεγάλο πλῆθος χηρῶν, οἱ ὁποῖες παλαιότερα βέβαια ἔλαμπαν ἀπὸ τὴν ὑπερβολικὴ τιμὴ τῶν συζύγων τους, ἐνῶ τώρα ὅλες μαζί, ἀφοῦ φόρεσαν πένθιμη καὶ μαύρη στολή, θρηνοῦν χωρὶς καμιὰ διακοπή, μέρα καὶ νύχτα. Γιατὶ σ' αὐτὲς δὲ συνέβηκε οὔτε κἂν αὐτὸ ποὺ συνέβηκε σ' ἐσένα. Σὺ δηλαδή, θαυμάσιά μου γυναίκα, καὶ εἶδες ξαπλωμένο ἐπάνω στὸ κρεβάτι τὸν καλὸ ἐκεῖνο σύζυγο, καὶ ἄκουσες τὰ τελευταῖα λόγια του, καὶ ἀπὸ τὶς παραγγελίες του ἔμαθες τί ἔπρεπε νὰ κάμεις γιὰ τὰ πράγματα τῆς οἰκίας σου, καὶ μὲ τίς διαθῆκες του ἀπέκλεισε ὁποιαδήποτε ἔφοδο ἀπὸ τοὺς ἅρπαγες καὶ τοὺς συκοφάντες. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ ὅταν ἀκόμη ἦτο νεκρός, πολλὲς φορὲς ἔπεσες ἐπάνω του καὶ καταφίλησες τὰ μάτια του καὶ τὸν ἀγκάλιασες καὶ τὸν θρήνησες καὶ τὸν εἶδες νὰ ὁδηγεῖται στὸν τάφο μὲ πάρα πολὺ μεγάλες τιμές, κάμνοντας ὅλα ὅσα χρειάζονταν γιὰ τὸν ἐνταφιασμό του καὶ ὅπως ἔπρεπε, καὶ ἐπισκεπτόμενη πολλὲς φορὲς τὸν τάφο ἐκείνου ἔχεις ὄχι μικρὴ παρηγοριὰ στὸν πόνο σου. Αὐτὲς ὅμως τὰ ἔχουν στερηθεῖ ὅλα αὐτά· ἔστειλαν βέβαια ὅλες τοὺς συζύγους τους στὸν πόλεμο μὲ τὴν ἐλπίδα καὶ πάλι νὰ τοὺς δοῦν νὰ ἐπιστρέψουν κοντά τους, ἀντὶ ὅμως ἐκείνων σκέπτονται ὅτι δέχθηκαν τὴν πικρὴ πληροφορία τοῦ θανάτου τους. Γιατὶ οὔτε καὶ γύρισε κάποιος γιὰ νὰ τὶς φέρει τὰ σώματά τους, ἀλλ' ἔφθασαν μόνο λόγια διηγούμενα τὸν τρόπο τοῦ θανάτου τους. Ὑπάρχουν ἀκόμη καὶ αὐτὲς ποὺ δὲν ἀξιώθηκαν οὔτε κι αὐτὴ τὴ διήγηση, καὶ οὔτε μπόρεσαν νὰ μάθουν πῶς ἔπεσαν στὴ μάχη, γιατὶ κατακαλύφθηκαν ἀπὸ τὸ μεγάλο πλῆθος τῶν συμπολεμιστῶν τους.

Καὶ γιατί εἶναι ἄξιο θαυμασμοῦ ἂν πολλοὶ ἀπὸ τοὺς στρατηγοὺς πέθαναν κατ' αὐτὸν τὸν τρόπο, τὴ στιγμὴ μάλιστα ποὺ καὶ ὁ

ὀλίγων στρατιωτῶν ἐξελθεῖν μὲν καὶ ἀντιστῆναι τοῖς ἐπεθλοῦσιν οὐκ ἐτόλμησε, μένων δὲ ἔνδον πῦρ ἐξαψάντων ἐκείνων συγκατεφλέχθη τοῖς ἔνδον ἅπασιν οὐκ ἀνδράσι μόνον, ἀλλὰ καὶ ἵπποις καὶ δοκοῖς καὶ τοίχοις, καὶ πάντα μία γέγονε κόνις; Καὶ ταύτην οἱ μετὰ τοῦ βασιλέως ἀπελθόντες εἰς πόλεμον ἀντὶ τοῦ βασιλέως ἐπανῆλθον τῇ γυναικὶ φέροντες τὴν φωνήν.

7. Οὐδὲν γάρ, οὐδὲν τῶν ἐν τῇ σκηνῇ γινομένων καὶ τῆς τῶν ἐαρινῶν ἀνθέων ὥρας τὰ τοῦ κόσμου λαμπρὰ διενήνοχε. Πρῶτον μὲν γὰρ πρὶν ἢ φανῆναι ἀφίπταται· ἔπειτα δέ, κἂν μικρὸν ἀναμεῖναι ἀνάσχηται χρόνον, εὐθέως εὔφθαρτα γίνεται. Τί γὰρ τῆς παρὰ τῶν πολλῶν τιμῆς καὶ δόξης οὐδαμινέστερον; τίνα ἔχει τὸν καρπόν, ποίαν τὴν ὄνησιν; εἰς ποῖον τέλος χρήσιμον ἀπαντᾷ; Καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινόν· νυνὶ δέ, πρὸς τῷ μηδὲν ἔχειν ἀπὸ τοῦ κερδαίνειν καλόν, πολλὰ λυπηρὰ καὶ ἐπιβλαβῆ φέρειν ἀναγκάζεται συνεχῶς ὁ τὴν χαλεπωτάτην ταύτην δέσποιναν ἔχων. Δέσποινα γάρ ἐστι τῶν ἐχόντων αὐτήν, καὶ ὅσωπερ ἂν κολακεύηται παρὰ τῶν δούλων, τοσούτῳ πλέον αἴρεται κατ' αὐτῶν καὶ σκληροτέροις αὐτοὺς κατατείνει τοῖς ἐπιτάγμασι· τοὺς δὲ διαπτύοντας αὐτὴν καὶ παρορῶντας οὐδὲ αὐτὴ λοιπὸν ἀμύνασθαι δύναιτ' ἄν· οὕτω καὶ τυράννου καὶ θηρίου παντός ἐστι χαλεπωτέρα. Ὁ μὲν γὰρ τύραννος καὶ τὰ θηρία τιθασσεύονται διὰ θωπείας πολλάκις, αὕτη δὲ τότε μάλιστα ἀγριαίνει, ὅταν αὐτῇ μάλιστα πειθώμεθα, κἂν εὕρῃ τὸν ἀκουσόμενον καὶ εἰς πάντα εἴξοντα, οὐδέν ἐστιν ὃ παραιτεῖται ἐπιτάξαι λοιπόν. Ἔχει δὲ καὶ σύμμαχον ἑτέραν, ἣν οὐκ ἄν τις ἁμάρτοι θυγα-

ἴδιος ὁ βασιλιάς, ἀφοῦ ἐγκαταλείφθηκε σὲ κάποια κωμόπολη μαζὶ μὲ λίγους στρατιῶτες, δὲν τόλμησε νὰ βγεῖ καὶ νὰ προβάλει ἀντίσταση ἐναντίον τῶν ἐπιδρομέων, ἀλλά, παραμένοντας μέσα κλεισμένος, κατακάηκε ἀπὸ τὴ φωτιὰ ποὺ ἄναψαν ἐκεῖνοι καὶ ὄχι μόνο μὲ ὅλους τοὺς ἄνδρες του, ἀλλὰ καὶ μὲ τοὺς ἵππους του καὶ τοὺς δοκοὺς καὶ τοὺς τοίχους, καὶ ὅλα ἔγιναν μία καὶ ἡ αὐτὴ στάχτη; Καὶ ἐκείνοι ποὺ πῆγαν μαζὶ μὲ τὸν βασιλιὰ στὸν πόλεμο ἀντὶ νὰ φέρουν τὸ βασιλιά, ἐπέστρεψαν φέροντας στὴ γυναίκα του αὐτὴν τὴν εἴδηση.

Σὲ τίποτε λοιπόν, σὲ τίποτε πραγματικὰ δὲν διαφέρουν τὰ λαμπρὰ τοῦ κόσμου αὐτοῦ ἀπὸ ἐκεῖνα ποὺ συμβαίνουν σὲ σκηνὴ θεάτρου καὶ ἀπὸ τὴν ὡραιότητα τῶν ἀνοιξιάτικων λουλουδιῶν. Καὶ πρῶτα πρῶτα χάνονται πρὶν καλὰ-καλὰ φανοῦν· ἔπειτα, καὶ ἂν ἀκόμη ὑπάρξει ἡ δυνατότητα νὰ παραμείνουν γιὰ ἐλάχιστο χρόνο, ἀμέσως καὶ πάλι ἐξαφανίζονται. Γιατὶ τί ὑπάρχει μηδαμινέστερο ἀπὸ τὴν ἐκ μέρους τῶν πολλῶν ἀνθρώπων προερχόμενη δύναμη καὶ δόξα; ποιό καρπὸ ἔχει νὰ παρουσιάσει, ποιά ὠφέλεια; σὲ ποιό χρήσιμο σκοπὸ ἀποβλέπει; Καὶ μακάρι αὐτὸ μόνο νὰ ἦταν τὸ κακό· τώρα ὅμως αὐτὸς ποὺ ἔχει αὐτὴν τὴν τόσο φοβερὴ κυρία, ἐκτὸς ἀπὸ τὸ ὅτι δὲν ἔχει νὰ κερδίσει κανένα καλό, ἀναγκάζεται συνέχεια νὰ ὑποφέρει πολλὰ λυπηρὰ καὶ ἐπιβλαβῆ. Γιατὶ αὐτὴ εἶναι κυρία αὐτῶν ποὺ τὴν ἔχουν καὶ ὅσο περισσότερο λοιπὸν κολακεύεται ἀπὸ τοὺς δούλους της, τόσο περισσότερο ἐξεγείρεται ἐναντίον τους καὶ τοὺς καταπιέζει μὲ τὶς σκληρὲς ἐντολές της, ἐνῶ ἐκείνους ποὺ τὴν ἀποστρέφονται καὶ τὴν περιφρονοῦν οὔτε καὶ ἡ ἴδια θὰ μποροῦσε πλέον νὰ τοὺς ὑπερασπισθεῖ· τόσο φοβερώτερη εἶναι ἀπὸ κάθε ἄλλον τύραννο καὶ θηρίο. Γιατὶ ὁ τύραννος βέβαια καὶ τὰ θηρία πολλὲς φορὲς τιθασσευόνται μὲ τὴν κολακεία καὶ τὸ χάδι, αὐτὴ ὅμως τότε πρὸ πάντων ἐξαγριώνεται, ὅταν δείχνουμε πλήρη ὑποταγὴ σ' αὐτήν, καὶ ἂν συμβεῖ νὰ βρεῖ ἐκεῖνον ποὺ θὰ ὑπακούσει στὰ προστάγματά της καὶ θὰ προβεῖ σ' ὅλες τὶς ὑποχωρήσεις, δὲν ὑπάρχει τότε πλέον τίποτε ποὺ νὰ μὴ θελήσει νὰ τοῦ τὸ ἐπιβάλει. Ἔχει ἐπίσης αὐτὴ καὶ ἄλλη σύμμαχο, τὴν ὁποία, ἂν κάποιος ἤθελε ὀνομάσει θυγατέρα αὐτῆς, δὲν θὰ ἔσφαλε καθόλου.

τέρα αὐτῆς προσειπών. Ὅταν γὰρ καὶ αὕτη, τραφεῖσα καὶ αὐξηθεῖσα καλῶς, ριζωθῇ παρ' ἡμῖν, τότε τίκτει τὴν ἀπόνοιαν, πρᾶγμα οὐχ ἧττον αὐτῆς δυνάμενον κατακρημνίσαι τὴν τῶν ἐχόντων ψυχήν.

Ταῦτα οὖν θρηνεῖς, εἰπέ μοι, ὅτι σε ὁ Θεὸς τῆς οὕτω χαλεπωτάτης δουλείας ἀπήλλαξεν, ὅτι ταῖς λοιμικαῖς ταύταις νόσοις πᾶσαν ἀπετείχισεν ἔφοδον; Ζῶντος μὲν γάρ σοι τοῦ ἀνδρὸς οὔπω ἐπαύσαντο συνεχῶς ἐπιπηδῶσαι τοῖς τῆς ψυχῆς λογισμοῖς, τελευτήσαντος δὲ οὐκ ἔχουσι πόθεν ἐπιλάβωνται τῆς διανοίας τῆς σῆς. Τοῦτο οὖν δεῖ κατορθωθῆναι λοιπόν, τὸ μὴ θρηνεῖν αὐτῶν τὴν ἀναχώρησιν, μηδὲ τὴν δεσποτείαν ἐπιζητεῖν τὴν πρικράν. Ὅπου γὰρ ἂν αὗται πνεύσωσι σφοδρόν, πάντα ἐκ βάθρων ἀνέτρεψαν καὶ κατέσπασαν· καὶ καθάπερ πολλαὶ τῶν πορνευομένων γυναικῶν, δυσειδεῖς οὖσαι κατὰ φύσιν καὶ εἰδεχθεῖς, τοῖς ἐπιτρίμμασι καὶ ταῖς ὑπογραφαῖς ἁπαλὰς οὔσας ἔτι τὰς τῶν νέων ἀναπτεροῦσι ψυχάς, καὶ ἐπειδὰν ὑπὸ τὴν ἀρχὴν λάβωσι τὴν ἑαυτῶν, παντὸς ἀνδραπόδου τούτοις ὑβριστικώτερον κέχρηνται, οὕτω καὶ ταῦτα τὰ πάθη, ἥ τε κενοδοξία καὶ ἡ ἀπόνοια, παντὸς ἄγους μᾶλλον τὰς τῶν ἀνθρώπων μολύνουσι ψυχάς. Διὰ τοῦτο καὶ ὁ πλοῦτος τοῖς πολλοῖς ἔδοξεν εἶναι καλόν· ταύτης γοῦν γυμνωθεὶς οὐδὲ αὐτὸς ἔσται λοιπὸν ἐπέραστος. Οἷς γοῦν ἐξῆν διὰ πενίας ἐπιτυχεῖν τῆς δόξης τῆς παρὰ τῶν πολλῶν, οὐκ ἔτι εἵλοντο πλουτεῖν, ἀλλὰ πολὺ διδόμενον χρυσίον διέπτυσαν.

Καὶ τούτους οὐ παρ' ἐμοῦ δεήσῃ μαθεῖν, ἀλλ' ἀκριβέστερον ἡμῶν οἶδας αὐτὴ τὸν Ἐπαμεινώνδαν, τὸν Σωκράτην, τὸν Ἀριστείδην, τὸν Διογένην, τὸν Κράτητα, τὸν μηλόβοτον ἀνέντα τὴν χώραν τὴν ἑαυτοῦ. Οἱ μὲν γὰρ ἄλλοι παρ' ὧν πλουτῆσαι οὐκ ἦν, διὰ τῆς

Γιατὶ ὅταν καὶ αὐτή, ἀφοῦ τραφεῖ καὶ αὐξηθεῖ ὅσο χρειάζεται, ριζωθεῖ μέσα μας, τότε γεννᾶ τὴν παραφροσύνη, πράγμα ποὺ ἔχει ὄχι μικρότερη δύναμη γιὰ νὰ καταστρέψει τὴν ψυχὴ ἐκείνων ποὺ τὴν ἔχουν.

Γι' αὐτὰ λοιπὸν θρηνεῖς, πές μου, ἐπειδὴ ὁ Θεὸς σὲ ἀπάλλαξε ἀπὸ αὐτὴν τὴν τόσο φοβερὴ δουλεία, ἐπειδὴ σὲ περιφρούρησε ἀπὸ κάθε ἔφοδο αὐτῶν τῶν φθοροποιῶν ἀσθενειῶν; Γιατὶ ὅσο ζοῦσε ὁ σύζυγός σου δὲν εἶχαν παύσει νὰ εἰσορμοῦν διαρκῶς στὶς σκέψεις τῆς ψυχῆς σου, ἀπὸ τὴ στιγμὴ ὅμως ποὺ πέθανε δὲν ἔχουν ἀπὸ ποῦ νὰ ἐπιτεθοῦν καὶ νὰ κυριέψουν τὸ νοῦ σου. Αὐτὸ λοιπὸν πρέπει νὰ κατορθώσεις τώρα πλέον, τὸ νὰ μὴ θρηνεῖς δηλαδὴ τὸ ὅτι ἀπομακρύνθηκαν αὐτὲς ἀπὸ σένα καὶ νὰ μὴ ἐπιθυμεῖς τὴν σκληρὴ δεσποτεία τους. Γιατί, ὅπου συμβεῖ αὐτὲς νὰ πνεύσουν μὲ μεγάλη ὁρμητικότητα, τὰ ἀνατρέπουν ὅλα ἐκ θεμελίων καὶ τὰ καταστρέφουν· καὶ ὅπως ἀκριβῶς πολλὲς ἀπὸ τὶς γυναῖκες ποὺ πορνεύουν, ἂν καὶ εἶναι ὡς πρὸς τὴ μορφή τους ἄσχημες καὶ ἀποκρουστικές, μὲ τὶς ἀλοιφὲς καὶ τὰ βαψίματα διεγείρουν τὶς ψυχὲς τῶν νέων, ποὺ εἶναι ἀκόμη ἁπαλές, καὶ ἀφοῦ τὶς θέσουν ὑπὸ τὴν ἐξουσία τους, τὶς μεταχειρίζονται πολὺ πιὸ ἐξευτελιστικὰ ἀπὸ ὁποιονδήποτε δοῦλο· ἔτσι καὶ αὐτὰ τὰ πάθη, καὶ ἡ ματαιοδοξία καὶ ἡ παραφροσύνη μολύνουν τὶς ψυχὲς τῶν ἀνθρώπων περισσότερο ἀπὸ ὁποιοδήποτε ἄλλο μίασμα. Γι' αὐτὸ καὶ ὁ πλοῦτος θεωρεῖται ἀπὸ τοὺς πολλοὺς ἀνθρώπους σὰν ἀγαθό· ὅταν ὅμως ἀπογυμνωθεῖ ἀπὸ αὐτὴν οὔτε καὶ αὐτὸς πλέον εἶναι ποθητός. Ὅσοι λοιπὸν κατόρθωσαν νὰ ἐπιτύχουν μὲ τὴ φτώχεια τους τὴν ἐκ μέρους τῶν πολλῶν δόξα, δὲ θέλησαν στὸ ἑξῆς καὶ ν' ἀποκτήσουν πλοῦτο, ἀλλὰ καὶ περιφρόνησαν τὸν πολὺ χρυσὸ ποὺ τοὺς προσφέρθηκε.

Καὶ αὐτοὺς δὲ θὰ χρειασθεῖ νὰ τοὺς μάθεις ἀπὸ μένα, ἀλλὰ σὺ ἡ ἴδια γνωρίζεις καλύτερα ἀπὸ μένα τὸν Ἐπαμεινώνδα, τὸν Σωκράτη, τὸν Ἀριστείδη, τὸν Διογένη, τὸν Κράτητα ποὺ ἄφησε τὰ χωράφια του νὰ γίνουν βοσκότοποι. Γιατὶ οἱ ἄλλοι, χωρὶς νὰ ἔχουν τὴ δυνατότητα νὰ πλουτήσουν, εἶδαν τὴ δόξα νὰ τοὺς περιβάλλει μέσω τῆς φτώχειας τους, καὶ ἀμέσως ἔστρεψαν πρὸς αὐ-

πενίας εἶδον τὴν δόξαν παραγενομένην αὐτοῖς, καὶ ἐπὶ τοῦτο ἦλθον εὐθέως· οὗτος δὲ καὶ ἅπερ εἶχεν ἔρριψεν· οὕτως ἅπαντες ἦσαν ἐμμανεῖς πρὸς τὴν τοῦ χαλεποῦ τούτου κτῆσιν θηρίου.

8. Μὴ δὴ δακρύωμεν ὅτι ἡμᾶς ὁ Θεὸς ταύτης τῆς τυραννίδος ἀπήλλαξε τῆς αἰσχρᾶς καὶ καταγελάστου καὶ πολλὰ ἐχούσης ὀνείδη· ὄνομα γὰρ ἔχει μόνον λαμπρόν, ἐν δὲ τοῖς ἔργοις τἀναντία τῇ προσηγορίᾳ τοὺς ἔχοντας αὐτὴν διατίθησι, καὶ οὐκ ἔστιν οὐδεὶς ὁ μὴ καταγελῶν τοῦ πρὸς δόξαν τι πράττοντος. Μόνος γὰρ ἐκεῖνος περίβλεπτος καὶ ἐπίδοξος γενέσθαι δυνήσεται, ὁ μὴ πρὸς τοῦτο ὁρῶν, ὁ δὲ μεγάλην δόξαν τιθέμενος τὴν παρὰ τῶν πολλῶν, καὶ πάντα ὑπὲρ τοῦ ταύτης τυχεῖν ὑπομένων καὶ ποιῶν, οὗτος μάλιστα αὐτῆς ἀποτεύξεται καὶ ἀποπεσεῖται, καὶ τῶν ἐναντίων ἀπολαύσεται πάντων, γέλωτος καὶ κατηγορίας, σκωμμάτων, ἀπεχθείας καὶ μίσους. Οὐκ ἐπὶ τῶν ἀνδρῶν δὲ μόνον τοῦτο συμβαίνειν εἴωθεν, ἀλλὰ καὶ ἐπὶ ὑμῶν τῶν γυναικῶν, καὶ μάλιστά γε ἐφ' ὑμῶν. Τὴν μὲν γὰρ ἄπλαστον καὶ ἐν σχήματι καὶ ἐν βαδίσει καὶ ἐν ἱματίοις καὶ παρὰ μηδενὸς ἐπιζητοῦσαν τιμήν, θαυμάζουσιν ἅπασαι καὶ ἐκπλήττονται καὶ μακαρίζουσι καὶ πάντα αὐτῇ συνεύχονται τὰ καλά, τὴν δὲ κενόδοξον ἀποστρέφονται καὶ μισοῦσι, καὶ ὥσπερ τι θηρίον ἄγριον φεύγουσι, καὶ μυρίαις ἀραῖς τε καὶ λοιδορίαις βάλλουσιν.

Οὐ ταῦτα δὲ μόνον ἀπὸ τοῦ μὴ προσίεσθαι τὴν παρὰ τῶν πολλῶν δόξαν διαφεύγομεν τὰ κακά, ἀλλὰ καὶ τὰ μέγιστα πάντων κερδανοῦμεν πρὸς τοῖς εἰρημένοις, παιδευόμενοι κατὰ μικρὸν ἀνιέναι καὶ μεταστῆναι πρὸς τὸν οὐρανὸν καὶ πάντων καταφρονεῖν τῶν ἐπὶ τῆς γῆς. Ὁ γὰρ μὴ δεόμενος τῆς παρὰ τῶν ἀνθρώπων τιμῆς, ἅπερ ἂν πράττοι καλά, ταῦτα μετὰ ἀσφαλείας ἅπαντα πράξει, καὶ οὔτε ἐπὶ τῶν λυπηρῶν, οὔτε ἐπὶ τῶν χρηστῶν τοῦ βίου τούτου πεί-

τήν, ἐνῶ αὐτὸς καὶ αὐτὰ ἀκόμη ποὺ εἶχε τὰ ἐγκατέλειψε· τόσο μεγάλη μανία ἔτρεφαν ὅλοι αὐτοὶ κατὰ τῆς ἀποκτήσεως αὐτοῦ τοῦ φοβεροῦ θηρίου.

Ἂς μὴ δακρύζομε λοιπὸν ἐπειδὴ ὁ Θεὸς μᾶς ἀπάλλαξε ἀπὸ αὐτὴ τὴν αἰσχρή, τὴν ἄξια χλευασμοῦ καὶ γεμάτη ἀπὸ πολλοὺς ὀνειδισμοὺς τυραννίδα· γιατὶ ἔχει μόνο ὄνομα λαμπρό, ἐνῶ στὴν πράξη ὁδηγεῖ ἐκείνους ποὺ ἔχει ὑπὸ τὴν ἐξουσία της σὲ ἀντίθετα πράγματα ἀπὸ αὐτὰ ποὺ σημαίνει τὸ ὄνομά της, καὶ δὲν ὑπάρχει κανεὶς ποὺ νὰ μὴ καταγελᾶ ἐκεῖνον ποὺ κάμνει κάτι γιὰ τὴ δόξα. Πραγματικὰ μόνο ἐκεῖνος θὰ μπορέσει νὰ γίνει ἐπιφανὴς καὶ ἔνδοξος, ἐκεῖνος ποὺ δὲν ἀποβλέπει σ' αὐτό, ἐνῶ ἐκεῖνος ποὺ βάζει πάνω ἀπὸ ὅλα τὴν ἐκ μέρους τῶν πολλῶν δόξα καὶ ὅλα τὰ ὑπομένει καὶ τὰ κάμνει μὲ σκοπὸ νὰ ἐπιτύχει αὐτήν, αὐτὸς πρὸ πάντων θ' ἀποτύχει ν' ἀποκτήσει αὐτήν, θὰ τὴν χάσει καὶ θ' ἀπολαύσει ὅλα τὰ ἀντίθετα αὐτῆς, τὸν γέλωτα δηλαδή, τὶς κατηγορίες, τοὺς ἐμπαιγμούς, τὶς ἀποστροφὲς καὶ τὸ μίσος. Καὶ αὐτὸ συνήθως δὲν συμβαίνει μόνο στοὺς ἄνδρες, ἀλλὰ καὶ σὲ σᾶς τὶς γυναῖκες, καὶ μάλιστα πολὺ περισσότερο σὲ σᾶς. Γιατὶ ἐκείνην ποὺ εἶναι ἀπροσποίητη καὶ στὴν ἐμφάνιση καὶ στὸ βάδισμα καὶ στὴν ἐνδυμασία καὶ δὲν ἐπιθυμεῖ νὰ ἔχει ἀπὸ κανένα τιμή, τὴν θαυμάζουν ὅλες, μένουν κατάπληκτες, τὴν καλοτυχίζουν καὶ τῆς εὔχονται ὅλα τὰ καλά, ἐνῶ τὴ ματαιόδοξη τὴν ἀποστρέφονται καὶ τὴν μισοῦν καὶ τὴν ἀποφεύγουν σὰν κάποιο ἄγριο θηρίο, ἐκσφενδονίζοντας ἐναντίον της ἀμέτρητες κατάρες καὶ ὕβρεις.

Καὶ δὲν ἀποφεύγομε αὐτὰ μόνο τὰ κακὰ μὲ τὸ νὰ μὴ ἐπιδιώκομε τὴν ἐκ μέρους τῶν πολλῶν δόξα, ἀλλὰ ἐκτὸς ἀπὸ ἐκεῖνα ποὺ προαναφέραμε ἀποκομίζομε καὶ τὰ πιὸ μεγάλα κέρδη ἀπὸ ὅλα, γιατὶ ἀσκούμαστε ν' ἀναβαίνομε σιγὰ–σιγά, νὰ μεταφερόμαστε πρὸς τὸν οὐρανὸ καὶ νὰ περιφρονοῦμε ὅλα τὰ γήινα. Γιατὶ ἐκεῖνος ποὺ δὲν ἔχει ἀνάγκη ἀπὸ τὴν τιμὴ ἐκ μέρους τῶν ἀνθρώπων, ὁποιαδήποτε καλὰ συμβεῖ νὰ πράξει, θὰ τὰ πράξει ὅλα μὲ ἀσφάλεια καὶ δὲν θὰ πάθει κανένα κακὸ οὔτε ἀπὸ τὰ δυσάρεστα, οὔτε ἀπὸ τὰ εὐχάριστα αὐτῆς ἐδῶ τῆς ζωῆς. Οὔτε δηλαδὴ τὰ δυσάρεστα θὰ μπορέσουν νὰ τὸν κάνουν νὰ χάσει τὸ θάρρος του καὶ νὰ

σεταί τι δεινόν. Οὔτε γὰρ ταῦτα αὐτὸν καταπτῆξαι καὶ καθελεῖν, οὔτε ἐκεῖνα ἐξογκῶσαι καὶ φυσῆσαι δύναται, ἀλλ' ἐν πράγμασιν εὐμεταπτώτοις καὶ τεταραγμένοις αὐτὸς μένει πάσης ἐκτὸς ὢν μεταβολῆς, ὅπερ ταχέως καὶ ἐπὶ τῆς σῆς ἔσεσθαι προσδοκῶ ψυχῆς, καὶ ἀθρόως ἁπάντων ἀποσπασθεῖσαν τῶν βιωτικῶν, τὴν ἐν τοῖς οὐρανοῖς ἡμῖν ἐπιδείξασθαι πολιτείαν, καὶ τῆς δόξης, ἧς θρηνεῖς νῦν, μικρὸν ὕστερον καταγελάσεσθαι, καὶ τὸ διάκενον καὶ μάταιον κατοπτεύσειν προσωπεῖον αὐτῆς.

Εἰ δὲ ἀσφάλειαν ποθεῖς τὴν δι' ἐκεῖνόν σοι γεγενημένην καὶ τὴν τῶν πραγμάτων φυλακήν, καὶ τὸ παρὰ μηδενὸς ἐπιβουλεύσεσθαι τῶν ταῖς ἀλλοτρίαις ἐπιπηδώντων συμφοραῖς, «ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει». «Ἐμβλέψατε» γάρ, φησίν, «εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε τίς ἤλπισεν ἐπὶ Κύριον καὶ κατῃσχύνθη, ἢ τίς ἐνέμεινε ταῖς ἐντολαῖς αὐτοῦ καὶ ἐγκατέλιπεν αὐτόν». Ὁ γὰρ τὴν συμφορὰν τὴν οὕτως ἀφόρητον παρενεγκὼν καὶ ποιήσας εἶναι ἐν γαλήνῃ νῦν, οὗτος καὶ τὰ ἐπερχόμενα ἀποκρούσεται· ὅτι γὰρ ταύτης τῆς πληγῆς οὐδεμίαν ἑτέραν χαλεπωτέραν λήψῃ λοιπόν, καὶ αὐτὴ συνομολογήσαις ἡμῖν. Ἡ τοίνυν οὕτω γενναίως ἐνεγκοῦσα τὰ ἐν χερσί, καὶ ταῦτα ἄπειρος οὖσα, πολλῷ μᾶλλον τὰ ἐπερχόμενα, εἴποτε, ὃ μὴ γένοιτο, συμβῇ τι τῶν ἀβουλήτων ἡμῖν, οἴσεις εὐκόλως. Οὐκοῦν τὸν οὐρανὸν ζήτει καὶ πάντα τὰ πρὸς τὴν ἐκεῖ φέροντα ζωήν, καὶ οὐδὲν τῶν ἐνταῦθα βλάψαι δυνήσεταί σε, οὐδὲ ὁ τοῦ σκότους κοσμοκράτωρ αὐτός, μόνον μὴ ἑαυτοὺς καταβλάψωμεν ἡμεῖς. Κἂν γὰρ τὴν οὐσίαν τις ἀφέληται, κἂν κατατέμῃ τὸ σῶμα, τούτων οὐδὲν πρὸς ἡμᾶς, ὑγιοῦς μενούσης ἡμῖν τῆς ψυχῆς.

9. Ὅλως δὲ εἰ βούλει καὶ τὰ χρήματά σοι μένειν ἐν ἀσφαλείᾳ καὶ αὔξεσθαι πάλιν, ἐγώ σοι καὶ τὸν τρόπον ὑποδείξω καὶ τὸν τό-

---

17. Ψαλμ. 54,23.
18. Σοφ. Σειρ. 2,10.

τὸν καταστρέψουν, οὔτε τὰ εὐχάριστα θὰ τὸν κάνουν ὑπερήφανο καὶ θὰ φουσκώσουν τὰ μυαλά του, ἀλλ' ἐνῶ ζεῖ μέσα σὲ εὐμετάβλητα καὶ εὐκολοκλόνιστα πράγματα, αὐτὸς παραμένει ἔξω ἀπὸ κάθε μεταβολή, πράγμα ποὺ περιμένω νὰ συμβεῖ γρήγορα καὶ στὴν δική σου ψυχή, ὥστε, ἀφοῦ ἀποσπασθεῖς συγχρόνως ἀπὸ ὅλα τὰ βιωτικά, νὰ μᾶς παρουσιάσεις τὴν οὐράνια πολιτεία, καὶ τὴ δόξα, ποὺ τώρα θρηνεῖς, ὕστερα ἀπὸ λίγο θὰ τὴ θεωρήσεις ἄξια γιὰ γέλια, διαπιστώνοντας τὸ ἐντελῶς κενὸ καὶ μάταιο προσωπεῖο της.

Ἐὰν ὅμως ποθεῖς τὴν ἀσφάλεια ποὺ εἶχες ἐξ αἰτίας ἐκείνου καὶ τὴ διαφύλαξη τῶν ὑπαρχόντων σου καὶ τὸ νὰ μὴ ἐπιβουλεύεσαι ἀπὸ κανένα ἀπὸ ἐκείνους ποὺ πέφτουν μὲ ὁρμὴ ἐπάνω στὶς συμφορὲς τῶν ἄλλων, τότε «ἐμπιστεύσου τὴ μέριμνά σου στὸν Κύριο καὶ αὐτὸς θὰ σὲ διαθρέψει»[17]. Γιατὶ λέγει· «ρίξτε τὸ βλέμμα σας στὶς ἀρχαῖες γενεὲς καὶ δέστε ποιός στήριξε τὶς ἐλπίδες του στὸν Κύριο καὶ κατανтροπιάσθηκε, ἢ ποιός ζήτησε τὴ βοήθειά του καὶ περιφρόνησε αὐτόν, ἢ ποιός φύλαξε μὲ ἐπιμονὴ τὶς ἐντολές του καὶ ἐγκατέλειψε αὐτόν»[18]. Γιατὶ ἐκεῖνος ποὺ ἐπέτρεψε νὰ σοῦ συμβεῖ αὐτὴ ἡ ἀνυπόφορη συμφορὰ καὶ σοῦ χάρισε τώρα τὴ γαλήνη, αὐτὸς θ' ἀποκρούσει καὶ τὰ κακὰ ποὺ ἔρχονται ἐναντίον σου· τὸ ὅτι βέβαια δὲ θὰ δεχθεῖς πλέον κανένα ἄλλο πλῆγμα σκληρότερο ἀπὸ αὐτό, θὰ συμφωνήσεις καὶ σὺ ἡ ἴδια μαζί μου. Σὺ λοιπὸν ποὺ τόσο γενναῖα ὑπέμεινες τὴν παροῦσα συμφορά, καὶ ὅλα αὐτὰ ἂν καὶ ἦσουν ἄπειρη, μὲ πολὺ πιὸ μεγαλύτερη εὐκολία θὰ ὑποφέρεις τὰ μελλοντικά, ἐὰν κάποτε, ποὺ εὔχομαι νὰ μὴ σοῦ συμβεῖ ποτέ, ἤθελε σοῦ συμβεῖ κάτι ἀπὸ τὰ ἀνεπιθύμητα. Ἑπομένως ἐπιδίωκε τὸν οὐρανὸ καὶ ὅλα ἐκεῖνα ποὺ ὁδηγοῦν πρὸς τὴν ἐκεῖ ζωή, καὶ τίποτε δὲν θὰ μπορέσει νὰ σὲ βλάψει ἀπὸ τὰ τῆς παρούσας ζωῆς, οὔτε καὶ αὐτὸς ὁ ἴδιος ὁ κοσμοκράτορας τοῦ σκότους, ἀρκεῖ μόνο νὰ μὴ βλάψομε ἐμεῖς οἱ ἴδιοι τὸν ἑαυτό μας. Γιατί, καὶ ἂν ἀκόμη κάποιος μᾶς ἀφαιρέσει τὴν περιουσία, καὶ ἂν ἀκόμη κατατεμαχίσει τὸ σῶμα μας, τίποτε ἀπὸ αὐτὰ δὲν θὰ μᾶς βλάψει, ἀφοῦ παραμένει ὑγιὴς ἡ ψυχή μας.

Ἐὰν πάλι θέλεις καὶ τὰ χρήματά σου ὁπωσδήποτε νὰ βρίσκονται σὲ ἀσφάλεια καὶ ν' αὐξάνουν καὶ πάλι, ἐγὼ θὰ σοῦ ὑπο-

πον, ἔνθα οὐδενὶ τῶν ἐπιβουλευόντων θέμις εἰσελθεῖν. Τίς οὖν ἐστιν ὁ τόπος; Ὁ οὐρανός. Ἀπόστειλον αὐτὰ πρὸς τὸν καλὸν ἐκεῖνον ἄνδρα, καὶ οὔτε κλέπτης, οὔτε ἐπίβουλος, οὔτε ἄλλοι τι τῶν λυμαινομένων αὐτοῖς ἐπιπηδῆσαι δυνήσεται. Ἂν ἐκεῖ κατορύξῃς ταῦτα τὰ χρήματα, πολὺν εὑρήσεις τὸν ἀπὸ τούτων καρπόν. Τὰ γὰρ ἐν τοῖς οὐρανοῖς φυτευόμενα πάντα παρ' ἡμῶν καὶ πλείονα καὶ κρείττονα ἔχει τὴν φοράν, καὶ τοιαύτην οἵαν εἰκὸς ἐν οὐρανοῖς ἐρριζωμένων αὐτῶν. Κἂν τοῦτο πράξῃς, ὅρα ποίων ἀπολαύσῃ καλῶν· πρῶτον μὲν τῆς αἰωνίου ζωῆς καὶ τῶν ἐπηγγελμένων τοῖς ἀγαπῶσι τὸν Θεόν, «ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη»· ἔπειτα τοῦ πάντα συνοικῆσαι τῷ καλῷ τούτῳ τὸν αἰῶνα, καὶ τῶν εὐνταῦθα δὲ φροντίδων καὶ φόβων καὶ κινδύνων καὶ ἐπιβουλῶν καὶ ἔχθρας καὶ μίσους ἀπαλλάξεις σαυτήν. Ἕως μὲν γὰρ αὐτὰ περικειμένη ᾖς, ἴσως ἔσονταί τινες οἱ ἐπιτεθησόμενοι, ἂν δὲ πρὸς τὸν οὐρανὸν αὐτὰ μεταθῇς, ἀκίνδυνον καὶ ἀσφαλῆ καὶ πολλῆς ἡσυχίας γέμοντα βιώσῃ βίον, αὐταρκείας μετὰ εὐσεβείας ἀπολαύουσα. Καὶ γὰρ πολλῆς ἀλογίας, ἀγρὸν μὲν βουλόμενον ὠνήσασθαι τὴν εὐφοροῦσαν γῆν ἐπιζητεῖν, οὐρανοῦ δὲ ἀντὶ γῆς προκειμένου, παρὸν ἐκεῖ κτήσασθαι χωρίον, μένειν ἐπὶ τῆς γῆς, καὶ τῶν ἐκ ταύτης ἀνέχεσθαι πόνων καὶ τῶν δι' ἁμαρτιῶν· πολλάκις γὰρ σφάλλει τῆς ἐλπίδος ἡμᾶς.

10. Ἐπειδὴ δέ σου δεινῶς στρέφει τὴν ψυχὴν καὶ θορυβεῖ τὸ προσδοκηθὲν πολλάκις αὐτὸν ἐπὶ τὸ τῶν ὑπάρχων ἥξειν ἀξίωμα, καὶ προανηρπάσθαι τῆς ἀρχῆς, πρῶτον μὲν ἐκεῖνο σκόπει, ὅτι εἰ καὶ σφόδρα δήλη ἦν αὕτη ἡ ἐλπίς, ἀλλ' ὅμως ἀνθρώπων ἐλπὶς ἦν, πολλάκις διαπίπτουσα· καὶ πολλὰ ἐν τῷ βίῳ τοιαῦτα ὁρῶμεν γινό-

δείξω καὶ τὸν τρόπο καὶ τὸν τόπο, ὅπου δὲν ὑπάρχει ἡ δυνατότητα σὲ κανένα ἀπὸ αὐτοὺς ποὺ τὰ ἐπιβουλεύονται νὰ μπεῖ. Ποιός λοιπὸν εἶναι αὐτὸς ὁ τόπος; Ὁ οὐρανός. Στεῖλε τα πρὸς τὸν καλὸ ἐκεῖνο σύζυγό σου, καὶ οὔτε κλέφτης, οὔτε ἐπίβουλος, οὔτε κάτι ἄλλο ἀπὸ αὐτὰ ποὺ καταστρέφουν αὐτὰ θὰ μπορέσει νὰ τὰ προσβάλει. Ἂν ἐκεῖ ἀσφαλίσεις αὐτὰ τὰ χρήματα, θὰ βρεῖς ἀπὸ αὐτὰ πολὺ μεγάλο κέρδος. Γιατὶ ὅλα ἐκεῖνα ποὺ φυτεύομε στὸν οὐρανὸ ἀποδίδουν καὶ περισσότερη καὶ καλύτερη ἐσοδειά, καὶ μάλιστα τέτοια ποὺ φυσικὸ εἶναι ν' ἀποδίδουν ἐκεῖνα ποὺ ἔχουν τὶς ρίζες τους στὸν οὐρανό. Καὶ ἂν τὸ κάνεις αὐτό, πρόσεχε ποῖα ἀγαθὰ θ' ἀπολαύσεις. Πρῶτα βέβαια τὴν αἰώνια ζωὴ καὶ τὰ ὑποσχεθέντα σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεό, τὰ ὁποῖα οὔτε ὀφθαλμὸς εἶδε, οὔτε αὐτὶ ἄκουσε, οὔτε ἀνέβηκαν σὲ καρδία ἀνθρώπου· ἔπειτα τὴν παντοτινὴ συγκατοίκηση μὲ τὸν καλὸ ἐκεῖνο σύζυγό σου, καὶ τὸ ὅτι θ' ἀπαλλάξεις τὸν ἑαυτό σου ἀπὸ τὶς ἐδῶ φροντίδες, ἀπὸ τοὺς φόβους, ἀπὸ τοὺς κινδύνους, ἀπὸ τὶς ἐπιβουλές, ἀπὸ τὶς ἔχθρες καὶ τὰ μίση. Γιατὶ ὅσο περιβάλλεσαι ἀπὸ αὐτά, ἐνδεχομένως νὰ βρεθοῦν ὡρισμένοι ποὺ θὰ ἐπιτεθοῦν γιὰ νὰ σοῦ τὰ ἁρπάξουν, ἂν ὅμως τὰ μεταφέρεις στὸν οὐρανό, θὰ κάμεις μιὰ ἀκίνδυνη, ἀσφαλῆ καὶ γεμάτη ἀπὸ ἡσυχία ζωή, ἀπολαμβάνοντας μαζὶ μὲ τὴν εὐσέβεια καὶ αὐτάρκεια. Πραγματικὰ εἶναι πολὺ παράλογο, ὅταν κάποιος θέλει ν' ἀγοράσει ἀγρό, νὰ ψάχνει νὰ βρεῖ τὴ γῆ ποὺ εἶναι εὔφορη, ὅταν ὅμως βρίσκεται μπροστά του ἀντὶ τῆς γῆς ὁ οὐρανὸς καὶ μπορεῖ ν' ἀποκτήσει ἐκεῖ χωράφι, νὰ μένει προσκολλημένος στὴ γῆ, ὑπομένοντας τοὺς κόπους ποὺ προέρχονται ἀπὸ αὐτὴν καὶ ἀπὸ τὶς ἁμαρτίες· γιατὶ αὐτὸ πολλὲς φορὲς μᾶς κάνει ν' ἀστοχίσομε στὴν ἐλπίδα μας.

Ἐπειδὴ ὅμως συγκλονίζει κατὰ τρόπο ἀνυπόφορο τὴν ψυχή σου καὶ τῆς προκαλεῖ μεγάλη ταραχὴ ἡ προσδοκία πολλὲς φορὲς γιὰ ἄνοδό του στὸ ἀξίωμα τοῦ ὑπάρχου, ἀλλ' ἁρπάχθηκε προτοῦ κατορθώσει ν' ἀνεβεῖ στὴν ἐξουσία, πρῶτα βέβαια σκέψου ἐκεῖνο, ὅτι, ἂν καὶ αὐτὴ ἡ ἐλπίδα ἦταν πάρα πολὺ ὁλοφάνερη, ἀλλ' ὅμως ἦταν ἐλπίδα ἀνθρώπων ποὺ πολλὲς φορὲς διαψεύδεται· καὶ πολλὰ παρόμοια βλέπομε νὰ συμβαίνουν σ' αὐτὴ τὴ ζωή· ἐκεῖνα ποὺ

μενα, καὶ τῶν σφόδρα προσδοκηθέντων ἀτελέστων μεινάντων, τὰ δὲ μήδ' εἰς νοῦν ἐλθόντα ἡμῖν εἰς τέλος ἐξῆλθε πολλάκις, καὶ τοῦτο κἀν ταῖς ἀρχαῖς, κἀν ταῖς βασιλείαις, κἀν ταῖς κληρονομίαις, καὶ τοῖς γάμοις, καὶ πανταχοῦ συμβαῖνον ὁρῶμεν ἀεί.

Ὥστε εἰ καὶ σφόδρα ἐγγὺς ἦν ὁ καιρός, ἀλλὰ πολλά, κατὰ τὴν παροιμίαν, μεταξὺ κύλικος καὶ χείλεος ἄκρου πέλει. Καὶ ἡ Γραφὴ δέ φησιν· «ἀπὸ πρωΐθεν ἕως ἑσπέρας μεταβάλλει καιρός». Οὕτω καὶ βασιλεὺς ὁ σήμερον ὢν αὔριον τελευτᾷ. Καὶ πάλιν τὸ παρ' ἐλπίδας ἐμφαίνων ἡμῖν αὐτὸς οὗτος ὁ σοφός φησι· «πολλοὶ τύραννοι ἐκάθισαν ἐπὶ ἐδάφους, ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα». Καὶ οὐ πάντως δῆλον ἦν ὅτι ζήσας ἐπ' ἐκείνην ἥξει τὴν ἀρχήν· τὸ γὰρ τοῦ μέλλοντος ἄδηλον καὶ ἕτερα ὑποπτεύειν παρεῖχεν ἡμῖν. Πόθεν γὰρ δῆλον ὅτι ζήσας ἐπ' ἐκείνην ἥξει τὴν ἀρχήν; ὅτι οὐχὶ καὶ τὰ ἐναντία ἐξέβαινε, καὶ τῆς οὔσης ἐξέπιπτε τιμῆς νόσῳ παραδοθείς, καὶ φθόνῳ καὶ βασκανίᾳ τῶν βουλομένων αὐτὸν παρευημερῆσαι βληθείς, ἢ καὶ ἕτερόν τι παθὼν χαλεπόν; Θῶμεν δέ, εἰ βούλει, καὶ δῆλον εἶναι σαφῶς ὅτι πάντως ἐπιβιώσας, ταύτης ἔμελλεν ἐπιτυγχάνειν τῆς κορυφῆς· ὅσῳ γὰρ ἡ ἀξία μείζων, τοσούτῳ καὶ μείζονας ἔχειν ἀνάγκη τοὺς κινδύνους ἦν καὶ φροντίδας καὶ ἐπιβουλάς.

Μηδὲ ταῦτα ἔστω, ἀλλ' ἀκινδύνως καὶ μετὰ πολλῆς τῆς ἡσυχίας ἐκεῖνο διαπλείτω τὸ πέλαγος· καὶ τί τὸ πέρας, εἰπέ μοι; οὐ τοῦτο ὅπερ νῦν; μᾶλλον δὲ οὐ τοῦτο, ἀλλ' ἕτερον ἴσως ἀηδὲς καὶ ἀπευκτόν. Πρῶτον μὲν τὸ βραδύτερον ἰδεῖν τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς, ὅπερ οὐ μικρὰ ζημία τοῖς ὑπὲρ τῶν μελλόντων πεπιστευκόσιν ἐστίν· ἔπειτα δέ, εἰ καὶ σφόδρα ἐβίου καθαρῶς, ἀλλ' ὅμως τὸ μῆκος τοῦ βίου καὶ ἡ τῆς ἀρχῆς ἐκείνης ἀνάγκη οὐκ ἂν

---

19. Σοφ. Σειρ. 18,25.
20. Σοφ. Σειρ. 11,5.

προσδοκήσαμε πάρα πολύ, βλέπομε νὰ παραμένουν ἀπραγματοποίητα, ἐνῶ ἄλλα, ποὺ οὔτε κἂν πέρασαν ἀπὸ τὸ μυαλό μας, πολλὲς φορὲς νὰ πραγματοποιοῦνται, καὶ αὐτὸ βλέπομε νὰ συμβαίνει πάντοτε καὶ στὰ ἀξιώματα καὶ στὶς βασιλεῖες καὶ στὶς κληρονομίες καὶ στοὺς γάμους καὶ σὲ κάθε ἄλλη περίπτωση.

Ὥστε λοιπὸν ἂν καὶ ἦταν πάρα πολὺ κοντὰ ὁ καιρός, ἀλλ' ὅμως, κατὰ τὴν παροιμία, «μεγάλη ἀπόσταση ὑπάρχει μεταξὺ τοῦ ποτηριοῦ καὶ τῶν χειλιῶν». Ἀλλὰ καὶ ἡ Γραφὴ λέγει· «ἀπὸ τὸ πρωὶ μέχρι τὴν ἑσπέρα ἀλλάζει ὁ καιρός»[19]. Ἔτσι καὶ αὐτὸς ποὺ σήμερα εἶναι βασιλιάς, αὔριο πεθαίνει. Καὶ σ' ἄλλη περίπτωση, θέλοντας νὰ μᾶς δείξει ὁ ἴδιος ὁ σοφὸς ὅτι τὰ πράγματα συμβαίνουν ὄχι σύμφωνα μὲ τὶς ἐλπίδες μας, λέγει· «πολλοὶ τύραννοι παρουσιάσθηκαν ἐπάνω στὴ γῆ, τὸ βασιλικὸ στέμμα ὅμως τὸ φόρεσε ὁ ἀνυποψίαστος»[20]. Καὶ δὲν ἦταν ὁπωσδήποτε φανερό, ὅτι ἂν ζοῦσε θ' ἀνέβαινε σ' ἐκεῖνο τὸ ἀξίωμα· γιατὶ τὸ ἀβέβαιο τοῦ μέλλοντος μᾶς δίνει τὴ δυνατότητα νὰ σκεφθοῦμε καὶ ἄλλα. Ἀπὸ ποῦ δηλαδὴ εἶναι φανερό, ὅτι ἂν ζοῦσε θ' ἀνέβαινε σ' ἐκεῖνο τὸ ἀξίωμα; ὅτι δὲ θὰ συνέβαιναν τὰ ἀντίθετα καὶ ὅτι θὰ ἔπεφτε καὶ ἀπὸ τὸ ἀξίωμα ποὺ εἶχε, εἴτε προσβλημένος ἀπὸ κάποια ἀσθένεια, εἴτε δεχόμενος τὴν ἐπίθεση τῆς ζηλοτυπίας καὶ τοῦ φθόνου ἐκείνων ποὺ ἤθελαν νὰ τὸν δοῦν νὰ δυστυχεῖ, ἢ ὅτι δὲ θὰ πάθαινε κάτι ἄλλο πιὸ φοβερό; Ἂς ὑποθέσομε, ἂν θέλεις, ὅτι ἦταν ὁλοφάνερο, πῶς ἂν ζοῦσε ἐπρόκειτο ὁπωσδήποτε ν' ἀνεβεῖ σ' αὐτὴ τὴν κορυφή· ὅσο ὅμως μεγαλύτερο εἶναι τὸ ἀξίωμα, τόσο καὶ πιὸ μεγάλους, κατ' ἀνάγκη, κινδύνους ἔχει καὶ φροντίδες καὶ ἐπιβουλές.


Ἔστω ὅμως ὅτι δὲ θὰ συνέβαιναν καὶ αὐτά, ἀλλ' ὅτι θὰ διέπλεε τὸ πέλαγος ἐκεῖνο χωρὶς κίνδυνο καὶ μὲ πολλὴ ἡσυχία· καὶ ποιό, πές μου, θὰ ἦταν τὸ τέρμα; δὲν θὰ ἦταν αὐτὸ ποὺ εἶναι τώρα, ἢ καλύτερα δὲ θὰ ἦταν αὐτό, ἀλλ' ἐνδεχομένως κάποιο ἄλλο δυσάρεστο καὶ ἀνεπιθύμητο. Πρῶτα βέβαια τὸ ὅτι θὰ ἔβλεπε ἀργότερα τὸν οὐρανὸ καὶ ὅλα ὅσα ὑπάρχουν ἐκεῖ, πράγμα ποὺ δὲν εἶναι μικρὴ ζημιὰ γιὰ ἐκείνους ποὺ ἔχουν πιστέψει χάριν τῶν μελλοντικῶν ἀγαθῶν· ἔπειτα, καὶ ἂν ἀκόμη ἡ ζωή του ἦταν πάρα πολὺ καθαρή, ἀλλ' ὅμως τὸ μῆκος τῆς ζωῆς καὶ ἡ ἀνάγκη ἐκείνου τοῦ

ἀφῆκεν οὕτως ἀπελθεῖν καθαρὸν ὥσπερ νῦν. Ἄδηλον δὲ εἰ καὶ πολλὰς δεξάμενος μεταβολας καὶ πρὸς ῥᾳθυμίαν ἀποκλίνας ἐσχάτην ἀπέπνευσε. Νῦν μὲν γὰρ θαρροῦμεν, ὅτι τῇ τοῦ Θεοῦ χάριτι πρὸς τὸ τῆς ἀναπαύσεως ἀπέπτη χωρίον, διὰ τὸ μηδὲν αὐτῷ τετολμῆσθαι τῶν ἀποκλειόντων τῆς βασιλείας τῶν οὐρανῶν· τότε δὲ πολὺν χρόνον δημοσίοις πράγμασιν ἐνδιατρίψας, ἴσως ἂν καὶ ῥύπον πολὺν προσετρίψατο. Τὸ γὰρ ἐν μέσῳ στρεφόμενον τοσούτων κακῶν κατορθῶσαι μὲν τῶν σφόδρα σπανίων ἐστίν, ἁμαρτεῖν δὲ καὶ ἄκοντα καὶ ἑκόντα, τῶν εἰκότων καὶ συμβαινόντων ἀεί. Ἀλλὰ νῦν τούτου τοῦ δέους ἀπηλλάγμεθα, καὶ σφόδρα πεπείσμεθα ὅτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μετὰ πολλῆς ἥξει τῆς φαιδρότητος, ἐγγὺς τοῦ βασιλέως ἀπολάμπων, καὶ μετ' ἀγγέλων προηγούμενος τοῦ Χριστοῦ, καὶ τὴν ἄρρητον δόξαν ἠμφιεσμένος, καὶ κρίνοντι παρεστὼς τῷ βασιλεῖ, καὶ τὰ πρῶτα διακονούμενος αὐτῷ.

Διὸ τοὺς θρήνους ἀφεῖσα καὶ τὰς οἰμωγὰς ἔχου τῆς αὐτῆς πολιτείας, μᾶλλον δὲ καὶ ἀκριβεστέρας, ἵνα πρὸς τὴν ἴσην αὐτῷ φθάσασα ἀρετήν, τὴν αὐτὴν ἐκείνῳ κατοικήσῃς σκηνὴν καὶ συναφθῆναι πάλιν αὐτῷ δυνηθῇς εἰς τοὺς ἀθανάτους αἰῶνας ἐκείνους, οὐ ταύτην τὴν τοῦ γάμου συνάφειαν, ἀλλ' ἑτέραν πολλῷ βελτίονα. Αὕτη μὲν γὰρ σωμάτων ἐστὶ συμπλοκὴ μόνον, τότε δὲ ψυχῆς ἔσται πρὸς ψυχὴν ἕνωσις ἀκριβεστέρα καὶ ἡδίων πολλῷ καὶ βελτίων.

ἀξιώματος δὲ θὰ τὸν ἄφηναν νὰ φύγη ἀπὸ αὐτὴ τὴ ζωὴ τόσο καθαρός, ὅπως ἀκριβῶς τώρα. Καὶ δὲν εἶναι φανερὸ ἄν, ἀφοῦ δεχόταν πολλὲς μεταβολὲς καὶ κατέληγε σὲ ραθυμία τῆς πιὸ χειρότερης μορφῆς, ἄφηνε ἔτσι τὴν τελευταία του πνοή. Τώρα βέβαια ἐλπίζομε, ὅτι μὲ τὴ χάρη τοῦ Θεοῦ μετέβηκε στὸν τόπο ἐκεῖνο τῆς ἀναπαύσεως, ἀφοῦ δὲν διέπραξε τίποτε ἀπὸ ὅλα ἐκεῖνα ποὺ ἀπομακρύνουν ἀπὸ τὴ βασιλεία τῶν οὐρανῶν, ἐνῶ τότε, ἐπειδὴ θὰ ἀσχολοῦνταν ἐπὶ πολὺ χρόνο μὲ τὶς δημόσιες ὑποθέσεις, ἴσως νὰ τοῦ πρόσθεταν καὶ πολλὴ ἠθικὴ ἀκαθαρσία. Γιατὶ τὸ νὰ ἔρχεται κανεὶς σὲ ἐπαφὴ μὲ τόσα κακὰ καὶ νὰ κατορθώσει νὰ μείνει ἄθικτος, εἶναι κάτι ἀπὸ τὰ πάρα πολὺ σπάνια, ἐνῶ εἶναι πολὺ φυσικὸ καὶ κάτι ποὺ συμβαίνει πάντοτε ν' ἁμαρτάνει καὶ μὲ τὴ θέλησή του καὶ χωρὶς τὴ θέλησή του. Ἀλλὰ τώρα εἴμαστε ἀπαλλαγμένοι ἀπὸ αὐτὸ τὸ φόβο καὶ εἴμαστε ἀπόλυτα πεπεισμένοι ὅτι κατὰ τὴν ἡμέρα ἐκείνη θὰ παρουσιασθεῖ μὲ πολὺ μεγάλη λαμπρότητα, στεκόμενος καὶ ἀκτινοβολώντας πλησίον τοῦ βασιλέως, πορευόμενος μαζὶ μὲ τοὺς ἀγγέλους μπροστὰ στὸ Χριστό, ντυμένος μὲ τὴν ἀπερίγραπτη δόξα, στεκόμενος κοντὰ στὸν κριτὴ βασιλιὰ καὶ ὑπηρετώντας αὐτὸν ἀπὸ τοὺς πρώτους.

Γι' αὐτό, ἐγκαταλείποντας τοὺς θρήνους καὶ τοὺς ὀδυρμούς, ἐφάρμοζε τὴν ἴδια πολιτεία μὲ ἐκεῖνον, ἢ καλύτερα καὶ μὲ πιὸ μεγάλη ἀκρίβεια, ὥστε, ἀφοῦ φθάσεις σὲ ἴση μὲ ἐκεῖνον ἀρετή, νὰ κατοικήσεις μαζὶ μὲ ἐκεῖνον στὴν ἴδια σκηνὴ καὶ νὰ μπορέσεις νὰ ἑνωθεῖς καὶ πάλι μὲ ἐκεῖνον στοὺς χωρὶς τέλος ἐκείνους αἰῶνες, ὄχι φυσικὰ μὲ τὴν ἕνωση αὐτοῦ τοῦ γάμου, ἀλλὰ μὲ ἄλλη κατὰ πολὺ καλύτερη. Γιατὶ αὐτὴ ἡ ἕνωση εἶναι ἁπλῶς καὶ μόνον ἕνωση σωμάτων, ἐνῶ τότε θὰ ὑπάρξει τελειότερη ψυχικὴ ἕνωση καὶ κατὰ πολὺ πιὸ γλυκύτερη καὶ ἀνώτερη.



ΠΕΡΙ ΜΟΝΑΝΔΡΙΑΣ

Τὸ μὲν τὰς ἀπείρους ὁμιλίας ἀνδρῶν καὶ ὠδίνων καὶ τῶν ἄλλων ἁπάντων, ἅπερ ἐπισυρόμενος ὁ γάμος εἰς τὰς τῶν ἀνθρώπων εἰσέρχεται οἰκίας, ἄνδρας ἐπιζητεῖν θαυμαστὸν οὐδέν· καὶ γὰρ τὸν πόλεμον πρᾶγμα οὕτως ἐπίπονον τοῖς ἀπείροις γλυκὺν ἡ παροιμία εἶναί φησι· τὸ δὲ τὰς μυρία ἀνασχομένας κακά, πολλάκις δὲ ὑπὸ τῆς τῶν πραγμάτων ἀνάγκης ἀναπεισθείσας, μακαρίσαι μὲν τὰς ἀπηλλαγμένας τῶν τοῦ κόσμου πραγμάτων, ἐπαρᾶσθαι δὲ μυριάκις ἑαυταῖς καὶ ταῖς προμνηστευτρίαις καὶ τῇ ἡμέρᾳ καθ' ἣν αἱ παστάδες ἐπλέκοντο, ταύτας δὲ μετὰ τοσαύτην ἀποδυσπέτησιν πάλιν τῶν αὐτῶν πραγμάτων ἐπιθυμεῖν, τοῦτο ἔστι τὸ μάλιστά με ἐκπλῆττον καὶ ποιοῦν ἀπορεῖν καὶ τὴν αἰτίαν ἐπιζητεῖν, δι' ἣν τὰ πράγματα, ἃ πρότερον ἐνόμιζον εἶναι φευκτά, ὅτε ἦσαν ἐν αὐτοῖς, ταῦτα νῦν, ὅτε αὐτῶν ἀπηλλάγησαν, ὡς ποθεινὰ πάλιν διώκειν. Καὶ μυρίους ἄνω καὶ κάτω στρέφων παρ' ἐμαυτῷ λογισμοὺς μόλις ποτέ, ὡς ἐμαυτὸν πείθω, τὴν αἰτίαν τοῦ πράγματος ηὕρισκον· μᾶλλον δὲ οὐ μία τίς ἐστιν αἰτία οὐδὲ δύο μόνον, ἀλλὰ καὶ τούτων πλείους.

Αἱ μὲν γὰρ ὑπὸ τοῦ πολλοῦ χρόνου λήθῃ παραδοῦσαι τὰ πρότερα καὶ τὰ ἐν χερσὶ μνημονεύουσαι μόνον, ἔρχονται μὲν ἐπὶ τὸν γάμον ὡς ἐπὶ λύσιν τῶν τῆς χηρείας κακῶν, εὑρίσκουσιν δὲ ἕτερα πολλῷ χαλεπώτερα ἐν αὐτῷ, ὡς πάλιν τὰς αὐτὰς ἀφιέναι φωνὰς



ΠΕΡΙ ΜΟΝΑΝΔΡΙΑΣ

1. Τὸ νὰ ἐπιζητοῦν ἄνδρες ἐκεῖνες ποὺ εἶναι ἄπειρες ἀπὸ συζυγικὲς σχέσεις, ἀπὸ πόνους τοκετοῦ καὶ ἀπὸ ὅλα τὰ ἄλλα ποὺ φέρνει μαζί του ὁ γάμος καὶ εἰσέρχεται στὰ σπίτια τῶν ἀνθρώπων δὲν εἶναι καθόλου παράξενο· γιατὶ καὶ ὁ πόλεμος, ποὺ εἶναι τόσο ἐπίπονο πράγμα, εἶναι εὐχάριστος, λέγει ἡ παροιμία, σ' ἐκείνους ποὺ δὲν τὸν δοκίμασαν· ἐκεῖνες ὅμως ποὺ ὑπόφεραν ἄπειρα κακὰ καὶ πείσθηκαν πολλὲς φορές, πιεζόμενες ἀπὸ τὰ ἴδια τὰ πράγματα, νὰ μακαρίσουν ἐκεῖνες ποὺ ἀπαλλάχθηκαν ἀπὸ τὰ πράγματα τοῦ κόσμου καὶ νὰ καταρασθοῦν ἀμέτρητες φορὲς τὸν ἑαυτό τους καὶ τὶς προξενήτριες καὶ τὴν ἡμέρα κατὰ τὴν ὁποία στολίσθηκε τὸ νυμφικὸ δωμάτιο, αὐτές, μετὰ ἀπὸ τόση ἀπελπισία ποὺ ἔνιωσαν, νὰ ἐπιθυμοῦν πάλι τὰ ἴδια πράγματα, αὐτὸ εἶναι πρὸ πάντων ἐκεῖνο ποὺ μὲ προξενεῖ ἔκπληξη καὶ ἀπορία καὶ μὲ κάμνει νὰ προσπαθῶ νὰ βρῶ τὴν αἰτία γιὰ τὴν ὁποία τὰ πράγματα ποὺ προηγουμένως θεωροῦνταν ἀναγκαῖο νὰ τὰ ἀποφύγουν, ὅταν ζοῦσαν μέσα σ' αὐτά, αὐτὰ τώρα, ποὺ ἀπαλλάχθηκαν ἀπὸ αὐτά, νὰ τὰ ἐπιδιώκουν πάλι σὰν πολὺ ποθητὰ πράγματα. Καὶ κάμνοντας ἄπειρους συλλογισμοὺς μόλις καὶ μετὰ δυσκολίας βρῆκα κάποτε, ὅπως θέλω νὰ πιστεύω, τὴν αἰτία τοῦ πράγματος· ἢ καλύτερα δὲν εἶναι μία ἡ αἰτία, οὔτε μόνο δύο, ἀλλὰ περισσοότερες καὶ ἀπὸ αὐτές.

Ὡρισμένες δηλαδὴ ποὺ ξέχασαν τὰ περασμένα ἐξ αἰτίας τοῦ πολλοῦ χρόνου καὶ θυμοῦνται μόνο τὰ πρόσφατα, προχωροῦν στὸ γάμο θέλοντας ν' ἀπαλλαχθοῦν ἀπὸ τὰ κακὰ τῆς χηρείας, ἀλλὰ βρίσκουν σ' αὐτὸν ἄλλα πολὺ πιὸ χειρότερα, ὥστε ν' ἀφήνουν πάλι

ὥσπερ καὶ πρότερον. Ἄλλαι δὲ πάλιν πρὸς τὰ τοῦ κόσμου κεχηνυῖαι πράγματα, καὶ τῆς δόξης τοῦ παρόντος ἐκκρεμάμεναι βίου, καὶ τὴν χηρείαν ἐπονείδιστον πρᾶγμα εἶναι νομίζουσαι, αἱροῦνται τὰς ἐν τῷ γάμῳ ταλαιπωρίας, ὑπὲρ τῆς δόξης τῆς κενῆς καὶ τοῦ τύφου τοῦ περιττοῦ. Εἰσὶ δὲ αἳ τούτων μὲν οὐδενί, ἀκρασίᾳ δὲ μόνῃ κρατούμεναι, ἐπὶ τὰ πρότερα πάλιν ἐπανέρχονται, καὶ τὴν ὄντως αἰτίαν πειρῶνται ταῖς εἰρημέναις ἀποκρύπτειν προφάσεσιν. Αἰτιάσασθαι μὲν οὖν αὐτὰς καὶ καταδικάσαι ὑπὲρ τοῦ γάμου τούτου οὔτε αὐτὸς τολμῶ οὔτε ἄλλῳ παραινῶ· ἐπειδὴ μηδὲ τῷ μακαρίῳ Παύλῳ τοῦτο δοκεῖ, μᾶλλον δὲ τῷ Πνεύματι τῷ ἁγίῳ. Εἰπὼν γάρ, «γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ», καὶ συγχωρήσας τῇ χήρᾳ εἰ βούλοιτο γαμηθῆναι πάλιν, καὶ εἰπών, «μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ», ἵνα μή τις νομίσῃ ἀνθρώπινον εἶναι το ἐπίταγμα, ἐπήγαγε· «δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν», δηλῶν ὅτι Πνεύματι ταῦτα ἔγραψε.

Μὴ τοίνυν ἐγκαλοῦντα ταῖς γαμουμέναις ἢ μεμφόμενον νομιζέτω μέ τις λέγειν ταῦτα, ἅπερ ἐρῶ νῦν. Καὶ γὰρ ἂν εἴη τῆς ἐσχάτης ἀπονοίας τε καὶ μανίας, ἃς οὐκ ἐκόλασεν ὁ μακάριος ἐκεῖνος, ἀλλ' ἐφείσατο, ταύτας ἡμᾶς καταδικάζειν ἀφειδῶς ἐξ ἐναντίας, καὶ ταῦτα μυρίων ἐμπεπλησμένους κακῶν. Εἰ γὰρ μηδὲ κρίνειν κελευόμεθα, ἵνα μὴ τῷ αὐτῷ μέτρῳ κριθῶμεν, μηδὲ σφοδροὶ τῶν ἑτέροις ἁμαρτανομένων γίνεσθαι δικασταί, ἀλλὰ συγγνωμονικοὶ καὶ ἥμεροι, ὅταν πρᾶγμά τι κολάσῃς μηδὲ ἁμάρτημα ὂν καὶ κατακρίνῃς ἑτέρους, πάσης ἀποστερεῖς σεαυτὸν συγγνώμης, διὰ τῶν εἰς τὸν πλησίον σφοδρότερον σαυτῷ γίνεσθαι παρασκευάζων τὸν κριτήν.

---

1. Α' Κορ. 7,39.
2. Α' Κορ. 7,40.

νὰ βγοῦν ἀπὸ τὸ στόμα τους τὰ λόγια ἐκεῖνα ποὺ ἔλεγαν προηγουμένως. Ἄλλες πάλι ἀπορροφημένες ἀπὸ τὰ πράγματα τοῦ κόσμου καὶ προσκολλημένες στὴ δόξα τοῦ παρόντος κόσμου καὶ θεωρώντας τὴ χηρεία σὰν πράγμα ἄξιο ντροπῆς, προτιμοῦν τὶς ταλαιπωρίες τοῦ γάμου, γιὰ χάρη τῆς μάταιας δόξας καὶ τῆς ἀνώφελης ὑπερηφάνειας. Ὑπάρχουν ὅμως καὶ μερικὲς ποὺ δὲν νικιένται ἀπὸ κανένα ἀπὸ αὐτά, παρὰ μόνο ἀπὸ ἀκράτεια καὶ ἐπανέρχονται πάλι στὰ προηγούμενα, προσπαθώντας ν' ἀποκρύψουν τὴν πραγματικὴ αἰτία μὲ τὶς προφάσεις ποὺ ἀναφέρθηκαν. Νὰ τὶς κατηγορήσω λοιπὸν αὐτὲς καὶ νὰ τὶς καταδικάσω γιὰ τὸ γάμο αὐτὸ οὔτε ὁ ἴδιος τολμῶ νὰ τὸ κάμω οὔτε προτρέπω ἄλλον νὰ τὸ κάμει, ἀφοῦ οὔτε καὶ ὁ μακάριος Παῦλος θεωρεῖ σκόπιμο νὰ τὸ κάμει αὐτό, ἢ καλύτερα οὔτε τὸ ἅγιο Πνεῦμα. Γιατί, ἀφοῦ εἶπε, «ἡ γυναίκα εἶναι δεμένη ἀπὸ τὸ νόμο ὅσο χρόνο ζεῖ ὁ ἄνδρας της, ἂν ὅμως πεθάνει ὁ ἄνδρας της εἶναι ἐλεύθερη νὰ παντρευτεῖ ὁποιον θέλει, ἀρκεῖ νὰ γίνει αὐτὸ στὸ ὄνομα τοῦ Κυρίου»[1], καὶ ἐπέτρεψε στὴ χήρα νὰ παντρευτεῖ καὶ πάλι ἂν θέλει καὶ εἶπε, «ὅμως θὰ εἶναι μακαριότερη ἂν μείνει ἔτσι», γιὰ νὰ μὴ νομίσει κανεὶς ὅτι ἡ ἐντολὴ εἶναι ἀνθρώπινη, πρόσθεσε, «νομίζω πὼς καὶ ἐγὼ ἔχω Πνεῦμα Θεοῦ»[2], δηλώνοντας μ' αὐτὸ ὅτι αὐτὰ τὰ ἔγραψε μὲ τὴ δύναμη τοῦ Πνεύματος.

Ἂς μὴ νομίζει λοιπὸν κανεὶς ὅτι αὐτὰ ποὺ πρόκειται νὰ πῶ τώρα θὰ τὰ πῶ θέλοντας νὰ κατηγορήσω ἢ νὰ μεμφῶ ἐκεῖνες ποὺ παντρεύονται. Γιατὶ θὰ ἦταν δεῖγμα τῆς χειρότερης μορφῆς ἀνοησίας καὶ μανίας, ἐκεῖνες ποὺ δὲν τὶς τιμώρησε ἐκεῖνος, ἀλλὰ τὶς εὐσπλαχνίσθηκε, αὐτές, ἀντίθετα μ' ἐκεῖνον, νὰ τὶς καταδικάζομε ἐμεῖς, τὴ στιγμὴ μάλιστα ποὺ εἴμαστε γεμάτοι ἀπὸ ἀμέτρητα κακά. Γιατί, ἂν προτρεπόμαστε νὰ μὴ κρίνομε, γιὰ νὰ μὴ κριθοῦμε μὲ τὸ ἴδιο μέτρο, οὔτε νὰ γινόμαστε αὐστηροὶ δικαστὲς τῶν ἁμαρτημάτων τῶν ἄλλων, ἀλλὰ νὰ εἴμαστε συγχωρητικοὶ καὶ μαλακοὶ ἀπέναντί τους, ὅταν τιμωρήσεις ἕνα πράγμα ποὺ οὔτε κἂν εἶναι ἁμάρτημα καὶ κατακρίνεις ἄλλους, στερεῖς τὸν ἑαυτό σου ἀπὸ κάθε συγγνώμη, προετοιμάζοντας τὸν κριτὴ νὰ γίνει αὐστηρότερος ἀπέναντί σου μὲ τὴ συμπεριφορά σου αὐτὴ πρὸς τὸν πλησίον σου. Δὲν

Οὐ τοίνυν κατηγορῶν αὐτῶν οὐδὲ καθαπτόμενος ἐπὶ τοῦτο ἦλθον νῦν· τὸ γὰρ ἐν Κυρίῳ γενέσθαι δυνάμενον, πάσης κατηγορίας ἀπήλλακται, «μόνον» γάρ, φησίν, «ἐν Κυρίῳ». Ὥσπερ οὖν ὅταν ὑπὲρ παρθενίας λέγωμεν, οὐ τὸν γάμον ἀτιμάζοντες ἐκείνην ἐπαίρομεν, οὕτως, ὅταν περὶ χηρείας διαλεγώμεθα, οὐ τὸν δεύτερον γάμον ἐν τοῖς ἀπειρημένοις τιθέντες τῷ προτέρῳ στέργειν παρακαλοῦμεν, ἀλλ᾽ ὁμολογοῦμεν μὲν καὶ τοῦτον εἶναι κατὰ νόμον τὸν δεύτερον, πολλῷ δὲ τὸν ἕνα τοῦ δευτέρου βελτίονα.

Μὴ δὴ οὖν τὴν κατὰ σύγκρισιν ὑπεροχὴν τοῦ κατ᾽ αὐτὴν ἐλαττωθέντος πράγματος κακίαν τις εἶναι νομιζέτω. Οὐδὲ γὰρ εἰς τὴν τῶν πονηρῶν τὸ πρᾶγμα ὠθοῦντες τάξιν τὴν σύγκρισιν ταύτην ποιούμεθα· ἀλλ᾽ ἀφέντες αὐτὸ τῶν νενομισμένων εἶναι καὶ ἐν ἐξουσίᾳ, οὕτως αὐτοῦ τὸ πολλῷ κρεῖττον προτιμῶμέν τε καὶ θαυμάζομεν. Τί δήποτε; Ὅτι οὐκ ἔστιν ἴσον ἑνὸς ἀνδρὸς εἶναι γυναῖκα καὶ δευτέρου τὴν αὐτήν. Ἡ μὲν γὰρ ἀρκεσθεῖσα τῷ προτέρῳ ἔδειξεν ὅτι οὐδ᾽ ἂν τοῦτον εἵλετο τὴν ἀρχήν, εἰ τοῦ πράγματος ᾔδει τὴν πεῖραν καλῶς· ἡ δὲ δεύτερον ἐπεισάγουσα νυμφίον τῇ τοῦ προτέρου εὐνῇ, τῆς πολλῆς περὶ τὸν κόσμον φιλίας καὶ πρὸς τὰ γήϊνα πράγματα συμπαθείας τεκμήριον ἐξήνεγκεν οὐ μικρόν. Κἀκείνη μὲν οὔτε ζῶντος τοῦ ἀνδρὸς πρὸς ἕτερόν τινα ἐπτοεῖτο, αὕτη δὲ εἰ καὶ μὴ ἥμαρτεν εἰς ἑτέρους ζῶντος ἐκείνου, ἀλλ᾽ ἐκείνου μᾶλλον πολλοὺς ἑτέρους ἐθαύμασεν.

2. Ἵνα δὲ μὴ τοῦ διελθόντος καταστοχαζώμεθα βίου, αὐτὸ τὸ πρᾶγμα συγκρίνωμεν. Ὥσπερ γὰρ ἡ παρθενία τοῦ γάμου κρείττων, οὕτως ἐκείνου βελτίων ὁ γάμος. Ἡ μὲν γὰρ χήρα, ἀπὸ τῆς ἀρχῆς ἐλαττωθεῖσα τῆς παρθενίας μόνον, κατὰ τὸ τέλος ἐξισοῦται πάλιν αὐτῇ καὶ συνάπτεται, ὁ δὲ γάμος οὗτος ἐξ ἑκατέρων αὐτῆς ἀφέστηκε τῶν μερῶν. Χωρὶς δὲ τούτων ἡ μὲν εὐκόλως φέρουσα

τὰ λέγω λοιπὸν τώρα αὐτὰ μὲ σκοπὸ νὰ κατηγορήσω καὶ νὰ ψέξω αὐτές, γιατὶ ἐκεῖνο ποὺ μπορεῖ νὰ γίνει στὸ ὄνοομα τοῦ Κυρίου εἶναι ἀπαλλαγμένο ἀπὸ κάθε κατηγορία· γιατὶ λέγει, «μόνο ἂν αὐτὸ τὸ κάμνει στὸ ὄνομα τοῦ Κυρίου». Ὅπως ἀκριβῶς δηλαδὴ ὅταν μιλούσαμε ὑπὲρ τῆς παρθενίας, δὲν ἐξυψώναμε ἐκείνην, μὲ σκοπὸ νὰ μειώσομε τὸ γάμο, ἔτσι καὶ ὅταν μιλᾶμε γιὰ τὴ χηρεία, δὲν τὸ κάμνομε αὐτὸ ἀπορρίπτοντας τὸν δεύτερο γάμο καὶ προτρέποντας τὴν ἐμμονὴ στὸν πρῶτο γάμο, ἀλλ' ἀποδεχόμαστε ὅτι καὶ ὁ δεύτερος αὐτὸς γάμος εἶναι νόμιμος, ἀλλὰ ὁ πρῶτος εἶναι πολὺ πιὸ καλύτερος ἀπὸ τὸν δεύτερο.

Ἂς μὴ θεωρεῖ λοιπὸν κανεὶς σὰν κακὸ τὸ ὅτι ἕνα πράγμα μειωνεκτεῖ συγκρινόμενο πρὸς ἕνα ἄλλο πράγμα ποὺ ὑπερέχει ἀπ' αὐτό. Γιατὶ δὲν κάμνομε τὴ σύγκριση αὐτὴ κατατάσσοντας τὸ πράγμα αὐτὸ τὸ κατώτερο στὴν κατηγορία τῶν πονηρῶν, ἀλλὰ θεωρώντας αὐτὸ μεταξὺ τῶν νόμιμων καὶ ἐπιτρεπτῶν, προτιμοῦμε καὶ θαυμάζομε ἐκεῖνο ποὺ εἶναι πολὺ πιὸ ἀνώτερο ἀπ' αὐτό. Καὶ γιατί ἄραγε; Γιατὶ δὲν εἶναι ἴδιο πράγμα τὸ νὰ εἶναι κάποια γυναίκα ἑνὸς ἄνδρα, καὶ ἡ ἴδια πάλι νὰ εἶναι μετὰ γυναίκα καὶ δεύτερου ἄνδρα. Γιατὶ ἐκείνη ποὺ ἀρκέσθηκε στὸν πρῶτο ἄνδρα της ἔδειξε ὅτι οὔτε αὐτὸν θὰ προτιμοῦσε ἀπὸ τὴν ἀρχή, ἂν εἶχε καλὴ γνώση τοῦ πράγματος, ἐνῶ ἡ δεύτερη, εἰσάγοντας δεύτερο σύζυγο στὸ κρεββάτι τοῦ πρώτου, παρουσίασε μέγιστη ἀπόδειξη τῆς μεγάλης ἀγάπης της πρὸς τὸν κόσμο καὶ τῆς συμπάθειάς της πρὸς τὰ γήϊνα πράγματα. Καὶ ἐκείνη βέβαια οὔτε ὅταν ζοῦσε ὁ ἄνδρας της πόθησε κάποιον ἄλλον, ἐνῶ αὐτή, ἂν καὶ δὲν ἁμάρτησε μὲ ἄλλους ὅσο ζοῦσε ἐκεῖνος, ἀλλὰ θαύμασε περισσότερο ἀπὸ ἐκεῖνον πολλοὺς ἄλλους.

2. Γιὰ νὰ μὴ διατυπώνομε λοιπὸν σκέψεις γιὰ ἐκεῖνα ποὺ πέρασαν, ἂς ἐξετάσομε αὐτὸ τὸ ἴδιο τὸ πράγμα. Ὅπως ἀκριβῶς δηλαδὴ ἡ παρθενία εἶναι ἀνώτερη ἀπὸ τὸ γάμο, ἔτσι καὶ ὁ πρῶτος γάμος εἶναι ἀνώτερος ἀπὸ τὸν δεύτερο. Γιατὶ ἡ χήρα ποὺ ἀπὸ τὴν ἀρχὴ μόνο μειώθηκε ἔναντι τῆς παρθενίας, στὸ τέλος ἐξισώνεται πάλι μ' αὐτὴν καὶ συνταυτίζεται· ἐνῶ ὁ δεύτερος γάμος ὑπολείπεται κατὰ πολὺ καὶ ἀπὸ τὰ δύο μέρη αὐτῆς. Καὶ ἐκτὸς ἀπὸ αὐτά,

τὴν χηρείαν καὶ ζῶντος πολλάκις ἐγκρατεύεται τοῦ ἀνδρός, ἡ δὲ τὸ πρᾶγμα ἔχουσα ἐπαχθῶς οὐ δύο μόνον καὶ τρισίν, ἀλλὰ καὶ πολλῷ πλείοσιν ὁμιλῆσαι παρεσκεύασται ἀνδράσι καὶ μόλις τοῦ γήρως ἐπελθόντος ἀφίσταται. Ὥσπερ οὖν πολλῆς σεμνότητος καὶ σωφροσύνης σημεῖον ὁ γάμος ἐκεῖνός ἐστιν, οὕτως οὗτος ἀσελγείας μὲν οὐκ ἂν εἴποιμι, μὴ γένοιτο, ἀσθενοῦς δὲ ψυχῆς καὶ σαρκικωτάτης καὶ τῇ γῇ προσδεδεμένης καὶ μέγα καὶ ὑψηλὸν οὐδὲν δυναμένης φαντασθῆναί ποτε. Εἰ δὲ λέγοι τις, ὅτι τὸ καλὸν ταὐτόν ἐστι, κἄν τε ἅπαξ γένηται κἄν τε δὶς κἄν τε πολλάκις, ὁμοίως γὰρ ἔσται καλὸν καὶ ὁ πολλάκις αὐτῷ χρώμενος μᾶλλον ἐπαινοῖτ' ἂν δικαίως· ὥστε, εἰ καὶ ὁ γάμος καλόν, ὁ συνεχῶς αὐτῷ κεχρημένος τοῦ σπανιάκις θαυμαστότερος καὶ μᾶλλον ἀποδεκτός· ἐροῦμεν, ὅτι τοὺς μὲν ἀφελεστέρους τοῦτο σοφίσασθαι δύναιτ' ἄν, τοῖς δὲ βουλομένοις προσέχειν, εὐφώρατον ἔσται τὸ σόφισμα.

Γάμος γὰρ οὐ διὰ τὴν μίξιν λέγεται γάμος, ἐπεὶ οὕτω γε καὶ ἡ πορνεία γάμος ἂν ἦν, ἀλλὰ διὰ τὸ στέργειν ἑνὶ τὴν γαμουμένην ἀνδρὶ καὶ τούτῳ τῆς πόρνης διέστηκεν ἡ ἐλευθέρα καὶ σώφρων γυνή. Εἰ μὲν γὰρ ἑνὶ διαπαντὸς ἀρκοῖτο ἀνδρί, γάμος τὸ πρᾶγμα εἰκότως ἂν λέγοιτο· εἰ δὲ ἀνθ' ἑνὸς πολλοὺς εἰς τὴν οἰκίαν εἰσάγει νυμφίους, πορνείαν μὲν οὐ τολμῶ τὸ πρᾶγμα καλεῖν, τῆς δὲ οὐκ εἰδυίας ἕτερον ἄνδρα πλὴν ἑνὸς πολλῷ τῷ μέτρῳ ἀπολείπεσθαι φαίην ἄν. Ἐκείνη μὲν γὰρ ἤκουσε τοῦ Κυρίου λέγοντος, «ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴ μητέρα αὐτοῦ καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν», καὶ ὥσπερ σαρκὸς ἀληθῶς οἰκείας ἀντείχετο καὶ οὐκ ἐπελάθετο τῆς ἅπαξ δοθείσης αὐτῇ κεφαλῆς, αὕτη δὲ οὔτε τὸν

---

3. Ματθ. 19,5.

ἐκείνη ποὺ εὔκολα ὑπομένει τὴ χηρεία, ἀσκεῖ ἐγκράτεια πολλὲς φορὲς καὶ ὅταν ζεῖ ὁ ἄνδρας της, ἐνῶ ἐκείνη ποὺ θεωρεῖ τὸ πράγμα βαρὺ εἶναι διατεθειμένη νὰ συνάψει σχέσεις σαρκικὲς ὄχι μόνο μὲ δύο καὶ τρεῖς ἄνδρες ἀλλὰ καὶ πολὺ περισσότερους καὶ μόλις καὶ μὲ δυσκολία σταματάει ὅταν ἔρθουν τὰ γηρατειά. Ὅπως ἀκριβῶς λοιπὸν ὁ πρῶτος γάμος εἶναι δεῖγμα μεγάλης σεμνότητας καὶ σωφροσύνης, ἔτσι ὁ δεύτερος γάμος, δὲν θὰ μποροῦσα βέβαια νὰ πῶ πὼς εἶναι δεῖγμα ἀσέλγειας, μὴ γένοιτο, ἀλλὰ δεῖγμα ψυχῆς ἀδύναμης καὶ πολὺ σαρκικῆς καὶ προσδεμένης στὴ γῆ, χωρὶς νὰ μπορεῖ ποτὲ νὰ φαντασθεῖ τίποτε τὸ μεγάλο καὶ ὑψηλό. Ἂν ὅμως κάποιος πεῖ, ὅτι τὸ καλὸ εἶναι καλὸ εἴτε γίνεται μία φορὰ εἴτε δύο εἴτε πολλὲς φορές, τότε βέβαια τὸ καλὸ θὰ εἶναι ὅμοια καλὸ καὶ ἐκεῖνος ποὺ τὸ κάμνει πολλὲς φορὲς δίκαιο θὰ ἦταν καὶ νὰ ἐπαινεῖται περισσότερο· ἄρα, ἂν καὶ ὁ γάμος εἶναι καλὸ πράγμα, ἐκεῖνος ποὺ τὸν χρησιμοποιεῖ συνέχεια εἶναι ἄξιος θαυμασμοῦ περισσότερο ἀπὸ ἐκεῖνον ποὺ τὸν χρησιμοποιεῖ σπάνια καὶ πολὺ περισσότερο ἀποδεκτός· ἡ ἀπάντησή μας σ' αὐτὸ θὰ εἶναι, ὅτι αὐτὸ μποροῦν νὰ τὸ σοφισθοῦν οἱ ἀφελέστεροι, ἐνῶ γιὰ ἐκείνους ποὺ θέλουν νὰ προσέχουν τὸ σόφισμα θὰ γίνει εὔκολα ἀντιληπτό.

Ὁ γάμος λοιπὸν δὲν λέγεται γάμος ἐξ αἰτίας τῆς σαρκικῆς σχέσεως, γιατὶ ἔτσι καὶ ἡ πορνεία θὰ ἦταν γάμος, ἀλλ' ἐπειδὴ ἐκείνη ποὺ παντρεύεται ἀρκεῖται σ' ἕναν ἄνδρα καὶ ὡς πρὸς αὐτὸ διαφέρει ἡ ἐλεύθερη καὶ συνετὴ γυναίκα ἀπὸ τὴν πόρνη. Ἂν δηλαδὴ ἀρκεῖται γιὰ πάντα σ' ἕναν ἄνδρα, τότε πολὺ σωστὰ τὸ πράγμα ὀνομάζεται γάμος, ἂν ὅμως εἰσάγει ἀντὶ γιὰ ἕναν πολλοὺς ἄνδρες στὸ σπίτι, δὲν τολμῶ βέβαια νὰ ὀνομάσω τὸ πράγμα πορνεία, θὰ μποροῦσα ὅμως νὰ πῶ ὅτι ὑπολείπεται κατὰ πολὺ ἀπὸ ἐκείνη ποὺ δὲν γνωρίζει ἄλλον ἄνδρα ἐκτὸς ἀπὸ τὸν ἕνα. Γιατὶ ἐκείνη ἄκουσε ἀπὸ τὸν Κύριο ποὺ λέγει, «γι' αὐτὸ τὸ λόγο θὰ ἐγκαταλείψει ὁ ἄνθρωπος τὸν πατέρα του καὶ τὴ μητέρα του καὶ θὰ προσκολληθεῖ στὴ γυναίκα του καὶ θὰ γίνουν οἱ δύο μία σάρκα»[3], καὶ κρατιόταν ἀπ' αὐτὸν σὰν νὰ ἦταν πραγματικὰ δική της σάρκα καὶ δὲν λησμόνησε τὴν κεφαλὴ ποὺ τῆς δόθηκε μία φορά. Ἀντίθετα αὐτὴ οὔτε τὸν πρῶτο οὔτε τὸν δεύτερο τὸν θεωροῦσε

πρῶτον, οὔτε τὸν δεύτερον ἔσχεν ἐν τάξει τῆς οἰκείας σαρκός· ὁ μὲν γὰρ πρῶτος ἐκβέβληται παρὰ τοῦ δευτέρου, ὁ δεύτερος δὲ ὑπ' ἐκείνου· οὔτε δὲ τοῦ προτέρου μεμνῆσθαι δύναιτ' ἂν καλῶς τῷ ἑτέρῳ μετ' ἐκεῖνον προσέχουσα, οὔτε τοῦτον μετὰ τῆς προσηκούσης φιλοστοργίας ὄψεται, σχιζομένης εἰς τὸν ἀπελθόντα τῆς διανοίας αὐτῆς. Ὥστε ἑκάτερον λοιπὸν συμβαίνει, καὶ τοῦτον κἀκεῖνον ἐκβεβλῆσθαι τῆς ἀνδρὶ προσηκούσης καὶ τιμῆς καὶ φιλίας παρὰ γυναικός. Ποίαν δὲ ὅλως οἴεται ἔχειν ψυχὴν τὸν δεύτερον νυμφίον εἰς τὸν τοῦ προτέρου θάλαμον εἰσαγόμενον καὶ εἰς τὴν εὐνὴν ἀναβαίνοντα τὴν ἐκείνου, καὶ γελῶσαν καὶ χαριεντιζομένην ἐπὶ τούτοις ὁρῶντα τὴν ἐκείνου γυναῖκα; Σφόδρα γε· οὐδὲ γὰρ μετὰ πολλῆς αὐτῇ προσελεύσεται τῆς φιλίας· κἂν γὰρ ἁπάντων ἀνθρώπων ἀπηνέστερος ᾖ, οὐκ ἔσται οὕτως ἄγριος, ὡς μηδὲν ἀνθρώπινον παθεῖν, κἂν μυρίοις καὶ ἑαυτὴν καὶ τὸν οἶκον περιβάλλῃ καλλωπισμοῖς ἐκείνη.

Τὸ γὰρ καταλαβὸν ἤδη πένθος τὴν οἰκίαν οὐκ ἀφίησι καθαρὰν γενέσθαι τὴν εὐφροσύνην· ἀλλ' ὥσπερ ἐπὶ τῶν τοίχων ὅταν σφόδρα καταφλεγέν τι μέρος τύχῃ, εἶτα ἠρέμα κονιαθέντι τὸ τῆς μελανίας ἐπιτεταμένον καὶ βαθὺ λυμαίνεται τῇ τῆς ἐπιφανείας λευκότητι καὶ ἔστι θέαμα ἀηδές, οὕτω καὶ ἐνταῦθα, κἂν πολλὰ ἐπινοήσῃ τὰ λαμπρά, ἐν μέσοις αὐτοῖς διαφαίνεται τὰ σκυθρωπὰ καί τις ἐν αὐτοῖς μῖξις ἀτερπής. Καὶ γὰρ καὶ οἰκέται καὶ θεράπαιναι καὶ γεωργοὶ καὶ πάροικοι καὶ γείτονες καὶ συγγενεῖς τοῦ προαπελθόντος κατηφοῦσιν ἐπὶ τοῖς γενομένοις καὶ στενάζουσιν. Εἰ δὲ καὶ ὀρφανοὶ τύχωσι καταλειφθέντες, νέοι μὲν ὄντες κομιδῇ, σφοδρὸν τὸ παρὰ τῶν δυναμένων συνιέναι τῶν γινομένων τῇ μητρὶ τὸ μῖσος ἐξάπτουσιν· εἰ δὲ ἐνήλικες τύχοιεν ὄντες, πάντων ἐκεῖνοι μᾶλλον ἀηδίαν κατασκευάζουσιν. Ἅπερ οὖν καὶ οἱ νομοθέται συνεωρακότες ἅπαντα καὶ τοὺς ἐπὶ τούτοις ἀλγοῦντας παραμυθούμενοι καὶ ὑπὲρ

δική της σάρκα· γιατί ὁ πρῶτος ἐκτοπίσθηκε ἀπὸ τὸ δεύτερο καὶ ὁ δεύτερος ἀπὸ τὸν πρῶτο· καὶ οὔτε τὸν πρῶτο μπορεῖ νὰ θυμᾶται καλὰ προσέχοντας μαζὶ μὲ ἐκεῖνον καὶ τὸν δεύτερο, οὔτε τὸν δεύτερο θὰ τὸ δεῖ μὲ τὴν πρέπουσα φιλοστοργία, ἐπειδὴ ἡ σκέψη της μοιράζεται σ' αὐτὸν καὶ σ' ἐκεῖνον ποὺ πέθανε. Ὥστε λοιπὸν φθάνει στὸ σημεῖο νὰ ἔχει ἐκτοπισθεῖ καὶ αὐτὸς καὶ ἐκεῖνος ἀπὸ τὴν τιμὴ καὶ τὴν ἀγάπη ποὺ πρέπει ν' ἀπολαμβάνει ὁ ἄνδρας ἀπὸ τὴ γυναίκα. Καὶ ποιά ψυχικὴ διάθεση νομίζει κανεὶς ὅτι θὰ ἔχει ὁ δεύτερος σύζυγος μπαίνοντας στὸ δωμάτιο τοῦ πρώτου συζύγου, ἀνεβαίνοντας στὸ κρεββάτι ἐκείνου καὶ βλέποντας τὴ γυναίκα ἐκείνου νὰ γελᾶ καὶ νὰ χαριεντίζεται γιὰ ὅλα αὐτά; Ἀσφαλῶς πάρα πολὺ δυσάρεστη· γιατὶ δὲ θὰ τὴν πλησιάσει μὲ πολλὴ ἀγάπη· κι ἂν ἀκόμη εἶναι ὁ πιὸ σκληρὸς ἀπὸ ὅλους τοὺς ἀνθρώπους, δὲ θὰ εἶναι τόσο ἄγριος, ὥστε νὰ μὴ νιώσει κάτι τὸ ἀνθρώπινο, ἔστω κι ἂν ἐκείνη στολίζει τόσο τὸν ἑαυτό της ὅσο καὶ τὸ σπίτι μὲ ἄπειρα στολίδια.

Πραγματικὰ τὸ πένθος ποὺ κατέλαβε ἤδη τὸ σπίτι δὲν ἐπιτρέπει τὴν εὐφροσύνη νὰ γίνει καθαρή, ἀλλ' ὅπως ἀκριβῶς στὴν περίπτωση τῶν τοίχων, ὅταν συμβεῖ κάποιο μέρος αὐτοῦ νὰ δεχθεῖ ἔντονα τὴ φλόγα πυρκαϊᾶς καὶ στὴ συνέχεια ἐπιχρισθεῖ αὐτὸ προσεκτικά, τὸ ἔντονο καὶ βαθὺ μαῦρο χρῶμα καταστρέφει τὴ λευκότητα τῆς ἐπιφάνειας καὶ εἶναι ἄσχημο τὸ θέαμα, ἔτσι καὶ ἐδῶ· κι ἂν ἀκόμη ἐπινοήσει πολλὰ λαμπρά, μέσα ἀπ' αὐτὰ φαίνονται τὰ δυσάρεστα καὶ δημιουργεῖται ἕνα μίγμα καθόλου εὐχάριστο. Πραγματικὰ καὶ οἱ ὑπηρέτες καὶ οἱ ὑπηρέτριες καὶ οἱ γεωργοὶ καὶ ὅσοι κατοικοῦν μέσα στὸ σπίτι καὶ οἱ γείτονες καὶ οἱ συγγενεῖς ἐκείνου ποὺ πέθανε εἶναι κυριευμένοι ἀπὸ στεναχώρια καὶ ἀναστενάζουν γιὰ τὰ ὅσα ἔγιναν. Ἂν μάλιστα τύχει νὰ μείνουν πίσω καὶ ὀρφανὰ παιδιά, ἐφόσον αὐτὰ εἶναι μικρὰ νιώθουν τότε, ἐκεῖνα ποὺ μποροῦν νὰ κατανοήσουν τὰ ὅσα γίνονται, σφοδρὸ μίσος ἐναντίον τῆς μητέρας τους, ἂν πάλι τύχει νὰ εἶναι μεγάλα, τότε περισσότερο ἀπο ὅλους ἐκεῖνα νιώθουν ἀηδία. Λαμβάνοντας λοιπὸν ὑπ' ὄψη ὅλα αὐτὰ οἱ νομοθέτες καὶ θέλοντας νὰ παρηγορήσουν ἐκείνους ποὺ πονοῦν γιὰ ὅλα αὐτὰ καὶ παράλληλα δικαιολογώντας τὸν ἑαυ-

ἑαυτῶν ἀπολογούμενοι, ὅτι οὐ κατὰ γνώμην οὐδὲ προηγουμένως τοῦτον τὸν γάμον ἐπέταξαν, ἀλλὰ δεδοικότες, μή τι χεῖρον γένηται κακόν, πάντα τοῦ δευτέρου γάμου τὰ φαιδρὰ παρῃτήσαντο καὶ οὔτε αὐλός, οὔτε κρότοι, οὔτε ὑμέναιος, οὔτε ὀρχήματα, οὔτε στέφανοι νυμφικοί, οὔτε ἄλλο τι τῶν τοιούτων τὴν ἑσπέραν κοσμοῦσιν ἐκείνην, ἀλλὰ πάντων αὐτὴν ἀποκοσμήσαντες, οὕτως ἀστεφάνωτον ἄγουσι τὸν ἄνδρα πρὸς τὴν χήραν γυναῖκα, μονονουχὶ βοῶντες διὰ τούτων ὅτι πάντα συγγνώμης ἄξια πράττουσιν, ἀλλ' οὐκ ἐπαίνων καὶ κρότων καὶ στεφάνων.

3. Πῶς οὖν ὁ Παῦλος ἐκώλυσε χηρεύειν, φησί, καὶ βουλομένας τὰς νέας, οὑτωσὶ γράφων· «νεωτέρας δὲ χήρας παραιτοῦ»; Οὐχ ὁ Παῦλος τὰς βουλομένας χηρεύειν ἐκώλυσεν, ἀλλ' ἐκεῖναι καὶ τὸν Παῦλον ἠνάγκασαν μὴ βουλόμενον τοῦτον διατάξασθαι τὸν νόμον αὐταῖς· εἰ γὰρ τοῦ Παύλου τὸ θέλημα βούλει μαθεῖν, ἄκουε τί φησι· «θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν», ἐν ἐγκρατείᾳ. Ὥστε οὐκ ἂν ἐμαχέσατο ἑαυτῷ, οὐδὲ ἐναντιολογίᾳ τοσαύτῃ περιέπεσεν ὁ μακάριος ἐκεῖνος, οὐδ' ἂν ὁ πάντας ἀνθρώπους βουλόμενος εἶναι ἐν ἐγκρατείᾳ, τὰς βουλομένας χηρεύειν ἐκώλυσε. Πῶς οὖν φησι, «νεωτέρας δὲ χήρας παραιτοῦ»; Ἀλλ' εἰπέ, τίνος ἕνεκεν καὶ διὰ τί; Οὐ γὰρ ἁπλῶς οὕτως εἴρηκεν, ἀλλὰ καὶ τὴν αἰτίαν προστέθεικεν εἰπών· «ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν». Ὁρᾷς ὅτι οὐ τὰς χηρεύειν βουλομένας, ἀλλὰ τὰς γαμῆσαι προαιρουμένας μετὰ τὸ χηρεῦσαι κωλύει ἐκεῖνος χηρεῦσαι καὶ εἰς τὸν ἅγιον ἐκεῖνον κατατάττεσθαι χορόν· καὶ σφόδρα ποιῶν συνετῶς. Εἰ γὰρ μέλλοις, φησί, δευτέροις γάμοις ὁμιλεῖν, μηδὲ ἐπαγγείλῃ χηρείαν· τοῦ γὰρ μηδ' ὅλως ὑποσχέσθαι τὸ μετὰ τὴν ὑπόσχεσιν ἀγνωμονῆσαι πολλῷ χεῖρόν ἐστιν.

Ὥσπερ οὖν τὰς συνεχεῖς συνουσίας ἐπέτρεψεν, οὐ νομοθετῶν, ἀλλὰ συγγινώσκων αὐτοῖς, «τοῦτο γὰρ λέγω», φησί, «κατὰ συγ-

4. Α' Τιμ. 5,11.
5. Α' Κορ. 7,7.
6. Α' Τιμ. 5,11.

τό τους, ὅτι δὲν ὅρισαν τὸ γάμο αὐτὸ ἀπὸ τὴν ἀρχὴ καὶ ἐπειδὴ τὸ ἤθελαν, ἀλλὰ φοβούμενοι μήπως συμβεῖ κάποιο χειρότερο κακό, ἀπέρριψαν ὅλες τὶς λαμπρὲς ἐκδηλώσεις γιὰ τὸ δεύτερο γάμο, καὶ ἔτσι οὔτε αὐλός, οὔτε κρότοι, οὔτε γαμήλια ἄσματα, οὔτε χοροί, οὔτε στεφάνια νυφικά, οὔτε κάτι ἄλλο παρόμοιο λαμπρύνουν τὴν ἑσπέρα ἐκείνη, ἀλλ' ἀπογυμνώνοντας αὐτὴν ἀπὸ ὅλα αὐτά, ἔτσι ἀστεφάνωτο ὁδηγοῦν τὸν ἄνδρα πρὸς τὴ χήρα γυναίκα, διακηρύσσοντας κατὰ κάποιο τρόπο μ' αὐτὰ ὅτι ὅλα ὅσα κάμνουν εἶναι ἄξια συγγνώμης καὶ ὄχι ἐπαίνων καὶ κρότων καὶ σταφάνων.

3. Πῶς λοιπὸν ὁ Παῦλος, λέγει, ἀπαγόρευσε τὶς νέες νὰ μένουν χῆρες καὶ ἂν ἀκόμα θέλουν, γράφοντας, «ν' ἀρνεῖσαι ὅμως νὰ γράφεις στὸν κατάλογο νεώτερες χῆρες»[4]; Δὲν ἀπαγόρευσε ὁ Παῦλος ἐκεῖνες ποὺ θέλουν νὰ μείνουν χῆρες, ἀλλ' ἐκεῖνες ἀνάγκασαν τὸν Παῦλο νὰ ὁρίσει τὸν κανόνα αὐτὸν γι' αὐτὲς χωρὶς νὰ τὸ θέλει· γιατί, ἂν θέλεις νὰ μάθεις ποιό εἶναι ἐκεῖνο ποὺ θέλει ὁ Παῦλος, ἄκουε τί λέγει· «θέλω ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ὅπως ἐγώ»[5], δηλαδὴ ν' ἀσκοῦν ἐγκράτεια. Ὥστε δὲν θὰ μαχόταν τὸν ἑαυτό του, οὔτε θὰ περιέπιπτε σὲ τόση μεγάλη ἀντιλογία ὁ μακάριος ἐκεῖνος, οὔτε ἐκεῖνος, ποὺ θέλει ὅλοι οἱ ἄνθρωποι νὰ ζοῦν μὲ ἐγκράτεια, θὰ ἀπαγόρευε νὰ μένουν χῆρες ἐκεῖνες ποὺ θέλουν. Πῶς λοιπὸν λέγει, «νὰ μὴ δέχεσαι ὅμως νὰ γράφεις στὸν κατάλογο νεώτερες χῆρες»; Ἀλλὰ πές μας σὺ καὶ γιὰ ποιό λόγο τὸ εἶπε καὶ γιατί; Γιατὶ δὲν τὸ εἶπε αὐτὸ ἔτσι στὴν τύχη, ἀλλὰ πρόσθεσε καὶ τὴν αἰτία, λέγοντας· «γιατὶ ὅταν τὰ πάθη τὶς ἀποσπάσουν ἀπὸ τὸ Χριστό, θέλουν νὰ παντρευτοῦν»[6]. Βλέπεις ὅτι ἐκεῖνος ἀπαγορεύει νὰ μείνουν χῆρες καὶ νὰ ἐγγραφοῦν στὸν ἅγιο ἐκεῖνο χορό, ὄχι ἐκεῖνες ποὺ θέλουν νὰ μείνουν χῆρες, ἀλλ' ἐκεῖνες ποὺ προτιμοῦν μετὰ τὴ χηρεία νὰ παντρευτοῦν· καὶ αὐτὸ τὸ κάμνει μὲ μεγάλη σύνεση. Γιατί, λέγει, ἂν θέλεις νὰ συνάψεις δεύτερο λόγο, τότε μὴ ὑποσχεθεῖς χηρεία· γιατὶ ἀπὸ τὸ νὰ ὑποσχεθεῖς εἶναι πολὺ πιὸ χειρότερο τὸ νὰ μὴ μείνεις συνεπὴς στὸ λόγο σου μετὰ τὴν ὑπόσχεση.

Ὅπως ἀκριβῶς λοιπὸν ἐπέτρεψε τὶς συνεχεῖς συζυγικὲς σχέσεις, ὄχι ὁρίζοντας κανόνα, ἀλλὰ κάμνοντας παραχώρηση πρὸς

γνώμην, οὐ κατ' ἐπιταγήν, διὰ τὴν ἀκρασίαν ὑμῶν», οὕτω καὶ ἐνταῦθα δι' ἕτερον μεῖζον κακὸν τὸν δεύτερον γάμον ἐπέταξε, δεικνὺς ὅτι καὶ τοῦτο συγγνώμης ἐστί, τῇ τῶν πολλῶν ἀσθενείᾳ συγκαταβαινούσης. Ἀσθένειαν δὲ οὐ δυνάμεως, ἀλλὰ προαιρέσεώς φημι. Καθάπερ γὰρ ἡ παρθένος, μετὰ τὴν τῆς παρθενίας ἐπαγγελίαν διαφθαρεῖσα, μοιχείας χεῖρον ἐτόλμησεν, οὕτω καὶ ἡ χήρα ἅπαξ ἐπαγγειλαμένη, εἶτα πατήσασα τὰς πρὸς τὸν Θεὸν συνθήκας, ὑπὸ τὴν αὐτὴν ἁμαρτίαν πεσεῖται καὶ τῆς αὐτῆς ἔσται τιμωρίας ὑπεύθυνος. Εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τάχα καὶ πολλῷ μείζονος· οὐ γάρ ἐστιν ἴσον, ὅπερ καὶ ἀρχόμενος εἶπον, τήν τε ἄπειρον καὶ τὴν πεπειραμένην τοῖς αὐτοῖς πάλιν περιπεσεῖν πειρασμοῖς. Καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ προειπὼν καὶ πάλιν λέγων, «βούλομαι νεωτέρας χήρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν», τὴν αἰτίαν προστίθησι, δι' ἣν ταῦτα βούλεται. Τίς δέ ἐστιν αὕτη; «Μηδεμίαν», φησί, «διδόναι τῷ ἀντεικειμένῳ ἀφορμὴν λοιδορίας χάριν». Ἐπειδὴ γὰρ πολλὰς τῶν χηρῶν εἰκὸς ἦν τότε προπετέστερον καὶ αὐθαδέστερον τῷ μετὰ ταῦτα κεχρῆσθαι βίῳ, καθάπερ τινὸς ἀνάγκης καὶ δεσποτείας τῆς πρὸς τὸν ἄνδρα συζυγίας ἀπαλλαγείσας, ὡς καὶ πονηρὰν ἐπισπάσασθαι δόξαν διὰ τῆς ἰταμότητος, ἀπάγων αὐτὰς τῆς ὀλεθρίου ταύτης ἐλευθερίας, πάλιν ἐπὶ τὸν ζυγὸν ἄγει τὸν πρότερον. Εἰ γὰρ μέλλοι τις, φησί, χήρα οὖσα λάθρα πορνεύειν καὶ καταισχύνειν ἑαυτήν, πολλῷ βέλτιον γαμεῖν, καὶ «μηδεμίαν διδόναι τῷ ἀντικειμένῳ ἀφορμὴν λοιδορίας χάριν»· ὥστε διὰ τὸ μὴ παρέχειν τὰς ἀφορμὰς τῆς λοιδορίας καὶ βίον ἐφύβριστον ζῆν καὶ πορνικόν, τὸν γάμον ἐπέταξεν.

Ἄκουε γοῦν καὶ ὅσα αὐτῶν κατηγορεῖ. Δέον γὰρ εἰς προσευχὰς τετράφθαι τὸν ἅπαντα χρόνον καὶ ἱκετηρίας, «αἱ δέ», φησί,

---

7. Α' Κορ. 7,6.
8. Α' Τιμ. 5,14.
9. Α' Τιμ. 5,14.

αὐτούς, γιατὶ λέγει, «αὐτὸ τὸ λέγω κατὰ παραχώρηση, ὄχι σὰν διαταγή, ἐξ αἰτίας τῇ ἀδυναμία σας νὰ δείξετε ἐγκράτεια»[7], ἔτσι καὶ ἐδῶ ἐπέτρεψε τὸν δεύερο γάμο πρὸς ἀποφυγὴ κάποιου μεγαλύτερου κακοῦ, δείχνοντας ὅτι καὶ αὐτὸ γίνεται κατὰ παραχώρηση, συγκαταβαίνοντας πρὸς τὴν ἀδυναμία τῶν πολλῶν νὰ τὸ τηρήσουν. Καὶ δὲν ἐννοῶ ἔλλειψη δυνάμεως, ἀλλὰ ἀδυναμία προαιρέσεως. Γιατί, ὅπως ἀκριβῶς ἡ παρθένος ποὺ διεφθείρει τὴν παρθενία μετὰ τὴν ὑπόσχεση ποὺ ἔδωσε, διέπραξε ἁμάρτημα χειρότερο ἀπὸ μοιχεία, ἔτσι καὶ ἡ χήρα ποὺ ἔδωσε μιὰ φορὰ τὴν ὑπόσχεση καὶ παραβεῖ στὴ συνέχεια τὶς συμφωνίες της πρὸς τὸ Θεό, θὰ πέσει στὴν ἴδια ἁμαρτία καὶ θὰ καταστεῖ ὑπεύθυνη τῆς ἴδιας τιμωρίας. Καὶ ἂν πρέπει νὰ πῶ κάτι τὸ ἀξιοθαύμαστο, ἴσως καταστεῖ ὑπεύθυνη καὶ πολὺ πιὸ μεγαλύτερης τιμωρίας· γιατὶ δὲν εἶναι τὸ ἴδιο, ὅπως εἶπα καὶ στὴν ἀρχή, νὰ περιπέσουν πάλι στοὺς ἴδιους πειρασμοὺς καὶ ἡ ἄπειρη καὶ ἡ πεπειραμένη. Καὶ ὄχι μόνο ἐδῶ, ἀλλὰ καὶ προηγουμένως, καὶ ὅταν πάλι εἶπε, «θέλω οἱ νεώτερες χῆρες νὰ παντρεύονται, νὰ ἀποκτοῦν παιδιὰ καὶ νὰ διευθύνουν τὸ σπίτι τους»[8], προσθέτει τὴν αἰτία γιὰ τὴν ὁποία τὰ θέλει αὐτά. Καὶ ποιά εἶναι αὐτή; «Νὰ μὴ δίνουν», λέγει, «καμιὰ ἀφορμὴ γιὰ κατηγορία στὸν ἐναντιούμενο»[9]. Ἐπειδὴ δηλαδὴ πολλὲς ἀπὸ τὶς χῆρες φυσικὸ ἦταν νὰ ἔδειχναν στὴ μετὰ ταῦτα ζωή τους μιὰ κάποια προπέτεια καὶ αὐθάδεια, ἐπειδὴ ἀπαλλάχθηκαν κατὰ κάποιο τρόπο ἀπὸ κάποιο ἐξαναγκασμὸ καὶ ἐξουσία ποὺ προερχόταν ἀπὸ τὴ συζυγία πρὸς τὸν ἄνδρα τους, ὥστε μὲ τὴ θρασύτητά τους αὐτὴ νὰ ἐπισύρουν καὶ κακὴ ἀκόμη φήμη, ἀπομακρύνοντάς τες ἀπὸ τὴν ὀλέθρια αὐτὴ ἐλευθερία, τὶς ὁδηγεῖ πάλι στὸν προηγούμενο ζυγό. Γιατί, λέει, ἂν πρόκειται κάποια ἐνῶ εἶναι χήρα νὰ πορνεύει κρυφὰ καὶ νὰ καταντροπιάζει τὸν ἑαυτό της, εἶναι πολὺ πιὸ καλύτερα νὰ παντρεύεται καὶ «νὰ μὴ δίνει καμιὰ ἀφορμὴ στὸν ἐναντιούμενο πρὸς κατηγορία». Ὥστε ἔδωσε ἐντολὴ νὰ παντρεύονται γιὰ νὰ μὴ δίνουν ἀφορμὴ γιὰ κατηγορία καὶ νὰ μὴ κάμνουν ζωὴ ἐξευτελιστικὴ καὶ πορνική.

Ἄκουε λοιπὸν καὶ τὶς κατηγορίες ποὺ διατυπώνει ἐναντίον τους. Ἐνῶ δηλαδὴ πρέπει ὅλο τὸ χρόνο νὰ εἶναι προσηλωμένες

«καὶ ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας»· οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. Αὐτὸς δὲ οὐχ οὕτω βούλεται, ἀλλὰ προσηλῶσθαι αὐτὴν διαπαντὸς τοῖς πνευματικοῖς· «ἡ γὰρ σπαταλῶσα», φησί, ζῶσα τέθνηκεν». Ἐπεὶ καὶ τὴν παρθένον, οὐ τῇ τοῦ σώματος ἁγνείᾳ βούλεται ὁρίζειν τοῦτο τὸ καλόν, ἀλλὰ τὴν πᾶσαν σχολὴν εἰς τὴν λατρείαν ἀναλίσκειν τοῦ Θεοῦ. «Τοῦτο» γάρ, φησί, «λέγω ὑμῖν, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως». Οὐ γὰρ θέλει αὐτὴν μερίζεσθαι, ἀλλ' ὅλην εἶναι τῶν πνευματικῶν καὶ τῶν ἐν τοῖς οὐρανοῖς καὶ τὰ τοῦ Κυρίου μεριμνᾶν. Οὕτω καὶ τὴν χήραν πολιτεύεσθαι παραινεῖ λέγων· «ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπισεν ἐπὶ τὸν Θεὸν καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας». Ὅταν οὖν τὴν σχολὴν ἣν ἐν τοῖς εὐαγγελικοῖς πράγμασιν ἀναλίσκειν χρή, ταύτην μὴ μόνον εἰς περιττὰ καὶ ἀνωφελῆ, ἀλλὰ καὶ εἰς τὰ σφόδρα ἐπιβλαβῆ παρὰ πάντα δαπανῶσι τὸν βίον, εἰκότως αὐτὰς ἐπὶ τὸν γάμον ἄγει λοιπόν. Καθάπερ οὖν καὶ Ἰουδαίοις τὸ Σάββατον ἔδωκεν ὁ Θεός, οὐχ ἵνα ἀργῶσιν ἁπλῶς, ἀλλ' ἵνα τῶν πονηρῶν ἀπέχωνται πράξεων, οὕτω καὶ ἡ χήρα καὶ ἡ παρθένος, οὐχ ἵνα ἁπλῶς μὴ ὁμιλῶσιν ἀνδρί, τοῦτον αἱροῦνται τὸν βίον, ἀλλ' ἵνα τὰ τοῦ Κυρίου μεριμνῶσιν, ἵνα ἐξ ὁλοκλήρου τῇ τοῦ Θεοῦ θεραπείᾳ προσεδρεύωσι.

4. Ναί, φησίν· ἀλλ' ἀφόρητον ἔσται κακὸν γυναῖκα οὖσαν πραγμάτων ἄπειρον τὰ τῶν ἀνδρῶν ἀναγκάζεσθαι ὑπομένειν. Οὔτε γὰρ αὐτὴ μεταχειρίσαι δυνήσεται, καθάπερ ἐκεῖνος, καὶ θλίψεις ἀπὸ τούτων καὶ τὸ πάντα ἀπολέσαι κερδανεῖ μόνον. Ἆρ' οὖν πᾶσαι αἱ μὴ δευτέροις ὁμιλήσασαι γάμοις πάντα ἀπώλεσαν τὰ αὐτῶν

---

10. Α' Τιμ. 5,13.
11. Α' Τιμ. 5,6.
12. Α' Κορ. 7,35.
13. Α' Τιμ. 5,5.

στὶς προσευχὲς καὶ τὶς ἱκεσίες, «αὐτὲς ἀντίθετα», λέγει, «μαθαίνουν νὰ εἶναι ἀργὲς μὲ τὸ νὰ πηγαίνουν ἀπὸ σπίτι σὲ σπίτι· καὶ ὄχι μόνο μαθαίνουν νὰ εἶναι ἀργές, ἀλλὰ καὶ νὰ εἶναι φλύαρες καὶ περίεργες, μιλώντας γιὰ πράγματα ποὺ δὲν πρέπει»[10]. Αὐτὸς ὅμως δὲν θέλει αὐτό, ἀλλὰ νὰ εἶναι αὐτὴ προσηλλωμένη διαρκῶς στὰ πνευματικά· γιατὶ λέγει, «ἐκείνη ποὺ ζεῖ μέσα στὶς ἀπολαύσεις, ἔχει πεθάνει, ἂν καὶ βρίσκεται στὴ ζωή»[11]. Ἄλλωστε καὶ τὴν παρθένο δὲ θέλει νὰ περιορίζει αὐτὴ τὸ καλὸ αὐτὸ τῆς παρθενίας στὴν καθαρότητα μόνο τοῦ σώματος, ἀλλὰ νὰ ἀφιερώνει ὅλο τὸ χρόνο της στὴ λατρεία τοῦ Θεοῦ. Γιατὶ λέγει, «αὐτὸ σᾶς τὸ λέγω ὄχι γιὰ νὰ βάλω θηλειὰ στὸ λαιμό σας, ἀλλὰ γιὰ νὰ δείξετε καλὴ συμπεριφορὰ καὶ νὰ μείνετε προσηλωμένες στὸν Κύριο κατὰ τρόπο ἀπερίσπαστο»[12]. Γιατὶ δὲ θέλει αὐτὴ νὰ διασπᾶται, ἀλλὰ νὰ εἶναι ἐξ ὁλοκλήρου προσηλωμένη στὰ πνευματικὰ καὶ στὰ οὐράνια πράγματα καὶ νὰ φροντίζει γιὰ τὰ τοῦ Κυρίου. Κατὰ τὸν ἴδιο τρόπο προτρέπει καὶ τὴ χήρα νὰ ζεῖ, λέγοντας· «ἡ πραγματικὴ ὅμως χήρα καὶ ποὺ εἶναι μόνη στὸν κόσμο, ἔχει στηριγμένες τὶς ἐλπίδες της στὸ Θεὸ καὶ ἐπιμένει νύχτα καὶ ἡμέρα στὶς παρακλήσεις καὶ τὶς προσευχές»[13]. Ὅταν λοιπὸν τὸ χρόνο ποὺ πρέπει νὰ τὸν ξοδεύουν στὰ εὐαγγελικὰ πράγματα, αὐτὸν τὸ δαπανοῦν σ' ὅλη τὴ ζωή τους ὄχι μόνο σὲ περιττὰ καὶ ἀνωφελῆ πράγματα, ἀλλὰ καὶ στὰ πάρα πολὺ ἐπιβλαβῆ, πολὺ σωστὰ πλέον τὶς ὁδηγεῖ στὸ γάμο. Ὅπως ἀκριβῶς δηλαδὴ καὶ στοὺς Ἰουδαίους ὁ Θεὸς ἔδωσε τὸ Σάββατο ὄχι ἁπλῶς γιὰ νὰ μὴ ἐργάζονται, ἀλλὰ γιὰ νὰ ἀπέχουν ἀπὸ τὶς κακὲς πράξεις, ἔτσι καὶ ἡ χήρα καὶ ἡ παρθένος προτιμοῦν αὐτὸ τὸ βίο ὄχι ἁπλῶς γιὰ νὰ μὴ συνάπτουν σαρκικὴ σχέση μὲ ἄνδρα, ἀλλὰ γιὰ νὰ φροντίζουν γιὰ τὰ τοῦ Κυρίου, γιὰ νὰ εἶναι ἐξ ὁλοκλήρου προσηλωμένες στὴν ὑπηρεσία τοῦ Θεοῦ.

4. Ναί, λέγει· ὅμως θὰ εἶναι ἀνυπόφορο κακό, ἐνῶ εἶναι γυναίκα καὶ ἄπειρη πραγμάτων, νὰ ἀναγκάζεται νὰ ὑπομένει τὰ πράγματα ποὺ εἶναι γιὰ τοὺς ἄνδρες. Γιατὶ οὔτε θὰ μπορέσει αὐτὴ νὰ τὰ ἐκτελέσει ὅπως ἀκριβῶς ἐκεῖνος καὶ θλίψεις μόνο θὰ κερδίσει ἀπ' αὐτὰ καὶ τὸ νὰ τὰ χάσει ὅλα. Ὥστε λοιπὸν ὅλες ἐκεῖνες ποὺ δὲν συνῆψαν δεύτερο γάμο τὰ ἔχασα ὅλα τὰ ὑπάρχοντά τους καὶ ἐξέ-

καὶ πάντων ἐξέπεσον καὶ οὐκ ἔστιν ἰδεῖν γυναῖκα χήραν πραγμάτων προϊσταμένην; Σκῆψις ταῦτα καὶ πρόφασις καὶ τῆς οἰκείας ἀσθενείας προκαλύμματα. Πολλαὶ γὰρ τῶν ἀνδρῶν γενναιότερον καὶ οἰκίας προέστησαν, καὶ παῖδας ἐξέθρεψαν ὀρφανούς, καὶ τὰς ἐν χερσὶν οὐσίας αἱ μὲν ηὔξησαν, αἱ δὲ οὐκ ἠλάττωσαν. Καὶ γὰρ ὁ Θεὸς ἐξ ἀρχῆς οὐ τὸ πᾶν τοῖς ἀνδράσιν ἐπέτρεψεν, οὐδὲ ἐν πᾶσιν αὐτῶν ἐκκρέμασθαι τὰ ἐν τῷ βίῳ πράγματα μόνον ἀφῆκεν· ἢ γὰρ ἂν εὐκαταφρόνητος ἡ γυνὴ ἦν, μηδὲν συντελοῦσα πρὸς τὸν βίον ἡμῖν. Ὅπερ οὖν εἰδὼς ὁ Θεὸς ἀπένειμεν αὐτῇ μοῖραν οὐκ ἐλάττονα· καὶ τοῦτο δηλῶν ἄνωθεν ἔλεγε, «ποιήσωμεν αὐτῷ βοηθόν». Ἵνα γὰρ μὴ τῷ πρῶτον γεγενῆσθαι, μηδὲ τῷ δι' αὐτὸν τὴν γυναῖκα πεπλάσθαι, μέγα κατ' αὐτῆς ἔχῃ φρονεῖν ὁ ἀνήρ, διὰ τοῦ ῥήματος τούτου κατέστειλε τὸν τῦφον αὐτοῦ, δεικνὺς ὅτι οὐχ ἧττον τοῦ ἀνδρὸς τῆς γυναικὸς τὰ τοῦ κόσμουο δεῖται πράγματα.

Τίνα οὖν ἐστι ταῦτα καὶ ἐν τίσι συνεφάπτεται ἡμῖν εἰς τὴν τοῦ βίου σύστασιν αὕτη; Ἐπειδὴ γὰρ οὐχ ἧττον τῶν δημοσίων τὰ ἰδιωτικὰ συγκροτεῖ τὴν παροῦσαν κατάστασιν, διανείμας αὐτά, τὰ μὲν ἐπ' ἀγορᾶς πάντα ἐνεχείρισε τοῖς ἀνδράσι, τὰ δὲ κατὰ τὴν οἰκίαν ταῖς γυναιξί· κἂν ἀλλάξωνται τὴν τάξιν, πάντα διεφθάρη καὶ ἀπόλωλεν· οὕτως ἕκαστος ἐν τῷ ἰδίῳ πολὺ θατέρου χρησιμώτερος. Οὐκοῦν εἰ τὰ κατὰ τὴν οἰκίαν τῆς γυναικείας ἐπιστήμης ἐξήρτηται, καὶ τοσοῦτον ἐν τούτῳ κρείττων ἀνδρὸς ἡ γυνή, ὅσον τῶν ἀτέχνων οἱ τεχῖται ἐν οἷς εἰσι τεχνῖται, τί περιττῶς τὸ δέος τοῦτο δεδοίκαμεν; Τὸ μὲν γὰρ προσοδεύειν ἔξωθεν καὶ συνάγειν, ἀνδρῶν μόνον ἐστί, γυναῖκας δὲ κερδαίνειν οὐ θέμις· τὸ δὲ τὰ συναχθέντα διατηρεῖν καὶ φυλάττειν, ταύτης μόνης ἐστίν. Ὥστε, εἰ καὶ δοκεῖ πλέον εἶναι τὸ κτήσασθαι τοῦ φυλάξαι, ἀλλ' ὅμως ἄνευ τούτου κἀκεῖνο

14. Γεν. 2,18.

πεσαν ἀπὸ ὅλα καὶ δὲν μπορεῖ κανεὶς νὰ βρεῖ γυναίκα χήρα ποὺ νὰ προΐσταται τῶν πραγμάτων της; Αὐτὰ εἶναι δικαιολογία καὶ πρόφαση καὶ τρόπος καλύψεως τῆς ἀδυναμίας τους. Γιατὶ πολλὲς διεύθυναν τὸ σπίτι τους πιὸ γενναῖα καὶ ἀπὸ τοὺς ἄνδρες, καὶ ὀρφανὰ παιδὶα ἀνέθρεψαν, καὶ τὶς περιουσίες ποὺ παρέλαβαν ἄλλες τὶς αὔξησαν καὶ ἄλλες ὁπωσδήποτε δὲν τὶς ἐλάττωσαν. Γιατὶ ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴ δὲν ἀνέθεσε τὸ πᾶν στοὺς ἄνδρες, οὔτε ἄφησε ὅλα τὰ πράγματα τῆς ζωῆς νὰ ἐξαρτῶνται μόνο ἀπὸ αὐτούς· γιατί, ἂν συνέβαινε αὐτό, θὰ ἦταν πραγματικὰ ἡ γυναίκα ἄξια περιφρονήσεως, μὴ παρέχοντάς μας καμιὰ βοήθεια στὴ ζωή. Γνωρίζοντας λοιπὸν αὐτὸ ὁ Θεὸς παραχώρησε σ' αὐτὴν μερίδιο ὄχι μικρότερο· καὶ γιὰ νὰ δηλώσει αὐτό, ἔλεγε ἀπὸ τὴν ἀρχή, «ἂς κάμομε βοηθό του»[14]. Γιὰ νὰ μὴ μπορεῖ λοιπὸν νὰ μεγαλοφρονεῖ ὁ ἄνδρας ἐπειδὴ δημιουργήθηκε πρῶτος, οὔτε ἐπειδὴ ἡ γυναίκα πλάσθηκε γι' αὐτόν, μὲ τὸ λόγο του αὐτὸ περιόρισε τὴν ὑπερηφάνειά του, δείχνοντας ὅτι τὰ πράγματα τοῦ κόσμου χρειάζονται τὴ γυναίκα ὄχι λιγότερο ἀπὸ τὸν ἄνδρα.

Ποιά λοιπὸν εἶναι αὐτὰ καὶ σὲ ποιά πράγματα αὐτὴ μᾶς βοηθάει στὴν ὅλη συγκρότηση τῆς ζωῆς; Ἐπειδὴ τὴν κατάσταση τῆς παρούσας ζωῆς τὴ συγκροτοῦν καὶ τὰ ἰδιωτικὰ πράγματα ὄχι λιγότερο ἀπὸ τὰ δημόσια, διαμοίρασε αὐτά, καὶ ὅλα τὰ τῆς ἀγορᾶς τὰ ἀνέθεσε στοὺς ἄνδρες, ἐνῶ τὰ τοῦ σπιτιοῦ στὶς γυναῖκες, καὶ ἂν ἀλλάξει αὐτὴ ἡ τάξη τῶν πραγμάτων, ὅλα καταστράφηκαν καὶ χάθηκαν· ἔτσι ὁ καθένας στὸ μέρος του εἶναι πολὺ πιὸ χρήσιμος ἀπὸ τὸν ἄλλο. Ἂν λοιπὸν τὰ τοῦ σπιτιοῦ ἐξαρτῶνται ἀπὸ τὴ γυναικεία ἐπιστήμη καὶ τόσο πιὸ ἀνώτερη εἶναι ἡ γυναίκα ἀπὸ τὸν ἄνδρα στὸ χῶρο αὐτό, ὅσο οἱ τεχνίτες εἶναι ἀνώτεροι ἀπὸ τοὺς ἀδαεῖς στὰ πράγματα τῆς τέχνης τους, γιατί εἴμαστε κυριευμένοι τόσο πολὺ ἀπὸ τὸ φόβο αὐτό; Ἡ ἐξεύρεση λοιπῶν ἐσόδων ἔξω ἀπὸ τὸ σπίτι καὶ ἡ συγκέντρωση αὐτῶν εἶναι ἔργο μόνο τῶν ἀνδρῶν, ἐνῶ δὲν εἶναι ὀρθὸ νὰ κερδίζουν οἱ γυναῖκες, ὅμως ἡ διατήρηση καὶ διαφύλαξη τῶν συγκεντρωθέντων εἶναι ἔργο μόνο αὐτῆς. Ὥστε, ἂν καὶ θεωρεῖται πιὸ μεγάλο καὶ πιὸ δύσκολο ἔργο ἡ ἀπόκτηση τῶν ἀγαθῶν ἀπὸ τὴ φύλαξη αὐτῶν, ἀλλ' ὅμως χωρὶς αὐτὸ καὶ ἐκεῖ-

ἄχρηστον γίνεται καὶ περιττόν· πολλάκις δὲ καὶ τούτου προσόντος ἐκεῖνο οὐ μόνον οὐδὲν ὤνησεν, ἀλλὰ καὶ τὰ πάντα διέφθειρεν. Ἐπειδὴ γὰρ πρᾶγμά ἐστι δυσχερές, κερδαίνοντα ἔξωθεν ἄνδρα δίκαια κέρδη πορίζεσθαι (ὡς γὰρ ἐπὶ πολὺ τὰς τῶν ἀλλοτρίων οὗτοι πραγματεύονται συμφοράς), καὶ τῇ τῆς γυναικὸς τέχνῃ καὶ τῇ οἰκονομίᾳ πολλάκις ἐλυμήναντο τὰ ἀδίκως καὶ μετὰ βίας εἰς τὰς χεῖρας ἀχθέντα τὰς ἐκείνης. Ὥστε, εἰ καὶ μεῖζον τὸ κτήσασθαι τοῦ φυλάξαι, ἑτέρῳ δείκνυται τρόπῳ ἔλαττον τοῦτο, ὅταν μὴ μόνον μηδὲν συντελῇ εἰς τὴν τῶν ὄντων προσθήκην, ἀλλὰ καὶ διαφθείρῃ τὰ ἀποκείμενα. Τί οὖν δέδοικεν ἡ χήρα, μὴ παρὰ τὴν ἀπουσίαν τοῦ ἀνδρὸς χεῖρον διαθῇ τὰ κατὰ τὴν οἰκίαν, ἧς καὶ ζῶντος ἐκείνου τὴν ἐπιμέλειαν εἶχεν αὐτή;

Ἀλλ' εὐκολώτερον, φησί, μεταχειριεῖται, διὰ τὸν ἐκείνου φόβον οὐδενὸς ἀντιπίπτοντος, οὐδὲ δυσκολίαν παρέχοντος. Καὶ γὰρ οἰκέται καὶ οἰκονόμοι καὶ ἐπίτροποι καὶ πάντες κατεπτήχασι καὶ μετὰ πολλῆς ὑπακούουσι τῆς πειθοῦς καὶ ὁ ἀντιλέγων οὐδείς· ὅταν δὲ ὁ φοβῶν ἀπέλθῃ, ἅπαντες ἐπεμβαίνουσι τῇ χήρᾳ, κακουργοῦσι, καταθρασύνονται, πάντα συγχέουσι καὶ διασπῶσι· κἂν ἐπεξέλθῃ καὶ ἀμύνηται, στρεβλοῦσα, μαστίζουσα, εἰς δεσμωτήριον ἐμβάλλουσα, καταγνώσεις, λοιδορίαι, κατηγορίαι παρὰ τῶν πολλῶν. Ἂν δὲ τὰς πρὸς τὸν ἀπελθόντα συνθήκας πατήσῃ καὶ τῆς φιλίας ἐπιλάθηται τῆς ἐκείνου, καὶ τὴν ἑσπέραν καθ' ἣν πρῶτον αὐτῇ συνήπτετο, καὶ τὸν κρότον καὶ τὸν ὑμέναιον καὶ τὰς γαμηλίους δᾷδας καὶ τὰς πρώτας περιπλοκὰς καὶ τὰς τραπέζας καὶ τῶν ἀλῶν ὧν αὐτῇ παρὰ πάντα τὸν χρόνον ἐκοινώνησε, καὶ ῥημάτων ὧν εἰκὸς γυναῖκα ἀπολαύειν παρὰ ἀνδρός· ἂν ταῦτα ῥίψῃ πάντα ἐξαίφνης ὡς οὐδὲ γεγενημένα, ἑτέρῳ τὰς θύρας ἀναπετάσασα τῆς οἰκίας καὶ πρὸς τὴν εὐνὴν αὐτὸν ἕλκῃ τὴν ἐκείνου τὴν πάντα τὰ πρότερον

νο γίνεται ἄχρηστο καὶ περιττό· πολλὲς φορὲς μάλιστα καὶ ἐνῶ ὑπῆρχε καὶ αὐτὸ ἐκεῖνο ὄχι μόνο δὲν ὠφέλησε σὲ τίποτε, ἀλλὰ καὶ κατέστρεψε τὰ πάντα. Ἐπειδὴ δηλαδὴ τὸ πράγμα εἶναι δύσκολο, τὸ νὰ κερδίζει δηλαδὴ ὁ ἄνδρας ἐκτὸς τοῦ σπιτιοῦ καὶ νὰ εἶναι δίκαια τὰ κέρδη του (γιατὶ κατὰ τὸ πλεῖστο αὐτοὶ ἐκμεταλλεύονται τὶς συμφορὲς τῶν ξένων), πολλὲς φορὲς παρ' ὅλη τὴν τέχνη τῆς γυναίκας καὶ τὴ διαχείριση αὐτῆς καταστράφηκαν ἐκεῖνα ποὺ παραδόθηκαν στὰ χέρια της μετὰ ἀπὸ ἄδικη καὶ παράνομη ἀπόκτηση. Ὥστε, ἂν καὶ εἶναι σπουδαιότερη ἡ ἀπόκτηση ἀγαθῶν ἀπὸ τὴ διαφύλαξη αὐτῶν, τὸ ἔργο αὐτὸ μὲ ἄλλο τρόπο παρουσιάζεται κατώτερο, ὅταν ὄχι μόνο δὲν συντελεῖ καθόλου στὴν αὔξηση τῶν ὑπαρχόντων, ἀλλὰ καὶ καταστρέφει τὰ ἀποκτηθέντα. Γιατί φοβᾶται λοιπὸν ἡ χήρα, μήπως, λόγω τῆς ἀπουσίας τοῦ ἄνδρα, διαχειρισθεῖ χειρότερα τὰ πράγματα τοῦ σπιτιοῦ, τὴ φροντίδα τοῦ ὁποίου τὴν εἶχε αὐτὴ καὶ ὅταν ἐκεῖνος ζοῦσε;

Ἀλλὰ εὐκολότερα, λέγει, θὰ τὰ διαχειρισθεῖ ἐκεῖνος, ἐπειδὴ ἀπὸ φόβο πρὸς ἐκεῖνον κανένας δὲν ἀντιτίθεται οὔτε δυσκολίες παρέχει. Γιατὶ καὶ οἱ δοῦλοι καὶ οἱ διαχειριστὲς καὶ οἱ ἐπίτροποι καὶ ὅλοι γενικὰ εἶναι γεμάτοι ἀπὸ φόβο, ἐκτελοῦν μὲ μεγάλη ὑπακοὴ τὶς ἐντολὲς καὶ κανένας δὲν ἀντιλέγει· ὅταν ὅμως φύγει ἐκεῖνος ποὺ προκαλεῖ τὸ φόβο, ὅλοι ἐπεμβαίνουν στὶς ὑποθέσεις τῆς χήρας, τὴ βλάπτουν, τὴ συμπεριφέρονται μὲ θρασύτητα, ὅλα τὰ κάνουν ἄνω κάτω καὶ τὰ καταστρέφουν· καὶ ἂν συμβεῖ νὰ προβάλει ἀντίσταση ἐναντίον τους καὶ νὰ τοὺς τιμωρήσει μὲ βασανισμούς, μὲ μαστιγώσεις καὶ μὲ φυλακίσεις, κατακρίνεται ἐκ μέρους τῶν πολλῶν, κακολογεῖται καὶ κατηγορεῖται. Ἂν πάλι καταπατήσει τὶς συμφωνίες πρὸς τὸ σύζυγο ποὺ ἔφυγε καὶ ξεχάσει τὴν ἀγάπη ἐκείνου καὶ τὴν ἑσπέρα ποὺ ἦρθε σὲ σαρκικὴ ἕνωση μαζί του, καὶ τὰ χειροκροτήματα, καὶ τὰ γαμήλια ἄσματα, καὶ τὶς γαμήλιες λαμπάδες, καὶ τὰ πρῶτα ἀγκαλιάσματα, καὶ τὰ τραπέζια, καὶ τὰ ἀγαθὰ που ἀπόλαυσε μαζί του ὅλο τὸ χρόνο, καὶ τὰ λόγια ποὺ φυσικὸ εἶναι ν' ἀκούει ἡ γυναίκα ἀπὸ τὸν ἄνδρας της, ἂν ὅλα αὐτὰ ξαφνικὰ τὰ ἀπορρίψει σὰν πράγματα ποὺ οὔτε κἂν νὰ συνέβηκαν, καὶ ἀνοίξει σ' ἄλλον τὶς πόρτες τοῦ σπιτιοῦ της καὶ ὁδηγεῖ αὐτὸν

συνειδυῖαν, ἂν ταῦτα ποιῇ, οὐδεὶς ὁ μεμφόμενος, οὐδὲ ἐγκαλῶν; οὐδεὶς ὁ μισήσων καὶ ἄστοργον καὶ ἄπιστον καὶ ἄσπονδον καὶ πάντα τὰ τοιαῦτα προσερῶν;

5. Μὴ γάρ, ἐπειδὴ συνεχώρησεν ὁ μακάριος Παῦλος τὸ πρᾶγμα, ἤδη αὐτὸ καὶ ἐπαίνων ἄξιον νόμιζε καὶ καταγνώσεως ἀπηλλάχθαι τῆς παρὰ τῶν πολλῶν. Κολάσεως μὲν γὰρ καὶ τιμωρίας ἐστὶν ἐκτός, ἐπαίνων δὲ καὶ ἐγκωμίων οὐκ ἂν δύναιτο κοινωνεῖν. Καὶ γὰρ τὸ κατωφερῆ τινα καὶ λάγνον εἶναι καὶ μήτε ἐν καιρῷ τῆς νηστείας μήτε ἐν ἄλλῳ τινὶ τῆς γυναικὸς ἀπέχεσθαι, κολάσεως μὲν καὶ αὐτὸ πόρρω καὶ μακράν, οὐ μὴν ἐπαίνων ἐγγύς· αὐτὸ γὰρ τὸ συγκαταβῆναι τοσοῦτον, οὐδεν ἕτερόν ἐστιν, ἢ σημεῖον ἀσθενείας καὶ ἀπροσεξίας πολλῆς. Ὥστε εἰ δέδοικας μὴ θρασύτητος δόξαν λάβῃς διὰ τὴν τῶν οἰκετῶν ἐπιτίμησιν, πρὸ τούτου δεδοικέναι χρὴ μὴ λαγνείας καὶ ἀσωτίας δόξαν προστρίψῃ τοσαύτην. Χωρὶς δὲ τούτων τῇ χήρᾳ τὸ πρᾶγμα ἄμεινον ἐξέσται μετελθεῖν, ὥστε καὶ ἐν ἀσφαλείᾳ αὐτῇ τὰ πολλὰ πράγματα εἶναι καὶ μὴ μόνον μὴ ψέγεσθαι, ἀλλὰ καὶ ἐπαινεῖσθαι παρὰ πάντων, καὶ πρὸ τούτου τῶν ἀγαθῶν ἐπιτυχεῖν τῶν παρὰ τοῦ Θεοῦ. Ἂν γὰρ θελήσῃς παρακαταθέσθαι τὰ χρήματα τῷ οὐρανῷ καὶ εἰς τὸν ἄσυλον αὐτὰ κατορύξῃς τόπον ἐκεῖνον, οὐ μόνον οὐκ ἐλαττωθήσεται, ἀλλὰ καὶ πολλῷ πλείω γενήσεται. Τοιοῦτος γὰρ οὗτος ὁ σπόρος.

Εἰ δὲ ἐλάττων ἐστὶ τοῦ χωρῆσαι μέχρι τῆς νομοθεσίας ἐκείνης, καὶ πάντα ἀθρόως οὐ βούλεται μεταθεῖναι, λογιζέσθω πάλιν ἐκεῖνο, ὅτι καὶ ἄνδρα λαβοῦσα οὐ πάντως λήψεται τοιοῦτον, οἷον καὶ προσθεῖναι τοῖς οὖσιν· ἂν δ' ἄρα καὶ τοιοῦτος ᾖ, μὴ τοῦτο ἐννοείτω μόνον τὴν τῶν χρημάτων προσθήκην, ἀλλ' ὅτι πολλὰ καὶ τῷ Θεῷ καὶ τοῖς ἀνθρώποις προσκρούειν προαχθήσεται. Ἂν μὲν γὰρ τῶν δυνατῶν ᾖ καὶ πολλὴν ἐχόντων ἰσχύν, ἔστιν ὅτε παρὰ γνώμην

στὸ κρεββάτι ἐκεῖνο ποὺ γνωρίζει ὅλα τὰ προηγούμενα, ἂν κάμει αὐτά, ποιός τότε δὲ θὰ τὴν ψέξει, ποιός δὲ θὰ τὴν κατηγορήσει; ποιός δὲ θὰ τὴ μισήσει καὶ δὲ θὰ τὴν ἀποκαλέσει καὶ ἄστοργη καὶ ἄπιστη καὶ ἄσπονδη καὶ ὅλα τὰ παρόμοια;

5. Μὴ λοιπὸν νομίζεις, ἐπειδὴ τὸ πράγμα αὐτὸ τὸ ἐπέτρεψε ὁ μακάριος Παῦλος, ὅτι αὐτὸ εἶναι καὶ ἄξιο ἐπαίνων καὶ εἶναι ἀπαλλαγμένο ἀπὸ τὴν κατάκριση τῶν πολλῶν. Βέβαια εἶναι ἀπηλλαγμένη ἀπὸ κόλαση καὶ τιμωρία, δὲν θὰ μποροῦσε ὅμως νὰ τύχει τῶν ἐπαίνων καὶ τῶν ἐγκωμίων. Γιατὶ τὸ νὰ πέφτει κανεὶς ἠθικά, νὰ εἶναι φιλήδονος καὶ νὰ μὴ ἀπέχει ἀπὸ τὴ γυναίκα οὔτε κατὰ τὴν περίοδο τῆς νηστείας οὔτε σὲ κάποια ἄλλη στιγμή, καὶ αὐτὸ βέβαια βρίσκεται μακριὰ ἀπὸ τὴν τιμωρία, ὄχι ὅμως καὶ πλησίον τῶν ἐπαίνων· γιατὶ ἡ τόση μεγάλη πτώση δὲν εἶναι τίποτε ἄλλο, παρὰ δεῖγμα ἀδυναμίας καὶ μεγάλης ἀπροσεξίας. Ὥστε, ἂν φοβᾶσαι νὰ μὴ ἀποκτήσεις φήμη θρασύτητας ἐπειδὴ ἐπιτιμᾶς τοὺς ὑπηρέτες σου, πρὶν ἀπ' αὐτὸ πρέπει νὰ φοβᾶσαι μὴ τυχὸν καὶ ἀποκτήσεις παρόμοια φήμη γιὰ φιληδονία καὶ ἀσωτία. Χωρὶς ὅμως αὐτὰ θὰ εἶναι εὔκολο στὴ χήρα νὰ ἀντιμετωπίσει τὴ χηρεία της, ὥστε καὶ τὰ πολλὰ ὑπάρχοντά της νὰ βρίσκονται σὲ ἀσφάλεια, καὶ ὄχι μόνο νὰ μὴ κατηγορεῖται ἀλλὰ καὶ νὰ ἐπαινεῖται ἀπὸ ὅλους, καὶ πρὶν ἀπὸ ὅλα αὐτὰ θὰ μπορέσει νὰ ἐπιτύχει τὰ ἀγαθὰ ἐκ μέρους τοῦ Θεοῦ. Γιατί, ἂν θελήσεις νὰ τὰ ἀποθηκεύσεις τὰ χρήματα στὸν οὐρανὸ καὶ νὰ παραχωρήσεις αὐτὰ σ' ἐκεῖνον τὸν ἀσύλητο τόπο, ὄχι μόνο δὲν θὰ ἐλαττωθοῦν, ἀλλὰ καὶ θὰ γίνουν πολὺ περισσότερα. Γιατὶ τέτοιος εἶναι αὐτὸς ὁ σπόρος.

Ἂν ὅμως δὲν ἔχει τὴ δύναμη νὰ προχωρήσει μέχρι σ' ἐκείνη τὴ νομοθεσία καὶ δὲ θέλει ὅλα μαζὶ νὰ τὰ μεταθέσει ἐκεῖ, ἂς σκεφθεῖ πάλι ἐκεῖνο, ὅτι δηλαδὴ καὶ σύζυγο νὰ λάβει, ὁπωσδήποτε ὅμως δὲ θὰ λάβει τέτοιον ποὺ νὰ μπορεῖ ν' αὐξήσει τὴν περιουσία της· ἂν πάλι εἶναι τέτοιος, ἂς μὴ σκέπτεται μόνο αὐτό, τὴν αὔξηση δηλαδη τῶν χρημάτων, ἀλλ' ὅτι σὲ πολλὲς περιπτώσεις θὰ φθάσει στὸ σημεῖο νὰ ρθεῖ σὲ σύγκρουση καὶ μὲ τὸ Θεὸ καὶ μὲ τοὺς ἀνθρώπους. Γιατί, ἂν εἶναι ἀπὸ τοὺς δυνατοὺς καὶ ἀπὸ ἐκείνους ποὺ ἔχουν μεγάλη ἰσχύ, θὰ συμβεῖ πολλὲς φορὲς νὰ τὴν ἀναγκάσει νὰ

πολλὰ καὶ πρᾶξαι καὶ παθεῖν αὐτὴν βιάσεται, καὶ ὅπερ ἐπὶ χηρείας ἐδεδοίκει, τοῦτο μετὰ πλείονος ἀνάγκης ὑποστήσεται νῦν· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ ταχίστην εἰκὸς αὐτὴν δέξασθαι τὴν μεταβολήν. Χήρα μὲν γὰρ οὖσα, κἂν ἐλαττώσῃ τι τῶν τοιούτων, ὅμως τὰ λειπόμενα μετὰ πολλῆς ἕξει τῆς ἀσφαλείας· ἀνδρὶ δὲ συναφθεῖσα δυνατῷ καὶ τὰ τῆς πόλεως πράττοντι ἢ καὶ ἑτέραν τινὰ μετιόντι φροντίδα, πολλάκις ἀθρόον πάντα ἀποβαλεῖται· ταῖς γὰρ τῶν ἀνδρῶν συμφοραῖς ἀνάγκη καὶ τὰς συνοικούσας αὐτοῖς κοινωνεῖν.

Εἰ δὲ καὶ μηδὲν συμβαίη τοιοῦτον, τί τὸ κέρδος, εἰπέ μοι, δουλείαν ἀντὶ ἐλευθερίας αἱρεῖσθαι; τί δὲ τὸ ὄφελος τῶν πολλῶν χρημάτων, ὅταν αὐτοῖς χρήσασθαι μὴ δύνηται πρὸς ὃ βούλεται; Οὐ πολλῷ βέλτιον ὀλίγα μετ' ἐξουσίας ἔχειν, ἢ τὰ τῆς οἰκουμένης μετὰ τοῦ καὶ αὐτὴν σὺν ἐκείνοις ὑποκεῖσθαι ἑτέρῳ; Τὰς γὰρ φροντίδας καὶ τὰς ὕβρεις καὶ τὰς λοιδορίας καὶ τὰς ζηλοτυπίας καὶ τὰς ὑποψίας τὰς εἰκῇ καὶ τὰς ὠδῖνας καὶ τὰ ἄλλα ἅπαντα παρίημι νῦν. Ὁ μὲν γὰρ τῇ παρθένῳ διαλεγόμενος εἰκότως καὶ περὶ τούτων διαλέξεται, ἅτε ἀπείρῳ οὔσῃ καὶ ἀμαθεῖ τῶν πραγμάτων ἐκείνων· χήρᾳ δὲ κἂν ἐνοχλήσειέ τις ταῦτα λέγων. Ἃ γὰρ διὰ τῶν πραγμάτων ἔμαθεν ἀκριβέστερον, περιττὸν τῷ λόγῳ πειρᾶσθαι διδάσκειν αὐτήν. Τοσοῦτον δὲ προσθεῖναι καλόν, ὅτι καὶ μετὰ πλείονος ὁμιλήσει τῆς παρρησίας καὶ τῆς ἐλευθερίας ἡ παρθένος γαμηθεῖσα τῆς μετὰ τὴν χηρείαν. Ταύτην μὲν γὰρ κἂν ὡς γυναῖκα στέργῃ, ἀλλ' οὐχ ὡς παρθένον λαβών· ὅτι δὲ πολλῷ ἐκεῖνοι τούτων οἱ ἔρωτες σφοδρότεροι καὶ μανικώτεροι, παντί που δῆλόν ἐστιν· ἐκείνην δὲ ἅτε μὴ παντὸς ἀνδρὸς ἄπειρον οὐ παντὶ θυμῷ καὶ ἀσπάσεται καὶ φιλήσει.

Πεφύκαμεν γὰρ ὡς εἰπεῖν ἅπαντες ἄνθρωποι, εἴτε ὑπὸ ζηλοτυπίας, εἴτε ὑπὸ κενοδοξίας, εἴτε οὐκ οἶδ' ὅθεν ἑτέρωθεν, τῶν πρα-

κάμει πολλὰ καὶ νὰ πάθει χωρὶς νὰ τὸ θέλει, καὶ ἐκεῖνο ποὺ φοβόταν μήπως καὶ τῆς συμβεῖ ἐξ αἰτίας τῆς χηρείας, αὐτὸ θὰ τὸ πάθει τώρα κατ' ἀνάγκη σὲ μεγαλύτερο βαθμό· καὶ ὄχι μόνο αὐτό, ἀλλὰ φυσικὸ εἶναι αὐτὴ καὶ νὰ ὑποστεῖ τάχιστη μεταβολή. Ὅσο δηλαδὴ εἶναι χήρα, κι ἂν ἀκόμη ἐλαττώσει κατά τι αὐτά, ὅμως θὰ ἔχει τὰ ὑπόλοιπα μὲ μεγάλη ἀσφάλεια· ἂν ὅμως παντρευτεῖ δυνατὸ ἄνδρα ποὺ ἀσχολεῖται μὲ τὰ πολιτικὰ ἢ ἀσκεῖ κάποιο ἄλλο ἐπάγγελμα πολλὲς φορὲς θὰ τὰ χάσει ὅλα μέσα σὲ μιὰ στιγμή· γιατὶ στὶς συμφορὲς τῶν ἀνδρῶν ἀναγκαστικὰ συμμετέχουν καὶ οἱ γυναῖκες αὐτῶν.

Ἀλλὰ καὶ ἂν ἀκόμη δὲν συμβεῖ τίποτε παρόμοιο, ποιό τὸ κέρδος, πές μου, νὰ προτιμᾶ τὴ δουλεία ἀντὶ τῆς ἐλευθερίας; καὶ ποιό τὸ ὄφελος ἀπὸ τὰ πολλὰ χρήματα, ὅταν αὐτὰ δὲν μπορεῖ νὰ τὰ χρησιμοποιήσει ἐκεῖ ποὺ θέλει; Δὲν εἶναι πολὺ πιὸ καλύτερα νὰ ἔχει λίγα ἀλλὰ στὴν ἀπόλυτη διάθεσή της, παρὰ νὰ ἔχει τὰ ἀγαθὰ ὅλης τῆς οἰκουμένης καὶ νὰ εἶναι αὐτὴ μαζὶ μ' αὐτὰ ὑποταγμένη σ' ἄλλον; Γιατὶ ἀφήνω κατὰ μέρος στὴν περίπτωση αὐτὴ τὶς φροντίδες, τὶς προσβολές, τὶς κατηγορίες, τὶς ζηλοτυπίες καὶ τὶς ἀδικαιολόγητες ὑποψίες, τοὺς πόνους τοῦ τοκετοῦ καὶ ὅλα τὰ ἄλλα. Γιατὶ ἐκεῖνος ποὺ συνομιλεῖ μὲ παρθένο εὔλογα θὰ μιλήσει καὶ γι' αὐτά, ἀφοῦ ἐκείνη εἶναι ἄπειρη καὶ δὲν γνωρίζει τὰ πράγματα ἐκεῖνα, τὴ χήρα ὅμως ἴσως καὶ νὰ τὴν ἐνοχλήσει μιλώντας της γι' αὐτά. Γιατὶ ἐκεῖνα ποὺ τὰ ἔμαθε καλύτερα ἀπὸ τὰ ἴδια τὰ πράγματα, εἶναι περιττὸ νὰ ἐπιχειρεῖ νὰ τῆς τὰ διδάσκει κανεὶς μὲ τὰ λόγια. Αὐτὸ μόνο τὸ καλὸ θὰ προσθέσω, ὅτι δηλαδὴ ἡ παρθένος μετὰ τὴ σύναψη γάμου θ' ἀποκτήσει μεγαλύτερη παρρησία καὶ ἐλευθερία ἀπὸ ἐκείνην ποὺ παντρεύτηκε μετὰ τὴ χηρεία. Γιατὶ αὐτὴν βέβαια θὰ τὴν ἀνέχεται σὰν γυναίκα, ὄχι ὅμως ὅπως ἂν αὐτὴ ἦταν παρθένος· καὶ ὅτι ἐκεῖνοι οἱ ἔρωτες εἶναι πιὸ σφοδρότεροι καὶ πιὸ μανιώδεις ἀπὸ αὐτοὺς εἶναι βέβαια στὸν καθένα φανερό· γιατὶ τὴ χήρα, ἐπειδὴ γνώρισε καὶ ἄλλον ἄνδρα, δὲ θὰ τὴν ἀγκαλιάσει καὶ θὰ τὴ φιλήσει μὲ ὅλο τὸ πάθος του.

Καὶ πράγματι ὅλοι οἱ ἄνθρωποι, ὅπως θὰ μπορούσαμε νὰ ποῦμε, ἀπὸ τὴ φύση μας εἴτε ἀπὸ ζηλοτυπία, εἴτε ἀπὸ κενοδοξία, εἴτε

γμάτων ἐκεῖνα μάλιστα φιλεῖν ὧν καὶ τὴν ἐξουσίαν καὶ τὴν ἀπόλαυσιν οὐ μεθ' ἑτέρους ἔχομεν, ἀλλ' αὐτοὶ πρῶτοι καὶ μόνοι καθεστήκαμεν κύριοι. Τοῦτο καὶ ἐπὶ ἱματίων ἴδοι τις ἂν συμβαῖνον ἡμῖν· οὐ γὰρ ὁμοίως διακείμεθα πρὸς τὰ παρ' ἑτέρων εἰς χρῆσιν ἐλθόντα τοῖς παρ' οὐδενός. Τοῦτο καὶ ἐπὶ οἰκίας καὶ ἐπὶ σκευῶν· καὶ γὰρ καὶ οἰκίαν τὴν παρ' ἑτέρου δοθεῖσαν ἡμῖν οὐχ ὁμοίως ἐκείνῃ φιλοῦμεν, ἣν αὐτοὶ κατεσκευάσαμεν· καὶ τῶν σκευῶν τὰ μὲν ἄρτι γενόμενα καὶ πρώτην παρ' ἡμῖν χρείαν δεξάμενα ἐν πολλῇ τῇ φειδοῖ φυλάττομεν καὶ σπουδῇ, τὰ δὲ ἐξ ἑτέρων ἐλθόντα εἰς ἡμᾶς οὐ σφόδρα προσιέμεθα, ἀλλ' οὕτως ἀποστρεφόμεθα, ὡς καὶ ἀνασκευάσαι πολλάκις αὐτά. Εἰ δὲ ἐπὶ οἰκίας καὶ ἱματίων καὶ σκευῶν τοῦτο ἡμῖν συμβαίνει τὸ πάθος, ἐννόησον ἐπὶ τῆς γυναικός, οὗ τιμιώτερον ἀνδράσιν οὐδέν, πῶς αὐτὸ μετὰ σφοδρότητος ἐμπίπτειν εἰκός. Ἐκείνων μὲν γὰρ κἂν μεταδιδόαμεν τοῖς βουλομένοις, ταύτης δὲ οὐ θέμις ἡμῖν, ἀλλὰ τῆς ψυχῆς ἀποστησόμεθα πρῶτον, ἢ τοῦτο παθεῖν ἀνεξόμεθα. Τὴν μὲν οὖν παρθένον, ὅπερ ἔφην, ἅτε ἀνέπαφον οὖσαν καὶ ἰδίαν αὐτοῦ καὶ οὐδενὸς ἑτέρου γενομένην, πάσῃ προθυμίᾳ προσίεται, τὴν δὲ ἑτέρῳ πρότερον συναφθεῖσαν οὐ μετὰ τῆς αὐτῆς φιλίας ὄψεται και εὐνοίας.

6. *Μὴ γάρ μοι τὰ σπανιάκις καὶ μόλις ἅπαξ συμβαίνοντα εἴπῃς, ἀλλὰ τὰ συνεχῶς ἐπὶ τῶν πραγμάτων δεικνύμενα. Οὐ διὰ ταῦτα δὲ μόνον πλείονος ἐκείνη μεθέξει τῆς παρρησίας, ἀλλὰ καὶ δι' ἕτερα πολλά. Οὗτος μὲν γὰρ καὶ ὀνειδίσαι εὐκόλως δύναιτ' ἂν ὡς καταφρονούμενος παρ' αὐτῆς, καὶ τεκμήριον τῆς ὀλιγωρίας τὴν εἰς τὸν πρότερον αὐτῇ γεγενημένην ἀπιστίαν προσενεγκεῖν καὶ ἐπιστομίσαι καὶ ὑπὲρ τῶν γεγενημένων, καὶ ὑπὲρ τῶν μηδὲ συμβησομένων ἴσως. Ὁ γὰρ ἀπελθὼν καὶ καταφρονηθεὶς καὶ τὸν ζῶντα ταῦτα*

ἀπὸ ποῦ ἀλλοῦ δὲν ξέρω, ἀγαποῦμε προπάντων τὰ πράγματα ἐκεῖνα ποὺ τὴν ἔξουσία καὶ τὴν ἀπόλαυση αὐτῶν δὲν τὴν ἔχομε μαζὶ μὲ ἄλλους, ἀλλ' ἐμεῖς οἱ ἴδιοι πρῶτοι καὶ μόνοι γίναμε κύριοι αὐτῶν. Αὐτὸ θὰ μποροῦσε νὰ δεῖ κανεις νὰ συμβαίνει καὶ μὲ τὰ ἐνδύματά μας· γιατὶ δὲν νιώθομε ἐξ ἴσου εὐχάριστα γιὰ τὰ ἐνδύματα ἐκεῖνα ποὺ χρησιμοποιήθηκαν ἀπὸ ἄλλους καὶ γιὰ ἐκεῖνα ποὺ δὲν χρησιμοποιήθηκαν ἀπὸ κανέναν. Αὐτὸ συμβαίνει καὶ μὲ τὰ σπίτια καὶ μὲ τὰ σκεύη· δὲν ἀγαπᾶμε δηλαδὴ ἐξίσου τὸ σπίτι ἐκεῖνο ποὺ μᾶς δόθηκε ἀπὸ ἄλλον, ὅσο ἐκεῖνο ποὺ τὸ κατασκευάσαμε οἱ ἴδιοι· καὶ ἀπὸ τὰ σκεύη ἐκεῖνα ποὺ κατασκευάσθηκαν πρόσφατα καὶ χρησιμοποιήθηκαν γιὰ πρώτη φορὰ ἀπὸ ἐμᾶς τὰ φυλᾶμε μὲ μεγάλη προσοχὴ καὶ φροντίδα, ἐνῶ ἐκεῖνα ποὺ ἦρθαν σὲ μᾶς ἀπὸ ἄλλους δὲν τὰ βλέπομε μὲ τὴν ἴδια διάθεση, ἀλλὰ τόσο πολὺ τὰ ἀποστρεφόμαστε, ὥστε πολλὲς φορὲς καὶ νὰ τὰ μετασκευάζομε. Ἂν λοιπὸν νιώθομε αὐτὰ τὰ αἰσθήματα γιὰ τὰ σπίτια, τὰ ἐνδύματα καὶ τὰ σκεύη, σκέψου στὴν περίπτωση τῆς γυναίκας, ἀπὸ τὴν ὁποία δὲν ὑπάρχει τίποτε πολυτιμόερο γιὰ τοὺς ἄνδρες, πῶς φυσικὸ εἶναι τὰ αἰσθήματα αὐτὰ νὰ δημιουργοῦνται σφοδρότερα σ' αὐτούς. Γιατὶ ὅλα ἐκεῖνα θὰ μπορούσαμε καὶ νὰ τὰ δώσομε σ' ἐκείνους ποὺ τὰ θέλουν, αὐτὴν ὅμως δὲ θὰ τὴ δίναμε μὲ κανένα τρόπο, ἀλλὰ θὰ προτιμούσαμε νὰ χάσομε πρῶτα τὴ ζωή μας, παρὰ νὰ δεχθοῦμε νὰ πάθομε αὐτό. Τὴ παρθένο λοιπόν, ὅπως προανέφερα, ἐπειδὴ εἶναι ἀνέπαφη καὶ ἔγινε δική του καὶ κανενὸς ἄλλου, τὴν περιβάλλει μὲ ὅλη τὴν ἀγάπη του, ἐνῶ ἐκείνην ποὺ σύναψε προηγουμένως γάμο μὲ ἄλλον δὲ θὰ τὴ δεῖ μὲ τὴν ἴδια ἀγάπη καὶ διάθεση.

6. Μὴ μοῦ πεῖς βέβαια ἐκεῖνα ποὺ συμβαίνουν σπάνια καὶ μόλις καὶ μὲ δυσκολία μία φορά, ἀλλ' ἐκεῖνὰ ποὺ συμβαίνουν συνέχεια στὰ πράγματα. Καὶ δὲ θὰ βρεῖ ἐκείνη γι' αὐτὰ μόνο μεγαλύτερη παρρησία, ἀλλὰ καὶ γιὰ ἄλλα πολλά. Γιατὶ αὐτὸς θὰ μποροῦσε καὶ νὰ τὴν κατηγορήσει εὔκολα, ὅτι τάχα περιφρονεῖται ἀπ' αὐτήν, καὶ νὰ προβάλει σὰν ἀπόδειξη τῆς ἀδιαφορίας της τὴν ἀπιστία ποὺ ἔδειξε πρὸς τὸν προηγούμενο σύζυγό της καὶ νὰ τὴν ἀποστομώσει καὶ γιὰ τὰ προηγούμενα καὶ γιὰ ἐκεῖνα ποὺ ἴσως δὲν θὰ συμβοῦν ποτέ. Γιατὶ ἐκεῖνος ποὺ πέθανε καὶ περιφρονήθηκε θὰ πείσει καὶ

ὑποπτεῦσαι πείσει περὶ ἑαυτοῦ, κἂν μὴ γένηται. Οὐκ ἐκεῖνος δὲ μόνον ταῦτα προφέρων αὐτῇ συνεχῶς ἔσται φορτικός, ἀλλὰ καὶ οἰκέται καὶ θεράπαιναι, κἂν μὴ φανερῶς, λάθρα γοῦν διαγογγύζοντες μυρίοις αὐτὴν βάλλουσι σκώμμασιν. Εἰ δὲ συμβῇ καὶ παῖδας τοῦ τετελευτηκότος καταλειφθῆναι νέους, πῶς αὐτοὺς ἀναθρέψει, πῶς δὲ προστήσεται; τίνων δὲ ὀρφανῶν οὐ χαλεπώτερον ἐκεῖνοι βιώσονται τὰ τοῦ πατρὸς ὁρῶντες ἅπαντα ἕτερον ἔχοντα, καὶ οἰκέτας, καὶ οἰκίαν, καὶ ἀγρούς, καὶ τὸ πάντων κεφάλαιον τὴν γυναῖκα; πῶς δυνήσονται ὡς πρὸς μητέρα διακεῖσθαι ἐκεῖνοι; πῶς δὲ αὕτη ὡς πρὸς παῖδας, οὓς αἰσχύνεσθαι καὶ ἐρυθριᾶν ἀναγκάζεται, καὶ οἷς πᾶσαν ἀπονεῖμαι τὴν μητρικὴν οὐκ ἔχει φιλοστοργίαν, εἰς τοὺς ἐξ ἐκείνου παῖδας σχιζομένης αὐτῇ τῆς διανοίας;

Τί οὖν, ἂν ᾖ σφόδρα κόρη, φησί, καὶ βραχὺν ἀπολαύσασα χρόνον τοῦ ἀνδρός; Πρὸς γὰρ τὰς κόρας μοι ταῦτα εἴρηται, οὐ πρὸς τὰς γεγηρακυίας· πρὸς γὰρ ἐκείνας τοῦτο ποιούσας οὐδὲ διαλεχθήσομαι· εἰ γὰρ ὁ πολὺς χρόνος καὶ ἡ ἡλικία καὶ τὰ ἄλλα πάντα οὐκ ἔπεισαν αὐτὰς ἀποσχέσθαι δευτέρου γάμου, πολύ γε ἧττον ἡμεῖς· οὐ γὰρ ὁ παρ' ἡμῶν πείσει λόγος· ἀλλ' ἅπας μοι πρὸς ταύτας ὁ λόγος ἐστί. Τί οὖν, ἂν ᾖ κόρη, φησί, καὶ μόνον ἐνιαυτὸν μετὰ τοῦ προτέρου συνοικήσασα δευτέρῳ γαμῆται πάλιν; τίνος ἕνεκεν τῆς εἰκοστὸν ἔτος καὶ τριακοστὸν ἀνηλωκυίας ἐν γάμῳ προτιμήσεις αὐτήν; Οὐκ ἔγωγε, ἀλλ' ὁ μακάριος Παῦλος· ἐκεῖνος γάρ φησι, «μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ». Τί γάρ, εἰ καὶ πολὺν ἐκείνη χρόνον συνῴκησεν ἀνδρί, ἀλλ' ἑνὶ καὶ τῷ αὐτῷ μόνῳ καὶ ᾧ ἐξ ἀρχῆς ἐκληρώθη; αὕτη δὲ δυσὶν ἔδωκεν ἑαυτήν, καὶ ταῦτα ἐν βραχεῖ τῷ χρόνῳ.

Ἀλλ' οὐχ ἑκοῦσα, φησίν· εἰ γὰρ ὁ πρῶτος ἔζη, οὐκ ἂν ἕτερον ἠγάπησεν ἐπ' ἐκείνῳ· ἐπειδὴ δὲ πρὸς ὥρας ἀπῆλθεν ἐκεῖνος, ὑπὸ τῆς ἀνάγκης δευτέρῳ συνήφθη πάλιν. Ποίας ἀνάγκης; Ἐγὼ γὰρ

15. Α' Κορ. 7,40.

αὐτὸν ποὺ ζεῖ νὰ σκεφθεῖ τὰ ἴδια καὶ γιὰ τὸν ἑαυτό του, ἔστω καὶ ἂν αὐτὰ δὲ συμβοῦν. Καὶ ὄχι μόνο ἐκεῖνος θὰ γίνει ἐνοχλητικὸς ἐπαναλαμβάνοντας συνέχεια αὐτά, ἀλλὰ καὶ οἱ ὑπηρέτες καὶ οἱ ὑπηρέτριες, ἂν ὄχι φανερά, ἀλλ' ὁπωσδήποτε κρυφὰ θὰ γογγύζουν καὶ θὰ ἐκτοξεύουν ἐναντίον της τὶς κατηγορίες. Ἂν πάλι συμβεῖ νὰ ἀφήσει, ἐκεῖνος ποὺ πέθανε, παιδιὰ μικρά, πῶς θὰ τὰ ἀναθρέψει αὐτά, πῶς θὰ τὰ προστατέψει; ἀπὸ ποιά ὀρφανὰ δὲ θὰ ζήσουν ἐκεῖνα χειρότερα βλέποντας ὅλα τὰ ὑπάρχοντα τοῦ πατέρα τους ἄλλος νὰ τὰ ἔχει, καὶ ὑπηρέτες καὶ σπίτι καὶ χωράφια καὶ τὸ σπουδαιότερο ἀπὸ ὅλα τὴ γυναίκα του; πῶς θὰ μπορέσουν ἐκεῖνα νὰ συμπεριφέρονται ἀπέναντί της σὰν πρὸς μητέρα; πῶς αὐτὴ σὰν πρὸς παιδιά της, τὴ στιγμὴ ποὺ ἀναγκάζεται νὰ νιώθει μπροστά τους ντροπὴ καὶ νὰ κοκκινίζει καὶ δὲν μπορεῖ νὰ συγκεντρώσει ὅλη τὴ μητρικὴ φιλοστοργία της σ' αὐτά, γιατὶ ἡ σκέψη της διαμοιράζεται καὶ στὰ παιδιὰ ἐκείνου;

Τί λοιπόν, λέγει, ἂν εἶναι πολὺ νεαρὴ καὶ ἀπόλαυσε πολὺ λίγο χρόνο τὸν ἄνδρα της; Μὰ αὐτὰ τὰ λόγια μου λέχθηκαν γιὰ τὶς νεαρὲς καὶ ὄχι γιὰ ἐκεῖνες ποὺ ἔχουν γεράσει· γιατὶ πρὸς ἐκεῖνες ποὺ κάμνουν αὐτὸ οὔτε κἂν θὰ μιλήσω· γιατί, ἂν ὁ πολὺς χρόνος καὶ ἡ ἡλικία καὶ ὅλα τὰ ἄλλα δὲν ἔπεισαν αὐτὲς ν' ἀποφύγουν τὸ δεύτερο γάμο, πολὺ λιγότερο θὰ τὸ ἐπιτύχω ἐγώ· γιατὶ δὲ θὰ τὶς πείσουν τὰ λόγια μου· ὅλα τὰ λόγια μου λοιπὸν ἀπευθύνονται πρὸς αὐτές. Τί λοιπόν, λέγει, ἂν εἶναι πολὺ νεαρὴ καὶ ἔζησε μὲ τὸν προηγούμενο σύζυγό της μόνο ἕνα χρόνο καὶ παντρεύεται τώρα πάλι ἄλλον; γιὰ ποιό λόγο θὰ προτιμήσεις αὐτὴν ἀπὸ ἐκείνην ποὺ ἔζησε παντρεμένη εἴκοσι χρόνια καὶ τριάντα; Δὲν τὴν προτιμῶ ἐγώ, ἀλλ' ὁ μακάριος Παῦλος· γιατὶ ἐκεῖνος λέγει, «ὅμως εἶναι πιὸ μακάρια, ἂν μείνει ἔτσι»[15]. Γιατὶ τί κι ἂν ἐκείνη ἔζησε μὲ τὸν ἄνδρα της πολὺ χρόνο, ἀλλὰ μὲ ἕναν καὶ τὸν αὐτὸ μόνο καὶ μὲ ἐκεῖνον ποὺ τῆς ἔτυχε ἀπὸ τὴ ἀρχή; αὐτὴ ὅμως ἔδωσε τὸν ἑαυτό της σὲ δύο, καὶ μάλιστα μέσα σὲ σύντομο χρόνο.

Ἀλλ' ὅμως, λέγει, ὄχι μὲ τὴ θελησή της· γιατί, ἂν ζοῦσε ὁ πρῶτος, δὲν θὰ ἀγαποῦσε ἄλλον ἐκτὸς ἀπὸ ἐκεῖνον· ἐπειδὴ ὅμως πολὺ πρόωρα πέθανε ἐκεῖνος, κατ' ἀνάγκη σύναψε γάμο πάλι μὲ

ταύτης ἧς λέγεις μείζονα ἑτέραν ἀνάγκην ὁρῶ ἱκανὴν αὐτὴν κατασχεῖν ἐπὶ τῷ τετελευτηκότι, τὸ πικρῶν οὕτως ἀπολαῦσαι τῶν πραγμάτων τοῦ κόσμου. Ἡ μὲν γὰρ πολὺν αὐτοῖς συγγενομένη χρόνον καὶ ἐμπλησθεῖσα καλῶς, ὡς τῶν αὐτῶν τευξομένη τῶν ἴσων ἅψεται πάλιν, ἡ δὲ προοιμίων οὕτω χαλεπῶν πειραθεῖσα ποίᾳ προαιρέσει καὶ ἐλπίδι πρὸς τὴν πεῖραν ἥξει τῶν χαλεπῶν; Οὐδὲ γὰρ εἴ τις βουλόμενος ἐμπορεύσασθαι, πρίν τι κερδάνῃ, ἅμα τῷ τὸν λιμένα ἐξελθεῖν ναυάγιον ὑπομείνοι, εὐκόλως ἅψεται τῆς πραγματείας λοιπόν. Οὐδὲ ταύτην εἰκότως τὴν πολλὰ μὲν προσδοκήσασαν ἡδέα, πρὶν ἢ δὲ ἐκείνων πεῖραν καλῶς λαβεῖν, τοσοῦτον πένθος ἰδοῦσαν ἀγαπῆσαι τὰ τοῦ κόσμου πράγματα, εἰ μὴ σφόδρα ἀκρατὴς οὖσα τύχοι· μᾶλλον δέ, εἰ καὶ σφόδρα πρὸς αὐτὰ διακέοιτο καὶ λίαν ἔχοι προσπαθῶς, ἱκανὴ τῆς ἀρχῆς ἡ ἀηδία πᾶσαν σβέσαι τὴν ἐπιθυμίαν αὐτῆς. Τότε γὰρ τοῖς πράγμασι μάλιστα ἐπιμένειν εἰώθαμεν, ὅταν προοιμίων πειραθῶμεν καλῶν· ὅταν δὲ ἐξ ἀρχῆς καὶ ἀπ' αὐτῆς, ὡς ἂν εἴποι τις, τῆς γραμμῆς χαλεπῶν καὶ δυσκόλων αἰσθώμεθα, ταχέως ἀνακρουόμεθα τῆς προαιρέσεως σβεννυμένης ἡμῖν.

Ὥστε αἱ τὰς ἀώρους ὑπομείνασαι χηρείας, αὗται εἰκότως ἂν ἀπόσχοιντο γάμου δευτέρου ὑπὲρ τοῦ μὴ τὰ αὐτὰ πάλιν παθεῖν. Ἡ μὲν γὰρ ἐν τῇ χηρείᾳ μένουσα ἕξει τὸ ἀσφαλές, καὶ οὐχ ὑποπτεύσει πένθος ἕτερον τοιοῦτον πάλιν· ἡ δὲ προσομιλήσασα γάμῳ δευτέρῳ καὶ τοῦτο προσδοκᾶν ἀναγκασθήσεται τὸ δεινόν. Καὶ ἄλλως δέ, εἰ καὶ πρᾶγμα ἕν ἐστιν ἡ χηρεία, ἀλλ' οὐ πᾶσαι τοὺς αὐτοὺς ἀπολήψονται τούτου μισθούς, ἀλλ' αἱ μὲν πλείους, αἱ δὲ ἐλάττους. Αἱ μὲν γὰρ ἐν νεότητι τὸν ζυγὸν ἀναδεξάμεναι πλείονος ἀπολαύσονται καὶ τῆς τιμῆς καὶ τῆς δωρεᾶς, αἱ δὲ πρὸς αὐτῷ τῷ γήρᾳ οὐχ ὁμοίως ἐκείναις. Τί δήποτε; Ὅτι ἡ μὲν πολλῶν ὄντων τῶν κωλυμάτων διὰ τὸν τοῦ Θεοῦ φόβον πάντα ἠνέσχετο, αὕτη δὲ οὐδὲ βραχὺν

δεύτερο ἄνδρα. Ἀπὸ ποιά ἀνάγκη; Γιατὶ ἐγὼ βλέπω ἀπὸ αὐτὴν ποὺ λὲς ἐσὺ ἄλλη ἀνάγκη ποὺ μπορεῖ νὰ τὴν κρατήσει ἀφοσιωμένη σ' ἐκεῖνον ποὺ πέθανε, τὸ ὅτι δοκίμασε τόσο πολὺ τὰ πικρὰ πράγματα τοῦ κόσμου. Γιατὶ ἐκείνη ποὺ ἔζησε πολὺ χρόνο μὲ αὐτὰ καὶ ἀπόλαυσε ὅλα τὰ καλά, θὰ θελήσει νὰ δοκιμάσει πάλι τὰ ἴδια μὲ τὴ σκέψη ὅτι θὰ ἐπιτύχει τὶς ἴδιες ἀπολαύσεις, ἐνῶ ἐκείνη ποὺ ἀπὸ τὴν ἀρχὴ δοκίμασε τόσα δυσάρεστα μὲ ποιά διάθεση καὶ ἐλπίδα θὰ ἔρθει νὰ ζήσει καὶ πάλι τὰ δυσάρεστα; Γιατὶ οὔτε, ἂν κάποιος θέλει νὰ κάμει ἐμπόριο καὶ πρὶν κερδίσει τίποτε ὑποστεῖ ναυάγιο ἀκριβῶς μόλις βγεῖ ἀπὸ τὸ λιμάνι, θὰ θελήσει στὴ συνέχεια ν' ἀσχοληθεῖ μὲ ἐμπόριο. Οὔτε φυσικὰ ἐκείνη ποὺ περίμενε νὰ ἀπολαύσει πολλὰ εὐχάριστα καί, προτοῦ καλὰ–καλὰ δοκιμάσει ἐκεῖνα, δοκιμάσει τόσο μεγάλο πένθος, θὰ ἀγαπήσει τὰ πράγματα τοῦ κόσμου, ἐκτὸς κι ἂν νὰ εἶναι πάρα πολὺ ἀκρατής· ἢ καλύτερα κι ἂν ἀκόμη ποθεῖ πάρα πολὺ αὐτὰ καὶ εἶναι προσηλωμένη μὲ πάθος σ' αὐτά, εἶναι ἱκανὴ ἡ ἀηδία τῆς ἀρχῆς νὰ σβήσει ὅλη τὴν ἐπιθυμία της. Γιατὶ συνήθως τότε προπάντων ἐπιμένομε στὶς προσπάθειές μας, ὅταν εἶναι ἐπιτυχὴς ἡ ἀρχὴ αὐτῶν, ὅταν ὅμως ἀπὸ τὴν ἀρχὴ καί, ὅπως θὰ μποροῦσε νὰ πεῖ κανείς, ἀπὸ αὐτὴν τὴν ἀφετηρία, συναντήσομε δυσχέρειες καὶ δυσκολίες, ἀμέσως ὑποχωροῦμε, γιατὶ σβήνει ὁ ἐνθουσιασμός μας.

Ὥστε, ἐκεῖνες ποὺ πρόωρα ἔμειναν χῆρες, αὐτὲς εὔλογα θ' ἀπόφευγαν τὸ δεύτερο γάμο γιὰ νὰ μὴ πάθουν πάλι τὰ ἴδια. Γιατὶ ἐκείνη ποὺ παραμένει χήρα θὰ εἶναι ἀσφαλὴς καὶ δὲ θὰ δοκιμάσει πάλι ἄλλο παρόμοιο πένθος, ἐνῶ ἐκείνη ποὺ σύναψε δεύτερο γάμο κατ' ἀνάγκη θὰ πρέπει νὰ περιμένει καὶ αὐτὸ τὸ κακό. Ἐξ ἄλλου, ἂν και ἡ χηρεία εἶναι ἴδια, ὅμως δὲ θὰ λάβουν ὅλες οἱ χῆρες τὴν ἴδια ἀμοιβὴ γι' αὐτήν, ἀλλ' ἄλλες θὰ λάβουν μεγαλύτερη καὶ ἄλλες μικρότερη. Γιατὶ ἐκεῖνες ποὺ θ' ἀναλάβουν τὸ ζυγὸ ἐνῶ ἀκόμη εἶναι νέες θ' ἀπολαύσουν μεγαλύτερη τιμὴ καὶ δωρεά, ἐνῶ ἐκεῖνες ποὺ θὰ δεχθοῦν τὸ ζυγὸ σὲ γεροντικὴ ἡλικία δὲ θ' ἀπολαύσουν τὴν ἴδια τιμὴ μ' ἐκεῖνες. Γιατί ἄραγε; Γιατὶ ἡ νεαρὴ χήρα, ἂν καὶ ἦταν πολλὰ τὰ ἐμπόδια τὰ ὑπέμεινε ὅλα ἀπὸ φόβο πρὸς τὸ Θεό, ἐνῶ ἡ προχωρημένης ἡλικίας δὲν ὑπόμεινε οὔτε τὸν παραμικρὸ ἱδρώτα

ἱδρῶτα ὑπέμεινεν οὐδὲ πόνον· πῶς γάρ, οὐδενὸς ὄντος πράγματος τοῦ βίαν παρέχοντος; Ὥσπερ οὖν ἡ δευτέρῳ δοῦσα ἑαυτὴν ἐλάττων ἐστὶ τῆς τὸν ἕνα ἄνδρα ἐχούσης, οὕτως ἡ ἐν χηρείᾳ μένουσα ἐν αὐτῇ τῇ νεότητι πολλῷ τῷ μέτρῳ τὴν ἐν τῷ γήρᾳ τὸν ἄνδρα ἀποβαλοῦσαν ὑπερακοντίσαι δυνήσεται· καίτοι γε ἀμφοτέραις εἷς γέγονεν ὁ ἀνήρ, ἀλλ' ὅμως αὕτη μὲν τὸν τῆς ἁγνείας ἔδραμε δρόμον, ἐκείνη δὲ πολλοῖς ἀπελείφθη τοῖς σταδίοις.

Μὴ τοίνυν τὸν πόνον ἴδῃς μόνον, ἀλλὰ καὶ τὸν μισθόν. Καὶ γὰρ τὰ πολλὰ τῶν κατορθωμάτων οὕτως ἡμῖν δύσκολα φαίνεται, ὅτι τὸν μόχθον αὐτῶν καὶ τοὺς ἱδρῶτας συνεχῶς στρέφοντες τοὺς ἀποκειμένους αὐτοῖς μισθοὺς οὐκ ἐν νῷ λαμβάνομεν. Ἀλλ' οὐχ οὕτω δεῖ ποιεῖν, ἀλλὰ πάντα ὁμοῦ λογίζεσθαι μετὰ τῶν πόνων καὶ τὰς ἀμοιβάς, καὶ οὕτως εὔκολα ἡμῖν φανεῖται, ὥσπερ οὖν καὶ ἔστιν εὔκολα. Καὶ γὰρ ὁ ἀριστεὺς οὐ τὰ τραύματα μόνον, οὐδὲ τὰ πτώματα, οὐδὲ τὸν θάνατον, ἀλλὰ καὶ τὰ τρόπαια καὶ τὰς νίκας καὶ τὰς ἄλλας ἁπάσας ἀναλογισάμενος τιμὰς οὕτως ἐπὶ τὴν ἀριστείαν ἔρχεται· καὶ ὁ γεωργὸς δὲ οὐχὶ τὴν ἄροσιν μόνον, οὐδὲ τὸν ἐν τῷ σκάπτειν πόνον, ἀλλὰ καὶ τὴν ἅλω καὶ τὰς ληνοὺς πρὸ τῶν ὀφθαλμῶν θείς, οὕτω τῶν ἔργων ἐφάπτεται. Οὕτω καὶ ἡμεῖς ταῖς ἐλπίσι ταῖς χρησταῖς τὸν τῆς χηρείας μόχθον ἐπικουφίσωμεν, καὶ πολλῷ μᾶλλον ἡμεῖς ἢ ἐκεῖνοι· ἐκείνοις μὲν γὰρ πολλὰ πολλάκις τῶν οὐκ ἐπ' αὐτοῖς κειμένων τὴν προσδοκίαν διέκοψε, τὰς δὲ ἡμετέρας ἐλπίδας οὐδεὶς ὁ καταισχύνων ἐστίν, ἂν μὴ βουληθῶμεν αὐτοί. Μὴ δὴ βουληθῶμεν, ἀλλ' ἐννοήσαντες ὡς οὐ πολλῷ τῆς παρθένου ἡ χήρα λείπεται (ἔστι δὲ ὅπου αὐτὴν καὶ ὑπερηκόντισεν, ὅταν ἡ μὲν παρθένος περιπλέκηται πράγμασιν, ἡ δὲ χήρα κατὰ τὸν Παῦλον μεμονωμένη καὶ ἐλπίζουσα ἐπὶ τὸν Θεὸν προσκαρτερῇ ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς, καὶ τῶν βιωτικῶν πραγμάτων ἀπέχηται), ἀναδεξώμεθα τὸν ἀγῶνα τοῦτον, ἵνα τῶν ἐν αὐτῷ στεφάνων τύχωμεν.

---

16. Α' Τιμ. 5,5.

καὶ κόπο· πῶς δηλαδὴ ὑπόμεινε, τὴ στιγμὴ ποὺ καμιὰ δυσκολία δὲ συνάντησε; Ὅπως ἀκριβῶς λοιπὸν ἐκείνη ποὺ δίνεται σὲ δεύτερο ἄνδρα εἶναι κατώτερη ἀπὸ ἐκείνη ποὺ ἔχει ἕναν ἄνδρα, ἔτσι ἐκείνη ποὺ μένει χήρα κατὰ τὴ νεανικὴ ἡλικία της θὰ μπορέσει νὰ ξεπεράσει σὲ πολὺ μεγάλο βαθμὸ ἐκείνην ποὺ ἔχασε τὸν ἄνδρα της σὲ γεροντικὴ ἡλικία· ἂν καὶ βέβαια καὶ οἱ δύο εἶχαν ἀπὸ ἕναν ἄνδρα, ἀλλ' ὅμως ἡ νεαρὴ χήρα ἀκολούθησε τὸ δρόμο τῆς ἁγνείας, ἐνῶ ἡ ἄλλη ὑστέρησε κατὰ πολὺ ὡς πρὸς τοὺς ἀγῶνες ἐκείνης.

Μὴ λοιπὸν δεῖς μόνο τὸν κόπο, ἀλλὰ καὶ τὴν ἀμοιβή. Γιατὶ πολλὰ ἀπὸ τὰ κατορθώματα μᾶς φαίνονται πάρα πολὺ δύσκολα, ἐπειδὴ συνέχεια σκεπτόμαστε τὸ κόπο αὐτῶν καὶ τοὺς ἱδρῶτες καὶ δὲν σκεπτόμαστε καθόλου τὴν ἀμοιβὴ ποὺ ἐπιφυλάσσεται γι' αὐτούς. Ὅμως δὲν πρέπει νὰ ἐνεργοῦμε ἔτσι, ἀλλὰ νὰ τὰ σκεπτόμαστε ὅλα μαζὶ καὶ τοὺς κόπους καὶ τὶς ἀμοιβές, καὶ ἔτσι θὰ μᾶς φανοῦν εὔκολα, ὅπως βέβαια καὶ εἶναι εὔκολα. Γιατὶ καὶ ὁ νικητὴς δὲν σκέπτεται μόνο τὰ τραύματα, οὔτε τὶς πτώσεις καὶ τὸ θάνατο, ἀλλὰ σκέπτεται καὶ τὰ τρόπαια καὶ τὶς νίκες καὶ ὅλες τὶς ἄλλες τιμὲς καὶ μὲ τὶς σκέψεις αὐτὲς προχωρεῖ πρὸς τὴ νίκη. Καὶ ὁ γεωργὸς ἐπίσης φέρνει μπροστὰ στὰ μάτια του ὄχι μόνο τὸ ὄργωμα, οὔτε μόνο τὸ σκάψιμο καὶ τὸν κόπο, ἀλλὰ καὶ τὸ ἁλώνισμα καὶ τὸ πατητήρι καὶ ἔτσι προχωρεῖ στὸ ἔργο του. Ἔτσι κι ἐμεῖς ἂς ἐλαφρύνομε μὲ τὶς καλὲς ἐλπίδες τὸν κόπο τῆς χηρείας καὶ πολὺ περισσότερο ἐμεῖς παρὰ ἐκεῖνοι· γιατὶ σ' ἐκείνους πολλὲς φορὲς τὴν προσδοκία τους τὴ διέκοψαν πολλὰ ποὺ δὲν ἐξαρτῶνται ἀπὸ ἐκείνους, ἐνῶ τὶς δικές μας ἐλπίδες δὲν ὑπάχει κανένας ποὺ μπορεῖ νὰ τὶς διαψεύσει, ἂν δὲ θελήσομε ἐμεῖς οἱ ἴδιοι. Ἂς μὴ θελήσομε λοιπὸν νὰ τὶς διαψεύσομε ἐμεῖς, ἀλλὰ σκεπτόμενοι ὅτι ἡ χήρα δὲν ὑπολείπεται κατὰ πολὺ ἀπὸ τὴν παρθένο (ὑπάρχουν περιπτώσεις ποὺ ὑπερέβαλε αὐτήν, ὅπως ὅταν ἡ παρθένος περιπλέκεται στὰ πράγματα τοῦ κόσμου, ἐνῶ ἡ χήρα «ζώντας μόνη της», ὅπως λέγει ὁ Παῦλος, «καὶ ἔχοντας στηριγμένες τὶς ἐλπίδες της στὸ Θεό, ἐπιμένει στὶς παρακλήσεις καὶ τὶς προσευχές»[16], ἀπέχοντας ἀπὸ τὰ κοσμικὰ πράγματα), ἂς ἀναλάβομε τὸν ἀγώνα αὐτό, γιὰ νὰ ἐπιτύχομε τὰ στεφάνια ποὺ ἐπιφυλάσσονται γι' αὐτόν.

Ταῦτα ὑμῖν οὐκ ἀνάγκης ἕνεκεν εἴρηται, οὐδέ, ὅπερ ἔφην, καταδικάζοντες τὰς οὐ βουλομένας χηρεύειν, ἐπὶ ταύτην ἤλθομεν τὴν παραίνεσιν, ἀλλὰ προτρέποντες καὶ παρακαλοῦντες, μὴ ἐπὶ τοσοῦτον προσδεθῆναι τῇ γῇ, ἀλλ' ἅπαξ λυθείσας μένειν ἐλευθέρας, καὶ τὸν οὐρανὸν ἐπιζητεῖν καὶ τὴν πολιτείαν ἐπιδείκνυσθαι τὴν ἐκεῖ, καὶ ἁρμοσθείσας τῷ Χριστῷ οὕτως ἅπαντα πράττειν, ὡς προσῆκε τὰς τὸν τοιοῦτον ἐχούσας νυμφίον, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ζωοποιῷ καὶ ἁγίῳ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Αὐτὰ δὲν σᾶς τὰ εἶπα σὰν κάτι τὸ ὑποχρεωτικό, οὔτε, ὅπως προανέφερα, σᾶς ἔδωσα αὐτὴ τὴ συμβουλὴ γιὰ νὰ καταδικάσω ἐκεῖνες ποὺ δὲ θέλουν νὰ παραμείνουν χῆρες, ἀλλὰ γιὰ νὰ σᾶς προτρέψω καὶ νὰ σᾶς παρακαλέσω, νὰ μὴ δεθεῖτε τόσο πολὺ μὲ τὴ γῆ, ἀλλ' ἐφόσον ἀπαλλαχθήκατε ἀπὸ τὸ δεσμὸ αὐτὸ νὰ μένετε ἐλεύθερες καὶ νὰ ἐπιζητεῖτε τὸν οὐρανό, ἐπιδεικνύοντας τὴν οὐράνια ἐκείνη πολιτεία, καὶ ἐφόσον νυμφευθήκατε τὸ Χριστὸ ἔτσι ὅλα νὰ τὰ κάμνετε, ὅπως ταιριάζει σ' ἐκεῖνες ποὺ ἔχουν τέτοιο νυμφίο, γιατὶ σ' αὐτὸν πρέπει κάθε δόξα, τιμὴ καὶ προσκύνηση, μαζὶ μὲ τὸν ἄναρχο Πατέρα καὶ τὸ ζωοποιὸ καὶ ἅγιο αὐτοῦ Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΕΣ Α΄-Θ΄



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΠΡΩΤΗ

ΕΞ ΑΓΡΟΥ ΑΥΤΟΥ ΕΠΑΝΕΛΘΟΝΤΟΣ

1. *Ἆρα ἐμέμνησθε ἡμῶν, ἡνίκα τὸν μεταξὺ τοῦτον ἐχωρίσθημεν χρόνον ὑμῶν; Ἐγὼ μὲν γὰρ ὑμῶν οὐδέποτε ἠδυνήθην ἐπιλαθέσθαι, ἀλλὰ καὶ τὴν πόλιν ἀφείς, τὴν ὑμετέραν οὐκ ἀφῆκα μνήμην· ἀλλ᾽ ὥσπερ οἱ τῶν λαμπρῶν ἐρῶντες σωμάτων, ὅπουπερ ἂν ἀπίωσι, μεθ᾽ ἑαυτῶν τὴν ποθουμένην περιφέρουσιν ὄψιν, οὕτω δὴ καὶ ἡμεῖς τοῦ κάλλους τῆς ὑμετέρας ψυχῆς ἐρασθέντες, ἀεὶ μεθ᾽ ἑαυτῶν τὴν εὐμορφίαν τῆς ὑμετέρας περιφέρομεν διανοίας. Καὶ καθάπερ οἱ ζωγράφοι, ποικίλα χρώματα κεραννύντες, τὰς τῶν σωμάτων εἰκόνας ἐργάζονται, οὕτω καὶ ἡμεῖς τὴν σπουδὴν ὑμῶν τὴν ἐν ταῖς συνάξεσι, τὴν προθυμίαν τὴν περὶ τὴν ἀκρόασιν, τὴν εὔνοιαν τὴν περὶ τὸν λέγοντα, τὰ ἄλλα πάντα κατορθώματα καθάπερ ποικίλα χρώματα ἀρετῆς κεράσαντες, καὶ τὸν χαρακτῆρα τῆς ψυχῆς ὑμῶν ὑπογράψαντες, καὶ πρὸ τῶν ὀφθαλμῶν τῆς διανοίας θέντες, ἱκανὴν διὰ τῆς φαντασίας ταύτης ἐλαμβάνομεν τῆς ἀποδημίας παραμυθίαν. Καὶ ταῦτα, καὶ οἴκοι καθήμενοι καὶ διανιστάμενοι, καὶ ὁδοιποροῦντες καὶ ἀναπαυόμενοι, καὶ εἰσιόντες καὶ ἐξιόντες, ἐστρέφομεν συνεχῶς τὴν ὑμετέραν ὀνειροπολοῦντες ἀγάπην· καὶ οὐκ ἐν ἡμέρᾳ μόνον, ἀλλὰ καὶ ἐν νυκτὶ ταύταις ἐνετρυφῶμεν ταῖς φαντασίαις. Καὶ ὅπερ ὁ Σολομὼν ἔφη, «ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ», τοῦτο καὶ ἡμεῖς τότε ἐπάσχομεν. Ἡ μὲν γὰρ ἀνάγκη τοῦ ὕπνου κατέστελλεν ἡμῶν τὰ βλέφαρα, ἡ δὲ τῆς ἀγάπης*



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΠΡΩΤΗ

ΟΤΑΝ ΕΠΕΣΤΡΕΨΕ ΑΠΟ ΤΗΝ ΕΞΟΧΗ

1. Ἄραγε μὲ θυμόσασταν κατὰ τὸν ἐνδιάμεσο αὐτὸ χρόνο ποὺ χωρίστηκα ἀπὸ σᾶς; Γιατὶ ἐγὼ ποτὲ δὲν μπόρεσα νὰ σᾶς ξεχάσω, ἀλλ', ἂν καὶ ἄφησα τὴν πόλη, ὅμως δὲν ἄφησα τὴ θύμησή σας, καὶ ὅπως αὐτοὶ ποὺ ἀγαποῦν τὰ ὡραῖα σώματα, ὅπου καὶ ἂν πᾶνε, φέρνουν μαζί τους τὸ πρόσωπο ποὺ ποθοῦν, ἔτσι λοιπὸν καὶ ἐγώ, ἐπειδὴ ἀγάπησα τὴν ὀμορφιὰ τῆς ψυχῆς σας, φέρνω πάντοτε μαζί μου τὴν ὀμορφιὰ τῆς ψυχῆς σας. Καὶ ὅπως ἀκριβῶς οἱ ζωγράφοι, ἀναμειγνύοντας διάφορα χρώματα, φτιάχνουν τὶς εἰκόνες τῶν ἀνθρώπων, ἔτσι καὶ ἐγώ, ἀφοῦ ἀνάμειξα, σὰν διάφορα χρώματα τῆς ἀρετῆς, τὸ ἐνδιαφέρον σας γιὰ τὶς συγκεντρώσεις μας, τὴν προθυμία σας γιὰ τὴν ἀκρόαση, τὴν ἀγάπη σας γιὰ τὸν ὁμιλητή, καὶ ὅλα τὰ ἄλλα σας κατορθώματα, καὶ ζωγράφισα τὴν εἰκόνα τῆς ψυχῆς σας καὶ τὴν τοποθέτησα μπροστὰ στὰ μάτια τῆς διάνοιάς μου, ἔπαιρνα μὲ τὴ φαντασία αὐτὴ μεγάλη παρηγοριὰ στὸ χωρισμὸ αὐτό. Ἔτσι λοιπὸν κι ὅταν ἔμενα στὸ σπίτι καὶ ὅταν ἀπουσίαζα, καὶ ὅταν βάδιζα κι ὅταν ἀναπαυόμουν, κι ὅταν ἔμπαινα κι ὅταν ἔβγαινα, ἔφερνα συνέχεια στὴ φαντασία μου τὴν ἀγάπη σας καὶ ἔβρισκα εὐχαρίστηση σ' αὐτὲς τὶς ὀνειροπολήσεις, ὄχι μόνο τὴν ἡμέρα, ἀλλὰ καὶ τὴ νύχτα. Καὶ ἐκεῖνο ποὺ εἶπε ὁ Σολομών, «ἐγὼ κοιμᾶμαι καὶ ἡ καρδιά μου ἀγρυπνεῖ»[1], αὐτὸ πάθαινα κι ἐγὼ τότε. Ἡ ἀνάγκη δηλαδὴ τοῦ ὕπνου βάραινε τὰ βλέφαρά μου, ἀλλ' ἡ τυραννικὴ δύναμη τῆς ἀγάπης σας ἀπομάκρυνε τὸν ὕπνο

1. Ἆσμα Ἀσμ. 5,2.

τῆς ὑμετέρας τυραννὶς ἀφύπνιζε τοὺς τῆς διανοίας ἡμῶν ὀφθαλμούς, καὶ πολλάκις ὑμῖν ὄναρ διαλέγεσθαι ἐδόκουν. Καὶ γὰρ πέφυκεν ἡ ψυχὴ ταῦτα φαντάζεσθαι νύκτωρ, ἅπερ ἂν μεθ' ἡμέραν λογίζηται· ὅπερ οὖν καὶ ἐφ' ἡμῶν τότε συνέβαινε· καὶ οὐχ ὁρῶν ὑμᾶς τοῖς ὀφθαλμοῖς τῆς σαρκός, ἑώρων ὑμᾶς τῆς ἀγάπης τοῖς ὀφθαλμοῖς, καὶ μὴ παρὼν ὑμῖν τῷ σώματι, παρήμην ὑμῖν τῇ διαθέσει, καί μοι τὰ ὦτα ἀεὶ ὑπὸ τῆς ὑμετέρας περιηχεῖτο κραυγῆς. Διὰ τοῦτο καὶ τῆς τοῦ σώματος ἀρρωστίας ἐπὶ πλέον ἐκεῖ διατρίβειν ἀναγκαζούσης, καὶ τῆς τοῦ ἀέρος ὠφελείας εἰς τὴν τῆς σαρκὸς ἀπολαύειν ὑγίειαν, ἡ τῆς ἀγάπης βία τῆς ὑμετέρας οὐκ ἠνέσχετο τοῦτο, ἀλλὰ κατεβόησε, καὶ οὐ πρότερον ἀπέστη διενοχλοῦσα, ἕως ἡμᾶς καὶ πρὸ τῆς προσηκούσης ὥρας ἀναστῆναι ἔπεισε, καὶ ὑγίειαν καὶ τέρψιν καὶ πᾶν ὁτιοῦν ἀγαθὸν τὴν ὑμετέραν ἡγήσασθαι συνεβούλευσε συνουσίαν.

Ταύτῃ δὲ πεισθέντες ἡμεῖς, εἱλόμεθα μᾶλλον ἔχοντες ἔτι τὰ λείψανα τῆς ἀρρωστίας ἐπανελθεῖν, ἢ καθαρῶς ἀποθέμενοι τὴν τοῦ σώματος ἀσθένειαν, ἐπὶ πλέον λυπῆσαι τὴν ὑμετέραν ἀγάπην. Καὶ γὰρ ἐκεῖ διατρίβων ἤκουον ὑμῶν τὰ ἐγκλήματα, καὶ συνεχεῖς ἐπιστολαὶ ταῦτα ἡμῖν διεκόμιζον· καὶ γὰρ προσεῖχον τοῖς ἐγκαλοῦσιν οὐχ ἧττον, ἢ τοῖς ἐγκωμιάζουσι· ψυχῆς γὰρ εἰδυίας φιλεῖν ἦσαν αἱ μέμψεις ἐκεῖναι. Καὶ διὰ ταῦτα ἀναστὰς ἔδραμον· διὰ ταῦτα οὐδέποτε ὑμᾶς τῆς διανοίας ἠδυνήθην ἐκβαλεῖν τῆς ἐμῆς. Καὶ τί θαυμαστὸν εἰ ἐν ἀγρῷ διατρίβων ἐγὼ καὶ ἀδείας ἀπολαύων, τῆς ὑμετέρας ἐμεμνήμην ἀγάπης, ὅπου γε Παῦλος δεσμὰ περικείμενος καὶ δεσμωτήριον οἰκῶν καὶ μυρίους ὁρῶν ἐπηρτημένους αὐτῷ κινδύνους, καθάπερ ἐν λειμῶνι τῷ δεσμωτηρίῳ διάγων, οὕτω τῶν ἀδελφῶν ἐμέμνητο, καὶ γράφων ἔλεγε, «καθώς ἐστι δίκαιον ἐμοὶ τοῦτο φρονεῖν περὶ ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ Εὐαγγελίου»; Ἔξωθεν ἅλυσις ἡ παρὰ τῶν ἐχθρῶν, καὶ ἔσωθεν ἅλυσις ἡ

2. Φιλ. 1,7.

ἀπὸ τὰ μάτια τῆς ψυχῆς μου, καὶ πολλὲς φορὲς νόμιζα πὼς μιλοῦσα μαζί σας. Γιατὶ ἡ φύση τῆς ψυχῆς εἶναι τέτοια, ὥστε νὰ βλέπει τὴ νύχτα στὸ ὄνειρό της ὅσα σκέφτεται τὴν ἡμέρα, πράγμα ποὺ συνέβαινε τότε καὶ σ' ἐμένα. Κι ἐνῶ δὲν σᾶς ἔβλεπα μὲ τὰ μάτια τοῦ σώματος, σᾶς ἔβλεπα μὲ τὰ μάτια τῆς ἀγάπης, κι ἐνῶ δὲν βρισκόμουν κοντά σας μετὰ τὸ σῶμα, βρισκόμουν κοντά σας μὲ τὴ διάθεση, καὶ στ' αὐτιά μου ἀντηχοῦσε πάντοτε ἡ φωνή σας. Γι' αὐτό, ἂν καὶ ἡ σωματικὴ ἀρρώστια μ' ἀνάγκαζε νὰ μένω ἐκεῖ περισσότερο, ὠφελούμενος στὴν ὑγεία τοῦ σώματος ἀπὸ τὸν καθαρὸ ἀέρα, ἡ δύναμη τῆς ἀγάπης σας δὲ τὸ ἀνεχόταν αὐτό, ἀλλὰ κραύγαζε δυνατὰ καὶ δὲν ἔπαψε νὰ μὲ ἐνοχλεῖ, ὥσπου μ' ἔπεισε νὰ φύγω καὶ πρὶν ἀπὸ τὴν ὥρα ποὺ ἔπρεπε, κάμνοντάς με νὰ θεωρήσω σὰν ὑγεία κι εὐχαρίστηση καὶ ὁτιδήποτε ἄλλο ἀγαθὸ τὴ συντροφιά σας.

Σ' αὐτὴ τὴ φωνὴ ὑπάκουσα ἐγὼ καὶ προτίμησα νὰ ἐπιστρέψω ἔχοντας τὰ ὑπολείμματα τῆς ἀρρώστιας, παρὰ νὰ θεραπευθῶ τελείως ἀπὸ τὴν ἀσθένεια τοῦ σώματος καὶ νὰ λυπήσω πολὺ περισσότερο τὴν ἀγάπη σας. Καθόσον παραμένοντας ἐκεῖ ἄκουα τὶς κατηγορίες σας, ἀλλὰ καὶ ἐπιστολὲς ἡ μία πίσω ἀπὸ τὴν ἄλλη μετέφερναν τὰ παράπονά σας· φυσικὰ ἐγὼ πρόσεχα πολὺ περισσότερο ἐκείνους ποὺ κατηγοροῦσαν, παρὰ ἐκείνους ποὺ ἐπαινοῦσαν, γιατὶ οἱ κατηγορίες ἐκεῖνες προέρχονταν ἀπὸ ψυχὴ ποὺ ξέρει ν' ἀγαπᾶ. Καὶ γιὰ ὅλα αὐτὰ σηκώθηκα κι ἔτρεξα, γιὰ ὅλα αὐτὰ ποτὲ δὲν μπόρεσα νὰ σᾶς βγάλω ἀπὸ τὸ νοῦ μου. Καὶ τί τὸ ἀξιοθαύμαστο εἶναι ἐὰν ἐγώ, μένοντας στὴν ἐξοχὴ καὶ ἀπολαμβάνοντας τὴν ἡσυχία, εἶχα διαρκῶς στὴ μνήμη μου τὴν ἀγάπη σας, τὴ στιγμὴ βέβαια ποὺ ὁ Παῦλος, ἂν καὶ ἦταν ἁλυσοδεμένος καὶ ἔμεινε στὴ φυλακὴ καὶ ἔβλεπε ἀμέτρητους κινδύνους νὰ ὑψώνονται μπροστά του, ζώντας στὴ φυλακὴ σὰν νὰ ζοῦσε μέσα σὲ λιβάδι, ἔτσι εἶχε στὴ μνήμη του τοὺς ἀδελφοὺς καὶ γράφοντας ἔλεγε, «καὶ εἶναι σωστὸ νὰ σκέφτομαι ἔτσι γιὰ ὅλους ἐσᾶς, γιατὶ σᾶς ἔχω στὴν καρδία μου καὶ στὰ δεσμά μου καὶ κατὰ τὴν ἀπολογία μου καὶ κατὰ τὴν κήρυξη καὶ βεβαίωση τοῦ Εὐαγγελίου»[2]; 'Απ' ἔξω ἡ ἁλυσίδα ἐκ μέρους τῶν ἐχθρῶν, κι ἀπὸ μέσα ἡ ἁλυσίδα τῆς ἀγάπης τῶν μα-

τοῦ φίλτρου τῶν μαθητῶν· ἀλλ' ἡ μὲν ἔξωθεν ἀπὸ σιδήρου ἐκεχάλκευτο, ἡ δὲ ἔνδοθεν ἐξ ἀγάπης ἐγεγένητο· κἀκείνην μὲν πολλάκις καὶ ἀπέθετο, ταύτην δὲ οὐδέποτε ἀπέρρηξεν· ἀλλ' ὥσπερ αἱ γυναῖκες ὅσαι πεῖραν ὠδίνων ἔλαβον καὶ μητέρες ἐγένοντο, τοῖς τεχθεῖσι παιδίοις, ὅπουπερ ἂν ὦσιν, εἰσὶ διηνεκῶς συνδεδεμέναι, οὕτω καὶ Παῦλος, μᾶλλον δὲ καὶ πολλῷ τούτων σφοδρότερον ἀεὶ τοῖς μαθηταῖς προσήλωτο τοῖς αὐτοῦ, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τῶν φυσικῶν τόκων οἱ τοῦ πνεύματός εἰσι θερμότεροι. Καὶ γὰρ καὶ οὗτος ὤδινεν οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς τοὺς αὐτοὺς καὶ ἐβόα λέγων, «τεκνία μου, οὓς πάλιν ὠδίνω». Καίτοι γε τοῦτο οὐδέποτε ἂν πάθοι ἡ γυνή, οὐδ' ἂν ὑποσταίη τὰς αὐτὰς πάλιν ὠδῖνας, ἀλλὰ Παῦλος ὑπέμεινε τοῦτο, ὅπερ ἐπὶ τῆς φύσεως ἰδεῖν οὐκ ἔστι, καὶ τοὺς ἅπαξ τεχθέντας πάλιν ἀναλαβεῖν καὶ τὰς δριμείας ἐπ' αὐτοῖς ὑπομεῖναι ὠδῖνας. Διὰ τοῦτο καὶ ἐντρέψαι βουλόμενος αὐτούς, ἔλεγεν, «οὓς πάλιν ὠδίνω»· μονονουχὶ λέγων· φείσασθέ μου· οὐδεὶς υἱὸς δεύτερον τὴν μητρικὴν γαστέρα ταῖς ὠδῖσι διέτεινεν, ὅπερ ἀναγκάζετέ με πάσχειν ὑμεῖς· καίτοι ἐκεῖναι μὲν αἱ ὠδῖνες ἐν μιᾷ καιροῦ ῥοπῇ κατατείνουσι καὶ τοῦ παιδίου τῆς νηδύος ἐξολισθήσαντος, συνεξέρχονται, αὗται δὲ οὐχ οὕτως, ἀλλὰ καὶ μῆνας ὁλοκλήρους μένουσι· καὶ γὰρ ἐνιαυτὸν ὅλον ὤδινε πολλάκις, καὶ οὐκ ἔτεκε τοὺς κυομένους ὁ Παῦλος· κἀκεῖ μὲν τῆς σαρκὸς ὁ πόνος, ἐνταῦθα δὲ οὐ γαστέρα διατείνουσιν αἱ ἀλγηδόνες, ἀλλ' αὐτὴν τῆς ψυχῆς τὴν ἰσχὺν καταξαίνουσι.

Καὶ ἵνα μάθῃς, ὅτι θερμότεραι αὗται αἱ ὠδῖνες, τίς ποτε ὑπὲρ τῶν τεχθέντων παιδίων ηὔξατο ὑπομεῖναι γέενναν; Οὗτος δὲ οὐ μόνον αἱρεῖται ὑπομεῖναι γέενναν, ἀλλὰ καὶ εὔχεται ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ, ὥστε δυνηθῆναι τοὺς Ἰουδαίους ἀποτεκεῖν, οὓς ὤδινεν ἀεὶ καὶ διηνεκῶς, καὶ ἐπειδὴ μὴ συνέβαινε τοῦτο, ὠδυνᾶτο

---

3. Γαλ. 4,19.

θητῶν· ἀλλ' ἡ ἐξωτερικὴ ἦταν φτιαγμένη ἀπὸ σίδηρο, ἐνῶ ἡ ἐσωτερικὴ φτιαγμένη ἀπὸ ἀγάπη· καὶ ἐκείνην βέβαια πολλὲς φορὲς τὴν ἔβγαλε ἀπὸ πάνω του, ἐνῶ αὐτὴν ποτὲ δὲν τὴν διέρρηξε, ἀλλ' ὅπως ἀκριβῶς οἱ γυναῖκες ἐκεῖνες ποὺ δοκίμασαν τοὺς πόνους τοῦ τοκετοῦ κι ἔγιναν μητέρες, ὅπου κι ἂν βρίσκονται εἶναι δεμένες διαρκῶς μὲ τὰ παιδιὰ ποὺ γέννησαν, ἔτσι καὶ ὁ Παῦλος, ἢ καλύτερα καὶ πολὺ περισσότερο ἀπ' αὐτὲς ἦταν πάντοτε πολὺ περισότερο ἀφοσιωμένος στοὺς μαθητές του, καὶ τόσο περισσότερο, ὅσο τὰ φυσικὰ τέκνα εἶναι πιὸ ἀγαπητὰ ἀπὸ τὰ πνευματικά. Γιατὶ κι αὐτὸς πόνεσε γι' αὐτοὺς ὄχι μιὰ φορά, ἀλλὰ καὶ γιὰ δεύτερη φορά, καὶ βροντοφώναζε, λέγοντας· «τέκνα μου, ποὺ πάλι πονῶ ὑπερβολικὰ γιὰ σᾶς»[3]. Ἂν καὶ βέβαια αὐτὸ δὲν θὰ ἦταν δυνατὸ νὰ τὸ πάθει ποτὲ ἡ γυναίκα, οὔτε καὶ νὰ ὑποστεῖ τοὺς ἴδιους πάλι πόνους, ἀλλ' ὁ Παῦλος ὑπέμεινε αὐτό, ποὺ δὲν εἶναι δυνατὸ νὰ τὸ δεῖ κανεὶς στὴ φύση, τὸ νὰ δεχθεῖ δηλαδὴ καὶ πάλι στὴν κοιλιά της ἐκείνους ποὺ τοὺς γέννησε μιὰ φορά, καὶ νὰ ὑπομείνει τοὺς φοβεροὺς πόνους γεννώντας καὶ πάλι αὐτούς. Γι' αὐτὸ καὶ ἔλεγε, θέλοντας νὰ τοὺς κάνει νὰ νιώσουν ντροπή, «ποὺ πάλι πονῶ ὑπερβολικὰ γιὰ σᾶς»· σὰ νὰ ἔλεγε δηλαδή· 'λυπηθεῖτε με· κανένας γιὸς δὲν ξέσχισε μὲ τοὺς πόνους τοῦ τοκετοῦ γιὰ δεύτερη φορὰ τὴ μητρικὴ κοιλιά, πράγμα ποὺ σεῖς μ' ἀναγκάζετε νὰ πάσχω· ἂν καὶ βέβαια ἐκεῖνοι οἱ πόνοι προξενοῦν πόνο μιὰ στιγμὴ μόνο, καὶ μόλις τὸ παιδὶ βγεῖ ἀπὸ τὴν κοιλία, ἐξαφανίζονται κι ἐκεῖνοι, ἐνῶ μ' αὐτοὺς τοὺς πόνους δὲν συμβαίνει τὸ ἴδιο, ἀλλὰ διαρκοῦν καὶ μῆνες ὁλόκληρους'· καὶ πραγματικὰ ὁ Παῦλος πολλὲς φορὲς ὑπόφερε ὁλόκληρο χρόνο ἀπὸ τοὺς πόνους καὶ δὲ γεννοῦσε τοὺς κυομένους· καὶ ἐκεῖ βέβαια ὁ πόνος εἶναι σαρκικός, ἐνῶ ἐδῶ οἱ φοβεροὶ πόνοι δὲ βασανίζουν τὴν κοιλιά, ἀλλὰ κατακομματιάζουν τὴν ἴδια τὴ δύναμη τῆς ψυχῆς.

Καὶ γιὰ νὰ μάθεις, ὅτι αὐτοὶ οἱ πνευματικοὶ πόνοι εἶναι φοβερώτεροι, ποιός ποτὲ εὐχήθηκε νὰ ὑπομείνει τὴ γέεννα πρὸς χάρη τῶν παιδιῶν ποὺ γέννησε; Ὅμως αὐτὸς δὲν προτιμᾶ μόνο νὰ ὑπομείνει τὴ γέεννα, ἀλλὰ καὶ εὔχεται νὰ γίνει ἀνάθεμα καὶ ν' ἀποχωρισθεῖ ἀπὸ τὸ Χριστό, ὥστε νὰ μπορέσει ν' ἀναγεννήσει τοὺς Ἰου-

λέγων· «λύπη μοί ἐστι μεγάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου». Καὶ ἐνταῦθα πάλιν· «τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν». Τί τῆς νηδύος ἐκείνης μακαριώτερον γένοιτο ἄν, ἣ τοιαῦτα παιδία τίκτειν ἐδύνατο, ὡς τὸν Χριστὸν ἔχειν ἐν ἑαυτοῖς; τί δὲ εὐφορώτερον, ἣ τὴν οἰκουμένην ἅπασαν ἀπεγέννησε; τί δὲ δυνατώτερον, ἥτις τεχθέντας καὶ αὐξηθέντας εἰς ἄμβλωσιν ἐκπεσόντας, ἀναλαβεῖν ἴσχυσε πάλιν καὶ ἄνωθεν διαπλάσαι; τοῦτο γὰρ ἐπὶ τῶν φυσικῶν τόκων ἀδύνατον. Διὰ τί δὲ οὐκ εἶπε, «τεκνία μου, οὓς πάλιν» 'ἀναγεννῶ', ἀλλ' «ὠδίνω»; Καίτοι γε ἀλλαχοῦ γεννᾶν φησιν· «ἐν γὰρ Χριστῷ Ἰησοῦ ὑμᾶς ἐγέννησα». Ἐκεῖ μὲν οὖν τὴν συγγένειαν δηλῶσαι μόνον ἐβούλετο, ἐνταῦθα δὲ καὶ τὸν πόνον παραστῆσαι ἐσπούδαζε.

Πῶς δὲ 'τέκνα' καλεῖ τὰ μηδέπω τεχθέντα; Εἰ γὰρ ὠδίνει, οὐδέπω ἔτεκε· πῶς οὖν 'τέκνα' καλεῖ; Ἵνα μάθῃς, ὅτι οὐ ταύτας ὠδίνει τὰς πρώτας ὠδῖνας, ὅπερ ἱκανὸν ἦν ἐκείνους ἐντρέψαι. Καὶ γὰρ ἐγενόμην, φησίν, ἅπαξ πατήρ, καὶ τὸν ὀφειλόμενον ἐφ' ὑμῖν ὑπέμεινα τόκον, ἐγένεσθε δὲ τέκνα καὶ ὑμεῖς ἅπαξ· πῶς οὖν πάλιν με εἰς δευτέρας ὠδῖνας ἐμβάλλετε; ἱκανοὶ οἱ πόνοι τῶν τόκων τῶν ἐξ ἀρχῆς, τί με διατείνετε πάλιν ταῖς ὀδύναις; Τῶν γὰρ μηδέπω πεπιστευκότων οὐκ ἐλάττονα πόνον παρεῖχεν αὐτῷ τῶν πιστῶν τὰ πτώματα. Καὶ γὰρ ἦν ἀφόρητον, μετὰ τὴν τῶν τοιούτων μυστηρίων κοινωνίαν πρὸς τὴν ἀσέβειαν αὐτομολοῦντας ὁρᾶν· διὸ καὶ σφόδρα δριμὺ καὶ πάσης γυναικὸς περιπαθέστερον ἀνωνόλυζε, λέγων· «τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν». Τοῦτο δὲ ἔλεγεν, ὁμοῦ καὶ θαρρῦναι καὶ φοβῆσαι βουλόμε-

4. Ρωμ. 9,2.
5. Γαλ. 4,19.
6. Α' Κορ. 4,15.
7. Γαλ. 4,19.

δαίους, γιὰ τοὺς ὁποίους πονοῦσε πάρα πολὺ πάντοτε καὶ διαρκῶς, καὶ ἐπειδὴ δὲ συνέβαινε αὐτό, ἔλεγε μὲ ἀφόρητο πόνο· «αἰσθάνομαι μεγάλη λύπη καὶ ἀδιάκοπη ὀδύνη στὴν καρδιά μου»[4]. Καὶ ἐδῶ πάλι· «τέκνα μου, ποὺ γιὰ σᾶς πάλι πονῶ, μέχρι ποὺ νὰ μορφωθεῖ μέσα σας ὁ Χριστός»[5]. Τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ μακάριο ἀπὸ τὴν κοιλιὰ ἐκείνη, ποὺ μποροῦσε νὰ γεννήσει τέτοια παιδιά, ὥστε νὰ ἔχουν μέσα τους τὸ Χριστό; καὶ τί πιὸ εὔφορο ἀπ' αὐτὴν ποὺ ἀναγέννησε ὁλόκληρη τὴν οἰκουμένη; Καὶ ἀκόμα τί πιὸ δυνατὸ ἀπ' αὐτήν, ποὺ μπόρεσε ἐκείνους ποὺ γεννήθηκαν καὶ μεγάλωσαν, ἀλλ' ἀποβλήθηκαν σὰν ἐκτρώματα, νὰ τοὺς ἀναλάβει καὶ πάλι καὶ νὰ τοὺς ἀναπλάσει μὲ οὐράνια μορφή; γιατὶ αὐτὸ εἶναι ἀδύνατο στοὺς φυσικοὺς τόκους. Γιατί ὅμως δὲν εἶπε, «τέκνα μου, ποὺ πάλι σᾶς ἀναγεννῶ», ἀλλ' εἶπε «ποὺ πονῶ γιὰ σᾶς»; Ἂν καὶ βέβαια ἀλλοῦ λέγει ὅτι τοὺς γεννᾶ· «γιατὶ σᾶς γέννησα μὲ τὴ χάρη τοῦ Ἰησοῦ Χριστοῦ»[6]. Ἐκεῖ ἤθελε νὰ δείξει μόνο τὴ συγγένεια, ἐνῶ ἐδῶ φρόντιζε νὰ παραστήσει καὶ τὸν πόνο.

Καὶ πῶς ὀνομάζει 'τέκνα' ἐκείνους ποὺ δὲν εἶχαν ἀκόμα γεννηθεῖ; γιατί, ἐφόσον πονοῦσε, δὲν τοὺς εἶχε γεννήσει ἀκόμα· πῶς λοιπὸν τοὺς ὀνομάζει 'τέκνα'; Γιὰ νὰ μάθεις, ὅτι δὲν ἦταν αὐτὴ ἡ πρώτη φορὰ ποὺ πονοῦσε γι' αὐτούς, πράγμα ποὺ ἦταν ἱκανὸ νὰ τοὺς κάνει νὰ ντραποῦν. Καθόσον λέγει, ἔγινα μιὰ φορὰ πατέρας καὶ ὑπέμεινα τοὺς πόνους ποὺ ὄφειλα γιὰ σᾶς, καὶ σεῖς γίνατε τέκνα μου μιὰ φορά· πῶς λοιπὸν πάλι μοῦ προξενεῖτε πόνους γιὰ δεύτερη φορά; εἶναι ἀρκετοὶ οἱ πόνοι ποὺ ἔνιωσα ὅταν σᾶς γέννησα στὴν ἀρχή· γιατί μὲ βασανίζετε πάλι μὲ ἀβάσταχτους πόνους; Γιατὶ ἡ πτώση τῶν πιστῶν δὲν προξενοῦσε σ' αὐτὸν λιγότερο πόνο ἀπὸ ἐκεῖνον ποὺ τοῦ προξενοῦσαν ἐκεῖνοι ποὺ δὲν εἶχαν πιστέψει ἀκόμα. Πραγματικὰ ἦταν ἀνυπόφορο νὰ τοὺς βλέπει νὰ ξαναγυρίζουν καὶ πάλι στὴν ἀσέβεια μετὰ τὴ συμμετοχή τους σὲ τέτοια μυστήρια· γι' αὐτὸ καὶ ἦταν ὑπερβολικὰ ὀδυνηρὸ καὶ περισσότερο ἀπὸ κάθε γυναίκα κραύγαζε μὲ ἀνυπόφορη θλίψη, λέγοντας· «τέκνα μου, ποὺ γιὰ σᾶς πάλι πονῶ ἀνυπόφορα, μέχρι ποὺ νὰ μορφωθεῖ μέσα σας ὁ Χριστός»[7]. Καὶ αὐτὸ τὸ ἔλεγε, θέλοντας συγχρόνως καὶ νὰ τοὺς ἐνθαρρύνει καὶ νὰ τοὺς φοβήσει· γιατὶ μὲ

νος· τὸ μὲν γὰρ δεῖξαι μὴ μεμορφωμένον ἐν αὐτοῖς τὸν Χριστόν, ἀγωνίαν καὶ φόβον ἐνέβαλλε, τὸ δὲ ἐμφῆναι ὅτι δυνατὸν αὐτὸν μορφωθῆναι, πάλιν θαρρεῖν παρεσκεύαζε. Τὸ γὰρ εἰπεῖν, «ἄχρις οὗ μορφωθῇ», ἀμφότερα ταῦτά ἐστιν ἐνδεικνυμένου, καὶ ὅτι οὐδέπω μεμόρφωται, καὶ ὅτι δυνατὸν μορφωθῆναι πάλιν. Εἰ γὰρ μὴ δυνατὸν ἦν, εἰκῇ πρὸς αὐτοὺς ἔλεγεν, «ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν», καὶ ματαίαις αὐτοὺς ἔτρεφεν ἐλπίσι.

2. Ταῦτα οὖν εἰδότες μηδὲ ἡμεῖς ἀπογινώσκωμεν, ἀλλὰ μηδὲ ῥᾳθυμήσωμεν ἁπλῶς· ἑκάτερα γὰρ ταῦτα ὀλέθρια. Ἡ μὲν γὰρ ἀπόγνωσις τὸν κείμενον οὐκ ἀφίησιν ἀναστῆναι, ἡ δὲ ῥᾳθυμία τὸν ἑστῶτα ποιεῖ καταπίπτειν· ἐκείνη τῶν πορισθέντων ἀγαθῶν ἀποστερεῖν εἴωθεν, αὕτη τῶν ἐπικειμένων οὐκ ἀφίησιν ἀπαλλαγῆναι κακῶν· καὶ ἡ μὲν καταφρόνησις καὶ ἐξ αὐτῶν καταφέρει τῶν οὐρανῶν, ἡ δὲ ἀπόγνωσις εἰς αὐτὴν κατάγει τῆς κακίας τὴν ἄβυσσον, ὥσπερ οὖν τὸ μὴ ἀπογνῶναι κἀκεῖθεν ταχέως ἀναδραμεῖν ποιεῖ. Σκόπει δὲ ἀμφοτέρων τὴν ἰσχύν· ὁ διάβολος ἀγαθὸς ἦν πρὸ τούτου· ῥᾳθυμήσας δὲ καὶ ἀπογνοὺς ἔπεσεν εἰς τοσαύτην κακίαν, ὡς μηδὲ ἀναστῆναι λοιπόν· ὅτι γὰρ ἀγαθὸς ἦν, ἄκουσον τί φησιν· «εἶδον τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα». Ἡ δὲ ἀστραπῆς παραβολὴ καὶ τὸ φαιδρὸν τῆς προτέρας δείκνυσιν ἀναστροφῆς καὶ τὴν τῆς πτώσεως ὀξύτητα. Ὁ Παῦλος βλάσφημος ἦν καὶ διώκτης καὶ ὑβριστής, ἐπειδὴ δὲ ἐσπούδασε καὶ οὐκ ἀπέγνω, καὶ ἀνέστη καὶ τῶν ἀγγέλων γέγονεν ἴσος· ὁ δὲ Ἰούδας ἀπόστολος ἦν, ἀλλα ῥᾳθυμήσας γέγονε προδότης. Ὁ λῃστὴς πάλιν μετὰ τοσαύτην κακίαν, ἐπειδὴ μὴ ἀπέγνω, πρὸ τῶν ἄλλων ἁπάντων εἰς τὸν παράδεισον εἰσῆλθεν· ὁ Φαρισαῖος θαρρήσας ἐξ αὐτοῦ τῆς ἀρετῆς κατηνέχθη τοῦ ὕψους· ὁ τελώνης μὴ ἀπογνούς, οὕτως ὠρθώθη ὡς κἀκεῖ-

8. Λουκᾶ 10,18.

τὸ νὰ τοὺς δείξει ὅτι δὲν εἶχε μορφωθεῖ μέσα τους ὁ Χριστὸς τοὺς προξενοῦσε ἀγωνία καὶ φόβο, ἐνῶ μὲ τὸ νὰ δείξει ὅτι αὐτὸς εἶναι δυνατὸ νὰ μορφωθεῖ μέσα τους, τοὺς ἔδινε πάλι θάρρος. Γιατὶ τὸ νὰ πεῖ, «μέχρι ποὺ νὰ μορφωθεῖ», δείχνει καὶ τὰ δύο αὐτά, καὶ ὅτι δηλαδὴ δὲν ἔχει ἀκόμα μορφωθεῖ μέσα τους, καὶ ὅτι εἶναι δυνατὸ νὰ μορφωθεῖ πάλι. Γιατί, ἐὰν δὲν ἦταν δυνατό, ἄδικα ἔλεγε πρὸς αὐτούς, «μέχρι ποὺ νὰ μορφωθεῖ μέσα σας ὁ Χριστός», καὶ τοὺς ἔτρεφε μὲ μάταιες ἐλπίδες.

2. Γνωρίζοντας λοιπὸν αὐτά, οὔτε κι ἐμεῖς ν' ἀπελπιζόμαστε, ἀλλ' οὔτε καὶ ν' ἀδιαφορήσομε καθόλου, γιατὶ καὶ τὰ δύο αὐτὰ εἶναι ὀλέθρια. Πραγματικὰ ἡ ἀπόγνωση δὲν ἀφήνει τὸν πεσμένο νὰ σηκωθεῖ, ἐνῶ ἡ ἀδιαφορία ὁδηγεῖ στὴν πτώση ἐκείνου ποὺ εἶναι ὄρθιος· ἡ ἀπόγνωση συνήθως μᾶς στερεῖ τ' ἀγαθὰ ποὺ ἀποκτήσαμε, ἐνῶ ἡ ἀδιαφορία δὲν μᾶς ἀφήνει ν' ἀπαλλαγοῦμε ἀπὸ τὰ κακὰ ποὺ μᾶς περιβάλλουν· καὶ ἡ περιφρόνηση βέβαια μᾶς κατεβάζει κι ἀπ' τὸν ἴδιο τὸν οὐρανό, ἐνῶ ἡ ἀπόγνωση μᾶς καταρρίπτει μέσα στὴν ἴδια τὴν ἄβυσσο τῆς κακίας, ὅπως πάλι βέβαια τὸ νὰ μὴ κυριευθοῦμε ἀπὸ ἀπόγνωση μᾶς βοηθάει νὰ ἐπιστρέψομε ἀπὸ ἐκεῖ γρήγορα. Καὶ πρόσεχε καὶ τῶν δύο τὴ δύναμη· ὁ διάβολος πρὶν ἀπὸ τὴν πτώση του ἦταν ἀγαθός, ἀλλ', ἐπειδὴ ἔδειξε ἀδιαφορία καὶ κυριεύθηκε ἀπὸ ἀπόγνωση, ἔπεσε σὲ τόσο μεγάλη κακία, ὥστε νὰ μὴ μπορεῖ πλέον νὰ σηκωθεῖ· τὸ ὅτι βέβαια ἦταν ἀγαθός, ἄκουσε τί λέγει· «εἶδα τὸ σατανᾶ ποὺ ἔπεσε σὰν ἀστραπὴ ἀπὸ τὸν οὐρανό»[8]. Ἡ παρομοίωση τῆς πτώσης του μὲ ἀστραπὴ δείχνει καὶ τὴ λαμπρὴ προηγούμενη κατάστασή του καὶ τὴν ταχύτητα τῆς πτώσεως του. Ὁ Παῦλος ἦταν βλάσφημος καὶ διώκτης καὶ ὑβριστής, ἀλλ', ἐπειδὴ ἔδειξε προθυμία καὶ δὲν κυριεύθηκε ἀπὸ ἀπόγνωση, καὶ σηκώθηκε ἀπὸ τὴν πτώση του καὶ ἔγινε ἴσος μὲ τοὺς ἀγγέλους· ἐνῶ ὁ Ἰούδας ἦταν ἀπόστολος, ἀλλ' ἐπειδὴ ἔδειξε ραθυμία ἔγινε προδότης. Ὁ ληστὴς πάλι μετὰ ἀπὸ τόση κακία, ἐπειδὴ δὲν κυριεύθηκε ἀπὸ ἀπόγνωση, εἰσῆλθε στὸν παράδεισο πρὶν ἀπ' ὅλους τοὺς ἄλλους· ὁ Φαρισαῖος ἐπειδὴ ὑπερηφανεύθηκε κατρακύλησε ἀπὸ τὸ ὕψος τῆς ἀρετῆς, ἐνῶ ὁ τελώνης ἐπειδὴ δὲν ἀπελπίσθηκε, τόσο πολὺ ὑψώθηκε, ὥστε καὶ ἐκεῖνον νὰ τὸν ξεπεράσει.

νον παραδραμεῖν. Βούλει σοι δείξω καὶ πόλιν ὁλόκληρον τοῦτο ποιήσασαν; Ἡ τῶν Νινευϊτῶν πόλις οὕτως ἐσώθη πᾶσα· καίτοι γε ἡ ἀπόφασις εἰς ἀπόγνωσιν αὐτοὺς ἐνέβαλεν· οὐ γὰρ εἶπεν ὅτι, 'ἐὰν μετανοήσωσι, σωθήσονται', ἀλλ' ἁπλῶς, «ἔτι τρεῖς ἡμέραι, καὶ Νινευΐ καταστραφήσεται»· ἀλλ' ὅμως ἀπειλοῦντος τοῦ Θεοῦ, καὶ τοῦ προφήτου βοῶντος, καὶ τῆς ἀποφάσεως οὐκ ἐχούσης μέλλησιν οὐδὲ διορισμόν, οὐκ ἀνέπεσον, οὐδὲ τὰς χρηστὰς προέδωκαν ἐλπίδας. Διὰ γὰρ τοῦτο οὐ προσέθηκε διορισμόν, οὐδὲ εἶπεν, 'ἐὰν δὲ μετανοήσωσι, σωθήσονται', ἵνα καὶ ἡμεῖς ὅταν ἀκούσωμεν ἀποφάσεως τοῦ Θεοῦ φερομένης χωρὶς διορισμοῦ, μηδὲ οὕτως ἀπογνῶμεν μηδὲ ἀπαγορεύσωμεν, εἰς ἐκεῖνο τὸ ὑπόδειγμα βλέποντες. Οὐ διὰ τούτου δὲ μόνον ἔστι τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἰδεῖν, ὅτι μὴ προσθεὶς διορισμὸν τῇ ἀποφάσει, ὅμως μετανοήσασι κατηλλάγη, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ τὴν ἀπόφασιν ἀπηρτισμένην ἐξενεγκεῖν. Αὐξῆσαι γὰρ τὸν φόβον βουλόμενος καὶ τῆς πολλῆς αὐτῶν ῥᾳθυμίας καθάψασθαι, τοῦτο ἐποίησε, καὶ αὐτὸς δὲ ὁ χρόνος τῆς μετανοίας δείκνυσιν αὐτοῦ τὴν ἄφατον φιλανθρωπίαν. Τί γὰρ ἡμέραι τρεῖς τοσοῦτον εἰργάσαντο, ὡς ἀφανίσαι κακίαν τοσαύτην; Ὁρᾷς πῶς καὶ ἐντεῦθεν ἡ τοῦ Θεοῦ φαίνεται κηδεμονία; τὸ γὰρ πλέον αὕτη συνεισήνεγκεν εἰς τὴν τῆς πόλεως σωτηρίαν.

Ταῦτα οὖν εἰδότες, μηδέποτε ἀπογινώσκωμεν· οὐδὲν γὰρ οὕτως ἰσχυρὸν ὅπλον τῷ διαβόλῳ, ὡς ἀπόγνωσις· διὰ τοῦτο οὐχ οὕτως αὐτὸν εὐφραίνομεν ἁμαρτάνοντες, ὡς ἀπογινώσκοντες. Ἄκουσον γοῦν ἐπὶ τοῦ πεπορνευκότος, πῶς τῆς ἁμαρτίας μᾶλλον τὴν ἀπόγνωσιν δέδοικεν ὁ Παῦλος· γράφων γὰρ Κορινθίοις οὕτως ἔλεγεν· «ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται»· καὶ οὐκ εἶπεν, 'ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσι τολμᾶται', ἀλλ', «οὐδὲ ὀνομάζεται»· ὃ γὰρ μέχρι προσηγορίας ἐκείνοις ἀφόρητον, τοῦτο ὑμῖν ἔργῳ τετόλμηται. «Καὶ ὑμεῖς

---

9. Ἰωνᾶς 3,4.
10. Α' Κορ. 5,1.

Θέλεις νὰ σοῦ δείξω καὶ ὁλόκληρη πόλη ποὺ ἔκαμε τὸ ἴδιο; Ἡ πόλη τῶν Νινευϊτῶν ἔτσι σώθηκε ὁλόκληρη, ἂν καὶ βέβαια ἡ ἀπόφαση τοῦ Θεοῦ τοὺς ὁδήγησε στὴν ἀπόγνωση· γιατὶ δὲν εἶπε, 'ἂν μετανοήσουν, θὰ σωθοῦν', ἀλλ' ἁπλῶς, «ἀκόμη τρεῖς ἡμέρες καὶ ἡ Νινευὴ θὰ καταστραφεῖ»[9]· ἀλλ' ὅμως, ἂν καὶ ἀπειλοῦσε ὁ Θεὸς καὶ ὁ προφήτης φώναζε καὶ ἡ ἀπόφαση δὲν εἶχε ἀναβολὴ οὔτε περιορισμό, δὲν κυριεύθηκαν ἀπὸ ἀπόγνωση οὔτε ἐγκατέλειψαν τὶς καλὲς ἐλπίδες. Γιατὶ γι' αὐτὸ δὲν ἔθεσε περιορισμό, οὔτε εἶπε, 'ἐὰν μετανοήσουν θὰ σωθοῦν', ὥστε καὶ ἐμεῖς, ὅταν ἀκούσομε κάποια ἀπόφαση τοῦ Θεοῦ χωρὶς περιορισμό, οὔτε ἔτσι νὰ μὴ κυριευθοῦμε ἀπὸ ἀπόγνωση, οὔτε νὰ ἐξασθενίσουν οἱ δυνάμεις μας, ἔχοντας τὸ βλέμμα μας στραμμένο στὸ παράδειγμα ἐκεῖνο. Καὶ εἶναι δυνατὸ νὰ δοῦμε τὴ φιλανθρωπία τοῦ Θεοῦ ὄχι μόνο ἀπ' αὐτό, ἀπὸ τὸ ὅτι δηλαδὴ δὲν ἔθεσε περιορισμὸ στὴν ἀπόφασή του, ἀλλὰ καὶ συμφιλιώθηκε μαζί τους ὅταν μετανόησαν, ἀλλὰ καὶ ἀπὸ τὸ ὅτι τοὺς γνωστοποίησε ρητῶς τὴν ἀπόφασή του. Θέλοντας δηλαδὴ ν' αὐξήσει τὸ φόβο τους καὶ νὰ τοὺς ψέξει γιὰ τὴν ἀδιαφορία τους, ἐνέργησε κατ' αὐτὸν τὸν τρόπο, ἀλλὰ καὶ ὁ ἴδιος ὁ χρόνος τῆς μετάνοιας δείχνει τὴν ἀπερίγραπτη φιλανθρωπία του. Γιατὶ τί τὸ τόσο μεγάλο θὰ μποροῦσαν νὰ ἐπιτύχουν σὲ τρεῖς ἡμέρες, ὥστε ν' ἐξαφανίσουν τόση κακία; Βλέπεις πῶς καὶ ἀπὸ ἐδῶ φαίνεται ἡ κηδεμονία τοῦ Θεοῦ; γιατὶ τὸ περισσότερο αὐτὴ τὸ πρόσφερε στὴ σωτηρία τῆς πόλεως.

Γνωρίζοντας λοιπὸν αὐτὰ ποτὲ νὰ μὴν ἀπελπιζόμαστε· γιατὶ τίποτε δὲν εἶναι τόσο ἰσχυρὸ ὅπλο γιὰ τὸ διάβολο, ὅσο ἡ ἀπόγνωση· γι' αὐτὸ δὲν τὸν εὐχαριστοῦμε τόσο πολὺ ἁμαρτάνοντας, ὅσο ὅταν κυριευόμαστε ἀπὸ ἀπελπισία. Ἄκουσε λοιπὸν στὴν περίπτωση ἐκείνου ποὺ πόρνευσε, πῶς ὁ Παῦλος φοβᾶται πολὺ περισσότερο ἀπὸ τὴν ἁμαρτία τὴν ἀπόγνωση· γιατὶ γράφοντας στοὺς Κορινθίους ἔλεγε τὰ ἑξῆς· «καὶ γενικὰ ἀκούεται ὅτι ὑπάρχει μεταξύ σας πορνεία, καὶ μάλιστα τέτοια πορνεία, ποὺ δὲν ὑπάρχει οὔτε μεταξὺ τῶν ἐθνικῶν»[10]· καὶ δὲν εἶπε, 'ἡ ὁποία δὲν τολμᾶται οὔτε μεταξὺ τῶν ἐθνικῶν', ἀλλά, «οὔτε ὀνομάζεται»· ἐκεῖνο δηλαδὴ ποὺ ἐκεῖνοι δὲν ἀνέχονταν οὔτε νὰ τὸ ἀναφέρουν, αὐτὸ τολμήσατε ἐσεῖς νὰ τὸ πράξετε. «Καὶ σεῖς εἶστε φουσκωμένοι ἀπὸ ὑπερηφά-

πεφυσιωμένοι ἐστέ;». Καὶ οὐκ εἶπε, 'καὶ ἐκεῖνος πεφυσίωται', ἀλλ', ἀφεὶς τὸν ἡμαρτηκότα, τοῖς ὑγιαίνουσι διαλέγεται· καθάπερ οἱ ἰατροὶ ποιοῦσιν, ἀφέντες τοὺς κάμνοντας, πρὸς τοὺς προσήκοντας αὐτοῖς πλείονι κέχρηνται λόγῳ· ἄλλως δὲ καὶ οὗτοι τῆς ἀπονοίας αἴτιοι πάσης ἦσαν αὐτῷ, μὴ ἐπιτιμῶντες μηδὲ ἐπιπλήττοντες. Ἐκοίνωσε τοίνυν τὸ ἔγκλημα, ἵνα ῥᾳδία γένηται τοῦ τραύματος ἡ θεραπεία. Δεινὸν μὲν γὰρ τὸ ἁμαρτάνειν, πολλῷ δὲ χαλεπώτερον τὸ καὶ μέγα φρονεῖν ἐπὶ τοῖς ἁμαρτήμασιν. Εἰ γὰρ ἐπὶ δικαιοσύνῃ τὸ φυσᾶσθαι κένωσις δικαιοσύνης ἐστί, πολλῷ μᾶλλον ἐπὶ τοῖς ἁμαρτήμασι τοῦτο συμβαῖνον ἐσχάτην οἴσει βλάβην ἡμῖν, καὶ τῶν ἁμαρτημάτων αὐτῶν μεῖζον τὸ ἔγκλημα ἔσται. Διὰ τοῦτό φησιν· «ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν». Εἰ δὲ οἱ πάντα ποιοῦντες ὀφείλουσι συνεστάλθαι, πολλῷ μᾶλλον τὸν ἡμαρτηκότα καὶ θρηνεῖν καὶ ἐν τοῖς ἐσχάτοις ἑαυτὸν ἀριθμεῖν ἄξιον. Ὅπερ οὖν καὶ τότε δηλῶν ἔλεγε· «καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε».

Τί λέγεις; ἕτερος ἥμαρτε καὶ ἐγὼ πενθήσω; Ναί, φησί· σώματος γὰρ καὶ μελῶν δίκην ἀλλήλοις ἐσμὲν συνδεδεμένοι· ἐπὶ δὲ τοῦ σώματος κἂν ὁ ποῦς δέξηται τραῦμα, τὴν κεφαλὴν ἐπικύπτουσαν ὁρῶμεν. Καίτοι τί ταύτης σεμνότερον; Ἀλλ' οὐχ ὁρᾷ τὴν ἀξίαν ἐν τῷ καιρῷ τῆς συμφορᾶς· οὕτω καὶ σὺ ποίησον. Διὰ τοῦτο καὶ Παῦλος παραινεῖ, «χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων». Διὰ τοῦτο καὶ Κορινθίοις φησί, «καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας». Οὐκ εἶπε, 'καὶ οὐχὶ μᾶλλον ἐσπουδάσατε', ἀλλὰ τί; «Οὐχὶ μᾶλλον ἐπενθήσατε», ὡς νόσου κοινῆς καὶ λοιμοῦ τὴν πόλιν καταλαβόντος· μονονουχὶ λέγων· 'εὐχῆς καὶ ἐξομολογήσεως δεῖ καὶ ἱκετηρίας, ἵνα τὸ νόσημα ἀπελαθῇ τῆς πόλεως ἁπάσης'. Ὁρᾷς πόσον

---

11. Α' Κορ. 5,2.
12. Λουκᾶ 17,10.
13. Α' Κορ. 5,2.
14. Ρωμ. 12,15.
15. Α' Κορ. 5,2.

νεια;»[11]. Καὶ δὲν εἶπε, 'καὶ ἐκεῖνος εἶναι φουσκωμένος ἀπὸ ὑπερηφάνεια', ἀλλ', ἀφήνοντας ἐκεῖνον ποὺ διέπραξε τὴν ἁμαρτία, συνομιλεῖ μὲ τοὺς ὑγιεῖς· ὅπως ἀκριβῶς κάμνουν οἱ γιατροί, ἀφήνοντας τοὺς ἀσθενεῖς, μιλοῦν πιὸ πολὺ στοὺς συγγενεῖς τους· ἐξ ἄλλου καὶ αὐτοὶ οἱ ἴδιοι ἦταν ὑπεύθυνοι τῆς ὅλης ἀνοησίας του, ἐπειδὴ δὲν τὸν ἐπιτιμοῦσαν οὔτε τὸν ἐπέπλητταν. Κατέστησε λοιπὸν κοινὴ τὴν κατηγορία, γιὰ νὰ γίνει εὔκολη ἡ θεραπεία. Γιατὶ εἶναι φοβερὸ πράγμα τὸ ν' ἁμαρτάνει κανείς, ἀλλὰ πολὺ πιὸ φοβερὸ τὸ νὰ μεγαλοφρονεῖ γιὰ τ' ἁμαρτήματά του. Πραγματικά, ἐὰν τὸ νὰ ὑπερηφανευόμαστε γιὰ τὴν ἀρετή μας ἀποτελεῖ στέρηση τῆς ἀρετῆς, πολὺ περισσότερο ὅταν αὐτὸ συμβαίνει γιὰ τ' ἁμαρτήματά μας θὰ μᾶς προξενήσει τὴν πιὸ χειρότερη βλάβη καὶ θὰ εἶναι ἡ κατηγορία μεγαλύτερη καὶ ἀπὸ τὰ ἴδια τὰ ἁμαρτήματα. Γι' αὐτὸ λέγει· «ὅταν
7 ἐκτελέσετε ὅλα τὰ παραγγέλματα, νὰ λέτε, εἴμαστε δοῦλοι ἀχρεῖοι»[12]. Ἐὰν λοιπὸν ἐκεῖνοι ποὺ ἐκτελοῦν ὅλα τὰ παραγγέλματα ὀφείλουν νὰ δείχνουν ταπείνωση, πολὺ περισσότερο ἐκεῖνος ποὺ ἁμάρτησε πρέπει νὰ θρηνεῖ καὶ ν' ἀπαριθμεῖ τὸν ἑαυτό του μεταξὺ τῶν πιὸ χειρότερων. Αὐτὸ ἀκριβῶς λοιπὸν γιὰ νὰ δηλώσει καὶ τότε, ἔλεγε· «καὶ δὲν προτιμήσατε νὰ πενθήσετε»[13].

Τί λές; Ἄλλος ἁμάρτησε καὶ ἐγὼ θὰ πενθήσω; Ναί, λέγει· γιατὶ εἴμαστε μεταξύ μας συνδεδεμένοι ὅπως τὸ σῶμα μὲ τὰ μέλη του· στὴν περίπτωση λοιπὸν τοῦ σώματος ὅταν τὸ σῶμα τραυματισθεῖ, βλέπομε τὸ κεφάλι νὰ σκύβει ἐπάνω του. Ἂν καὶ βέβαια τί ὑπάρχει σεμνότερο ἀπ' αὐτό; Ἀλλὰ δὲν κοιτᾶ τὴν ἀξία στὴν ὥρα τῆς συμφορᾶς· τὸ ἴδιο κάνε καὶ σύ. Γι' αὐτὸ καὶ ὁ Παῦλος συμβουλεύει, «νὰ χαιρόμαστε μ' ἐκείνους ποὺ χαίρονται, καὶ νὰ κλαῖμε μαζὶ μ' ἐκείνους ποὺ κλαῖνε»[14]. Γι' αὐτὸ καὶ στοὺς Κορινθίους λέγει· «καὶ δὲ θελήσατε μᾶλλον νὰ πενθήσετε, γιὰ νὰ χαθεῖ ἀπ' ἀνάμεσά σας ἐκεῖνος ποὺ ἔκανε τὴν πράξη αὐτή»[15]. Δὲν εἶπε, 'καὶ δὲ φροντίσατε μᾶλλον' ἀλλὰ τί; «δὲν πενθήσατε μᾶλλον» σὰ νὰ πρόσβαλε τὴν πόλη κοινὴ ἀρρώστια καὶ λοιμός· σὰ νὰ ἔλεγε δηλαδή· 'χρειάζεται προσευχὴ κι ἐξομολόγηση καὶ παράκληση, γιὰ ν' ἀπομακρυνθεῖ τὸ νόσημα ἀπὸ τὴν πόλη'. Βλέπεις πόσο φόβο

αὐτοῖς φόβον ἐπεκρέμασεν; Ἐπειδὴ γὰρ ἐνόμιζον μέχρις ἐκείνου μόνον ἑστάναι τὸ δεινόν, ἐναγωνίους αὐτοὺς καθίστησι λέγων· «οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ;». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὁδῷ τὸ κακὸν βαδίζον, καὶ τῶν λοιπῶν ἅψεται μελῶν· ὡς ὑπὲρ κοινῶν τοίνυν κακῶν βουλευομένους, λοιπῶν οὕτω φροντίζειν χρή. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι ἐκεῖνος ἥμαρτε μόνος, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι σηπεδών τίς ἐστι τὸ δεινὸν καὶ τὸ λοιπὸν ἅπαν ἐπινέμεται σῶμα. Καὶ καθάπερ οἰκίας καιομένης, καὶ οἱ μηδέπω δεξάμενοι τὸ κακόν, τῶν ὄντων ἐν τῇ συμφορᾷ οὐκ ἔλαττον ἐπείγονται καὶ πάντα συνεισφέρουσιν, ὥστε μὴ τὸ πῦρ ἐπιγόμενον καὶ ἐπὶ τὰς αὐτῶν θύρας ἔλθῃ· οὕτω καὶ τούτους ὁ Παῦλος διεγείρει λέγων· 'πυρά τίς ἐστι, προκαταλάβωμεν τὸ δεινόν· σβέσωμεν τὸν ἐμπρησμόν, πρὶν ἢ καταλαβεῖν τὴν Ἐκκλησίαν· εἰ δὲ καταφρονεῖς τῆς ἁμαρτίας ὡς ἐν ἀλλοτρίῳ γενομένης σώματι, μάλιστα μὲν καὶ οὕτω κακῶς· μέλος γάρ ἐστι τοῦ παντὸς σώματος ἐκεῖνος'.

3. Πλὴν ἀλλ' ἐκεῖνο σκόπει, ὅτι ἂν ῥᾳθυμήσῃς καὶ παρίδῃς, καὶ σὲ καταλήψεταί ποτε. Ὥστε εἰ καὶ μὴ διὰ τὸν ἀδελφόν, διὰ γοῦν σαυτὸν διεγέρθητι καὶ ἀνάστειλον τὸν λοιμὸν καὶ προκάτασχε τὴν σηπεδόνα καὶ τὴν νομὴν διάκοψον. Ταῦτα τοίνυν καὶ τὰ πλείονα τούτων εἰπὼν καὶ κελεύσας παραδοῦναι αὐτὸν τῷ σατανᾷ, φησὶν ὕστερον, ἐπειδὴ μετεβάλετο καὶ βελτίων ἐγένετο· «ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων· κυρώσατε οὖν εἰς αὐτὸν ἀγάπην». Ἐπειδὴ γὰρ αὐτὸν κοινὸν ἐχθρὸν καὶ πολέμιον κατέστησεν ἅπασι καὶ τῆς ἀγέλης ἐξέβαλε καὶ τοῦ σώματος ἀπέκοψεν, ὅρα πόσῃ κέχρηται σπουδῇ, ὥστε κολλῆσαι καὶ συνάψαι πάλιν αὐτόν. Οὐ γὰρ εἶπεν, 'ἀγαπήσατε αὐτὸν' ἁπλῶς, ἀλλά, «κυρώσατε εἰς αὐτὸν ἀγάπην», τουτέστι βεβαίαν καὶ ἀκίνητον ἐπιδείξασθε τὴν φιλίαν, θερμήν τινα καὶ ζέουσαν καὶ πεπυρωμένην, ἀντίρ-

16. Α' Κορ. 5,6.
17. Β' Κορ. 2,8.

ἔβαλε μέσα τους; Ἐπειδὴ δηλαδὴ νόμιζαν, ὅτι τὸ κακὸ σταματάει μέχρι σ' ἐκεῖνον μόνο ποὺ τὸ ἔκαμε, τοὺς βάζει σὲ ἀγωνία, λέγοντας· «δὲ γνωρίζετε ὅτι λίγο προζύμι ζυμώνει ὅλο τὸ φύραμα;»[16]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Προχωρώντας τὸ κακὸ σιγὰ–σιγὰ στὸν δρόμο του θὰ κυριεύσει καὶ τ' ἄλλα μέλη· πρέπει λοιπὸν καὶ οἱ ὑπόλοιποι νὰ σκέφτονται καὶ νὰ φροντίζουν σὰν νὰ πρόκειται γιὰ κοινὰ κακά. Μὴ μοῦ πεῖς δηλαδή, ὅτι ἐκεῖνος ἁμάρτησε μόνος, ἀλλὰ νὰ σκέφτεσαι ἐκεῖνο, ὅτι τὸ κακὸ εἶναι σὰν κάποια σαπίλα, ποὺ βλάπτει καὶ ὅλο τὸ ὑπόλοιπο σῶμα. Καὶ ὅπως ἀκριβῶς ὅταν καίεται κάποιο σπίτι δὲ φροντίζουν λιγότερο ἀπὸ ἐκείνους ποὺ βρίσκονται στὴ συμφορὰ καὶ καταβάλλουν κάθε προσπάθεια καὶ ἐκεῖνοι ποὺ δὲν τοὺς βρῆκε ἀκόμα τὸ κακό, ὥστε νὰ μὴ φτάσει ἡ φωτιὰ μὲ τὴν ὁρμὴ ποὺ ἔχει καὶ στὶς δικές τους θύρες· ἔτσι καὶ ὁ Παῦλος διεγείρει αὐτούς, λέγοντας· 'εἶναι σὰν κάποια φωτιά· ἂς προλάβομε τὸ κακό· ἂς σβήσομε τὴ φωτιὰ προτοῦ κυριέψει τὴν Ἐκκλησία· ἂν ὅμως δείχνεις ἀδιαφορία γιὰ τὴν ἁμαρτία, ἐπειδὴ ἔγινε σὲ ξένο σῶμα, ἀσφαλῶς δὲ σκέφτεσαι σωστά· γιατὶ ἐκεῖνος εἶναι μέλος τοῦ ὅλου σώματος.

3. Πλὴν ὅμως πρόσεχε καὶ ἐκεῖνο, ὅτι, ἂν ἀδιαφορήσεις καὶ τὸ παραβλέψεις, θὰ σὲ κυριέψει κάποτε κι ἐσένα. Ὥστε, ἂν ὄχι γιὰ τὸν ἀδελφό σου, τουλάχιστο γιὰ σένα τὸν ἴδιο σήκω καὶ σταμάτησε τὴ μεταδοτικὴ ἀρρώστια, πρόλαβε τὸ σάπισμα καὶ σταμάτησε τὴν καταστροφή. Ἀφοῦ λοιπὸν εἶπε αὐτὰ καὶ περισσότερα ἀπ' αὐτὰ καὶ πρόσταξε νὰ τὸν παραδώσουν στὸ σατανᾶ, στὴ συνέχεια, ἐπειδὴ ἄλλαξε κι ἔγινε καλύτερος, λέγει· «εἶναι ἀρκετὴ γι' αὐτὸν τὸν ἄνθρωπο ἡ ἐπίπληξη ἀπὸ τοὺς περισσότερους· ἐπιβεβαιῶστε λοιπὸν τὴν ἀγάπη σας πρὸς αὐτόν»[17]. Ἐπειδὴ δηλαδὴ τὸν παρουσίασε κοινὸ ἐχθρὸ καὶ πολέμιο ὅλων καὶ τὸν ἀπομάκρυνε ἀπὸ τὸ ποίμνιο καὶ τὸν ἀπέκοψε ἀπὸ τὸ σῶμα, πρόσεχε πόση φροντίδα δείχνει, ὥστε νὰ τὸν προσκολλήσει καὶ νὰ τὸν ἑνώσει πάλι μὲ τὸ σῶμα. Γιατὶ δὲν εἶπε, 'ἀγαπῆστε τον ἁπλῶς', ἀλλ' , «ἐπιβεβαιῶστε τὴν ἀγάπη σας πρὸς αὐτόν», δηλαδὴ δεῖξτε βέβαιη καὶ σταθερὴ τὴν ἀγάπη σας, γεμάτη ἀπὸ θέρμη καὶ ζεστασιὰ καὶ φλόγα, ἀντικαθιστώντας τὴν προηγούμενη ἀπέχθειά σας μὲ ἰσοδύναμη

ροπον τῆς προτέρας ἀπεχθείας τὴν εὔνοιαν εἰσαγάγετε. Τί γέγονεν; εἰπέ μοι· οὐχὶ τῷ σατανᾷ παρέδωκας αὐτόν; Ναί, φησίν, ἀλλ' οὐχ ἵνα μένῃ ἐν ταῖς τοῦ σατανᾶ χερσίν, ἀλλ' ἵνα ἀπαλλαγῇ ταχέως αὐτοῦ τῆς τυραννίδος. Ἀλλ' ὅπερ ἔλεγον, σκόπει πῶς δέδοικε τὴν ἀπόγνωσιν ὁ Παῦλος ὡς μέγα ὅπλον τοῦ διαβόλου· εἰπὼν γάρ, «κυρώσατε εἰς αὐτὸν ἀγάπην», καὶ τὴν αἰτίαν προστίθησι· «μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος». Ἐν τῇ φάρυγγι τοῦ λύκου, φησίν, ἐστὶ τὸ πρόβατον· φθάσωμεν τοίνυν, προεξαρπάσωμεν πρὶν ἢ καταπίῃ καὶ διαφθείρῃ τὸ μέλος ἡμῶν. Ἐν κλυδωνίῳ νῦν ἐστιν ἡ ναῦς, πρὸ τοῦ ναυαγίου διασῶσαι αὐτὴν σπουδάσωμεν. Καθάπερ γὰρ θαλάττης αἰρομένης καὶ κυμάτων πάντοθεν κορυφουμένων, ὑποβρίχιον γίνεται τὸ σκάφος, οὕτω καὶ ψυχὴ τῆς ἀθυμίας αὐτὴν πάντοθεν περιστοιχιζομένης, ἀποπνίγεται ταχέως, ἐὰν μή τινα ἔχῃ τὴν χεῖρα ὀρέγοντα, καὶ ἡ σωτήριος ἐπὶ τοῖς ἁμαρτήμασι λύπη ὀλέθριος ὑπὸ τῆς ἀμετρίας γίνεται. Καὶ ὅρα πῶς ἀκριβῶς εἶπεν· οὐ γὰρ εἶπε, 'μὴ ἀπολέσῃ αὐτὸν ὁ διάβολος', ἀλλὰ τί; «μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ»· πλεονεξία δὲ ἐστὶ τὸ τῶν ἀλλοτρίων ἐφίεσθαι. Δεικνὺς τοίνυν ὅτι ἀλλότριος αὐτοῦ γέγονε λοιπόν, καὶ τῆς τοῦ Χριστοῦ ποίμνης οἰκεῖον ἑαυτὸν διὰ τῆς μετανοίας κατέστησε, φησί· «μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ». Ἐὰν γὰρ κατάσχῃ λοιπὸν αὐτόν, ἡμέτερον ἁρπάζει μέλος, τὸ τῆς ἀγέλης λαμβάνει πρόβατον· ἀπέθετο γὰρ τὴν ἁμαρτίαν διὰ τῆς μετανοίας.

Εἰδὼς τοίνυν ὁ Παῦλος, ὅπερ ἐποίησεν ὁ διάβολος ἐπὶ τοῦ Ἰούδα, ἔδεισε μὴ καὶ ἐνταῦθα τὸ αὐτὸ γένηται τοῦτο. Τί δὲ ἐποίησεν ἐπὶ τοῦ Ἰούδα; Μετενόησεν ὁ Ἰούδας· «ἥμαρτον», γάρ, φησί, «παραδοὺς αἷμα ἀθῷον»· ἤκουσε τῶν ρημάτων τούτων ὁ διάβολος· ἔγνω τῆς ἐπὶ τὸ βέλτιον ἀρχόμενον ὁδοῦ καὶ πρὸς σωτηρίαν βαδίζοντα, καὶ ἐφοβήθη τὴν μεταβολήν. Φιλάνθρωπον, φησίν, ἔχει δεσπότην· ὅτε ἔμελλεν αὐτὸν προδιδόναι, ἐδάκρυσεν αὐτὸν καὶ μυρία παρεκάλεσεν· οὐ πολλῷ μᾶλλον μετανοοῦντα δέξεται· Ἀδιόρ-

18. Β' Κορ. 2,7. 19. Β' Κορ. 2,11. 20. Ματθ. 27,4.

ἀγάπη. Μὰ πές μου· τί συνέβηκε; δὲν τὸν παρέδωσες στὸ σατανᾶ; Ναί, λέγει, ἀλλ' ὄχι γιὰ νὰ μένει στὰ χέρια τοῦ σατανᾶ, ἀλλὰ γιὰ ν' ἀπαλλαχθεῖ γρήγορα ἀπὸ τὴν τυραννικὴ ἐξουσία αὐτοῦ. Ἀλλ', ὅπως προέλεγα, πρόσεχε πῶς ὁ Παῦλος φοβᾶται τὴν ἀπόγνωση, σὰν μεγάλο ὅπλο τοῦ διαβόλου· γιατί, ἀφοῦ εἶπε, «ἐπιβεβαιῶστε τὴν ἀγάπη σας πρὸς αὐτόν», προσθέτει καὶ τὴν αἰτία· «μήπως ὁ ἄνθρωπος αὐτὸς ἀπὸ τὴν ὑπερβολικὴ λύπη καταποθεῖ ἀπὸ τὸ διάβολο»[18]. Μέσα στὸ φάρυγγα τοῦ λύκου, λέγει, βρίσκεται τὸ πρόβατο· ἂς προλάβομε λοιπὸν νὰ τὸ ἁρπάξομε προτοῦ τὸ καταπιεῖ καὶ καταστρέψει τὸ μέλος μας. Μέσα σὲ τρικυμία βρίσκεται τώρα τὸ πλοῖο· ἂς προσπαθήσομε νὰ τὸ σώσομε προτοῦ ναυαγήσει. Γιατί, ὅπως ὅταν φουσκώνει ἡ θάλασσα καὶ τὰ κύματα ὑψώνονται ἀπὸ παντοῦ, καταβυθίζεται τὸ σκάφος, ἔτσι καὶ ἡ ψυχὴ ὅταν τὴν περιτυλίγει ἀπὸ παντοῦ ἡ λύπη, πνίγεται γρήγορα, ἐὰν δὲν ἔχει κάποιον ν' ἁπλώσει τὸ χέρι καὶ νὰ τὴ βοηθήσει, καὶ ἡ λύπη ποὺ εἶναι σωτήρια γιὰ τὰ ἁμαρτήματα, γίνεται ἐξ αἰτίας τῆς ἄμετρης χρήσεως καταστρεπτική. Καὶ πρόσεχε πῶς ἀκριβολόγησε· γιατὶ δὲν εἶπε, 'μήπως τὸν καταστρέψει ὁ διάβολος', ἀλλὰ τί; «Μήπως μᾶς τὸν ἁρπάξει μὲ ἀπάτη ὁ σατανᾶς»[19]· γιατὶ πλεονεξία εἶναι τὸ νὰ θέλει ν' ἁρπάζει κανεὶς τὰ ξένα. Γιὰ νὰ δείξει λοιπὸν ὅτι αὐτὸς ἔγινε πιὰ ξένος αὐτοῦ καὶ ὅτι μὲ τὴ μετάνοιά του κατέστησε τὸν ἑαυτό του μέλος τῆς ποίμνης τοῦ Χριστοῦ, λέγει· «γιὰ νὰ μὴ μᾶς τὸν ἁρπάξει μὲ ἀπάτη ὁ σατανᾶς». Γιατί, ἂν τὸν κυριέψει στὴ συνέχεια, ἁρπάζει δικό μας μέλος, παίρνει τὸ πρόβατο τῆς ἀγέλης· γιατὶ ἀπέβαλε τὴν ἁμαρτία μὲ τὴν μετάνοια.

Γνωρίζοντας λοιπὸν ὁ Παῦλος ἐκεῖνο ποὺ ἔκαμε ὁ διάβολος στὸν Ἰούδα, φοβήθηκε μήπως συμβεῖ κι ἐδῶ τὸ ἴδιο. Τί ἔκαμε λοιπὸν στὴν περίπτωση τοῦ Ἰούδα; Μετανόησε ὁ Ἰούδας· γιατὶ λέγει, «ἁμάρτησα, παραδίνοντας αἷμα ἀθῶο»[20]· ἄκουσε τὰ λόγια αὐτὰ ὁ διάβολος· ἀντιλήφθηκε ὅτι ἄρχισε νὰ προχωρεῖ πρὸς τὸ καλύτερ καὶ νὰ βαδίζει πρὸς τὴ σωτήρια καὶ φοβήθηκε τὴ μεταβολή. Ἔχει, λέγει, φιλάνθρωπο Κύριο· ὅταν ἐπρόκειτο νὰ τὸν προδώσει, δάκρυσε γι' αὐτὸν καὶ τὸν παρακάλεσε ἀμέτρητα· δὲ θὰ τὸν δεχθεῖ πολὺ περισσότερο τώρα ποὺ μετανοεῖ; Ὅταν ἦταν ἀδιόρ-

θωτον ὄντα ἐφειλκύσατο καὶ ἐκάλεσεν· οὐ πολλῷ μᾶλλον διορθωθέντα καὶ τὴν ἁμαρτίαν ἐπιγνόντα ἐπισπάσεται; Διὰ γὰρ τοῦτο καὶ σταυρωθῆναι ἦλθε. Τί οὖν ἐποίησεν; Ἐθορύβησεν αὐτόν· ἐσκότωσε τῇ τῆς ἀθυμίας ὑπερβολῇ ἐδίωξεν, ἤλασεν, ἕως ἐπὶ τὸν βρόχον ἤγαγε καὶ τῆς παρούσης ὑπεξήγαγε ζωῆς καὶ τῆς προθυμίας τῆς κατὰ τὴν μετάνοιαν ἀποστέρησεν. Ὅτι γάρ, εἰ ἔζη, καὶ αὐτὸς ἐσώθη ἄν, δῆλον ἐκ τῶν σταυρωσάντων· εἰ γὰρ τοὺς ἐπὶ τὸν σταυρὸν αὐτὸν ἀναβιβάσαντας ἔσωσε, καὶ ἐν αὐτῷ τῷ σταυρῷ ὢν παρεκάλει τὸν Πατέρα, καὶ συγγνώμην αὐτοῖς ᾔτει τοῦ τολμήματος, εὔδηλον ὅτι καὶ τὸν προδόντα, εἰ νόμῳ τῷ προσήκοντι τὴν μετάνοιαν ἐπεδείξατο, μετὰ πάσης ἂν εὐμενείας ἐδέξατο· ἀλλ' ἐκεῖνος οὐκ ἠνέσχετο ἐμμεῖναι τῷ φαρμάκῳ, τῇ περισσοτέρᾳ λύπῃ καταποθείς. Τοῦτο τοίνυν καὶ ὁ Παῦλος φοβούμενος, ἐπείγει τοὺς Κορινθίους ἐξαρπάσαι τῆς φάρυγγος τοῦ διαβόλου τὸν ἄνθρωπον. Καὶ τί χρὴ λέγειν τὰ Κορινθίων; Πέτρος μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν ἠρνήσατο τρίς, καὶ δακρύσας ἀπήλειψεν ἅπαντα· Παῦλος διώκτης ὢν καὶ βλάσφημος καὶ ὑβριστής, καὶ οὐχὶ τὸν σταυρωθέντα μόνον, ἀλλὰ καὶ πάντας τοὺς ἐκείνου διώκων, μετανοήσας, ἀπόστολος γέγονε. Μόνον γὰρ πρόφασιν ὁ Θεὸς βραχεῖαν ἐπιζητεῖ παρ' ἡμῶν, καὶ πολλῶν ἡμῖν ἁμαρτημάτων χαρίζεται ἄφεσιν. Εἴπω καὶ παραβολὴν τοῦτο αὐτὸ ἐγγυωμένην ὑμῖν.

4. Δύο τινὲς ἦσαν ἀδελφοί· διανειμάμενοι δὲ τὴν πατρικὴν περιουσίαν ἑκάτεροι, ὁ μὲν αὐτῶν ἔμεινεν ἐπὶ τῆς οἰκίας, ὁ δὲ πάντα τὰ δοθέντα καταφαγών, εἰς τὴν ὑπερορίαν μετέστη, τὴν ἀπὸ τῆς πενίας οὐ φέρων αἰσχύνην. Ταύτην δὲ τὴν παραβολὴν προήχθην εἰπεῖν, ἵνα μάθητε, ὅτι καὶ τῶν μετὰ τὸ βάπτισμα ἁμαρτημάτων ἐστὶν ἄφεσις, ἐὰν προσέχωμεν· λέγω δὲ οὐχ ἵνα εἰς ῥᾳθυμίαν ἐμβάλω, ἀλλ' ἵνα ἀπὸ ἀπογνώσεως ἀπαγάγω· καὶ γὰρ χείρονα τῆς ῥᾳθυμίας ἡμᾶς ἡ ἀπόγνωσις ἐργάζεται κακά. Οὗτος τοίνυν ὁ υἱὸς

---

21. Λουκᾶ 15,11 ἑξ.

θωτος τὸν προσέλκυσε καὶ τὸν κάλεσε, δὲ θὰ τὸν προσελκύσει πολὺ περισσότερο τώρα ποὺ διορθώθηκε καὶ συναισθάνθηκε τὴν ἁμαρτία του; γιατὶ γι' αὐτὸ ἦρθε νὰ σταυρωθεῖ. Τί ἔκαμε λοιπόν; Τὸν ἔβαλε σὲ ἀνησυχία, σκοτείνιασε τὴν ψυχή του μὲ τὴν ὑπερβολικὴ λύπη, τὸν καταδίωξε, τὸν ἀπομάκρυνε, τὸν ὁδήγησε μέχρι τὴν ἀγχόνη, τοῦ ἀφαίρεσε τὴν παρούσα ζωὴ καὶ τοῦ στέρησε τὴν προθυμία γιὰ μετάνοια. Πραγματικά, τὸ ὅτι, ἂν ζοῦσε, θὰ μποροῦσε κι αὐτὸς νὰ σωθεῖ, γίνεται φανερὸ ἀπὸ ἐκείνους ποὺ τὸν σταύρωσαν· γιατί, ἂν ἔσωσε ἐκείνους ποὺ τὸν ἀνέβασαν στὸ σταυρό, καὶ ἐνῶ βρισκόταν ἐπάνω στὸ σταυρὸ παρακαλοῦσε τὸν Πατέρα καὶ ζητοῦσε νὰ τοὺς συγχωρέσει γιὰ τὸ τόλμημά τους, εἶναι ὁλοφάνερο ὅτι καὶ ἐκεῖνον ποὺ τὸν πρόδωσε θὰ τὸν δεχόταν μ' ὅλη τὴν ἀγάπη του, ἂν ἔδειχνε τὴ μετάνοια μὲ τὸν τρόπο ποὺ ἔπρεπε· ἀλλ' ἐκεῖνος δὲν ἀνέχθηκε νὰ παραμείνει στὸ φάρμακο, γιατὶ τὸν κατάπιε ἡ ὑπερβολικὴ λύπη. Αὐτὸ λοιπὸν φοβούμενος καὶ ὁ Παῦλος, πιέζει τοὺς Κορινθίους ν' ἁρπάξουν τὸν ἄνθρωπο ἀπὸ τὸ φάρυγγα τοῦ διαβόλου. Καὶ γιατί πρέπει νὰ λέγω τὰ τῶν Κορινθίων; Ὁ Πέτρος μετὰ τὴ συμμετοχή του στὰ μυστήρια τὸν ἀρνήθηκε τρεῖς φορές, ἀλλὰ μὲ τὰ δάκρυα ποὺ ἔχυσε τὰ ἔσβησε ὅλα. Ὁ Παῦλος ἐνῶ ἦταν διώκτης καὶ βλάσφημος καὶ ὑβριστὴς καὶ καταδίωκε ὄχι μόνο τὸν σταυρωθέντα, ἀλλὰ καὶ ὅλους ἐκείνους ποὺ πίστευαν σ' αὐτόν, μετανόησε κι ἔγινε ἀπόστολος. Γιατὶ ὁ Θεὸς ζητεῖ ἀπὸ μᾶς μόνο μικρὴ ἀφορμή, καὶ μᾶς χαρίζει τὴν ἄφεση πολλῶν ἁμαρτημάτων. Θὰ σᾶς πῶ καὶ μιὰ παραβολὴ ποὺ ἐπιβεβαιώνει αὐτὸ ἀκριβῶς.

4. Ἦταν δυὸ ἀδέλφια· ἀφοῦ μοιράστηκαν ἀναμεταξύ τους τὴν πατρικὴ περιουσία, ὁ ἕνας ἀπ' αὐτοὺς ἔμεινε στὴν οἰκία, ἐνῶ ὁ ἄλλος, ἀφοῦ κατέφαγε ὅλα ὅσα τοῦ δόθηκαν, ἔφυγε σὲ μακρινὴ χώρα, μὴ ὑποφέροντας τὴ ντροπὴ ἀπὸ τὴ φτώχεια[21]. Αὐτὴ τὴν παραβολὴ θέλησα νὰ σᾶς τὴν πῶ, γιὰ νὰ μάθετε, ὅτι ὑπάρχει ἄφεση ἁμαρτημάτων καὶ μετὰ τὸ βάπτισμα, ἐὰν εἴμαστε προσεκτικοί. Καὶ τὸ λέγω αὐτὸ ὄχι γιὰ νὰ σᾶς κάνω ἀδιάφορους, ἀλλὰ γιὰ νὰ σᾶς ἀπομακρύνω ἀπὸ τὴν ἀπόγνωση· γιατὶ ἡ ἀπόγνωση μᾶς προξενεῖ χειρότερα κακὰ καὶ ἀπὸ τὴ ραθυμία. Αὐτὸς λοιπὸν ὁ υἱὸς ἀποτελεῖ

εἰκόνα τῶν μετὰ τὸ λουτρὸν φέρει πεσόντων· ὅτι δὲ τοὺς μετὰ τὸ βάπτισμα παραπεσόντας δηλοῖ, δῆλον ἐκεῖθεν· υἱὸς γὰρ λέγεται· οὐδεὶς δὲ υἱὸς βαπτίσματος ἂν κληθείη χωρίς. Καὶ τὴν οἰκίαν δὲ ᾤκει τὴν πατρῴαν, καὶ τὰ πατρῷα διενείματο πάντα· πρὸ δὲ βαπτίσματος οὐκ ἔστι πατρῷα λαβεῖν, οὐδὲ δέξασθαι κληρονομίαν· ὥστε διὰ πάντων ἡμῖν τούτων τὸ τῶν πιστῶν αἰνίττεται τάγμα. Καὶ ἀδελφὸς δὲ ἦν τοῦ εὐδοκιμηκότος· ἀδελφὸς δὲ οὐκ ἂν γένοιτο χωρὶς πνευματικῆς ἀναγεννήσεως. Οὗτος τοίνυν εἰς κακίαν ἐσχάτην πεσών, τί φησιν; «Ἐπανήξω πρὸς τὸν πατέρα μου». Διὰ γὰρ τοῦτο αὐτὸν καὶ ἀφῆκεν ὁ πατὴρ καὶ οὐκ ἐκώλυσεν εἰς τὴν ἀλλοτρίαν ἀπελθεῖν, ἵνα διὰ τῆς πείρας μάθῃ καλῶς, ὅσης ἀπήλαυσεν εὐεργεσίας οἴκοι μένων. Πολλάκις γὰρ ὁ Θεὸς ὅταν λέγων μὴ πείθῃ, τῇ διὰ τῶν πραγμάτων πείρᾳ τὴν διδασκαλίαν ἀφίησιν· ὅπερ οὖν καὶ πρὸς τοὺς Ἰουδαίους ἔλεγεν. Ἐπειδὴ γὰρ μυρίους ἀναλώσας διὰ τῶν προφητῶν λόγους, οὐκ ἔπεισεν οὐδὲ ἐπεσπάσατο, ἀφεὶς διὰ τῆς κολάσεως αὐτοὺς παιδευθῆναι, φησὶ πρὸς αὐτούς· «παιδεύσει σε ἡ ἀποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε». Ἔδει μὲν γὰρ αὐτὸν ἀξιόπιστον εἶναι καὶ πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως, ἐπειδὴ δὲ οὕτως ἀναισθήτως διέκειντο, ὡς ἀπιστεῖν αὐτοῦ ταῖς παραινέσεσι καὶ ταῖς συμβουλαῖς, προαναστέλλων τῇ κακίᾳ μὴ πείθεσθαι, ἐπιτρέπει διὰ τῶν πραγμάτων αὐτοὺς παιδευθῆναι, ἵνα οὕτως αὐτοὺς ἀνακτήσηται πάλιν.

Ἐπειδὴ τοίνυν ἀπελθὼν ὁ ἄσωτος εἰς τὴν ἀλλοτρίαν, καὶ διὰ τῶν ἔργων αὐτῶν μαθὼν ὅσον κακὸν ἐκπεσεῖν πατρῴας οἰκίας, ἐπανῆλθεν, οὐκ ἐμνησικάκησεν ὁ πατήρ, ἀλλ' ὑπτίαις αὐτὸν ἐδέξατο ταῖς χερσί. Τί δήποτε; Ὅτι πατὴρ ἦν καὶ οὐ δικαστής. Καὶ χοροὶ καὶ θαλίαι καὶ πανηγύρεις λοιπὸν καὶ φαιδρὰ καὶ περιχαρὴς ἦν ἡ οἰκία πᾶσα. Τί λέγεις; αὗται τῆς κακίας αἱ ἀμοιβαί; Οὐχὶ τῆς κακίας, ἄνθρωπε, ἀλλὰ τῆς ἐπανόδου· οὐχὶ τῆς ἁμαρτίας, ἀλλὰ τῆς

---

22. Λουκᾶ 15,18.
23. Ἱερ. 2,19.

εἰκόνα ἐκείνων ποὺ ἁμάρτησαν μετὰ τὸ βάπτισμα· καὶ ὅτι φανερώνει ἐκείνους ποὺ ἁμάρτησαν μετὰ τὸ βάπτισμα, γίνεται φανερὸ ἀπὸ τὸ ἑξῆς· ἀπὸ τὸ ὅτι ὀνομάζεται υἱός· γιατὶ κανένας δὲν μπορεῖ νὰ ὀνομασθεῖ υἱὸς χωρὶς τὸ βάπτισμα. Ἐπίσης διέμενε στὴν πατρικὴ οἰκία καὶ μοιράστηκε ὅλα τὰ πατρικά, ἐνῶ πρὶν ἀπὸ τὸ βάπτισμα δὲν μπορεῖ κανεὶς νὰ λάβει τὴν πατρικὴ περιουσία, οὔτε νὰ δεχθεῖ κληρονομία· ὥστε μ' ὅλα αὐτὰ μᾶς ὑπαινίσσεται τὸ σύνολο τῶν πιστῶν. Ἐπίσης ἦταν ἀδελφὸς ἐκείνου ποὺ εἶχε εὐδοκιμήσει· ἀδελφὸς ὅμως δὲ θὰ μποροῦσε νὰ γίνει χωρὶς τὴν πνευματικὴ ἀναγέννηση. Αὐτὸς λοιπόν, ἀφοῦ περιέπεσε στὴ χειρότερη μορφὴ κακίας, τί λέγει; «Θὰ ἐπιστρέψω στὸν πατέρα μου»[22]. Γι' αὐτὸ ὁ πατέρας του τὸν ἄφησε καὶ δὲν τὸν ἐμπόδισε νὰ φύγει στὴν ξένη χώρα, γιὰ νὰ μάθει καλὰ μὲ τὴν πείρα, πόση εὐεργεσία ἀπόλαυσε παραμένοντας στὸ σπίτι. Γιατὶ πολλὲς φορὲς ὁ Θεός, ὅταν δὲν πείθει μὲ τὸ λόγο του, ἀφήνει νὰ διδαχθοῦμε ἀπὸ τὴν πείρα τῶν πραγμάτων, πράγμα βέβαια ποὺ ἔλεγε καὶ στοὺς Ἰουδαίους. Ἐπειδὴ δηλαδὴ δὲν τοὺς ἔπεισε οὔτε τοὺς προσέλκυσε, ἀπευθύνοντάς τοὺς ἀμέτρητους λόγους μὲ τοὺς προφῆτες, ἀφήνοντάς τους νὰ διδαχθοῦν μὲ τὴν τιμωρία, λέγει πρὸς αὐτούς· «θὰ σὲ διδάξει ἡ ἀποστασία σου καὶ θὰ σὲ ἐλέγξει ἡ κακία σου»[23]. Γιατὶ ἔπρεπε αὐτὸς νὰ εἶναι ἀξιόπιστος καὶ πρὶν ἀπὸ τὴν ἔκβαση τῶν πραγμάτων, ἐπειδὴ ὅμως ἦταν τόσο πολὺ ἀναίσθητοι, ὥστε νὰ μὴ πιστεύουν στὶς παραινέσεις καὶ τὶς συμβουλές του, θέλοντας νὰ προλάβει τὴν ὑπακοή τους στὴν κακία, ἐπιτρέπει νὰ διδαχθοῦν ἀπὸ τὰ ἴδια τὰ πράγματα, γιὰ νὰ τοὺς κερδίσει πάλι ἔτσι.

Ἀφοῦ λοιπὸν ὁ ἄσωτος ἔφυγε στὴν ξένη χώρα καὶ ἀπὸ τὰ ἴδια τὰ πράγματα ἔμαθε πόσο μεγάλο κακὸ εἶναι νὰ χάσει κανεὶς τὸ πατρικό του σπίτι, ἐπέστρεψε, καὶ ὁ πατέρας του τότε δὲν τοῦ κράτησε κακία, ἀλλὰ τὸν δέχτηκε μὲ ἀνοιχτὴ ἀγκαλιά. Γιατί ἄραγε; Ἐπειδὴ ἦταν πατέρας καὶ ὄχι δικαστής. Καὶ στήθηκαν τότε χοροὶ καὶ συμπόσια καὶ πανηγύρια καὶ ὅλο τὸ σπίτι ἦταν φαιδρὸ καὶ χαρούμενο. Τί λές; αὐτὲς εἶναι οἱ ἀμοιβὲς τῆς κακίας; Ὄχι τῆς κακίας, ἄνθρωπε, ἀλλὰ τῆς ἐπιστροφῆς· ὄχι τῆς ἁμαρτίας, ἀλλὰ τῆς μετάνοιας· ὄχι τῆς πονηρίας, ἀλλὰ τῆς μεταβολῆς πρὸς τὸ κα-

μετανοίας· οὐχὶ τῆς πονηρίας, ἀλλὰ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς. Καὶ τὸ δεῖ μεῖζον, ἠγανάκτησεν ἐπὶ τούτοις ὁ υἱὸς ὁ πρότερος· ὁ δὲ καὶ τοῦτον πρᾴως ἔπεισε λέγων, «ὅτι σὺ μὲν ἀεὶ μετ' ἐμοῦ διέτριβες, οὗτος δὲ ἀπολωλὼς ἦν, καὶ εὑρέθη· νεκρὸς ἦν, καὶ ἀνέζησεν». Ὅταν δὲ τὸν ἀπολωλότα διασῶσαι δέῃ, φησίν, οὐ δικαστηρίων καιρός, οὐδὲ ἀκριβοῦς ἐξετάσεως, ἀλλὰ φιλανθρωπίας καὶ συγγνώμης μόνον. Οὐδεὶς ἰατρὸς ἀφεὶς ἐπιθεῖναι φάρμακον τῷ κάμνοντι, τῆς ἀταξίας αὐτὸν εὐθύνας ἀπαιτεῖ καὶ τιμωρίαν. Εἰ δὲ καὶ δίκην αὐτὸν ὅλως δοῦναι ἐχρῆν, ἱκανὴν ἔδωκε δίκην τὴν ἐν τῇ ἀλλοτρίᾳ διατριβήν. Τοσοῦτον γοῦν χρόνον τῆς ἡμετέρας ἐχωρίσθη συνουσίας καὶ λιμῷ καὶ ἀτιμίᾳ καὶ τοῖς ἐσχάτοις παλαίων κακοῖς διετέλεσε. Διὰ τοῦτό φησιν, «ἀπολωλὼς ἦν, καὶ εὑρέθη· νεκρὸς ἦν, καὶ ἀνέζησε». Μὴ τὰ παρόντα ἴδῃς, φησίν, ἀλλ' ἐννόησον τῆς προτέρας συμφορᾶς τὸ μέγεθος· ἀδελφὸν ὁρᾷς, οὐκ ἀλλότριον. Πρὸς πατέρα ἐπανῆλθεν, οὐδὲν δυνάμενον ἀναμνησθῆναι τῶν προτέρων· μᾶλλον δὲ ἐκεῖνα μεμνημένον μόνα, ἅπερ εἰς συμπάθειαν ἀγαγεῖν δύναται καὶ ἔλεον καὶ στοργὴν καὶ φειδὼ τὴν τοῖς γεγεννηκόσι προσήκουσαν. Διὰ τοῦτο οὐχ ἅπερ ἔπραξεν εἶπεν, ἀλλ' ἅπερ ἔπαθεν· οὐχ ὅτι κατέφαγε τὴν οὐσίαν ἐμνημόνευσεν, ἀλλ' ὅτι μυρίοις περιέπεσε κακοῖς. Οὕτω τὸ πρόβατον ἐζήτει μετὰ τοσαύτης σπουδῆς· μᾶλλον δὲ μετὰ μείζονος. Ἐνταῦθα μὲν γὰρ αὐτὸς ἐπανῆλθεν ὁ υἱός, ἐκεῖ δὲ αὐτὸς ἀπῆλθεν ὁ ποιμήν, καὶ εὑρὼν ἤγαγε, καὶ ἔχαιρεν ἐπ' αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς διασεσωσμένοις ἅπασιν. Ὅρα δὲ καὶ πῶς ἐπανήγαγεν· οὐκ ἐμάστιξεν, ἀλλ' ἐπὶ τῶν ὤμων φέρων καὶ βαστάζων, πάλιν τῇ ποίμνῃ ἀπέδωκε.

Ταῦτ' οὖν εἰδότες, ὅτι οὐ μόνον οὐκ ἀποστρέφεται ἐπανιόντας, ἀλλὰ καὶ τῶν κατωρθωκότων οὐκ ἔλαττον δέχεται, ὅτι οὐ μόνον οὐκ ἀπαιτεῖ δίκην, ἀλλὰ καὶ εἰς ἐπιζήτησιν τῶν πεπλανημένων ἔρχεται καὶ τῶν διασεσωσμένων μᾶλλον ἐπὶ τῇ τούτων εὑρέσει χαί-

---

24. Λουκᾶ 15,31–32.

λύτερο. Καὶ τὸ σπουδαιότερο βέβαια, ὅτι ἀγανάκτησε γι' αὐτὰ ὁ μεγαλύτερος υἱός· ἀλλ' ὁ πατέρας τὸν ἔπεισε κι αὐτὸν μιλώντας τον μὲ πραότητα καὶ λέγοντας, «σὺ πάντοτε ζοῦσες μαζί μου, ἐνῶ αὐτὸς ἦταν χαμένος καὶ βρέθηκε, ἦταν νεκρὸς καὶ ξαναβρῆκε τὴ ζωή του»[24]. Ὅταν χρειάζεται νὰ διασώσει τὸν χαμένο, λέγει, δὲν εἶναι καιρὸς δικαστηρίων, οὔτε λεπτομεροῦς ἐξετάσεως, ἀλλὰ φιλανθρωπίας καὶ συγγνώμης μόνο. Κανένας γιατρός, παραμελώντας νὰ δώσει φάρμακο στὸν ἀσθενή, ζητεῖ εὐθύνες ἀπ' αὐτὸν γιὰ τὴν ἀταξία του καὶ τιμωρία. Κι ἂν ἀκόμα χρειαζόταν νὰ τιμωρηθεῖ, τιμωρήθηκε ἀρκετὰ ζώντας στὴν ξένη χώρα. Τόσο λοιπὸν χρόνο στερήθηκε τὴ συντροφιά μας καὶ ἔζησε παλεύοντας μὲ τὴν πείνα, τὴν ἀτίμωση καὶ τὰ χειρότερα κακά. Γι' αὐτὸ λέγει, «ἦταν χαμένος καὶ βρέθηκε, ἦταν νεκρὸς καὶ ξαναβρῆκε τὴ ζωή του». Μὴ βλέπεις, λέγει, τὰ παρόντα, ἀλλὰ σκέψου τὸ μέγεθος τῆς προηγούμενης συμφορᾶς· ἀδελφὸ βλέπεις, ὄχι ξένο. Στὸν πατέρα του ἐπέστρεψε, ποὺ δὲν μπορεῖ νὰ θυμηθεῖ τὰ περασμένα· ἢ καλύτερα ποὺ ἐκεῖνα μόνο θυμᾶται, τὰ ὁποῖα μποροῦν νὰ τὸν ὁδηγήσουν σὲ συμπάθεια καὶ ἔλεος καὶ στοργὴ καὶ εὐσπλαγχνία ποὺ ταιριάζει στοὺς γονεῖς. Γι' αὐτὸ δὲν εἶπε, ἐκεῖνα ποὺ ἔπραξε, ἀλλ' ἐκεῖνα ποὺ ἔπαθε· δὲ θυμήθηκε τὸ ὅτι κατέφαγε τὴν περιουσία του, ἀλλ' ὅτι περιέπεσε σ' ἀμέτρητα κακά. Ἔτσι ἔψαχνε νὰ βρεῖ τὸ πρόβατο, μὲ τόση μεγάλη προθυμία, ἢ καλύτερα καὶ μὲ ἀκόμα μεγαλύτερη. Καὶ ἐδῶ βέβαια γύρισε πίσω ὁ ἴδιος ὁ υἱός, ἐνῶ ἐκεῖ ἔφυγε ὁ ἴδιος ὁ ποιμένας, καὶ ἀφοῦ τὸ βρῆκε τὸ ἔφερε πίσω, καὶ χαιρόταν πολὺ περισσότερο γι' αὐτό, παρὰ γιὰ ὅλα τὰ ἄλλα τὰ διασωσμένα. Καὶ πρόσεχε πῶς ἐπέστρεψε· δὲν τὸ μαστίγωσε, ἀλλὰ μεταφέροντάς το καὶ βαστάζοντάς το στοὺς ὤμους του, τὸ παρέδωσε πάλι στὸ ποίμνιο.

Γνωρίζοντας λοιπὸν αὐτά, ὅτι ὄχι μόνο δὲν μᾶς ἀποστρέφεται ὅταν ἐπιστρέφομε κοντά του, ἀλλὰ μᾶς δέχεται ὄχι λιγότερο κι ἀπὸ ἐκείνους ποὺ ἔκαναν κατορθώματα ἀρετῆς, καὶ ὅτι ὄχι μόνο δὲν μᾶς τιμωρεῖ, ἀλλὰ καὶ ἔρχεται στὸ ν' ἀναζητήσει τοὺς πλανημένους καὶ χαίρεται, ὅταν τοὺς βρεῖ, περισσότερο ἀπ' ὅσο γιὰ ἐκείνους ποὺ ἔχουν σωθεῖ, οὔτε ὅταν εἴμαστε στὴν κατηγορία τῶν

ρει, μήτε ἐν πονηροῖς ὄντες ἀπογινώσκωμεν, μήτε ἐν ἀγαθοῖς ὄντες θαρρῶμεν, ἀλλὰ καὶ κατορθοῦντες, φοβώμεθα, ἵνα μὴ θαρρήσαντες πέσωμεν, καὶ ἁμαρτάνοντες μετανοῶμεν. Ὅπερ γὰρ ἀρχόμενος εἶπον, τοῦτο λέγω καὶ νῦν, ὅτι προδοσία τῆς ἡμετέρας σωτηρίας ταῦτα ἀμφότερα, καὶ τὸ θαρρεῖν ἑστῶτα, καὶ τὸ ἀπογινώσκειν κείμενον. Διὸ τοὺς μὲν ἑστῶτας ἀσφαλιζόμενος ὁ Παῦλος ἔλεγεν· «ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ». Καὶ πάλιν· «φοβοῦμαι, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι»· τοὺς δὲ κειμένους ἀνιστὰς καὶ εἰς προθυμίαν πλείονα διεγείρων, διεμαρτύρατο Κορινθίοις γράφων οὕτως, «μήπως πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων», δεικνὺς ὅτι οὐχ οὕτως οἱ ἁμαρτάνοντες ὡς οἱ μὴ μετανοοῦντες ἐπὶ τοῖς ἁμαρτήμασίν εἰσι θρήνων ἄξιοι. Καὶ ὁ προφήτης δὲ πρὸς αὐτούς φησι· «μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει;». Διὰ τοῦτο καὶ ὁ Δαυῒδ τούτους αὐτοὺς παρακαλεῖ λέγων· «σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ».

Ἕως οὖν τὸ σήμερον λέγεται, μὴ ἀπογινώσκωμεν, ἀλλὰ χρηστὰς εἰς τὸν Δεσπότην ἔχοντες τὰς ἐλπίδας καὶ τὸ πέλαγος αὐτοῦ τῆς φιλανθρωπίας ἐννοοῦντες, πᾶν πονηρὸν ἀποτιναξάμενοι συνειδός, μετὰ πολλῆς τῆς προθυμίας καὶ τῆς ἐλπίδος ἐπιλαβώμεθα τῆς ἀρετῆς, καὶ τὴν μετάνοιαν μεθ' ὑπερβολῆς ἐπιδειξώμεθα πάσης, ἵνα πάντα ἐνταῦθα ἀποθέμενοι τὰ ἁμαρτήματα, μετὰ παρρησίας δυνηθῶμεν στῆναι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, καὶ τῆς βασιλείας τυχεῖν τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

25. Α'Κορ. 10,12.
26. Β' Κορ. 11,3.
27. Β' Κορ. 12,21.
28. Ἰερ. 8,4.
29. Ψαλμ. 94,8.

κακῶν ν' ἀπελπιζόμαστε, οὔτε ὅταν εἴμαστε καλοὶ νὰ ἔχομε θάρρος, ἀλλὰ καὶ ἀσκώντας τὴν ἀρετὴ νὰ φοβόμαστε μήπως πέσομε, στηριζόμενοι στὸ θάρρος μας, καὶ ἁμαρτάνοντας νὰ μετανοοῦμε. Καὶ ἐκεῖνο ποὺ εἶπα ἀρχίζοντας τὴν ὁμιλία, αὐτὸ λέγω καὶ τώρα, ὅτι προδοσία τῆς σωτηρίας μας εἶναι αὐτὰ τὰ δύο, καὶ τὸ νὰ ἔχομε θάρρος ὅταν εἴμαστε ἐνάρετοι, καὶ τὸ ν' ἀπελπιζόμαστε ὅταν εἴμαστε πεσμένοι στὴν κακία. Γι' αὐτὸ ὁ Παῦλος, γιὰ ν' ἀσφαλίσει ἐκείνους ποὺ ἀσκοῦν τὴν ἀρετή, ἔλεγε· «ἐκεῖνος ποὺ νομίζει ὅτι στέκεται, ἂς προσέχει μήπως πέσει»[25]· καὶ πάλι· «φοβᾶμαι μήπως, ἐνῶ κήρυξα σ' ἄλλους, ἐγὼ ὁ ἴδιος βρεθῶ ἀνάξιος»[26]· ἐνῶ ἀνορθώνοντας τοὺς πεσμένους καὶ διεγείροντάς τους σὲ μεγαλύτερη προθυμία διακήρυττε ἔντονα πρὸς τοὺς Κορινθίους γράφοντας τὰ ἑξῆς· «μήπως πενθήσω πολλοὺς ποὺ ἁμάρτησαν προηγουμένως καὶ δὲν μετανόησαν»[27], γιὰ νὰ δείξει ὅτι εἶναι ἄξιοι θρήνων ὄχι τόσο ἐκεῖνοι ποὺ ἁμαρτάνουν, ὅσο ἐκεῖνοι ποὺ δὲν μετανοῦν γιὰ τὰ ἁμαρτήματά τους. Καὶ ὁ προφήτης πάλι λέγει πρὸς αὐτούς· «μήπως ἐκεῖνος ποὺ πέφτει δὲν σηκώνεται, ἢ ἐκεῖνος ποὺ παίρνει στραβὸ δρόμο δὲν ἐπιστρέφει;»[28]. Γι' αὐτὸ καὶ ὁ Δαυὶδ παρακαλεῖ αὐτοὺς ἀκριβῶς, λέγοντας· «σήμερα, ἐὰν ἀκοῦστε τὴ φωνὴ αὐτοῦ, μὴ σκληρύνετε τὶς καρδιές σας ὅπως τότε ποὺ τὸν παραπίκραναν οἱ πατέρες σας»[29].

Ὅσο λοιπὸν θὰ ὑπάρχει τὸ σήμερα, ἂς μὴ ἀπελπιζόμαστε, ἀλλ' ἔχοντας καλὲς ἐλπίδες πρὸς τὸν Κύριο καὶ σκεπτόμενοι τὸ πέλαγος τῆς φιλανθρωπίας του, ἀφοῦ ἀποτινάξομε κάθε τι τὸ πονηρὸ ἀπὸ τὴ σκέψη μας, μὲ πολλὴ προθυμία καὶ ἐλπίδα ἂς ἀσκοῦμε τὴν ἀρετή, καὶ ἂς ἐπιδείξομε μετάνοια μὲ ὅλη τὴ δύναμή μας, ὥστε, ἀφοῦ ἀπαλλαχθοῦμε ἐδῶ ἀπ' ὅλα τ' ἁμαρτήματά μας, νὰ μπορέσομε μὲ θάρρος νὰ σταθοῦμε μπροστὰ στὸ βῆμα τοῦ Χριστοῦ, καὶ νὰ ἐπιτύχομε τὴ βασιλεία τῶν οὐρανῶν, τὴν ὁποία εὔχομαι νὰ ἐπιτύχομε ὅλοι μας μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χρισοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΔΕΥΤΕΡΑ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΚΑΙ ΕΙΣ ΤΗΝ ΣΚΥΘΡΩΠΟΤΗΤΑ ΒΑΣΙΛΕΩΣ ΑΧΑΑΒ καὶ εἰς Ἰωνᾶν τὸν προφήτην

1. Εἴδετε τῇ προτέρᾳ Κυριακῇ πόλεμον καὶ νίκην, πόλεμον μὲν τοῦ διαβόλου, νίκην δὲ τοῦ Χριστοῦ; εἴδετε πῶς μετάνοια ἐνεκωμιάζετο, καὶ ὁ διάβολος τὴν πληγὴν οὐκ ἐβάστασεν, ἀλλ' ἐφοβήθη καὶ ἔφριξε; Τί δέδοικας, ὦ διάβολε, μετανοίας ἐγκωμιαζομένης; τί ὀδύρῃ, τί φρίττεις; Ναί, φησί, δικαίως ὀδύρομαι καὶ θλίβομαι· μεγάλα μου σκεύη ἥρπασεν ἡ μετάνοια αὕτη. Ποῖα ταῦτα; Τὴν πόρνην, τὸν τελώνην, τὸν λῃστήν, τὸν βλάσφημον. Καὶ γὰρ ἀληθῶς πολλὰ σκεύη αὐτοῦ ἥρπασεν ἡ μετάνοια, καὶ αὐτὴν τὴν ἀκρόπολιν αὐτοῦ καθεῖλε, καὶ καιρίαν ἔχει τὴν πληγὴν τῆς μετανοίας. Εἴσῃ, ἀγαπητέ, ἀφ' ὧν ἡ πεῖρα πρῴην ἔδειξε. Τίνος οὖν ἕνεκεν ὁμιλίας τοιαύτης οὐκ ἀπολαύομεν καὶ ἐφ' ἑκάστης εἰς τὴν ἐκκλησίαν ἀπαντῶμεν, τὴν μετάνοιαν ἀσπαζόμενοι; Κἂν ἁμαρτωλὸς ᾖς, εἴσελθε εἰς τὴν ἐκκλησίαν, ἵνα λέγῃς τὰς ἁμαρτίας σου· κἂν δίκαιος ᾖς, εἴσελθε, ἵνα μὴ ἐκπέσῃς τῆς δικαιοσύνης· λιμὴν γὰρ ἀμφοτέροις ἐστὶν ἡ ἐκκλησία.

Ἁμαρτωλὸς εἶ; μὴ ἀπογνῷς, ἀλλ' εἴσελθε μετάνοιαν προβαλλόμενος. Ἥμαρτες; εἰπὲ τῷ Θεῷ ὅτι, 'ἡμάρτηκα'. Ποῖος κάματος οὗτος; ποία περίοδος; ποία θλῖψις; ποία στενοχωρία λόγον εἰπεῖν ὅτι, 'ἥμαρτον'; Μὴ γὰρ σύ, σαυτὸν ἐὰν μὴ εἴπῃς ἁμαρτωλόν, οὐκ



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΔΕΥΤΕΡΗ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ, ΠΕΡΙ ΤΗΣ ΜΕΛΑΓΧΟΛΙΑΣ ΤΟΥ ΒΑΣΙΛΙΑ ΑΧΑΑΒ

καὶ περὶ τοῦ προφήτη Ἰωνᾶ

1. Εἴδατε τὴν περασμένη Κυριακὴ πόλεμο καὶ νίκη, πόλεμο τοῦ διαβόλου καὶ νίκη τοῦ Χριστοῦ; εἴδατε πῶς ἐγκωμιαζόταν ἡ μετάνοια καὶ πῶς ὁ διάβολος δὲν βάσταξε τὸ πλῆγμα, ἀλλὰ φοβήθηκε καὶ ἔφριξε; Τί φοβᾶσαι, διάβολε, ὅταν ἐγκωμιάζεται ἡ μετάνοια; γιατί ὀδύρεσαι; γιατί φρίττεις; Ναί, λέγει, δίκαια ὀδύρομαι καὶ θλίβομαι· γιατὶ αὐτὴ ἡ μετάνοια μοῦ ἅρπαξε μεγάλα πράγματα. Καὶ ποιά εἶναι αὐτά; Ἡ πόρνη, ὁ τελώνης, ὁ ληστής, ὁ βλάσφημος. Πραγματικὰ πολλὰ πράγματα τοῦ ἅρπαξε ἡ μετάνοια, τὴν ἴδια τὴν ἀκρόπολή του τὴν κατέστρεψε, δεχόμενος καίριο πλῆγμα ἀπὸ τὴ μετάνοια. Θὰ τὸ διαπιστώσεις, ἀγαπητέ, ἀπὸ ἐκεῖνα ποὺ ἔδειξε προηγουμένως ἡ πείρα. Γιὰ ποιό λόγο λοιπὸν δὲν ἀπολαμβάνομε μιὰ τέτοια ὁμιλία καὶ δὲν ἐρχόμαστε τακτικὰ στὴν ἐκκλησία, ἐπιδιώκοντας μὲ προθυμία τὴ μετάνοια; Κι ἂν ἀκόμα εἶσαι ἁμαρτωλός, ἔλα στὴν ἐκκλησία, γιὰ νὰ πεῖς τὶς ἁμαρτίες σου· κι ἂν ἀκόμα εἶσαι δίκαιος, ἔλα, γιὰ νὰ μὴ χάσεις τὴ δικαιοσύνη· γιατὶ ἡ ἐκκλησία εἶναι λιμάνι καὶ γιὰ τοὺς δυό.

Εἶσαι ἁμαρτωλός; μὴν ἀπελπισθεῖς, ἀλλ' ἔλα στὴν ἐκκλησία καὶ δεῖξε μετάνοια. Ἁμάρτησες; Πὲς στὸ Θεό, 'ἁμάρτησα'. Ποιός κόπος εἶναι αὐτό; ποιός χρόνος χρειάζεται; ποιά θλίψη; ποιά στεναχώρια τὸ νὰ πεῖς τὴ λέξη, 'ἁμάρτησα'; Μήπως δηλαδὴ ἂν δὲν

ἔχεις κατήγορον τὸν διάβολον; Πρόλαβε, καὶ ἅρπασον αὐτοῦ τὸ ἀξίωμα· ἐκείνου γὰρ ἀξίωμα τὸ κατηγορεῖν. Τί οὖν οὐ προλαμβάνεις αὐτόν, καὶ λέγεις τὴν ἁμαρτίαν, καὶ ἐξαλείφεις τὸ ἁμάρτημα, εἰδὼς ὅτι τοιοῦτον κατήγορον ἔχεις σιγῆσαι μὴ δυνάμενον; Ἥμαρτες; εἴσελθε εἰς τὴν ἐκκλησίαν, εἰπὲ τῷ Θεῷ ὅτι, 'ἥμαρτον'. Οὐδέν σε ἄλλο ἀπαιτῶ, ἢ τοῦτο μόνον. Ἡ γὰρ θεία Γραφή φησι· Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς»· εἰπὲ τὴν ἁμαρτίαν, ἵνα λύσῃς τὴν ἁμαρτίαν. Οὐκ ἔστιν ἐν τούτῳ κάματος, οὐδὲ περίοδος λόγων, οὔτε χρημάτων δαπάνη, οὔτε ἄλλο τι τοιοῦτον οὐδέν· λόγον εἰπόν, εὐγνωμόνησον ἐπὶ τῇ ἁμαρτίᾳ, καὶ εἰπὲ ὅτι, 'ἡμάρτηκα'. Καὶ πόθεν τοῦτο, φησίν, ὅτι ἐὰν εἴπω τὴν ἁμαρτίαν πρῶτος, λύω τὴν ἁμαρτίαν; Ἔχω ἐν τῇ Γραφῇ καὶ τὸν εἰπόντα καὶ λύσαντα, καὶ τὸν μὴ εἰπόντα καὶ φθόνῳ κατακριθέντα. Κάϊν ἀπέκτεινε τὸν ἀδελφὸν αὐτοῦ Ἄβελ τῷ φθόνῳ κατεχόμενος, ὡς τῷ φθόνῳ φόνον ἐπακολουθῆσαι· καὶ γὰρ λαβὼν αὐτὸν εἰς τὸ πεδίον ἀνεῖλε. Καὶ τί φησι πρὸς αὐτὸν ὁ Θεός; «Ποῦ Ἄβελ ὁ ἀδελφός σου;». Ὁ ἐπιστάμενος τὰ πάντα ἐρωτᾷ, οὐκ ἀγνοῶν, ἀλλ' εἰς μετάνοιαν ἕλκων τὸν φονεύσαντα. Ὅτι γὰρ οὐκ ἀγνοῶν ἠρώτα, ἔδειξε· «ποῦ Ἄβελ ὁ ἀδελφός σου;» Ὁ δὲ εἶπεν, «οὐκ οἶδα· μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ;». Ἔστω, οὐκ εἶ φύλαξ· διὰ τί καὶ ἀναιρετής; οὐκ ἐφύλαττες· διὰ τί καὶ ἀπέκτεινες; Ὅμως ὁμολογεῖς ταῦτα; Αἴτιος εἶ καὶ τῆς φυλακῆς. Τί οὖν ὁ Θεὸς πρὸς αὐτόν; «Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς». Ἤλεγξεν εὐθέως καὶ τὴν τιμωρίαν αὐτῷ ἐπήγαγεν, οὐ τοσοῦτον διὰ τὸν φόνον, ὅσον διὰ τὴν ἀναίδειαν· οὐ γὰρ τοσοῦτον μισεῖ ὁ Θεὸς τὸν ἁμαρτάνοντα, ὅσον τὸν ἀναισχυντοῦντα. Ἀμέλει τὸν Κάϊν εἰς μετάνοιαν ἐλθόντα οὐ δέχεται, ἐπειδὴ μὴ πρῶτος εἶπε τὴν ἁμαρτίαν. Τί γάρ φησι; «Μείζων ἡ ἁμαρτία μου τοῦ ἀφεθῆναί με»· ἀντὶ τοῦ, 'μέγα ἥμαρτον· οὔκ εἰμι ἄξιος ζῆσαι'. Τί οὖν πρὸς αὐτὸν ὁ Θεός; «Στένων καὶ τρέμων ἔσῃ

1. Ἡσ. 43,26.
2. Γεν. 4,9.
3. Γεν. 4,9.
4. Γεν. 4,10.
5. Γεν. 4,13.

πεῖς σὺ ὅτι εἶσαι ἁμαρτωλός, δὲν θὰ ἔχεις κατήγορο τὸ διάβολο; Πρόλαβε καὶ ἅρπαξε τὸ ἀξίωμα αὐτοῦ· γιατὶ ἀξίωμα ἐκείνου εἶναι τὸ νὰ κατηγορεῖ. Γιατί λοιπὸν δὲν προλαβαίνεις αὐτόν, ὥστε νὰ πεῖς τὴν ἁμαρτία καὶ νὰ ἐξαλείψεις τὸ ἁμάρτημα, ἀφοῦ γνωρίζεις ὅτι ἔχεις τέτοιον κατήγορο ποὺ δὲν μπορεῖ νὰ σιωπήσει; Ἁμάρτησες; Ἔλα στὴν ἐκκλησία, πὲς στὸ Θεό, 'ἁμάρτησα'. Τίποτε ἄλλο δὲν ζητῶ ἀπὸ σένα, παρὰ αὐτὸ μόνο. Γιατὶ ἡ ἁγία Γραφὴ λέγει· «λέγε σὺ πρῶτος τὶς ἁμαρτίες σου, γιὰ νὰ δικαιωθεῖς»[1]· πὲς τὴν ἁμαρτία, γιὰ ν' ἀπαλλαγεῖς ἀπὸ τὴν ἁμαρτία. Δὲν ὑπάρχει σ' αὐτὸ κόπος, οὔτε πολλὰ λόγια, οὔτε δαπάνη χρημάτων, οὔτε τίποτε ἄλλο παρόμοιο· πὲς ἕνα λόγο, ἀναγνώρισε τὴν ἁμαρτία σου, καὶ πές, 'ἁμάρτησα'. Καὶ πῶς τὸ ξέρω, λέγει, ὅτι, ἂν πῶ πρῶτος τὴν ἁμαρτία, ἐξαλείφω τὴν ἁμαρτία; Ἔχω στὴν Γραφὴ καὶ ἐκεῖνον ποὺ τὴν εἶπε καὶ ἀπαλλάχθηκε ἀπ' αὐτήν, καὶ ἐκεῖνον ποὺ δὲν τὴν εἶπε καὶ κατακρίθηκε γιὰ τὸ φθόνο του. Ὁ Κάϊν φόνευσε τὸν ἀδελφό του Ἄβελ κυριευμένος ἀπὸ φθόνο, καὶ ὁ φθόνος εἶχε σὰν ἐπακόλουθο τὸ φόνο· γιατὶ τὸν πῆρε στὴν πεδιάδα καὶ τὸν φόνευσε. Καὶ τί λέγει σ' αὐτὸν ὁ Θεός; «Ποῦ εἶναι ὁ ἀδελφός σου Ἄβελ;»[2]. Ἐκεῖνος ποὺ τὰ γνωρίζει ὅλα ἐρωτᾶ, ὄχι ἀπὸ ἄγνοια, ἀλλὰ προσελκύοντας σὲ μετάνοια τὸ φονιά. Γιατί, τὸ ὅτι τὸν ρωτοῦσε ὄχι ἀπὸ ἄγνοια, τὸ ἔδειξε λέγοντας, «ποῦ εἶναι ὁ ἀδελφός σου Ἄβελ;». Καὶ ἐκεῖνος εἶπε· «δὲν γνωρίζω· μήπως εἶμαι φύλακας τοῦ ἀδελφοῦ μου;»[3]. Καλά, δὲν εἶσαι φύλακας· γιατί ὅμως εἶσαι φονιάς; Δὲν τὸν φύλαγες· γιατί ὅμως τὸν φόνευσες; Ὅμως ὁμολογεῖς αὐτά; Ὑπεύθυνος εἶσαι καὶ τῆς φύλαξής του. Τί λοιπὸν λέγει ὁ Θεὸς πρὸς αὐτόν; «Ἡ φωνὴ τοῦ αἵματος τοῦ ἀδελφοῦ σου φωνάζει δυνατὰ ἀπὸ τὴ γῆ πρὸς ἐμένα»[4]. Τὸν ἔλεγξε ἀμέσως καὶ πρόσθεσε καὶ τὴν τιμωρία του, ὄχι τόσο ἐξ αἰτίας τοῦ φόνου, ὅσο ἐξ αἰτίας τῆς ἀναίδειάς του· γιατὶ ὁ Θεὸς δὲ μισεῖ τόσο πολὺ ἐκεῖνον ποὺ ἁμαρτάνει, ὅσο ἐκεῖνον ποὺ δὲν ντρέπεται. Καὶ βέβαια τὸν Κάϊν ποὺ μετανόησε δὲν τὸν δέχεται, ἐπειδὴ δὲν εἶπε πρῶτος τὴν ἁμαρτία. Τί λοιπὸν λέγει; «Εἶναι πολὺ μεγάλη ἡ ἁμαρτία μου γιὰ νὰ συγχωρεθεῖ»[5]· ἀντὶ τοῦ, 'ἔκανα μεγάλη ἁμαρτία, δὲν εἶμαι ἄξιος νὰ ζήσω'. Καὶ τί λέγει πρὸς αὐτὸν ὁ Θεός; «Θὰ στενάζεις

ἐπὶ τῆς γῆς», καὶ τιμωρίαν αὐτῷ ἀπέφηνε δεινὴν καὶ χαλεπήν. Οὐκ ἀναιρῶ σε, φησίν, ἵνα μὴ λήθῃ παραδοθῇ ἡ ἀλήθεια, ἀλλὰ ποιῶ σε νόμον ὑπὸ πάντων ἀναγινωσκόμενον, ἵνα ἡ συμφορὰ μήτηρ φιλοσοφίας γένηται. Καὶ περιήει ὁ Κάϊν, νόμος ἔμψυχος, στήλη κινουμένη, σιωπῶσα, καὶ σάλπιγγος λαμπροτέραν ἀφιεῖσα τὴν φωνήν. Μή τις ποιήσῃ, φησί, τοιαῦτα, ἵνα μὴ πάθῃ τοιαῦτα. Ἔλαβε τὴν τιμωρίαν διὰ τὴν ἀναισχυντίαν, καὶ μὴ εἰρηκώς, ἐλεγχθεὶς δέ, κατεκρίθη διὰ τὴν ἁμαρτίαν. Εἰ γὰρ ἑαυτῷ ὡμολόγησε, κἂν ἐξαλείψας ἦν τὴν ἁμαρτίαν πρῶτος.

2. Ἵνα δὲ μάθῃς, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, μάθε πῶς ἄλλος τις πρῶτος εἰπὼν ἔλυσε τὴν ἁμαρτίαν. Ἔλθωμεν ἐπὶ τὸν Δαυΐδ, τὸν προφήτην καὶ βασιλέα· μᾶλλον δὲ αὐτὸν ἡδέως ἀπὸ τῆς προφητείας καλῶ· ἡ μὲν γὰρ βασιλεία εἰς Παλαιστίνην, ἡ δὲ προφητεία εἰς τὰ πέρατα τῆς οἰκουμένης· καὶ ἡ μὲν βασιλεία μικρῷ κατελύθη τῷ χρόνῳ, ἡ δὲ προφητεία ἀθάνατα φέρει τὰ ῥήματα. Αἱρετώτερόν ἐστι τὸν ἥλιον σβεσθῆναι, ἢ τὰ ῥήματα τοῦ Δαυΐδ λήθῃ παραδοθῆναι. Οὗτος περιέπεσε μοιχείᾳ καὶ φόνῳ· «εἶδε,» γάρ, φησί, «γυναῖκα καλὴν λουομένην, καὶ ἠράσθη αὐτῆς»· εἶτα τὰ δόξαντα αὐτῷ εἰς ἔργον ἐξήγαγε. Καὶ ἦν ὁ προφήτης ἐν μοιχείᾳ, ὁ μαργαρίτης ἐν βορβόρῳ. Ἀλλ' οὔπω ᾔδει ὅτι ἥμαρτεν· οὕτως ἦν κεκαρωμένος τῷ πάθει. Τοῦ γὰρ ἡνιόχου μεθύοντος καὶ τὸ ἅρμα ἀτάκτως φέρεται· ὅπερ δὲ ἡνίοχος καὶ ἅρμα, τοῦτο ψυχὴ καὶ σῶμα· ἐὰν ἡ ψυχὴ σκοτωθῇ, καὶ τὸ σῶμα ἐν βορβόρῳ κυλίεται· ἕως γὰρ ἕστηκεν ὁ ἡνίοχος, καὶ τὸ ἅρμα καλῶς ἐλαύνεται· ὅταν μέντοι αὐτὸς ἀτονῇ, καὶ οὐ δύναται περικρατὴς γενέσθαι τῶν ἡνιῶν, καὶ αὐτὸ τὸ ἅρμα ἐν δεινοτέροις ὁρᾶται. Οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου· ἕως ἂν μὲν νήφῃ ἡ ψυχὴ καὶ γρηγορῇ, καὶ αὐτὸ τὸ σῶμα ἐν βορβόρῳ καὶ ἡδονῇ κυλίεται. Τί οὖν ὁ Δαυΐδ; Ἐμοίχευ-

---

6. Γεν. 4,12.
7. Β' Βασ. 11,2.

καὶ θὰ τρέμεις ἐπάνω στὴ γῆ»[6], καὶ ὅρισε γι' αὐτὸν τιμωρία φοβερὴ καὶ φρικτή. Δὲ σὲ τιμωρῶ μὲ θάνατο, λέγει, γιὰ νὰ μὴ ξεχασθεῖ ἡ ἀλήθεια, ἀλλὰ σὲ κάμνω νόμο ποὺ νὰ διαβάζεται ἀπ' ὅλους, ὥστε νὰ γίνει ἡ συμφορὰ μητέρα φιλοσοφίας. Καὶ περιερχόταν ὁ Κάϊν, σὰν νόμος ἔμψυχος, σὰν στήλη κινούμενη, ποὺ σιωποῦσε, κι ὅμως ἄφηνε φωνὴ λαμπρότερη ἀπὸ σάλπιγγα. Ἂς μὴν κάνει κανείς, λέγει, τέτοια, γιὰ νὰ μὴ πάθει τὰ ἴδια. Δέχθηκε τὴν τιμωρία ἐξ αἰτίας τῆς ἀδιαντροπιᾶς του, κι ἐπειδὴ δὲν τὴν ἐξομολογήθηκε, ἀφοῦ ἐλέγχθηκε, καταδικάστηκε γιὰ τὴν ἁμαρτία. Γιατί, ἂν ἀναγνώριζε τὴν ἁμαρτία του, πρῶτος θὰ τὴν ἐξάλειφε.

2. Γιὰ νὰ γνωρίσεις ὅμως, ὅτι αὐτὰ ἔτσι συμβαίνουν, μάθε πῶς κάποιος ἄλλος ἀπαλλάχτηκε ἀπὸ τὴν ἁμαρτία του ἀφοῦ τὴν ἐξομολογήθηκε πρῶτος. Ἂς ἔρθομε στὸν Δαυίδ, τὸν προφήτη καὶ βασιλιά· ἢ καλύτερα πιὸ εὐχάριστα τὸν λέγω προφήτη, γιατὶ ἡ βασιλεία του βρισκόταν στὴν Παλαιστίνη, ἐνῶ ἡ προφητεία του ἔφθασε στὰ πέρατα τῆς οἰκουμένης· καὶ ἡ βασιλεία του βέβαια μετὰ ἀπὸ σύντομο χρόνο καταργήθηκε, ἐνῶ ἡ προφητεία του παρέχει ἀθάνατα λόγια. Εἶναι προτιμότερο νὰ σβήσει ὁ ἥλιος, παρὰ νὰ λησμονηθοῦν τὰ λόγια τοῦ Δαυίδ. Αὐτὸς λοιπὸν περιέπεσε σὲ μοιχεία καὶ φόνο· γιατί, λέγει, εἶδε ὄμορφη γυναίκα ποὺ λουζόταν καὶ τὴν ἐρωτεύθηκε, καὶ στὴ συνέχεια πραγματοποίησε ἐκεῖνα ποὺ σκέφθηκε[7]. Καὶ βρισκόταν ὁ προφήτης ἔνοχος μοιχείας, τὸ μαργαριτάρι μέσα στὸ βοῦρκο. Ἀλλὰ δὲν αἰσθανόταν ἀκόμα ὅτι ἁμάρτησε· τόσο πολὺ ἦταν ναρκωμένος ἀπὸ τὸ πάθος. Γιατί, ὅταν ὁ ἡνίοχος εἶναι μεθυσμένος, καὶ τὸ ἅρμα φέρεται ἄτακτα· καὶ ὅ,τι εἶναι ὁ ἡνίοχος καὶ τὸ ἅρμα, αὐτὸ εἶναι ἡ ψυχὴ καὶ τὸ σῶμα· ἐὰν ἡ ψυχὴ κυριευθεῖ ἀπὸ σκοτάδι, καὶ τὸ σῶμα κυλιέται στὸ βοῦρκο· γιατί, ὅσο ὁ ἡνίοχος στέκεται καλά, καὶ τὸ ἅρμα ὁδηγεῖται καλά, ὅταν ὅμως αὐτὸς χάσει τὶς δυνάμεις του καὶ δὲν μπορεῖ νὰ συγκρατήσει τὰ χαλινάρια, τότε καὶ τὸ ἴδιο τὸ ἅρμα φαίνεται νὰ προχωρεῖ στὰ χειρότερα. Τὸ ἴδιο συμβαίνει καὶ μὲ τὸν ἄνθρωπο· ὅσον καιρὸ ἡ ψυχὴ εἶναι προσεκτικὴ καὶ ἐπάγρυπνη, καὶ τὸ σῶμα τὸ ἴδιο εἶναι ἁγνό, ὅταν ὅμως ἡ ψυχὴ κυριευθεῖ ἀπὸ σκοτάδι, καὶ τὸ σῶμα τὸ ἴδιο κυλιέται τότε στὸ βοῦρκο καὶ τὴν ἡδονή. Τί συνέβηκε λοιπὸν

σεν· ἀλλ' οὐκ ᾔδει, οὔτε ἠλέγχετο ὑπό τινος, καὶ τοῦτο ἐν ἐσχάτῃ πολιᾷ, ἵνα μάθῃς ὅτι, ἐὰν ᾖς ῥᾴθυμος, οὔτε ἡ πολιά σε ὠφελεῖ, οὔτε πάλιν; ἐὰν σπουδαῖος ᾖς, ἡ νεότης παραβλάψαι σε δύναται. Οὐ γὰρ τῆς ἡλικίας ὁ τρόπος, ἀλλὰ τῆς γνώμης τὸ κατόρθωμα· ἐπειδὴ καὶ Δανιὴλ δώδεκα ἐτῶν ἦν, καὶ ἔκρινεν· ὁ δὲ πρεσβύτεροι, παλαιοὶ ἐν ἡμέραις, καὶ δρᾶμα μοιχείας ἔπραξαν, καὶ οὔτε ἐκείνους ἡ πολιὰ ὠφέλησεν, οὔτε τοῦτον ἡ νεότης παρέβλαψε.

Καὶ ἵνα μάθῃς ὅτι οὐκ ἐν τῇ ἡλικίᾳ, ἀλλ' ἐν τῇ γνώμῃ τὰ πράγματα τῆς σωφροσύνης κρίνεται, ὁ Δαυῒδ ἐν αὐτῇ τῇ πολιᾷ ὤν, καὶ τότε εἰς μοιχείαν ἐμπεσών, φόνον εἰργάσατο, καὶ διέκειτο οὕτως ὥστε μὴ εἰδέναι αὐτὸν ὅτι ἥμαρτεν· ὁ γὰρ ἡνίοχος νοῦς ἦν μεθυσθεὶς ἀπὸ ἀκρασίας. Τί οὖν ὁ Θεός; Πέμπει πρὸς αὐτὸν Νάθαν τὸν προφήτην· ὁ προφήτης ἔρχεται πρὸς τὸν προφήτην· οὕτω γὰρ καὶ ἐπὶ τῶν ἰατρῶν γίνεται· ὅταν ἰατρὸς ἀσθενήσῃ, ἄλλου ἰατροῦ ἐν χρείᾳ γίνεται. Τὸ αὐτὸ καὶ ἐνταῦθα· προφήτης ἦν ὁ ἡμαρτηκώς, καὶ προφήτης ἦν ὁ τὰ φάρμακα ἐπικομιζόμενος. Ἔρχεται οὖν πρὸς αὐτὸν ὁ Νάθαν, καὶ οὐκ εὐθὺς ἀπὸ θυρῶν ἐλέγχει αὐτὸν καὶ λέγει· 'παράνομε καὶ ἐναγέστατε, μοιχὲ καὶ φονεῦ, τοσαύτας τιμὰς ἐδέξω παρὰ τοῦ Θεοῦ, καὶ σὺ τὰς ἐντολὰς αὐτοῦ κατεπάτησας;'. Οὐδὲν τοιοῦτον εἶπεν ὁ Νάθαν, ἵνα μὴ ἀναισχυντότερον αὐτὸν ἀπεργάσηται· δημοσιευόμενα γὰρ τὰ ἁμαρτήματα εἰς ἀναισχυντίαν προκαλεῖται τὸν ἡμαρτηκότα. Ἔρχεται οὖν πρὸς αὐτὸν καὶ δρᾶμα δίκης ὑφαίνει· καὶ τί φησι; Βασιλεῦ, δίκη μοί ἐστι πρὸς σέ. Ἦν τις πλούσιος καὶ ἦν τις πένης· εἶχε δὲ ὁ πλούσιος βουκόλια καὶ ἀγέλας πολλάς· ἦν δὲ καὶ ὁ πένης ἔχων ἀμνάδα μίαν, ἥτις ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινε, καὶ ἐκ τῆς τραπέζης αὐτοῦ ἤσθιε, καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδεν –ἐνταῦθα τὸ γνήσιον τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα δείκνυσιν– ἐλθόντος δὲ ξένου τινός, ἐφείσατο ὁ πλούσιος τῶν ἰδίων, καὶ λαβὼν τὴν ἀμνάδα τοῦ πένητος ἔσφαξεν αὐτήν. Εἶδες

---

8. Δαν. 13,45.

μὲ τὸ Δαυίδ; Διέπραξε μοιχεία, ἀλλὰ δὲν τὸ αἰσθανόταν, οὔτε ἐλεγχόταν ἀπὸ κάποιον, καὶ αὐτὸ συνέβαινε σὲ προχωρημένα γηρατειά, γιὰ νὰ μάθεις ὅτι, ἂν εἶσαι ράθυμος, οὔτε τὰ γηρατειὰ σὲ ὠφελοῦν, οὔτε πάλι, ἐὰν εἶσαι προσεκτικός, θὰ μπορέσει ἡ νεότητα νὰ σὲ βλάψει. Γιατὶ ἡ σωστὴ ζωὴ δὲν ἐξαρτᾶται ἀπὸ τὴν ἡλικία, ἀλλὰ τὸ κατόρθωμα ἀνήκει στὴ διάθεση· γιατὶ κι ὁ Δανιὴλ ἦταν δώδεκα ἐτῶν καὶ ἔκρινε σωστά, ἐνῶ οἱ γέροντες, σὲ πολὺ προχωρημένη ἡλικία, διέπραξαν τὸ δράμα τῆς μοιχείας, καὶ οὔτε ἐκείνους τοὺς ὠφέλησαν τὰ γηρατειά, οὔτε αὐτὸν τὸν ἔβλαψε ἡ νεότητα[8].

Καὶ γιὰ νὰ μάθεις ὅτι ἡ σωφροσύνη ἐξαρτᾶται ὄχι ἀπὸ τὴν ἡλικία, ἀλλ' ἀπ' τὴ διάθεση, ὁ Δαυίδ, ἂν καὶ βρισκόταν σὲ βαθιὰ γηρατειά, τότε ὑπέπεσε σὲ μοιχεία καὶ διέπραξε φόνο, καὶ βρισκόταν σὲ τέτοια κατάσταση, ὥστε νὰ μὴ αἰσθάνεται ὅτι ἁμάρτησε· γιατὶ ὁ ἡνίοχος νοῦς ἦταν μεθυσμένος ἀπὸ ἀκρασία. Τί κάμνει λοιπὸν ὁ Θεός; Στέλνει πρὸς αὐτὸν τὸν προφήτη Νάθαν· ὁ προφήτης ἔρχεται πρὸς τὸν προφήτη· γιατὶ τὸ ἴδιο γίνεται καὶ μὲ τοὺς γιατρούς· ὅταν ἀσθενήσει κάποιος γιατρός, ἔχει τὴν ἀνάγκη ἄλλου γιατροῦ. Τὸ ἴδιο συνέβηκε κι ἐδῶ· προφήτης ἦταν ἐκεῖνος ποὺ ἁμάρτησε, καὶ προφήτης ἐκεῖνος ποὺ φέρνει τὰ φάρμακα. Ἔρχεται λοιπὸν πρὸς αὐτὸν ὁ Νάθαν καὶ δὲν τὸν ἐλέγχει ἀμέσως μόλις πάτησε στὴν πόρτα του, λέγοντάς του, 'παράνομε καὶ βδελυρέ, μοιχὲ καὶ φονιά, τόσες τιμὲς δέχθηκες ἀπὸ τὸ Θεὸ καὶ σὺ καταπάτησες τὶς ἐντολές του;'. Τίποτε παρόμοιο δὲν εἶπε ὁ Νάθαν, γιὰ νὰ μὴ τὸν κάνει περισσότερο ἀδιάντροπο· γιατί, ὅταν τὰ ἁμαρτήματα ἀποκαλύπτονται, ὁδηγοῦν σ' ἀδιαντροπιὰ ἐκεῖνον ποὺ τὰ διέπραξε. Ἔρχεται λοιπὸν πρὸς αὐτὸν καὶ πλέκει ἕνα δράμα δίκης· καὶ τί λέγει; Βασιλιά, ζητῶ τὴν κρίση σου. Ἦταν ἕνας πλούσιος καὶ ἕνας φτωχός· ὁ πλούσιος εἶχε βόδια καὶ πολλὰ κοπάδια ζώων, ἐνῶ ὁ φτωχὸς εἶχε μιὰ ἀμνάδα, ποὺ ἔπινε ἀπ' τὸ ποτήρι του κι ἔτρωγε ἀπ' τὸ τραπέζι του καὶ κοιμόταν στὴν ἀγκαλιά του –μ' αὐτὸ δείχνει τὴν καθαρὴ σχέση τοῦ ἄνδρα πρὸς τὴ γυναίκα–· ἦρθε ὅμως κάποιος ξένος κι ὁ πλούσιος λυπήθηκε τὰ δικά του, κι ἀφοῦ πῆρε

πῶς ἐνταῦθα ὑφαίνει τὸ δρᾶμα, τῷ σπόγγῳ ἐπικεκρυμμένον ἔχων τὸ σιδήριον;

Τί οὖν ὁ βασιλεύς; Νομίζων κατὰ ἄλλου ἀποφαίνεσθαι, ὀξυτάτην ἐπήγαγε τὴν ἀπόφασιν. Τοιοῦτοι γὰρ οἱ ἄνθρωποι· κατὰ τῶν ἄλλων ἡδέως τὰς ἀποφάσεις καὶ ἀποτόμως ποιοῦνται καὶ ἐκδιδόασι. Καὶ τί φησιν ὁ Δαυΐδ; «Ζῇ Κύριος, ἄξιος θανάτου ὁ τοιοῦτος, καὶ ἀποδώσει τὴν ἀμνάδα τετραπλασίονα». Τί οὖν ὁ Νάθαν; Οὐκ ἐμάλαξε πολλαῖς ὥραις τὴν πληγήν, ἀλλ' εὐθὺς ἐκφαίνεται καὶ ὀξυτάτην ἐπήγαγε τὴν τομήν, ἵνα μὴ κλέψῃ τὴν αἴσθησιν τοῦ πόνου· «Σὺ εἶ», βασιλεῦ. Τί οὖν ὁ βασιλεύς φησιν; «Ἥμαρτον τῷ Κυρίῳ». Οὐκ εἶπε, 'τίς γὰρ εἶ ὁ ἐλέγχων με; τίς δέ σε ἀπέστειλε παρρησιάζεσθαι; ποίᾳ δὲ τόλμῃ τοῦτο πεποίηκας;' Οὐδὲν τοιοῦτον εἶπεν, ἀλλὰ συνέγνω τὴν ἁμαρτίαν. Καὶ τί φησιν; «Ἡμάρτηκα τῷ Κυρίῳ». Τί οὖν ὁ Νάθαν πρὸς αὐτόν; «Καὶ Κύριος ἀφῆκε τὸ ἁμάρτημά σου»· ἑαυτὸν κατεδίκασας, ἐγώ σοι συγχωρῶ τὴν καταδίκην. Εὐγνωμόνως ὡμολόγησας, ἔλυσας τὴν ἁμαρτίαν· σαυτῷ τὴν καταδίκην ἐπεσπάσω, ἐγὼ ἔλυσα τὴν ἀπόφασιν. Εἶδες πῶς ἐπληρώθη τὸ γεγραμμένον, «λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς»; Ποῖος κάματος οὗτος τὸ εἰπεῖν πρῶτον τὴν ἁμαρτίαν;

3. *Ἔχεις δὲ μετανοίας ὁδὸν καὶ ἑτέραν· ποίαν δὴ ταύτην; Τὸ πενθῆσαι τὴν ἁμαρτίαν. Ἥμαρτες; πένθησον, καὶ λύεις τὴν ἁμαρτίαν. Ποῖος κάματος οὗτος; οὐδέν σε πλέον ἀπαιτῶ, ἢ τὸ πενθῆσαι τὴν ἁμαρτίαν· οὐ λέγω σοι πελάγη τεμεῖν, οὔτε εἰς λιμένας καταγαγεῖν, οὔτε ὁδοιπορῆσαι, οὔτε ὁδὸν ἄπειρον ἀπελθεῖν, οὔτε χρημάτων καταβολήν, οὔτε κυμάτων ἀγρίων ποιήσασθαι δίοδον, ἀλλὰ τί; Πένθησον ἐπὶ τῇ ἁμαρτίᾳ. Καὶ πόθεν τοῦτο, φησίν, ὅτι ἐὰν πενθήσω, λύω τὴν ἁμαρτίαν; Ἔχεις καὶ τούτου ἀπόδειξιν ἐκ τῆς θείας Γραφῆς. Ἦν τις Ἀχαὰβ βασιλεύς· δίκαιος δὲ οὗτος μαρτυρεῖται·*

---

9. Δηλαδὴ πόσο δυνατὰ χτυπάει μὲ τά μαλακὰ λόγια;
10. Β' Βασ. 12,1–5.
11. Β' Βασ. 12,5–6.
12. Ἡσ. 43,26.

τὴν ἀμνάδα τοῦ φτωχοῦ, τὴν ἔσφαξε. Εἶδες πῶς πλέκει ἐδῶ τὸ δράμα, ἔχοντας τὸ σίδερο κρυμμένο μέσα στὸ σπόγγο[9];

Τί ἀπαντᾶ λοιπὸν ὁ βασιλιάς; Νομίζοντας ὅτι ἐκφέρει γνώμη γιὰ ἄλλον, ἐξέφρασε πολὺ βαριὰ τὴν ἀπόφαση. Γιατὶ τέτοιοι εἶναι οἱ ἄνθρωποι· μὲ μεγάλη εὐχαρίστηση καὶ πολὺ σκληρὰ βγάζουν τὶς ἀποφάσεις γιὰ τοὺς ἄλλους. Καὶ τί λέγει ὁ Δαυίδ; «Στὸ ὄνομα τοῦ Κυρίου, αὐτὸς ὁ ἄνθρωπος εἶναι ἄξιος θανάτου καὶ θ' ἀνταποδώσει τὴν ἀμνάδα στὸ τετραπλάσιο»[10]. Τί λέγει λοιπὸν ὁ Νάθαν; Δὲν μαλάκωσε γιὰ πολλὴ ὥρα τὴν πληγή, ἀλλ' ἀμέσως ἐκφέρει τὴ γνώμη του καὶ προσθέτει πολὺ βαθιὰ τὴν τομή, γιὰ νὰ μὴ ἀφαιρέσει τὴν αἴσθηση τοῦ πόνου. «Σὺ εἶσαι», βασιλιά. Καὶ τί λέγει ὁ βασιλιάς; «Ἁμάρτησα ἐνώπιον τοῦ Κυρίου». Δὲν εἶπε, 'καὶ ποιός εἶσαι σὺ ποὺ μὲ ἐλέγχεις; ποιός σ' ἔστειλε νὰ μὲ μιλᾶς μὲ τόση παρρησία; μὲ ποιά τόλμη τὸ ἔκαμες αὐτό'. Τίποτε τέτοιο δὲν εἶπε, ἀλλὰ συναισθάνθηκε τὴν ἁμαρτία του. Καὶ τί λέγει; «Ἁμάρτησα ἐνώπιον τοῦ Κυρίου». Τί λέγει τότε ὁ Νάθαν πρὸς αὐτόν; «Καὶ ὁ Κύριος συγχώρεσε τὸ ἁμάρτημά σου»[11]· καταδίκασες τὸν ἑαυτό σου κι ἐγώ σοῦ συγχωρῶ τὴν καταδίκη. Ἐξομολογήθηκες μ' εὐγνωμοσύνη τὴν ἁμαρτία κι ἐξάλειψες αὐτήν· καταδίκασες τὸν ἑαυτό σου, κι ἐγὼ σ' ἀπάλλαξα ἀπὸ τὴν καταδικαστικὴ ἀπόφαση. Εἶδες πῶς ἐπαληθεύθηκε τὸ γραμμένο, «λέγε σὺ πρῶτος τίς ἁμαρτίες σου, γιὰ νὰ δικαιωθεῖς»[12]; Ποιός κόπος εἶναι αὐτὸς τὸ νὰ πεῖς πρῶτος τὴν ἁμαρτία;

3. Ἀλλ' ἔχεις κι ἄλλη ὁδὸ μετάνοιας· καὶ ποιά εἶναι αὐτή; Τὸ νὰ πενθήσεις τὴν ἁμαρτία σου. Ἁμάρτησες; Πένθησε, καὶ ἐξαλείφεις τὴν ἁμαρτία. Ποιός κόπος εἶναι αὐτός; Τίποτα περισσότερο δὲ σοῦ ζητῶ, παρὰ τὸ νὰ πενθήσεις τὴν ἁμαρτία σου· δὲν σοῦ λέγω νὰ διασχίσεις πελάγη, οὔτε νὰ καταφύγεις σὲ λιμάνια, οὔτε νὰ ὁδοιπορήσεις, οὔτε νὰ βαδίσεις ἄπειρο δρόμο, οὔτε νὰ καταβάλεις χρήματα, οὔτε νὰ διαπλεύσεις ἄγρια κύματα, ἀλλὰ τί; Πένθησε γιὰ τὴν ἁμαρτία σου. Κι ἀπὸ ποῦ, λέγει, εἶναι αὐτὸ φανερό, ὅτι, ἂν πενθήσω, θ' ἀπαλλαγῶ ἀπὸ τὴν ἁμαρτία; Ἔχεις ἀπόδειξη καὶ αὐτοῦ ἀπὸ τὴ θεία Γραφή. Ἦταν κάποιος βασιλιάς, ὁ Ἀχαάβ· ὑπάρχει μαρτυρία γι' αὐτὸν ὅτι ἦταν δίκαιος, ἀλλ' αὐτὸς δὲν βασί-

ἐβασίλευσε δὲ οὗτος εἰς κακὰ ὑπὸ Ἰεζάβελ τῆς γυναικὸς αὐτοῦ· οὗτός τινος Ναβουθὲ Ἰεζραηλίτου ἀμπελῶνα ἐπεθύμησε, καὶ ἀπέστειλε πρὸς αὐτὸν λέγων· 'δός μοι τὸν ἀμπελῶνά σου ὃν ἐπεθύμησα, καὶ ἢ ἀργύριον λαβὲ παρ' ἐμοῦ, ἢ ἀντάλλαγμα τοῦ τόπου'. Ὁ δὲ εἶπε· 'μή μοι γένοιτο κληρονομίαν πατέρων μου πωλῆσαί σοι'. Ὁ δὲ Ἀχαὰβ ἐπεθύμει μὲν τοῦ ἀμπελῶνος, οὐκ ἤθελε δὲ βιάσασθαι αὐτόν, ὡς ἐκ τούτου κακώσει αὐτὸν περιπεσεῖν. Εἰσελθοῦσα δὲ πρὸς αὐτὸν Ἰεζάβελ, γύναιον ἀναίσχυντον καὶ ἀπηγορευμένον, ἀκάθαρτον καὶ ἐναγέστατον, φησί· 'Τί λυπῇ καὶ οὐκ ἐσθίεις; ἀνάστα, φάγε· ἐγώ σε ποιῶ κληρονομῆσαι τὸν ἀμπελῶνα Ναβουθὲ τοῦ Ἰεζραηλίτου'. Καὶ λαβοῦσα γράφει ἐπιστολὴν ἐκ προσώπου τοῦ βασιλέως πρὸς τοὺς πρεσβυτέρους, λέγουσα· 'κηρύξατε νηστείαν, καὶ στήσατε ἄνδρας ψευδεῖς κατὰ Ναβουθέ, ὅτι εὐλόγησε Θεὸν καὶ βασιλέα', τουτέστιν, ἐβλασφήμησεν. Ὢ νηστεία ἐπιτεταγμένης τῆς παρανομίας πεπληρωμένη· ἐκήρυξαν νηστείαν, ἵνα φόνον ποιήσωσι!

Τί οὖν γέγονεν; Ἐλιθάσθη Ναβουθὲ καὶ ἀπέθανε. Μαθοῦσα δὲ Ἰεζάβελ λέγει τῷ Ἀχαάβ· 'ἀνάστα, κληρονομήσωμεν τὸν ἀμπελῶνα, ὅτι ἀπέθανε Ναβουθέ'. Ὁ δὲ λυπηθεὶς πρὸς τὸ παρόν, εἰσῆλθε μέντοι καὶ ἐκληρονόμησε τὸν ἀμπελῶνα. Πέμπει πρὸς αὐτὸν ὁ Θεὸς Ἠλίαν τὸν προφήτην· ἄπελθε, φησίν, εἰπὸν τῷ Ἀχαάβ, «ἀνθ' ὧν ἐφόνευσας καὶ ἐκληρονόμησας, οὕτως ἐκχυθήσεται τὸ αἷμά σου, καὶ οἱ κύνες λείξουσι τὸ αἷμά σου, καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου». Θεήλατος ἡ ὀργή, ἀπηρτισμένη ἡ ἀπόφασις, πεπληρωμένη ἡ καταδίκη. Καὶ ὅρα ποῦ πέμπει αὐτόν· εἰς τὸν ἀμπελῶνα. Ὅπου ἡ παρανομία, ἐκεῖ καὶ ἡ τιμωρία. Καὶ τί φησιν; Ἰδὼν αὐτὸν Ἀχαὰβ λέγει· «εὕρηκάς με ὁ ἐχθρός μου», ἀντὶ τοῦ, 'ὑπαίτιόν με ἔλαβες ὅτι ἡμάρτηκα· νῦν καιρὸν ἔχεις ἐπεμβῆναί μοι'. «Εὕρηκάς με ὁ ἐχθρός μου». Ἐπειδὴ ἤλεγχεν ἀεὶ ὁ Ἠλίας τὸν Ἀχαάβ, ὁ Ἀχαὰβ εἰδὼς ὅτι ἥμαρτεν, 'ἀεὶ μὲν ἤλεγχές με', φησί,

---

13. Γ' Βασ. κεφ. 21.

λευσε καλά, ἐξ αἰτίας τῆς γυναίκας του τῆς Ἰεζάβελ· αὐτὸς ἐπιθύμησε τὸ ἀμπέλι κάποιου Ἰσραηλίτη, ποὺ ὀνομαζόταν Ναβουθέ, κι ἔστειλε ἀνθρώπους πρὸς αὐτὸν λέγοντάς του· 'δός μου τὸ ἀμπέλι σου ποὺ θέλω νὰ γίνει δικό μου καὶ ἢ πάρε χρήματα ἀπὸ μένα ἢ χωράφι γι' ἀντάλλαγμα'. Κι αὐτὸς εἶπε· 'εἴθε νὰ μὴ φτάσω ποτὲ στὴν ἀνάγκη νὰ πωλήσω αὐτὸ ποὺ κληρονόμησα ἀπὸ τοὺς γονεῖς μου'. Ὁ Ἀχαὰβ βέβαια ἐπιθυμοῦσε τὸ ἀμπέλι, ὅμως δὲν ἤθελε νὰ τὸν ἐκβιάσει, ὥστε νὰ φτάσει ἐξ αἰτίας αὐτοῦ καὶ νὰ τὸν κακοποιήσει. Ἦρθε ὅμως πρὸς αὐτὸν ἡ Ἰεζάβελ, ποὺ ἦταν γυναικάριο ἀδιάντροπο καὶ ἀνεμπόδιστο σ' ὅλα, ἀκάθαρτο καὶ βδελυρό, καὶ τοῦ λέγει· 'τί εἶναι αὐτὸ ποὺ σὲ στενοχωρεῖ καὶ δὲν τρῶς; σήκω καὶ φάγε· ἐγὼ θὰ σὲ βοηθήσω νὰ κληρονομήσεις τὸ ἀμπέλι τοῦ Ἰσραηλίτη Ναβουθέ'. Παίρνει τότε καὶ γράφει ἐπιστολὴ ἐξ ὀνόματος τοῦ βασιλιᾶ πρὸς τους πρεσβυτέρους, λέγοντας· 'κηρύξατε νηστεία καὶ παρουσιάστε ψευδομάρτυρες ἐναντίον τοῦ Ναβουθέ, μὲ τὴν κατηγορία ὅτι εὐλόγησε τὸ Θεὸ καὶ τὸ βασιλιά, δηλαδὴ ὅτι βλασφήμησε'. Πὼ πὼ νηστεία γεμάτη ἀπὸ ὑπερβολικὴ παρανομία! Κήρυξε νηστεία, γιὰ νὰ διαπράξουν φόνο.

Τί ἔγινε τότε; Λιθοβολήθηκε ὁ Ναβουθὲ καὶ πέθανε. Τὸ ἔμαθε ἡ Ἰεζάβελ καὶ λέγει στὸν Ἀχαάβ· 'σήκω κι ἔλα νὰ κληρονομήσομε τὸ ἀμπέλι, γιατί πέθανε ὁ Ναβουθέ'. Κι ἐκεῖνος βέβαια λυπήθηκε πρὸς στιγμή, ἀλλὰ πῆγε καὶ κληρονόμησε τὸ ἀμπέλι. Στέλνει τότε πρὸς αὐτὸν ὁ Θεὸς τὸν προφήτη Ἠλία· πήγαινε, τοῦ λέγει, καὶ πὲς στὸν Ἀχαάβ, «ὅπως φόνευσες καὶ κληρονόμησες τὸ ἀμπέλι, ἔτσι θὰ χυθεῖ τὸ αἷμα σου, καὶ τὰ σκυλιὰ θὰ γλύφουν τὸ αἷμα σου, καὶ οἱ πόρνες θὰ λουσθοῦν μέσα στὸ αἷμα σου»[13]. Θεόσταλτη ἡ ὀργή, ὁλοκληρωμένη ἡ ἀπόφαση, πληρωμένη ἡ καταδίκη. Καὶ πρόσεχε ποῦ στέλνει αὐτόν· στὸ ἀμπέλι. Ὅπου ἡ παρανομία, ἐκεῖ καὶ ἡ τιμωρία. Καὶ τί λέγει; Μόλις τὸν εἶδε ὁ Ἀχαὰβ λέγει· «μὲ βρῆκες, ἐχθρέ μου», ἀντὶ νὰ πεῖ, 'μὲ συνέλαβες ἔνοχο, γιατὶ ἁμάρτησα· τώρα μπορεῖς νὰ μὲ καταδικάσεις'. «Μὲ βρῆκες, ἐχθρέ μου». Ἐπειδὴ ὁ Ἠλίας ἔλεγχε πάντοτε τὸν Ἀχαάβ, γνωρίζοντας ὁ Ἀχαὰβ ὅτι ἁμάρτησε, 'πάντοτε', λέγει, 'μὲ ἔλεγχες· τώρα ὅμως εἶναι ἡ πιὸ κατάλληλη στιγμὴ νὰ μὲ κατηγορήσεις καὶ νὰ μὲ

'νῦν δὲ εὐκαίρως μοι ἐπιβαίνεις'· ᾔδει γὰρ ὅτι ἡμάρτηκε. Παραναγινώσκει αὐτῷ τὴν ἀπόφασιν· «τάδε λέγει Κύριος», φησίν· «ἀνθ' ὧν ἐφόνευσας καὶ ἐκληρονόμησας καὶ αἷμα ἀνδρὸς δικαίου ἐξέχεας, οὕτως ἐκχυθήσεται τὸ αἷμά σου, καὶ οἱ κύνες λείξουσιν αὐτό, καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου». Ἀκούσας ταῦτα Ἀχαὰβ ἦν σκυθρωπάζων καὶ πενθῶν ἐπὶ τῇ ἁμαρτίᾳ· συνέγνω τὴν ἀδικίαν, καὶ ἔλυσε τὴν κατ' αὐτοῦ ψῆφον ὁ Θεός. Ἀλλὰ πρῶτον ἀπελογήσατο ὁ Θεὸς τῷ Ἠλίᾳ, ἵνα μὴ ὡς ψεύστης φανῇ καὶ πάθῃ ὅπερ ἔπαθεν Ἰωνᾶς· τοιοῦτον γὰρ ὑπέστη καὶ ὁ Ἰωνᾶς.

Λέγει πρὸς αὐτὸν ὁ Θεός· «ἄπελθε, κήρυξον εἰς Νινευῒ τὴν πόλιν ἐν ᾗ κατοικοῦσι δώδεκα μυριάδες ἀνθρώπων χωρὶς γυναικῶν καὶ παιδίων· ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται». Ὁ Ἰωνᾶς οὐκ ἠβούλετο ἀπελθεῖν, εἰδὼς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· ἀλλὰ τί ποιεῖ; Εἰς φυγὴν τρέπεται· λέγει γάρ, 'ἐγὼ ἀπέρχομαι κηρύσσων· σὺ φιλάνθρωπος ὢν μεταμέλῃ, ἐγὼ δὲ ὡς ψευδοπροφήτης ἀναιροῦμαι'. Ἀλλ' ὅμως ἡ θάλασσα αὐτὸν λαβοῦσα οὐκ ἔκρυψεν, ἀλλ' ἀπέδωκε τῇ γῇ καὶ ἀπέσωσε πάλιν εἰς Νινευΐ, καθάπερ ἀρίστη σύνδουλος σύνδουλον διατηροῦσα. «Κατέβη» γάρ, φησίν, «Ἰωνᾶς τοῦ φυγεῖν, καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσεῖς, καὶ ἔδωκε τὸν ναῦλον αὐτοῦ, καὶ ἀνέβη εἰς αὐτό». Ποῦ φεύγεις, Ἰωνᾶ; Εἰς γῆν ἄλλην ἀπέρχῃ; Ἀλλὰ «τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς». Ἀλλ' εἰς τὴν θάλασσαν; Οὐκ οἶδας ὅτι «αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν»; Ἀλλ' εἰς τὸν οὐρανόν; Οὐκ ἤκουσας τοῦ Δαυῒδ λέγοντος, ὅτι «ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου»; Ἀλλ' ὅμως ἐκεῖνος φόβῳ κατεχόμενος ἔφυγε τῷ δοκεῖν· Θεὸν γὰρ ἀληθῶς φυγεῖν ἀδύνατον. Ὅμως ὅτε ἀποκατέστησεν αὐτὸν ἡ θάλασσα καὶ ἦλθεν εἰς Νινευΐ, ἐκήρυξε λέγων ὅτι, «ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται». Ἵνα δὲ μάθῃς ὅτι τοῦτο ἔχων ἐν διανοίᾳ εἰς φυγὴν ἔδωκεν ἑαυτόν, ὅτι ὁ

---

14. Ἰωνᾶ 1,2.
15. Ἰωνᾶ 1,3.
16. Ψαλμ. 23,1.
17. Ψαλμ. 23,94.
18. Ψαλμ. 8,4.
19. Ἰωνᾶ 3,4.

καταδικάσεις'· γιατὶ γνώριζε ὅτι εἶχε ἁμαρτήσει. Τότε τοῦ ἀνακοινώνει ὁ Ἠλίας τὴν ἀπόφαση· «αὐτὰ λέγει ὁ Κύριος», λέγει· «ὅπως φόνευσες καὶ κληρονόμησες τὸ ἀμπέλι καὶ ἔχυσες αἷμα δίκαιου ἀνθρώπου, ἔτσι θὰ χυθεῖ τὸ αἷμα σου, καὶ τὰ σκυλιὰ θὰ γλύφουν αὐτὸ καὶ οἱ πόρνες θὰ λουσθοῦν μέσα στὸ αἷμα σου». Ὅταν τ' ἄκουσε αὐτὰ ὁ Ἀχαὰβ κυριεύθηκε ἀπὸ μελαγχολία καὶ πένθησε γιὰ τὴν ἁμαρτία του· συναισθάνθηκε τὴν ἀδικία καὶ ὁ Θεὸς ἀκύρωσε τὴν ἐναντίον του ἀπόφασή του. Ἀλλὰ πρῶτα ὁ Θεὸς γνωστοποίησε αὐτὸ στὸν Ἠλία, γιὰ νὰ μὴ φανεῖ σὰν ψεύστης καὶ πάθει ἐκεῖνο ποὺ ἔπαθε ὁ Ἰωνᾶς· γιατὶ κάτι παρόμοιο ἔπαθε καὶ ὁ Ἰωνᾶς.

Λέγει πρὸς αὐτὸν ὁ Θεός· πήγαινε καὶ κήρυξε στὴ πόλη Νινευή, στὴν ὁποία κατοικοῦν ἑκατὸν εἴκοσι χιλιάδες ἄνθρωποι, ἐκτὸς ἀπὸ τὶς γυναῖκες καὶ τὰ παιδιά· «ἀκόμα τρεῖς μέρες καὶ ἡ Νινευὴ θὰ καταστραφεῖ»[14]. Ὁ Ἰωνᾶς δὲν ἤθελε νὰ πάει γνωρίζοντας τὴ φιλανθρωπία τοῦ Θεοῦ· ἀλλὰ τί κάμνει; Τρέπεται σὲ φυγή· γιατὶ λέγει, 'ἐγὼ πηγαίνω νὰ κηρύξω· σὺ ὅμως ποὺ εἶσαι φιλάνθρωπος μετανοεῖς γιὰ τὴν ἀπόφασή σου, καὶ ἐγὼ τότε θανατώνομαι σὰν ψευδοπροφήτης'. Ἀλλ' ὅμως ἡ θάλασσα ποὺ τὸν ἔλαβε δὲν τὸν ἔκρυψε, ἀλλὰ τὸν παρέδωσε στὴ γῆ, κι ἔσωσε πάλι τὴ Νινευή, διασώζοντας, σὰν ἄριστη σύνδουλη, τὸ σύνδουλό της. Γιατὶ λέγει, «κατέβηκε ὁ Ἰωνᾶς γιὰ νὰ φύγει καὶ βρῆκε πλοῖο ποὺ πήγαινε στοὺς Θαρσεῖς, πλήρωσε τὰ ναῦλα τοῦ ταξιδιοῦ κι ἀνέβηκε σ' αὐτό»[15]. Ποῦ φεύγεις, Ἰωνᾶ; πηγαίνεις σ' ἄλλη γῆ; Ἀλλὰ «τοῦ Κυρίου εἶναι ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς»[16]. Μήπως στὴ θάλασσα; Δὲν γνωρίζεις ὅτι «αὐτοῦ εἶναι ἡ θάλασσα κι αὐτὸς δημιούργησε αὐτήν»[17]; Μήπως στὸν οὐρανό; Μὰ δὲν ἄκουσες τὸν Δαυὶδ ποὺ λέγει, «θὰ δῶ τοὺς οὐρανούς, τὰ ἔργα τῶν δακτύλων σου»[18]; Ἀλλ' ὅμως ἐκεῖνος, κυριευμένος ἀπὸ φόβο, ἔφυγε ὅπως νόμιζε· γιατὶ τὸ Θεὸ στὴν πραγματικότητα εἶναι ἀδύνατο νὰ τὸν ξεφύγεις. Ὅμως ὅταν ἡ θάλασσα τὸν ἐπανέφερε στὴν ξηρὰ καὶ πῆγε στὴ Νινευή, κήρυξε καὶ εἶπε, «τρεῖς ἀκόμα μέρες καὶ θὰ καταστραφεῖ ἡ Νινευή»[19]. Καὶ γιὰ νὰ μάθεις ὅτι τράπηκε σὲ φυγὴ σκεπτόμενος αὐτὸ ἀκριβῶς, ὅτι ὁ Θεός, ἐπειδὴ εἶναι φιλάνθρω-

Θεὸς φιλάνθρωπος ὢν μετανοεῖ ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησε περὶ αὐτῶν, καὶ ἔμελλεν αὐτὸς ὡς ψευδοπροφήτης εἶναι, αὐτὸς ἑαυτῷ δείκνυσι. Μετὰ γὰρ τὸ κηρῦξαι ἐν τῇ Νινευΐ ἐξῆλθεν ἔξω τῆς πόλεως καὶ παρετήρει τί ἂν γένηται· ὅτε δὲ εἶδε τρεῖς ἡμέρας παρελθούσας καὶ οὐδαμοῦ οὐδὲν τῶν ἠπειλημένων γινόμενον, τότε τὸν πρῶτον αὐτοῦ λογισμὸν κινεῖ, καὶ λέγει· «οὐκ οὗτοί εἰσιν οἱ λόγοι μου οὓς ἔλεγον, ὅτι ὁ Θεὸς ἐλεήμων ἐστὶ καὶ μακρόθυμος καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων;».

Ἵν' οὖν μή τι τοιοῦτον πάθῃ Ἠλίας, οἷον καὶ Ἰωνᾶς, λέγει ὁ Θεὸς πρὸς τὸν Ἠλίαν; «Εἶδες πῶς ἐπορεύθη Ἀχαὰβ πενθῶν καὶ σκυθρωπάζων ἐνώπιον μου; Οὐ μὴ ποιήσω κατὰ τὴν κακίαν αὐτοῦ». Βαβαί, δεσπότης δούλου συνήγορος γίνεται καὶ ἀπολογεῖται Θεὸς ἀνθρώπῳ ὑπὲρ ἀνθρώπου. Μὴ νόμιζε, φησίν, ὅτι ἁπλῶς συνεχώρησα αὐτῷ· μετερρύθμισε τὸν τρόπον, καὶ μετέβαλον τὴν ὀργήν μου καὶ ἀνέλυσα. Καὶ ἵνα μὴ νομισθῇς σὺ ὡς ψευδοπροφήτης· σὺ γὰρ ἀληθῶς εἶπας· εἰ μὴ μετέβαλε τὸν τρόπον, ὑπομεῖναι εἶχε τὰ τῆς ἀποφάσεως· ἀλλ' οὗτος μὲν μετέβαλε τὸν τρόπον, κἀγὼ ἀνέλυσα τὴν ὀργήν μου. Καί φησιν ὁ Θεὸς πρὸς τὸν Ἠλίαν· «εἶδες πῶς ἐπορεύθη Ἀχαὰβ πενθῶν καὶ σκυθρωπάζων; Οὐ μὴ ποιήσω κατὰ τὴν ὀργήν μου». Εἶδες ὅτι τὸ πενθῆσαι ἐξαλείφει ἁμαρτίας;

4. Ἔχεις δὲ καὶ τρίτην ὁδὸν μετανοίας. Πολλὰς δὲ ὁδοὺς μετανοίας εἶπον, ἵνα τῇ ποικιλίᾳ τῶν ὁδῶν εὔκολόν σοι τὴν σωτηρίαν ἐργάσωμαι. Ποία δὲ αὕτη ἡ τρίτη ὁδός; Ἡ ταπεινοφροσύνη· ταπεινοφρόνησον, καὶ ἔλυσας τὰς σειρὰς τῶν ἁμαρτιῶν. Καὶ ἔχεις καὶ ταύτης ἀπόδειξιν ἀπὸ τῆς θείας Γραφῆς, ἀπὸ τῆς ἀναγνώσεως τῆς κατὰ τὸν τελώνην καὶ τὸν Φαρισαῖον. Ἀνῆλθον, φησίν, ὁ Φαρισαῖος καὶ ὁ τελώνης εἰς τὸ ἱερὸν προσεύξασθαι, καὶ ἤρξατο ὁ Φαρισαῖος τὰς ἀρετὰς αὐτοῦ ἀπαριθμεῖσθαι. 'Οὔκ εἰμι κἀγώ', φησίν, 'ἁμαρτωλὸς ὡς πᾶς ὁ κόσμος, οὔτε ὡς ὁ τελώνης οὗτος'. Ἀθλία καὶ ταλαίπωρε ψυχή, ὅλην τὴν οἰκουμένην κατεδίκασας, διὰ τί καὶ

20. Ἰωνᾶ 4,2. 21. Γ' Βασ. 21,29. 22. Λουκᾶ 18,10 ἑέ.

πος, μετανοεῖ γιὰ τὴν τιμωρία ποὺ εἶπε γι' αὐτούς, κι ἐπρόκειτο ἔτσι νὰ φανεῖ ὅτι εἶναι ψευδοπροφήτης, ὁ ἴδιος τὸ ἀποδεικνύει. Γιατί, μετὰ τὸ κήρυγμα στὴ Νινευή, βγῆκε ἔξω ἀπὸ τὴν πόλη καὶ παρατηροῦσε τί θὰ γινόταν· κι ὅταν εἶδε ὅτι πέρασαν τρεῖς ἡμέρες καὶ δὲν γινόταν πουθενὰ τίποτα ἀπὸ ἐκεῖνα ποὺ ἀπείλησε ὁ Θεός, τότε σχηματίζει τὴν πρώτη σκέψη καὶ λέγει· «δὲν εἶναι αὐτὰ τὰ λόγια ποὺ ἔλεγα, ὅτι δηλαδὴ ὁ Θεὸς εἶναι φιλάνθρωπος καὶ μακρθόθυμος καὶ μετανοεῖ γιὰ τὶς κακίες τῶν ἀνθρώπων;»[20].

Γιὰ νὰ μὴ πάθει λοιπὸν ὁ Ἠλίας κάτι τέτοιο ποὺ ἔπαθε καὶ ὁ Ἰωνᾶς, λέγει ὁ Θεὸς τὴν αἰτία, γιὰ τὴν ὁποία συγχώρεσε τὸν Ἀχαάβ. Καὶ τί λέγει ὁ Θεὸς πρὸς τὸν Ἠλία; «Εἶδες πῶς συμπεριφέρθηκε ὁ Ἀχαὰβ πενθώντας καὶ μελαγχολώντας ἀπέναντί μου; Δὲν θὰ ἐνεργήσω σύμφωνα μὲ τὴν κακία αὐτοῦ»[21]. Πώ, πώ! ὁ Κύριος γίνεται συνήγορος τοῦ δούλου κι ἀπολογεῖται ὁ Θεὸς σὲ ἄνθρωπο ὑπὲρ ἀνθρώπου. Μὴ νομίζεις, λέγει, ὅτι τὸν συγχώρεσα χωρὶς λόγο· ἄλλαξε συμπεριφορὰ καὶ γι' αὐτὸ καταπράϋνα ἐγὼ τὴν ὀργή μου καὶ τὴν ἔσβησα. Καὶ γιὰ νὰ μὴ νομισθεῖς σὺ ψευδοπροφήτης, γιατὶ σὺ σωστὰ εἶπες· ἂν δὲν ἄλλαζε συμπεριφορά, θὰ ὑπέμενε ἐκεῖνα ποὺ ἀποφάσισα· ἀλλ' αὐτὸς ἄλλαξε συμπεριφορά, κι ἐγὼ κατέπαυσα τὴν ὀργή μου. Καὶ λέγει ὁ Θεὸς πρὸς τὸν Ἠλία· «εἶδες πῶς συμπεριφέρθηκε ὁ Ἀχαάβ, πενθώντας καὶ μελαγχολώντας; Δὲν θὰ ἐνεργήσω σύμφωνα μὲ τὴν ὀργή μου». Εἶδες ὅτι τὸ πένθος γιὰ τὶς ἁμαρτίες ἐξαλείφει αὐτές;

4. Ἀλλ' ἔχεις καὶ τρίτη ὁδὸ μετάνοιας. Κι ἀνέφερα πολλὲς ὁδοὺς μετάνοιας, γιὰ νὰ σοῦ κάνω μὲ τὴν ποικιλία τῶν ὁδῶν εὔκολη τὴ σωτηρία. Ποιά εἶναι αὐτὴ ἡ τρίτη ὁδός; Ἡ ταπεινοφροσύνη· δεῖξε ταπεινοφροσύνη καὶ ἐξάλειψες τὸ πλῆθος τῶν ἁμαρτιῶν. Κι ἔχεις καὶ γι' αὐτὴν ἀπόδειξη ἀπὸ τὴ θεία Γραφή, ἀπὸ τὴν ἀνάγνωση τῆς παραβολῆς τοῦ τελώνη καὶ τοῦ Φαρισαίου[22]. Ἀνέβηκαν, λέγει, ὁ Φαρισαῖος καὶ ὁ τελώνης στὸ ναὸ νὰ προσευχηθοῦν καὶ ἄρχισε ὁ Φαρισαῖος ν' ἀπαριθμεῖ τὶς ἀρετές του. Δὲν εἶμαι κι ἐγώ, λέγει, ἁμαρτωλὸς ὅπως ὅλος ὁ κόσμος, οὔτε ὅπως αὐτὸς ὁ τελώνης. Ἄθλια καὶ ταλαίπωρη ψυχή, ὅλη τὴν οἰκουμένη τὴν καταδίκασες, γιατί λύπησες καὶ τὸν πλησίον σου; Δὲν σοῦ ἄρκεσε ἡ οὐ-

τὸν ἐγγύς σου ἔθλιψας; οὐκ ἤρκεσέ σοι ἡ οἰκουμένη, εἰ μὴ καὶ τὸν τελώνην κατέκρινας; πάντας ἐντεῦθεν διέβαλες, καὶ οὐδὲ τοῦ ἑνὸς ἀνδρὸς ἐφείσω. 'Οὔκ εἰμι ἐγὼ ὡς πᾶς ὁ κόσμος, οὐδὲ ὡς ὁ τελώνης οὗτος· δεύτερον τῆς ἑβδομάδος νηστεύω, ἀποδεκατῶ τὰ ὑπάρχοντά μου τοῖς πτωχοῖς'. Ἀλαζονείας ῥήματα ἐφθέγξατο. Ἄθλιε ἄνθρωπε, ἔστω, τὴν οἰκουμένην κατεδίκασας, τί καὶ τὸν ἐγγύς σου τελώνην ἐπέπληξας; οὐκ ἐνεπλήσθης τῇ κατηγορίᾳ τῆς οἰκουμένης, εἰ μὴ καὶ τὸν σὺν σοὶ κατέκρινας;

Τί οὖν ὁ τελώνης; Ἀκούσας ταῦτα οὐκ εἶπε· 'σὺ γὰρ τίς εἶ ὁ τοιαῦτά μοι λέγων; πόθεν οἶδας τὸν βίον μου; οὐ συνανεστράφης μοι, ου συνέμεινας, οὐ συνεχρόνισας· διὰ τί τοσοῦτον ὑπερηφανεύῃ; σοὶ γὰρ τίς μαρτυρεῖ ἀγαθοεργίας; τί σεαυτὸν ἐπαινεῖς; τί σεαυτῷ χαρίζῃ;' Ἀλλ' οὐδὲν τούτων εἶπεν ὁ τελώνης, ἀλλὰ κύψας προσεκύνησε καὶ εἶπεν· «ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ» καὶ ταπεινοφρονήσας ὁ τελώνης ἐγένετο δίκαιος. Ὁ δὲ Φαρισαῖος κατῆλθεν ἐκ τοῦ ἱεροῦ δικαιοσύνην ἀπολέσας, καὶ ὁ τελώνης κατῆλθε δικαιοσύνην κτησάμενος· καὶ ῥήματα πράγματα ἐνίκησαν. Ὁ μὲν γὰρ ἔργοις δικαιοσύνην ἀπώλεσεν, ὁ δὲ λόγῳ ταπεινοφροσύνης δικαιοσύνην ἐκτήσατο. Καίτοι γε οὐδὲ ταπεινοφροσύνη ἦν ἐκεῖνο· ταπεινοφροσύνη γὰρ τοῦτό ἐστιν, ὅταν τις μέγας ὢν ἑαυτὸν ταπεινοῖ· τοῦτο δὲ τοῦ τελώνου οὐκ ἦν ταπεινοφροσύνη, ἀλλ' ἀλήθεια· ἀληθινὰ γὰρ ἦν τὰ ῥήματα· ἁμαρτωλὸς γὰρ ἦν.

5. *Τί γὰρ τελώνου χεῖρον, εἰπέ μοι; Τῶν ἀλλοτρίων συμφορῶν ἐστι πραγματευτής, τῶν ἀλλοτρίων πόνων συμμεριστής· καὶ τὸν μὲν κάματον οὐκ ἐπιβλέπει, τὸ δὲ κέρδος συμμερίζεται· ὥστε ἐσχάτη ἁμαρτία τοῦ τελώνου. Οὐδὲν γὰρ ἄλλο ἐστὶ τελώνης ἢ πεπαρρησιασμένη βία, ἔννομος ἁμαρτία, εὐπρόσωπος πλεονεξία. Τί γὰρ χεῖρον τελώνου τοῦ καθεζομένου κατὰ τὴν ὁδὸν καὶ ἀλλοτρίων πόνων τοὺς καρποὺς τρυγῶντος, καὶ ὅτε μὲν οἱ κάματοι, οὐδεμία αὐτῷ φροντίς, ὅτε δὲ τὸ κέρδος, ἐξ ὧν οὐκ ἔκαμε, τὴν μερίδα λαμ-*

κουμένη, κι ἔφτασες νὰ καταδικάσεις καὶ τὸν τελώνη; ὅλους λοιπὸν τοὺς κατηγόρησες καὶ δὲν λυπήθηκες οὔτε τὸν ἕνα αὐτὸν ἄνθρωπο. Δὲν εἶμαι ἐγὼ ὅπως ὅλος ὁ κόσμος, οὔτε ὅπως αὐτὸς ὁ τελώνης· νηστεύω δύο φορὲς τὴν ἑβδομάδα, δίνω τὸ δέκατο ἀπὸ τὰ ὑπάρχοντά μου στοὺς φτωχούς. Εἶπε λόγια ἀλαζονικά. Ἄθλιε ἄνθρωπε, καλὰ ὅλη τὴν οἰκουμένη τὴν καταδίκασες, γιατί κατηγόρησες καὶ τὸν πλησίον σου τελώνη; δὲν χόρτασες μὲ τὴν κατηγορία τῆς οἰκουμένης, ἀλλὰ κατέκρινες κι ἐκεῖνον ποὺ ἦταν μαζί σου;

Τί ἔκαμε λοιπὸν ὁ τελώνης; Ὅταν τ' ἄκουσε αὐτὰ δὲν εἶπε· 'σὺ ποιός εἶσαι ποὺ λὲς αὐτὰ ἐναντίον μου; ἀπὸ ποὺ γνωρίζεις τὸ βίο μου; δὲν μὲ συναναστράφηκες· δὲν ἔμεινες μαζί μου, δὲν ζήσαμε μαζί· γιατί ὑπερηφανεύεσαι τόσο πολύ; ποιός εἶναι μάρτυρας τῶν δικῶν σου ἀγαθοεργιῶν; γιατί παινεύεις τὸν ἑαυτό σου; γιατί κάνεις χάρη στὸν ἑαυτό σου;' Ὅμως τίποτε ἀπ' αὐτὰ δὲν εἶπε ὁ τελώνης, ἀλλ', ἀφοῦ ἔσκυψε, προσκύνησε καὶ εἶπε· «Θεέ μου, συγχώρεσέ με τὸν ἁμαρτωλό», καὶ μὲ τὴν ταπεινοφροσύνη ποὺ ἔδειξε ὁ τελώνης δικαιώθηκε. Ἀντίθετα ὁ Φαρισαῖος κατέβηκε ἀπὸ τὸ ναὸ στερημένος τὴ δικαίωση, ἐνῶ ὁ τελώνης κατέβηκε πετυχαίνοντας τὴ δικαίωση· κι ἔτσι τὰ λόγια νίκησαν τὰ ἔργα. Γιατὶ ὁ ἕνας ἔχασε τὴ δικαίωση ἀπὸ τὰ ἔργα, ἐνῶ ὁ ἄλλος μὲ τὰ λόγια τῆς ταπεινοφροσύνης ἐπέτυχε τὴ δικαίωση. Ἂν καὶ βέβαια οὔτε ταπεινοφροσύνη ἦταν ἐκεῖνο· γιατὶ ταπεινοφροσύνη εἶναι αὐτό, ὅταν κανείς, ἐνῶ εἶναι μεγάλος, ταπεινώνει τὸν ἑαυτό του· ἐνῶ αὐτὸ ποὺ ἔκανε ὁ τελώνης δὲν ἦταν ταπεινοφροσύνη, ἀλλ' ἀλήθεια· γιατὶ ἦταν ἀληθινὰ τὰ λόγια· ἦταν πραγματικὰ ἁμαρτωλός.

5. Πραγματικὰ πές μου, τί ὑπάρχει χειρότερο ἀπὸ τὸν τελώνη; εἶναι πραγματευτὴς τῶν ξένων συμφορῶν, καὶ μοιράζεται τοὺς ξένους κόπους· καὶ τὸν κόπο βέβαια δὲν τὸν προσέχει, ἐνῶ τὸ κέρδος τὸ μοιράζεται· ὥστε ἡ ἁμαρτία τοῦ τελώνη εἶναι ἡ χειρότερη. Γιατὶ τίποτε ἄλλο δὲν εἶναι ὁ τελώνης, παρὰ ἐκβιασμὸς χωρὶς φόβο, ἁμαρτία νόμιμη, εὐσχημη πλεονεξία. Πραγματικὰ τί ὑπάρχει χειρότερο ἀπὸ τὸν τελώνη ποὺ κάθεται στὸ δρόμο καὶ τρυγάει τοὺς ξένους κόπους, κι ὅταν εἶναι ἡ ὥρα τῶν κόπων, καμιὰ φροντίδα ἐκ μέρους του, ὅταν ὅμως φτάνει ἡ στιγμὴ τοῦ κέρδους, ἀπὸ

βάνει; Ὥστε εἰ ἁμαρτωλὸς ὢν ὁ τελώνης τοσαύτης ἐπέτυχε τῆς δωρεᾶς ταπεινοφρονήσας, πόσῳ μᾶλλον ὁ ἐνάρετος ὢν καὶ ταπεινοφρονῶν; Ὥστε ἐὰν ὁμολογήσῃς τὰς ἁμαρτίας σου καὶ ταπεινοφρονήσῃς, δίκαιος γίνῃ. Θέλεις δὲ μαθεῖν ταπεινόφρων τίς ἐστι; Βλέπε Παῦλον τὸν ὄντως ταπεινόφρονα, Παῦλον τὸν διδάσκαλον τῆς οἰκουμένης, τὸν ῥήτορα τὸν πνευματικόν, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν λιμένα τὸν ἀκύμαντον, τὸν πύργον τὸν ἀσέλευτον, τὸν ἐν σώματι βραχεῖ τὴν οἰκουμένην κυκλοῦντα, καὶ καθάπερ ὑπόπτερόν τινα ταύτην περιδραμόντα· βλέπε ἐκεῖνον ταπεινοφρονοῦντα, τὸν ἰδιώτην καὶ φιλόσοφον, τὸν πένητα καὶ πλούσιον. Ἐκεῖνον ἀληθῶς ταπεινόφρονα λέγω, τὸν μυρίους καμάτους ἀντλήσαντα, τὸν μυρία τρόπαια κατὰ τοῦ διαβόλου ἐνδειξάμενον, τὸν κηρύττοντα καὶ λέγοντα, «ἡ χάρις αὐτοῦ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον πάντων ἐκοπίασα»· ὁ φυλακὰς ὑπομείνας καὶ πληγὰς καὶ μάστιγας· ὁ δι' ἐπιστολῶν τὴν οἰκουμένην σαγηνεύσας· ὁ οὐρανίᾳ φωνῇ κληθείς, ἐκεῖνος ταπεινοφρονεῖ λέγων· «ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος».

Εἶδες ταπεινοφροσύνης μέγεθος, εἶδες Παῦλον ταπεινφορονοῦντα, ἐλάχιστον ἑαυτὸν καλοῦντα; «Ἐγὼ γάρ εἰμι», φησίν, «ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος». Τοῦτο γὰρ ἀληθῶς ταπεινοφροσύνη, τὸ ταπεινοῦσθαι ἐν πᾶσι καὶ ἑαυτὸν καλεῖν ἐλάχιστον. Ἐννόησον τίς ἦν ὁ λέγων ταῦτα τὰ ῥήματα· Παῦλος ὁ οὐρανοπολίτης, ὁ τὸ σῶμα ἁπλῶς περικείμενος, ὁ στῦλος τῶν Ἐκκλησιῶν, ὁ ἐπίγειος ἄγγελος, ὁ ἐπουράνιος ἄνθρωπος. Ἡδέως γὰρ λοιπὸν ἐνδιατρίβω τῷ ἀνδρί, θεωρῶν αὐτοῦ τὸ κάλλος τῆς ἀρετῆς. Οὐχ οὕτως ἥλιος ἀνατείλας καὶ λαμπρὰς ἀφιεὶς τὰς ἀκτῖνας εὐφραίνει μου τὰς ὄψεις, ὡς τὸ πρόσωπον Παύλου καταυγάζει μου τὴν διάνοιαν· ὁ μὲν γὰρ ἥλιος τὰς ὄψεις φωτίζει, ὁ δὲ Παῦλος εἰς αὐτὰς ἀναπτεροῖ τὰς ἀψῖδας τῶν οὐρανῶν· τὴν

---

23. Α' Κορ. 15,10.
24. Α' Κορ. 15,9.

ἐκεῖνα ποὺ δὲν κόπιασε παίρνει τὴ μερίδα; Ὥστε, ἐὰν ὁ τελώνης, ἐνῶ ἦταν ἁμαρτωλός, πέτυχε τόση μεγάλη δωρεὰ μὲ τὴν ταπεινοφροσύνη του, πόσο πιὸ μεγάλη δὲν θὰ ἐπιτύχει ἐκεῖνος ποὺ εἶναι ἐνάρετος καὶ δείχνει ταπεινοφροσύνη; Ὥστε, ἂν ἐξομολογηθεῖς τὶς ἁμαρτίες σου καὶ δείξεις ταπεινοφροσύνη, γίνεσαι δίκαιος. Θέλεις νὰ μάθεις καὶ ποιός εἶναι ταπεινόφρονας; Πρόσεχε τὸν Παῦλο τὸν δάσκαλο τῆς οἰκουμένης, τὸν πνευματικὸ ρήτορα, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸ λιμάνι τὸ ἀκύμαντο, τὸν πύργο τὸν ἀσάλευτο, ἐκεῖνον ποὺ μὲ τὸ μικροκαμωμένο σῶμα του περικύκλωνε τὴν οἰκουμένη καὶ σὰν κάποιος φτερωτὸς περιέτρεξε αὐτήν· πρόσεχε ἐκεῖνον ποὺ δείχνει ταπεινοφροσύνη, τὸν ἰδιώτη καὶ φιλόσοφο, τὸν φτωχὸ καὶ πλούσιο. Ἐκεῖνον ὀνομάζω πραγματικὸ ταπεινόφρονα, ἐκεῖνον ποὺ ὑπέμεινε ἀμέτρητους κόπους, ποὺ ἔστησε ἀμέτρητα τρόπαια κατὰ τοῦ διαβόλου, ποὺ κήρυττε καὶ ἔλεγε, «ἡ χάρη του πρὸς ἐμένα δὲν ἦταν χωρὶς ἀποτέλεσμα, ἀλλὰ περισσότερο ἀπ' ὅλους κόπιασα»[23]. Ἐκεῖνος ποὺ ὑπέμεινε φυλακὲς καὶ πληγὲς καὶ μαστιγώματα, ἐκεῖνος ποὺ σαγήνευσε μ' ἐπιστολὲς τὴν οἰκουμένη, ἐκεῖνος ποὺ κλήθηκα μὲ οὐράνια φωνή, ἐκεῖνος ταπεινοφρονεῖ, λέγοντας· «γιατὶ ἐγὼ εἶμαι ὁ πιὸ ἀσήμαντος ἀπ' ὅλους τοὺς ἀποστόλους, καὶ δὲν εἶμαι ἱκανὸς νὰ ὀνομασθῶ ἀπόστολος»[24].

Εἶδες μέγεθος ταπεινοφροσύνης, εἶδες τὸν Παῦλο ποὺ ταπεινοφρονεῖ, ποὺ ὀνομάζει ἐλάχιστο τὸν ἑαυτό του; Γιατὶ λέγει, «ἐγὼ εἶμαι ὁ πιὸ ἀσήμαντος ἀπὸ τοὺς ἀποστόλους, καὶ δὲν εἶμαι ἱκανὸς νὰ ὀνομασθῶ ἀπόστολος». Γιατὶ αὐτὸ πραγματικὰ εἶναι ταπεινοφροσύνη, τὸ νὰ δείχνει κανεὶς ταπείνωση σ' ὅλους καὶ νὰ ὀνομάζει τὸν ἑαυτό του ἐλάχιστο. Σκέψου ποιός ἦταν ἐκεῖνος ποὺ λέγει αὐτὰ τὰ λόγια· ὁ Παῦλος ὁ οὐρανοπολίτης, ποὺ ἁπλῶς ἔφερνε τὸ σῶμα, ὁ στύλος τῶν ἐκκλησιῶν, ὁ ἐπίγειος ἄγγελος, ὁ ἐπουράνιος ἄνθρωπος. Μὲ πολλὴ εὐχαρίστηση λοιπὸν φέρνω στὶς σκέψεις μου τὸν ἄνθρωπο αὐτό, βλέποντας ἐπάνω του τὸ κάλλος τῆς ἀρετῆς. Δὲν εὐχαριστεῖ τόσο πολὺ τὰ μάτια μου ὁ ἥλιος ἀνατέλλοντας καὶ σκορπώντας τὶς ἀκτίνες του, ὅσο καταφωτίζει τὴ διάνοιά μου τὸ πρόσωπο τοῦ Παύλου· γιατὶ ὁ ἥλιος φωτίζει τὰ μάτια μας, ἐνῶ ὁ Παῦλος μᾶς ἀνυψώνει σ' αὐτὲς τὶς ἴδιες τὶς ἀψίδες τοῦ οὐρανοῦ·

γὰρ ψυχὴν καὶ ὑψηλοτέραν τοῦ ἡλίου ἀπεργάζεται καὶ ἀνωτέραν τῆς σελήνης· τοιαύτη γὰρ ἡ δύναμις τῆς ἀρετῆς· ἄγγελον τὸν ἄνθρωπον ποιεῖ, τὴν ψυχὴν ἀναπτεροῖ εἰς οὐρανόν.

Ταύτην τὴν ἀρετὴν διδάσκει ἡμᾶς ὁ Παῦλος· σπουδάσωμεν ζηλωταὶ αὐτοῦ γενέσθαι τῆς ἀρετῆς. Ἀλλ' οὐ δεῖ ἐξελθεῖν ἡμᾶς τοῦ προκειμένου· δεῖξαι γὰρ ἦν ὁ σκοπὸς τρίτην ὁδὸν μετανοίας τὴν ταπεινοφροσύνην, ὅτι ὁ τελώνης οὐκ ἐταπεινοφρόνησεν, ἀλλ' ἀλήθειαν εἶπε, τὰς ἰδίας ἁμαρτίας γυμνώσας, καὶ δίκαιος ἐγένετο, οὐ χρήματα καταβαλών, οὔτε πελάγη διατεμών, οὔτε πολλὴν ὁδὸν πεζεύσας, οὔτε ἄπειρα πελάγη περάσας, οὔτε φίλους ἀξιώσας, οὔτε χρόνον πολὺν καταναλώσας, ἀλλὰ διὰ ταπεινοφροσύνης δικαιοσύνην ἐκτήσατο, καταξιωθεὶς τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γιατὶ κάμνει τὴν ψυχὴ ψηλότερη ἀπὸ τὸν ἥλιο καὶ τὴν τοποθετεῖ πιὸ πάνω ἀπὸ τὴ σελήνη· γιατὶ τέτοια εἶναι ἡ δύναμη τῆς ἀρετῆς· κάμνει τὸν ἄνθρωπο ἄγγελο, μεταφέρει τὴν ψυχὴ στὸν οὐρανό.

Αὐτὴ τὴν ἀρετὴ μᾶς τὴ διδάσκει ὁ Παῦλος. Ἂς φροντίσουμε λοιπὸν νὰ γίνουμε μιμητὲς τῆς ἀρετῆς του. Ἀλλὰ δὲν πρέπει νὰ φύγομε ἀπὸ τὸ θέμα μας· γιατὶ ὁ σκοπός μας ἦταν νὰ δείξομε τὴν τρίτη ὁδὸ τῆς μετάνοιας, τὴν ταπεινοφροσύνη, ὅτι ὁ τελώνης δὲν ἔδειξε ταπεινοφροσύνη, ἀλλ' εἶπε ἀλήθεια, ἀπογυμνώνοντας τὶς ἁμαρτίες του, καὶ ἔγινε δίκαιος, χωρὶς νὰ πληρώσει χρήματα, οὔτε νὰ διασχίσει πελάγη, οὔτε νὰ βαδίσει μεγάλο δρόμο, οὔτε νὰ διαπλεύσει ἄπειρα πελάγη, οὔτε νὰ ζητήσει βοήθεια ἀπὸ φίλους, οὔτε χρόνο πολὺ νὰ δαπανήσει, ἀλλ' ἐπέτυχε τὴ δικαίωση μὲ τὴν ταπεινοφροσύνη, κι ἀξιώθηκε νὰ κερδίσει τὴ βασιλεία τῶν οὐρανῶν, τὴν ὁποία εὔχομαι νὰ ἐπιτύχομε ὅλοι μας μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΤΡΙΤΗ

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ ΚΑΙ ΕΙΣ ΤΑΣ ΔΕΚΑ ΠΑΡΘΕΝΑΣ

1. Ἆρα οἴδατε, πόθεν ἡμῖν ὁ λόγος πρῴην ἤρξατο, ἢ ποῦ κατέλυσεν, ἢ ἐκ ποίας ὑποθέσεως εἰς ποίαν ἔληξε τὰ τῆς προτέρας ὁμιλίας ῥήματα; Ἀλλ' ὑμᾶς μὲν νομίζω ἐπιλελῆσθαι ποῦ ἡμῖν ὁ λόγος κατέπαυσεν, ἐγὼ δὲ οἶδα καὶ οὐκ αἰτιῶμαι ὑμᾶς ἐν τούτῳ οὐδὲ κατηγορῶ. Ἕκαστος γὰρ ὑμῶν γυναῖκα ἔχει, καὶ παίδων ἀντέχεται, καὶ τῶν περὶ τὸν οἶκον φροντίζει πάντων· οἱ μὲν καὶ ἐν στρατείαις ἀσχολοῦνται, ἄλλοι δὲ χειροτέχναι εἰσί, καὶ εἰς διαφόρους χρείας ἕκαστος ὑμῶν ἀσχολεῖται. Ἡμεῖς δὲ ἐν τούτοις στρεφόμεθα καὶ ἐν τούτοις μελετῶμεν καὶ ἐν τούτοις τὸν χρόνον ἡμῶν διατρίβομεν· ὥστε οὐ μεμπτέοι ἐστὲ ἐν τούτῳ, ἀλλ' ἐπαινετέοι ἐν τῇ σπουδῇ, ὅτι οὐδὲ μίαν ἡμᾶς Κυριακὴν καταλιμπάνετε. Τοῦτο γὰρ μέγιστον ἐγκώμιόν ἐστιν τῆς ἡμετέρας πόλεως, οὐ τὸ θορύβους ἔχειν καὶ προάστεια, οὐδὲ χρυσορόφους οἴκους καὶ τρικλίνους, ἀλλὰ τὸ ἔχειν δῆμον σπουδαῖον καὶ διεγηγερμένον. Οὐ γὰρ ἐκ τῶν φύλλων τὴν εὐγένειαν τοῦ δένδρου, ἀλλ' ἐκ τῶν καρπῶν ἐπιγινώσκομεν. Διὰ τοῦτο γὰρ τῶν ἀλόγων ζώων προτετιμήμεθα ἐν τῷ λόγον ἔχειν, καὶ λόγου μεταλαμβάνειν, καὶ λόγου ἐρᾶν· ἄνθρωπος γὰρ μὴ ἐρῶν λόγου, πολὺ ἀλογώτερος τῶν κτηνῶν ἐστι, μὴ εἰδὼς διὰ τί ἐτιμήθη, καὶ πόθεν ἔχει τὴν τιμήν. Καὶ καλῶς ἔλεγεν ὁ προφήτης· «ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΤΡΙΤΗ

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΔΕΚΑ ΠΑΡΘΕΝΩΝ

1. Ἄραγε θυμᾶστε ἀπὸ ποῦ ἄρχισε ὁ προηγούμενος λόγος μου ἢ ποὺ σταμάτησε ἢ ἀπὸ ποιά ὑπόθεση ἄρχισαν καὶ ποῦ κατέληξαν τὰ λόγια τῆς προηγούμενης ὁμιλίας; Ἀλλὰ νομίζω πὼς σεῖς λησμονήσατε ποῦ τελείωσε ὁ λόγος μου, ὅμως ἐγὼ θυμᾶμαι καὶ δὲν σᾶς κατακρίνω γι' αὐτὸ οὔτε σᾶς κατηγορῶ. Γιατὶ ὁ καθένας σας ἔχει γυναίκα, καταγίνεται μὲ τὰ παιδιά, καὶ φροντίζει γιὰ ὅλα τὰ τοῦ σπιτιοῦ· ἐπίσης ἄλλοι ἀσχολοῦνται μὲ τὰ τοῦ στρατοῦ καὶ ἄλλοι εἶναι χειροτέχνες καὶ ὁ καθένας σας ἀσχολεῖται μὲ διάφορες ἀνάγκες. Ἐγὼ ὅμως καταγίνομαι μ' αὐτά, μελετῶ αὐτά, καὶ περνῶ τὸ χρόνο μου μ' αὐτά, ὥστε δὲν εἶστε ἀξιοκατάκριτοι γι' αὐτό, ἀλλ' ἀξιέπαινοι γιὰ τὴν προθυμία σας, ἀφοῦ καμιὰ Κυριακὴ δὲν μὲ ξεχνᾶτε, ἀλλά, παραμελώντας ὅλα, ἔρχεστε στὴν ἐκκλησία. Γιατὶ αὐτὸ εἶναι μέγιστο ἐγκώμιο τῆς πόλεώς μας, ὄχι τὸ νὰ ἔχει θορύβους καὶ προάστεια, οὔτε σπίτια χρυσοστόλιστα μὲ αἴθουσες συμποσίων, ἀλλὰ τὸ νὰ ἔχει πολίτες σπουδαίους καὶ προσεκτικούς. Γιατὶ τὴν εὐγένεια τοῦ δένδρου δὲν τὴν ἀναγνωρίζομε ἀπὸ τὰ φύλλα, ἀλλὰ ἀπὸ τοὺς καρπούς. Καὶ γι' αὐτὸ βέβαια ξεχωρίζομε ἀπὸ τὰ ἄλογα ζῶα, ἐπειδὴ ἔχομε λόγο καὶ καταλαβαίνομε τὸ λόγο ἄλλων κι ἀγαποῦμε τὸ λόγο· γιατὶ ἄνθρωπος ποὺ δὲν ἀγαπᾶ τὸ λόγο, εἶναι πολὺ πιὸ ἄλογος ἀπὸ τὰ κτήνη, μὴ γνωρίζοντας γιατί τιμήθηκε καὶ ἀπὸ ποῦ ἔχει τὴν τιμή. Καὶ σωστὰ ἔλεγε ὁ προφήτης· «ὁ ἄνθρωπος ποὺ ἦταν τιμημένος, δὲν τὸ κατάλαβε, ἀλλ' ανα-

ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς». Ἄνθρωπος λογικὸς ὤν, λόγου οὐκ ἐρᾷς; εἰπέ μοι, καὶ ποίαν ἕξεις συγγνώμην; Ὥστε ὑμεῖς ἐμοὶ πάντων ἀναγκαιότεροι οἱ πρὸς τὸν λόγον τῆς ἀρετῆς ἀναπτερούμενοι καὶ πάντα τῶν θείων λόγων δεύτερα τιθέντες. Φέρε οὖν καὶ ἡμεῖς τῆς ὑποθέσεως ἁψώμεθα, καὶ τῶν πρῴην ῥηθέντων τὰ ἀκόλουθα εἴπωμεν· χρεωστῶ γὰρ ὑμῖν καὶ ἡδέως καταβάλλω τὸ χρέος· οὐ γὰρ πενίαν μοι φέρει, ἀλλὰ πλοῦτον συνάγει. Ἐπὶ γὰρ τῶν ἔξωθεν πραγμάτων οἱ χρεῶσται φεύγουσι τοὺς δανειστὰς πρὸς τὸ μὴ ἀποδοῦναι, ἐγὼ δὲ καταδιώκω εἰς τὸ ἀποδοῦναι, καὶ μάλα γε εἰκότως· ἐπὶ γὰρ τῶν ἔξωθεν πραγμάτων ἡ ἀπόδοσις πενίαν ἐργάζεται, ἐπὶ δὲ τοῦ λόγου ἡ ἀπόδοσις πλοῦτον γεννᾷ. Οἷόν τι λέγω· χρήματα χρεωστῶ τινι· ταῦτα ἐὰν καταβάλω, οὐ δύναται καὶ παρ' ἐκείνῳ εἶναι καὶ παρ' ἐμοί, ἀλλ' ἀπ' ἐμοῦ μὲν ἀνεχώρησεν, ἐκείνῳ δὲ ἐκολλήθη· λόγον δὲ ἐὰν καταβάλω, καὶ μετ' ἐμοῦ ἐστι, καὶ πάντες αὐτὸν ἔχετε· ἐὰν κατάσχω τὸν λόγον καὶ μὴ μεταδῶ, τότε πένης εἰμί, ὅταν δὲ καταβάλω, τότε εὐπορώτερος γίνομαι· ἐὰν μὴ καταβάλω τὸν λόγον, τότε μόνος πλουτῶ, ἐὰν δὲ καταβάλω, μετὰ πάντων ὑμῶν τὸν καρπὸν ἀποφέρομαι.

Φέρε οὖν ἀποδῶμεν τὸ χρέος· τί δὲ ἦν τοῦτο; Περὶ μετανοίας τὸν λόγον ἐγυμνάζομεν πρῴην καὶ ἐλέγομεν, ὅτι πολλαὶ καὶ ποικίλαι ὁδοὶ τῆς μετανοίας, ἵνα εὔκολος ἡμῖν γένηται ἡ σωτηρία. Εἰ γὰρ μίαν ἡμῖν ἔδωκεν ὁδὸν ὁ Θεὸς μετανοίας, ἀνεβαλόμεθα ἂν λέγοντες· 'οὐ δυνάμεθα ταύτην μετελθεῖν, σωθῆναι οὐ δυνάμεθα'· νῦν δὲ ἐκκόπτων σου τὴν πρόφασιν ταύτην, οὐ μίαν σοι δέδωκε μόνον ὁδόν, οὐδὲ δευτέραν, οὐδὲ τρίτην, ἀλλὰ πολλὰς καὶ διαφόρους, ἵνα τῷ πλήθει εὔκολόν σοι ποιήσῃ τὴν ἀνάβασιν τὴν εἰς τὸν οὐρανόν. Καὶ ἐλέγομεν ὅτι εὔκολος ἡ μετάνοια καὶ οὐδὲν βάρος ἐν αὐτῇ. Ἁμαρτωλὸς εἶ; εἴσελθε εἰς τὴν ἐκκλησίαν, εἰπὲ ὅτι ἡμάρτηκα, καὶ

---

1. Ψαλμ. 48,13.

μείχθηκε μὲ τὰ ἀνόητα κτήνη καὶ ὁμοιώθηκε μ' αὐτά»[1]. Ἐνῶ εἶσαι ἄνθρωπος λογικός, δὲν ἀγαπᾶς τὸ λόγο; Πές μου, ποιά συγγνώμη θὰ ἔχεις; Ὥστε σεῖς εἶστε πιὸ ἀναγκαῖοι γιὰ μένα, σεῖς ποὺ μὲ προθυμία ἔρχεσθε ν' ἀκούσετε τὸ λόγο τῆς ἀρετῆς καὶ θεωρεῖτε ἀνώτερους ἀπ' ὅλα τοὺς θείους λόγους. Ἐμπρὸς λοιπὸν κι ἐμεῖς ἂς ἀρχίσομε τὸ θέμα μας καὶ ἂς μιλήσομε συνέχεια ἐκείνων ποὺ λέχθηκαν στὴν προηγούμενη ὁμιλία· σᾶς χρεωστῶ καὶ μ' εὐχαρίστηση ἐξοφλῶ τὸ χρέος μου· γιατὶ αὐτὸ δὲν μοῦ προξενεῖ φτώχεια, ἀλλὰ μοῦ ἐπιφέρει πλοῦτο. Στὴν περίπτωση βέβαια τῶν κοσμικῶν πραγμάτων οἱ χρεῶστες ἀποφεύγουν τοὺς δανειστὲς γιὰ νὰ μὴ ἐπιστρέψουν τὰ ὀφειλόμενα, ἐγὼ ὅμως σᾶς καταδιώκω γιὰ νὰ σᾶς ἀποδώσω τὰ ὀφειλόμενα, καὶ πολὺ εὔλογα· γιατὶ στὴν περίπτωση τῶν κοσμικῶν πραγμάτων ἡ ἀπόδοση τῶν ὀφειλομένων προξενεῖ φτώχεια, ἐνῶ στὴν περίπτωση τοῦ λόγου ἡ ἀπόδοση τῆς ὀφειλῆς ἐπιφέρει πλοῦτο. Μ' αὐτὸ ποὺ λέγω ἐννοῶ τὸ ἑξῆς· χρεωστῶ σὲ κάποιον χρήματα· ἐὰν αὐτὰ τὰ ἐπιστρέψω, δὲν εἶναι δυνατὸν αὐτὰ ν' ἀνήκουν καὶ σ' ἐκεῖνον καὶ σ' ἐμένα, ἀλλ' ἔφυγαν ἀπὸ μένα καὶ προσκολλήθηκαν σ' ἐκεῖνον· ἐὰν ὅμως καταβάλω λόγο, καὶ ἐγὼ τὸν ἔχω καὶ ὅλοι σεῖς· ἐὰν κρατήσω τὸ λόγο καὶ δὲν τὸν μεταδώσω, τότε φτωχὸς εἶμαι, ὅταν ὅμως τὸν μεταδώσω, τότε γίνομαι πλούσιος· ἐὰν δὲν μεταδώσω τὸ λόγο, τότε μόνος ἐγὼ εἶμαι πλούσιος, ἐὰν ὅμως τὸν μεταδώσω, ἀπολαμβάνω μαζὶ μὲ ὅλους σας τὸν καρπό.

Ἐμπρὸς λοιπὸν ν' ἀποδώσω τὸ χρέος μου· καὶ ποιό ἦταν αὐτό; Γιὰ τὴ μετάνοια μιλούσαμε στὴν προηγούμενη ὁμιλία καὶ λέγαμε, ὅτι εἶναι πολλοὶ καὶ ποικίλοι οἱ δρόμοι τῆς μετάνοιας, γιὰ νὰ γίνει εὔκολη ἡ σωτηρία μας. Γιατί, ἐὰν ὁ Θεὸς μᾶς ἔδινε μία ὁδὸ μετάνοιας, θὰ ἀναβάλλαμε καὶ θὰ λέγαμε· 'δὲν μποροῦμε νὰ τὴ βαδίσομε, δὲν μποροῦμε νὰ σωθοῦμε· τώρα ὅμως, ἀφαιρώντας σου τὴν πρόφαση αὐτή, δὲν σοῦ ἔδωσε μόνο μία ὁδό, οὔτε δύο καὶ τρεῖς, ἀλλὰ πολλὲς καὶ διάφορες, γιὰ νὰ σοῦ κάνει εὔκολη τὴν ἀνάβαση στὸν οὐρανὸ μὲ τὸ πλῆθος αὐτῶν. Καὶ λέγαμε ὅτι εἶναι εὔκολη ἡ μετάνοια καὶ ὅτι δὲν ὑπάρχει τίποτε τὸ βαρὺ σ' αὐτήν. Εἶσαι ἁμαρτωλός; ἔλα στὴν ἐκκλησία, πές, ἁμάρτησα, καὶ ἐξάλειψες τὴν

ἔλυσας τὴν ἁμαρτίαν. Καὶ γὰρ καὶ τὸν Δαυῒδ παρηγάγομεν εἰς μέσον ἁμαρτήσαντα, καὶ λύσαντα τὴν ἁμαρτίαν· εἶτα δευτέραν ὁδὸν ὑποθέμεθα, τὸ πενθῆσαι ἐπὶ τῇ ἁμαρτίᾳ, καὶ ἐλέγομεν, ποῖος κάματος οὗτος; Οὐκ ἔνι χρήματα καταβαλεῖν, οὐδὲ πολλὴν ὁδὸν πεζεῦσαι, οὔτε τι ἄλλο τοιοῦτον, ἀλλὰ πενθῆσαι μόνον ἐπὶ τῇ ἁμαρτίᾳ· καὶ παρηγάγομεν ἀπὸ τῆς Γραφῆς τοῦτο, ὅτι ὁ Θεὸς μετεμελήθη ἐπὶ τοῦ Ἀχαάβ, διὰ τὸ πενθῆσαι αὐτὸν καὶ σκυθρωπάσαι· καὶ τοῦτο αὐτὸς ἔλεγε τῷ Ἠλίᾳ· «εἶδες πῶς ἐπορεύθη Ἀχαὰβ ἐνώπιόν μου πενθῶν, καὶ σκυθρωπάζων; Οὐ μὴ ποιήσω κατὰ τὸν θυμόν μου. Εἶτα καὶ τρίτην ὁδὸν ἐδιδόαμεν μετανοίας· καὶ παρηγάγομεν ἐκ τῆς Γραφῆς εἰς τὸ μέσον τὸν Φαρισαῖον καὶ τὸν τελώνην, ὅτι ὁ μὲν Φαρισσαῖος ὑπερηφάνως ἀλαζονευόμενος, τῆς δικαιοσύνης ἐξέπεσεν, ὁ δὲ τελώνης ταπεινοφρονήσας, ἔγκαρπος δικαιοσύνης κατῆλθε, καὶ οὔτε ἕνα κάματον ἀναλώσας δίκαιος ἐγένετο· ῥήματα ἔβαλε, καὶ πράγματα ἔλαβε.

Φέρε οὖν ἐπὶ τὴν ἀκολουθίαν ἔλθωμεν καὶ τετάρτην ὁδὸν μετανοίας προάξωμεν· ποίαν δὲ ταύτην; Λέγω δὴ τὴν ἐλεημοσύνην τὴν βασιλίδα τῶν ἀρετῶν, τὴν ταχέως ἀνάγουσαν εἰς τὰς ἀψῖδας τῶν οὐρανῶν τοὺς ἀνθρώπους, τὴν συνήγορον τὴν ἀρίστην. «Μέγα ἄνθρωπος καὶ τίμιον ἀνὴρ ἐλεήμων». Μεγάλα τὰ πτερὰ τῆς ἐλεημοσύνης· τέμνει τὸν ἀέρα, παρέρχεται τὴν σελήνην, ὑπερβαίνει τὰς ἀκτῖνας τοῦ ἡλίου, εἰς αὐτὰς ἀνέρχεται τὰς ἀψῖδας τῶν οὐρανῶν. Ἀλλ' οὔτ' ἐκεῖ ἵσταται, ἀλλὰ καὶ τὸν οὐρανὸν παρέρχεται καὶ τοὺς δήμους τῶν ἀγγέλων παρατρέχει καὶ τοὺς χοροὺς τῶν ἀρχαγγέλων καὶ τὰς ἀνωτέρας πάσας δυνάμεις καὶ αὐτῷ παρίσταται τῷ θρόνῳ τῷ βασιλικῷ· καὶ ἐξ αὐτῆς διδάχθητι τῆς Γραφῆς τοῦτο λεγούσης· «Κορνήλιε, αἱ προσευχαί σου, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν ἐνώπιον τοῦ Θεοῦ». Τὸ δέ, «ἐνώπιον τοῦ Θεοῦ» ἐστι, 'κἂν πολλὰς ἔχῃς ἁμαρτίας, ἐλεημοσύνη δὲ ᾖ συνήγορος, μὴ φοβοῦ· οὐδεμία γὰρ αὐτῇ τῶν ἄνω δυνάμεων ἀντιτάσσεται· χρέος ἀπαιτεῖ, ἴδιον ἔχει

---

2. Γ' Βασ. 21,29.
3. Παρμ. [illegible]
4. Πρά[illegible]

ἁμαρτία. Γιατὶ καὶ τὸν Δαυὶδ ἀναφέραμε ποὺ ἁμάρτησε καὶ ἀπαλλάχθηκε ἀπὸ τὴν ἁμαρτία· ἔπειτα ὑποδείξαμε δεύτερη ὁδό, τὸ νὰ πενθεῖ δηλαδὴ κανεὶς γιὰ τὴν ἁμαρτία του, καὶ λέγαμε, ποιός κόπος εἶναι αὐτό; Δὲν χρειάζεται νὰ καταβάλεις χρήματα, οὔτε νὰ βαδίσεις πολὺ δρόμο, οὔτε τίποτε ἄλλο παρόμοιο, ἀλλὰ νὰ πενθήσεις μόνο γιὰ τὴν ἁμαρτία σου· καὶ ἀναφέραμε ἀπὸ τὴ Γραφὴ αὐτό, ὅτι ὁ Θεὸς ἀκύρωσε τὴν ἀπόφασή του γιὰ τὸν Ἀχαάβ, ἐπειδὴ πένθησε καὶ κυριεύθηκε ἀπὸ θλίψη· κι αὐτὸ ἀκριβῶς ἔλεγε ὁ Θεὸς στὸν Ἠλία· «εἶδες πῶς συμπεριφέρθηκε ἀπέναντί μου ὁ Ἀχαάβ, ἐκδηλώνοντας πένθος καὶ θλίψη; Γι' αὐτὸ δὲν θὰ ἐνεργήσω σύμφωνα μὲ τὸ θυμό μου»[2]. Ἔπειτα ὁρίσαμε τὴν τρίτη ὁδὸ μετάνοιας καὶ ἀναφέραμε ἀπὸ τὴ Γραφὴ τὸν Φαρισαῖο καὶ τὸν τελώνη, ἀπὸ τοὺς ὁποίους ὁ Φαρισαῖος, ἐπειδὴ ὑπερηφανεύθηκε ἀλαζονικά, ἔχασε τὴ δικαίωση, ἐνῶ ὁ τελώνης, δείχνοντας ταπεινοφροσύνη, κατέβηκε μὲ τοὺς καρποὺς τῆς δικαίωσης, καὶ χωρὶς νὰ καταβάλει τὸ παραμικρὸ κόπο ἔγινε δίκαιος· λόγια εἶπε κι ἔλαβε πράγματα.

Ἐμπρὸς λοιπὸν ἂς ἔρθομε στὴ συνέχεια καὶ ἂς παρουσιάσομε τὴν τέταρτη ὁδὸ τῆς μετάνοιας· καὶ ποιά εἶναι αὐτή; Ἐννοῶ τὴν ἐλεημοσύνη, τὴ βασίλισσα τῶν ἀρετῶν, ἡ ὁποία ἀμέσως ἀνεβάζει τοὺς ἀνθρώπους στὶς ἀψίδες τῶν οὐρανῶν, τὴν ἄριστη συνήγορο. Εἶναι μεγάλο πράγμα ἡ ἐλεημοσύνη· γι' αὐτὸ καὶ ὁ Σολομὼν βροντοφώναζε· «εἶναι μεγάλο πράγμα ὁ ἄνθρωπος, ἀλλὰ πολὺ πιὸ μεγάλης ἀξίας ὁ ἄνθρωπος ποὺ δίνει ἐλεημοσύνη»[3]. Εἶναι μεγάλα τὰ φτερὰ τῆς ἐλεημοσύνης· διασχίζει τὸν ἀέρα, ξεπερνᾶ τὴ σελήνη, ὑπερβαίνει τὶς ἀκτίνες τοῦ ἥλιου, καὶ φτάνει στὶς ἴδιες τὶς ἀψίδες τῶν οὐρανῶν. Καὶ οὔτε ἐκεῖ σταματάει, ἀλλὰ διασχίζει καὶ τὸν οὐρανό, προσπερνώντας τὸ πλῆθος τῶν ἀγγέλων καὶ τοὺς χοροὺς τῶν ἀγγέλων καὶ ὅλες τὶς ἀνώτερες δυνάμεις καὶ στέκεται δίπλα στὸν ἴδιο τὸ βασιλικὸ θρόνο· κι αὐτὸ μπορεῖς νὰ τὸ διδαχθεῖς ἀπὸ τὴν ἴδια τὴ Γραφὴ ποὺ λέγει· «Κορνήλιε, οἱ προσευχές σου καὶ οἱ ἐλεημοσύνες σου ἀνέβηκαν ἐνώπιον τοῦ Θεοῦ»[4]. Τὸ «ἐνώπιον τοῦ Θεοῦ» σημαίνει, κι ἂν ἀκόμα ἔχεις πολλὲς ἁμαρτίες, μὴ φοβᾶσαι, ἐφόσον ἔχεις συνήγορο τὴν ἐλεημοσύνη· γιατὶ καμιὰ οὐράνια δύ-

ἔλυσας τὴν ἁμαρτίαν. Καὶ γὰρ καὶ τὸν Δαυῗδ παρηγάγομεν εἰς μέσον ἁμαρτήσαντα, καὶ λύσαντα τὴν ἁμαρτίαν· εἶτα δευτέραν ὁδὸν ὑποθέμεθα, τὸ πενθῆσαι ἐπὶ τῇ ἁμαρτίᾳ, καὶ ἐλέγομεν, ποῖος κάματος οὗτος; Οὐκ ἔνι χρήματα καταβαλεῖν, οὐδὲ πολλὴν ὁδὸν πεζεῦσαι, οὔτε τι ἄλλο τοιοῦτον, ἀλλὰ πενθῆσαι μόνον ἐπὶ τῇ ἁμαρτίᾳ· καὶ παρηγάγομεν ἀπὸ τῆς Γραφῆς τοῦτο, ὅτι ὁ Θεὸς μετεμελήθη ἐπὶ τοῦ Ἀχαάβ, διὰ τὸ πενθῆσαι αὐτὸν καὶ σκυθρωπάσαι· καὶ τοῦτο αὐτὸς ἔλεγε τῷ Ἠλίᾳ· «εἶδες πῶς ἐπορεύθη Ἀχαὰβ ἐνώπιόν μου πενθῶν, καὶ σκυθρωπάζων; Οὐ μὴ ποιήσω κατὰ τὸν θυμόν μου. Εἶτα καὶ τρίτην ὁδὸν ἐδιδόαμεν μετανοίας· καὶ παρηγάγομεν ἐκ τῆς Γραφῆς εἰς τὸ μέσον τὸν Φαρισαῖον καὶ τὸν τελώνην, ὅτι ὁ μὲν Φαρισσαῖος ὑπερηφάνως ἀλαζονευόμενος, τῆς δικαιοσύνης ἐξέπεσεν, ὁ δὲ τελώνης ταπεινοφρονήσας, ἔγκαρπος δικαιοσύνης κατῆλθε, καὶ οὔτε ἕνα κάματον ἀναλώσας δίκαιος ἐγένετο· ῥήματα ἔβαλε, καὶ πράγματα ἔλαβε.

Φέρε οὖν ἐπὶ τὴν ἀκολουθίαν ἔλθωμεν καὶ τετάρτην ὁδὸν μετανοίας προάξωμεν· ποίαν δὲ ταύτην; Λέγω δὴ τὴν ἐλεημοσύνην τὴν βασιλίδα τῶν ἀρετῶν, τὴν ταχέως ἀνάγουσαν εἰς τὰς ἁψῖδας τῶν οὐρανῶν τοὺς ἀνθρώπους, τὴν συνήγορον τὴν ἀρίστην. «Μέγα ἄνθρωπος καὶ τίμιον ἀνὴρ ἐλεήμων». Μεγάλα τὰ πτερὰ τῆς ἐλεημοσύνης· τέμνει τὸν ἀέρα, παρέρχεται τὴν σελήνην, ὑπερβαίνει τὰς ἀκτῖνας τοῦ ἡλίου, εἰς αὐτὰς ἀνέρχεται τὰς ἁψῖδας τῶν οὐρανῶν. Ἀλλ' οὔτ' ἐκεῖ ἵσταται, ἀλλὰ καὶ τὸν οὐρανὸν παρέρχεται καὶ τοὺς δήμους τῶν ἀγγέλων παρατρέχει καὶ τοὺς χοροὺς τῶν ἀρχαγγέλων καὶ τὰς ἀνωτέρας πάσας δυνάμεις καὶ αὐτῷ παρίσταται τῷ θρόνῳ τῷ βασιλικῷ· καὶ ἐξ αὐτῆς διδάχθητι τῆς Γραφῆς τοῦτο λεγούσης· «Κορνήλιε, αἱ προσευχαί σου, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν ἐνώπιον τοῦ Θεοῦ». Τὸ δέ, «ἐνώπιον τοῦ Θεοῦ» ἔστι, 'κἂν πολλὰς ἔχῃς ἁμαρτίας, ἐλεημοσύνη δὲ ᾖ συνήγορος, μὴ φοβοῦ· οὐδεμία γὰρ αὐτῇ τῶν ἄνω δυνάμεων ἀντιτάσσεται· χρέος ἀπαιτεῖ, ἴδιον ἔχει

---

2. Γ' Βασ. 21,29.
3. Παρμ. 20,6.
4. Πράξ. 10,4.

ἁμαρτία. Γιατὶ καὶ τὸν Δαυὶδ ἀναφέραμε ποὺ ἁμάρτησε καὶ ἀπαλλάχθηκε ἀπὸ τὴν ἁμαρτία· ἔπειτα ὑποδείξαμε δεύτερη ὁδό, τὸ νὰ πενθεῖ δηλαδὴ κανεὶς γιὰ τὴν ἁμαρτία του, καὶ λέγαμε, ποιός κόπος εἶναι αὐτό; Δὲν χρειάζεται νὰ καταβάλεις χρήματα, οὔτε νὰ βαδίσεις πολὺ δρόμο, οὔτε τίποτε ἄλλο παρόμοιο, ἀλλὰ νὰ πενθήσεις μόνο γιὰ τὴν ἁμαρτία σου· καὶ ἀναφέραμε ἀπὸ τὴ Γραφὴ αὐτό, ὅτι ὁ Θεὸς ἀκύρωσε τὴν ἀπόφασή του γιὰ τὸν Ἀχαάβ, ἐπειδὴ πένθησε καὶ κυριεύθηκε ἀπὸ θλίψη· κι αὐτὸ ἀκριβῶς ἔλεγε ὁ Θεὸς στὸν Ἠλία· «εἶδες πῶς συμπεριφέρθηκε ἀπέναντί μου ὁ Ἀχαάβ, ἐκδηλώνοντας πένθος καὶ θλίψη; Γι' αὐτὸ δὲν θὰ ἐνεργήσω σύμφωνα μὲ τὸ θυμό μου»[2]. Ἔπειτα ὁρίσαμε τὴν τρίτη ὁδὸ μετάνοιας καὶ ἀναφέραμε ἀπὸ τὴ Γραφὴ τὸν Φαρισαῖο καὶ τὸν τελώνη, ἀπὸ τοὺς ὁποίους ὁ Φαρισαῖος, ἐπειδὴ ὑπερηφανεύθηκε ἀλαζονικά, ἔχασε τὴ δικαίωση, ἐνῶ ὁ τελώνης, δείχνοντας ταπεινοφροσύνη, κατέβηκε μὲ τοὺς καρποὺς τῆς δικαίωσης, καὶ χωρὶς νὰ καταβάλει τὸ παραμικρὸ κόπο ἔγινε δίκαιος· λόγια εἶπε κι ἔλαβε πράγματα.

Ἐμπρὸς λοιπὸν ἂς ἔρθομε στὴ συνέχεια καὶ ἂς παρουσιάσομε τὴν τέταρτη ὁδὸ τῆς μετάνοιας· καὶ ποιά εἶναι αὐτή; Ἐννοῶ τὴν ἐλεημοσύνη, τὴ βασίλισσα τῶν ἀρετῶν, ἡ ὁποία ἀμέσως ἀνεβάζει τοὺς ἀνθρώπους στὶς ἀψίδες τῶν οὐρανῶν, τὴν ἄριστη συνήγορο. Εἶναι μεγάλο πράγμα ἡ ἐλεημοσύνη· γι' αὐτὸ καὶ ὁ Σολομὼν βροντοφώναζε· «εἶναι μεγάλο πράγμα ὁ ἄνθρωπος, ἀλλὰ πολὺ πιὸ μεγάλης ἀξίας ὁ ἄνθρωπος ποὺ δίνει ἐλεημοσύνη»[3]. Εἶναι μεγάλα τὰ φτερὰ τῆς ἐλεημοσύνης· διασχίζει τὸν ἀέρα, ξεπερνᾶ τὴ σελήνη, ὑπερβαίνει τὶς ἀκτίνες τοῦ ἥλιου, καὶ φτάνει στὶς ἴδιες τὶς ἀψίδες τῶν οὐρανῶν. Καὶ οὔτε ἐκεῖ σταματάει, ἀλλὰ διασχίζει καὶ τὸν οὐρανό, προσπερνώντας τὸ πλῆθος τῶν ἀγγέλων καὶ τοὺς χοροὺς τῶν ἀγγέλων καὶ ὅλες τὶς ἀνώτερες δυνάμεις καὶ στέκεται δίπλα στὸν ἴδιο τὸ βασιλικὸ θρόνο· κι αὐτὸ μπορεῖς νὰ τὸ διδαχθεῖς ἀπὸ τὴν ἴδια τὴ Γραφὴ ποὺ λέγει· «Κορνήλιε, οἱ προσευχές σου καὶ οἱ ἐλεημοσύνες σου ἀνέβηκαν ἐνώπιον τοῦ Θεοῦ»[4]. Τὸ «ἐνώπιον τοῦ Θεοῦ» σημαίνει, κι ἂν ἀκόμα ἔχεις πολλὲς ἁμαρτίες, μὴ φοβᾶσαι, ἐφόσον ἔχεις συνήγορο τὴν ἐλεημοσύνη· γιατὶ καμιὰ οὐράνια δύ-

χειρόγραφον μετὰ χεῖρας βαστάζουσα. Αὐτοῦ γάρ ἐστι τοῦ Δεσπότου φωνή, ὅτι «ὃς ἂν ποιήσῃ ἑνὶ τῶν ἐλαχίστων τούτων, ἐμοὶ ἐποίησεν». Ὥστε οὖν ὅσας ἔχεις ἄλλας ἁμαρτίας, ἡ ἐλεημοσύνη σου βαρεῖ τὰς ὅλας.

2. Ἢ οὐκ οἶδας ἐν τῷ Εὐαγγελίῳ τῶν δέκα παρθένων τὸ ὑπόδειγμα, πῶς αἱ μὴ ἔχουσαι ἐλεημοσύνην, παρθενίαν δὲ ἀσκήσασαι, ἔξω ἔμειναν τοῦ νυμφῶνος; «Ἦσαν» γάρ, φησί, «δέκα παρθένοι, πέντε μωραί, καὶ πέντε φρόνιμοι»· καὶ αἱ μὲν φρόνιμοι ἔλαιον εἶχον, αἱ δὲ μωραὶ ἔλαιον οὐκ εἶχον, ἐσβέννυντο δὲ αἱ αὐτῶν λαμπάδες. Προσελθοῦσα δὲ αἱ μωραὶ ταῖς φρονίμοις εἶπον· «δότε ἡμῖν ἔλαιον ἐκ τῶν ἀγγείων ὑμῶν». Αἰσχύνομαι καὶ ἐρυθριῶ καὶ δακρύω, ὅταν παρθένον μωρὰν ἀκούσω· τοῦτο τὸ ὄνομα ἀκούων ἐρυθριῶ, μετὰ τοσαύτην ἀρετήν, μετὰ παρθενίας ἄσκησιν, μετὰ τὸ σῶμα εἰς οὐρανὸν ἀναπτερῶσαι, μετὰ τὸ πρὸς τὰς ἄνω δυνάμεις τὴν ἅμιλλαν ἔχειν καὶ τὸν καύσωνα ὑπομεῖναι, μετὰ τὸ τὴν κάμινον τῆς ἡδονῆς καταπατῆσαι, τότε μωραὶ ἤκουσαν, καὶ δικαίως μωραί, ὅτι τὸ μέγα ποιήσασαι, ὑπὸ τοῦ μικροῦ ἡττήθησαν. «Καὶ προσῆλθον», φησίν, «αἱ μωραί, καὶ εἶπον ταῖς φρονίμοις· δότε ἡμῖν ἔλαιον ἐκ τῶν ἀγγείων ὑμῶν. Αἱ δὲ εἶπον· οὐ δυνάμεθα δοῦναι ὑμῖν, μή ποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν»· οὐ δι' ἀσπλαγχνίαν τοῦτο ποιοῦσαι, οὐδὲ διὰ κακίαν, ἀλλὰ διὰ τὸ στενὸν τοῦ καιροῦ· ἔμελλε γὰρ ὁ νυμφίος ἔρχεσθαι. Εἶχον καὶ αὗται λαμπάδας, ἀλλ' ἐκείνων μὲν εἶχον ἔλαιον, αὐτῶν δὲ οὐκ εἶχον. Τὸ γὰρ πῦρ ἐστιν ἡ παρθενία, τὸ δὲ ἔλαιόν ἐστιν ἡ ἐλεημοσύνη. Ὥσπερ οὖν τὸ πῦρ, ἐὰν μὴ ἔχῃ ἔλαιον ἐπιστάζον, ἀφανίζεται, οὕτω καὶ ἡ παρθενία, ἐὰν μὴ ἔχῃ ἐλεημοσύνην, σβέννυται. «Δότε ἡμῖν ἔλαιον ἐκ τῶν ἀγγείων ὑμῶν». Αἱ δὲ πρὸς αὐτάς· «οὐ δυνάμεθα δοῦναι ὑμῖν». Ἀλλ' οὐ κακίας τὸ ῥῆμα τοῦτο, ἀλλὰ φόβου· «μή ποτε οὐκ ἀρκέσῃ καὶ ἡμῖν· μήποτε ὡς ζητοῦμεν ὅλαι εἰσελθεῖν, ὅλαι ἀπομείνωμεν· «ἀλλ' ἀπελθοῦσαι ἀγοράσατε ἀπὸ τῶν πωλούντων»

Τίνες δὲ οἱ ἔμποροι τοῦ ἐλαίου τούτου; Οἱ πτωχοί, οἱ πρὸς τὴν

---

5. Ματθ. 25,40.
6. Ματθ. 25,2.
7. Ματθ. 25,8.
8. Ματθ. 25,8–9.

ναμη δὲν ἀντιστέκεται σ' αὐτήν· ἀπαιτεῖ τὸ χρέος, ἔχει δικό της χειρόγραφο ποὺ τὸ κρατᾶ στὰ χέρια της. Γιατὶ εἶναι λόγια τοῦ ἴδιου τοῦ Κυρίου, «ὅποιος θὰ κάνει κάτι σ' ἕναν ἀπ' αὐτοὺς τοὺς ἀσήμαντους, σ' ἐμένα τὸ ἔκαμε»[5]. Ὥστε λοιπὸν ὅσες ἄλλες ἁμαρτίες ἔχεις, ἡ ἐλεημοσύνη σου τὶς ἰσοζυγίζει ὅλες.

2. Ἢ δὲ γνωρίζεις στὸ Εὐαγγέλιο τὸ παράδειγμα τῶν δέκα παρθένων, πῶς ἐκεῖνες ποὺ δὲν εἶχαν ἐλεημοσύνη, ἀλλ' ἄσκησαν τὴν παρθενία, ἔμειναν ἔξω ἀπὸ τὸ νυμφώνα; Γιατὶ λέγει, «ἦταν δέκα παρθένες, πέντε μωρὲς καὶ πέντε φρόνιμες»[6]· ἀπ' αὐτὲς οἱ φρόνιμες εἶχαν λάδι, ἐνῶ οἱ μωρὲς δὲν εἶχαν λάδι, κι ἔσβηναν οἱ λαμπάδες τους. Πλησίασαν τότε οἱ μωρὲς τὶς φρόνιμες καὶ εἶπαν· «δῶστε μας λάδι ἀπὸ τὰ δοχεῖα σας»[7]. Ντρέπομαι καὶ κοκκινίζω καὶ δακρύζω, ὅταν ἀκούσω γιὰ παρθένα μωρή· ἀκούοντας αὐτὸ τὸ ὄνομα κοκκινίζω ἀπὸ ντροπή, γιατὶ μετὰ τὴν ἀνύψωση τοῦ σώματος στὸν οὐρανό, μετὰ τὴν ἅμιλλα πρὸς ὁμοίωση μὲ τὶς οὐράνιες δυνάμεις, καὶ ἀφοῦ ὑπέμειναν τὸν καύσωνα καὶ καταπάτησαν τὸ καμίνι τῆς ἡδονῆς, τότε ἄκουσαν νὰ τὶς ὀνομάζουν μωρές· καὶ σωστὰ ὀνομάσθηκαν μωρές, γιατί, ἐνῶ κατόρθωσαν τὸ μεγαλύτερο, νικήθηκαν ἀπὸ τὸ μικρό. «Καὶ ἦρθαν», λέγει, «οἱ μωρὲς καὶ εἶπαν στὶς φρόνιμες· δῶστε μας λάδι ἀπὸ τὰ δοχεῖα σας. Κι ἐκεῖνες εἶπαν· δὲν μποροῦμε νὰ σᾶς δώσομε, μήπως καὶ δὲν φτάσει καὶ γιὰ μᾶς»[8]· δὲν τὸ κάμνουν αὐτὸ ἀπὸ ἀσπλαχνία οὔτε ἀπὸ κακία, ἀλλ' ἐξ αἰτίας τῆς στενότητας τοῦ χρόνου· γιατὶ ἐπρόκειτο νὰ ἔρθει ὁ νυμφίος. Εἶχαν κι αὐτὲς λαμπάδες, ἀλλὰ τῶν φρόνιμων εἶχαν λάδι, ἐνῶ οἱ δικές τους δὲν εἶχαν. Γιατὶ ἡ φωτιὰ εἶναι ἡ παρθενία, ἐνῶ τὸ λάδι εἶναι ἡ ἐλεημοσύνη. Ὅπως ἀκριβῶς λοιπὸν ἡ φωτιά, ἐὰν δὲν ἔχει λάδι νὰ τροφοδοτεῖται, σβήνει, ἔτσι καὶ ἡ παρθενία, ἐὰν δὲν ἔχει ἐλεημοσύνη, σβήνει. «Δῶστε μας λάδι ἀπὸ τὰ δοχεῖα σας». Καὶ ἐκεῖνες εἶπαν πρὸς αὐτές· «δὲν μποροῦμε νὰ σᾶς δώσομε». Κι ὁ λόγος αὐτὸς δὲν λεγόταν ἀπὸ κακία, ἀλλ' ἀπὸ φόβο· «μήπως δὲν φτάσει καὶ γιὰ μᾶς καὶ γιὰ σᾶς»· μήπως, θέλοντας ὅλες νὰ μποῦμε μέσα, μείνομε ὅλες ἔξω. «Ἀλλὰ πᾶτε κι ἀγοράστε ἀπ' αὐτοὺς ποὺ πουλοῦν λάδι».

Καὶ ποιοί εἶναι οἱ ἔμποροι αὐτοῦ τοῦ λαδιοῦ; Οἱ φτωχοί, αὐ-

ἐλεημοσύνην καθεζόμενοι πρὸ τῆς ἐκκλησίας. Καὶ πόσου; Ὅσου θέλεις· τιμὴν οὐκ ἐπιτίθημι, ἵνα μὴ πενίαν προβάλλῃ. Ὅσον ἔχεις, τοσούτου ἀγόρασον· ἔχεις ὀβολόν; ἀγόρασον τὸν οὐρανόν· οὐχ ὅτι εὔωνος ὁ οὐρανός, ἀλλ' ὅτι φιλάνθρωπος ὁ Δεσπότης. Οὐκ ἔχεις ὀβολόν; ποτήριον δὸς ψυχροῦ ὕδατος· «ὃς ἂν ποτίσῃ ποτήριον ψυχροῦ ὕδατος ἕνα τῶν ἐλαχίστων τούτων ἕνεκα ἐμοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ». Ἐμπορία καὶ πραγματεία ὁ οὐρανός, καὶ ἡμεῖς ἀμελοῦμεν. Δὸς ἄρτον, καὶ λαβὲ παράδεισον· δὸς μικρά, καὶ λαβὲ μεγάλα· δὸς θνητά, καὶ λαβὲ ἀθάνατα· δὸς φθαρτά, καὶ λαβὲ ἄφθαρτα. Εἰ ἦν πανήγυρις καὶ εὐωνίαν ἔχουσα καὶ ἀφθονίαν σιτίων καὶ τὰ πολλὰ ὀλίγου πιπρασκόμενα, οὐκ ἂν τὰς οὐσίας διαπωλήσαντες καὶ πάντα δεύτερα θέντες, τῆς πραγματείας ἐκείνης περικρατεῖς ἐγένεσθε; Καὶ ὅπου μὲν φθαρτά, τοσαύτην ἐνδείκνυσθε σπουδήν, ὅπου δὲ πραγματεία ἀθάνατος, τοσοῦτο ῥαθυμεῖτε καὶ ἀναπεπτώκατε; Δὸς πένητι, ἵνα κἂν σὺ σιωπᾷς, καὶ μυρία στόματα ὑπὲρ σοῦ ἀπολογῶνται, τῆς ἐλεημοσύνης ἐνεστώσης καὶ συνηγορούσης· λύτρον ψυχῆς ἐστιν ἐλεημοσύνη. Διὰ τοῦτο ὥσπερ οἱ λουτῆρες ὕδατος πεπληρωμένοι εἰσὶ πρὸ τῶν θυρῶν τῆς ἐκκλησίας, ἵνα νίψῃ τὰς χεῖρας, οὕτω τῆς ἐκκλησίας ἔξω οἱ πένητες καθέζονται, ἵνα πλύνῃς τὰς χεῖρας τῆς ψυχῆς. Ἔπλυνας τὰς χεῖρας τὰς αἰσθητὰς τῷ ὕδατι; πλῦνον τὰς χεῖρας τῆς ψυχῆς τῇ ἐλεημοσύνῃ. Μὴ πενίαν προβάλλου· ἡ χήρα ἐν τῷ ἐσχάτῳ τῆς πενίας ἐξένισε τὸν Ἠλίαν, καὶ ἡ πενία κώλυμα οὐκ ἐγένετο, ἀλλὰ μετὰ πολλῆς τῆς χαρᾶς αὐτὸν ὑπεδέξατο· διὸ καὶ ἀξίους ἀπέλαβε τοὺς καρπούς, καὶ ἐθέρισε τὸν στάχυν τῆς ἐλεημοσύνης.

Ἀλλ' ἴσως ὁ ἀκροατής φησι, 'δός μοι τὸν Ἠλίαν'. Τί ζητεῖς τὸν Ἠλίαν; τὸν Δεσπότην σοι δίδωμι τοῦ Ἠλία, καὶ οὐ τρέφεις αὐτόν. Τὸν Ἠλίαν εἰ εὗρες, πῶς ἂν ἐξένισας αὐτόν; Χριστοῦ ἐστι τοῦ Δεσπότου τῶν ὅλων ἀπόφασις· «ὃς ἂν ποιήσῃ ἑνὶ τῶν ἐλαχίστων τούτων, ἐμοὶ ἐποίησεν». Εἰ βασιλεὺς ἕνα τινὰ ἐκάλεσεν ἐπὶ τοῦ

---

9. Ματθ. 10,42.
10. Γ' Βασ. 17.
11. Ματθ. 25,40.

τοὶ ποὺ κάθονται μπροστὰ στὴν ἐκκλησία περιμένοντας ἐλεημοσύνη. Καὶ πόσο ν' ἀγοράσω; Ὅσο θέλεις· δὲν ὁρίζω τιμή, γιὰ νὰ μὴ προβάλλεις σὰν δικαιολογία τὴ φτώχεια. Ὅσο μπορεῖς, τόσο ἀγόρασε· ἔχεις ὀβολό; Ἀγόρασε τὸν οὐρανό· ὄχι ἐπειδὴ εἶναι φτηνὸς ὁ οὐρανός, ἀλλ' ἐπειδὴ εἶναι φιλάνθρωπος ὁ Κύριος. Δὲν ἔχεις ὀβολό; Δῶσε ἕνα ποτήρι κρύο νερό· «ὅποιος θὰ δώσει ἕνα ποτήρι κρύο νερὸ σ' ἕναν ἀπ' αὐτοὺς τοὺς ἀσήμαντους στὸ ὄνομά μου, δὲ θὰ χάσει τὸ μισθό του»[9]. Ἐμπορία καὶ πραγματεία εἶναι ὁ οὐρανὸς κι ἐμεῖς ἀδιαφοροῦμε. Δῶσε ψωμὶ καὶ πάρε παράδεισο· δῶσε μικρὰ καὶ πάρε μεγάλα· δῶσε θνητὰ καὶ πάρε ἀθάνατα· δῶσε φθαρτὰ καὶ πάρε ἄφθαρτα. Ἂν ἦταν πανηγύρι καὶ ὑπῆρχαν ἄφθονα καὶ φτηνὰ τρόφιμα καὶ τὰ πολλὰ πουλοῦνταν ἔναντι λίγων, δὲν θὰ πουλούσατε τὶς περιουσίες σας, καὶ παραμερίζοντας ὅλα τὰ ἄλλα, δὲν θὰ προσπαθούσατε ν' ἀποκτήσετε ἐκείνη τὴν πραγματεία; Καὶ ὅπου βέβαια τὰ πράγματα εἶναι φθαρτά, δείχνετε τόση προθυμία, ὅπου ὅμως ἡ πραγματεία εἶναι ἀθάνατη, δείχνετε τόση ραθυμία καὶ ἀδιαφορία; Δῶσε στὸ φτωχό, ὥστε, κι ἂν ἀκόμα σὺ σιωπᾶς, ἀμέτρητα στόματα ν' ἀπολογοῦνται γιὰ σένα, μὲ τὴν παρουσία ἐκεῖ τῆς ἐλεημοσύνης καὶ τὴ συνηγορία της· λύτρωση τῆς ψυχῆς εἶναι ἡ ἐλεημοσύνη. Γι' αὐτό, ὅπως ἀκριβῶς ὑπάρχουν μπροστὰ στὶς θύρες τῆς ἐκκλησίας οἱ λουτῆρες γεμάτοι νερὸ γιὰ νὰ πλύνεις τὰ χέρια σου, ἔτσι ἔξω ἀπὸ τὴν ἐκκλησία κάθονται οἱ φτωχοί, γιὰ νὰ πλύνεις τὰ χέρια τῆς ψυχῆς σου. Ἔπλυνες τὰ σωματικὰ χέρια σου μὲ νερό; Πλύνε καὶ τὰ χέρια τῆς ψυχῆς μὲ τὴν ἐλεημοσύνη. Μὴ προβάλλεις σὰ δικαιολογία τὴ φτώχεια· ἡ χήρα βρισκόμενη στὴ χειρότερη μορφὴ φτώχειας φιλοξένησε τὸν Ἠλία[10], καὶ ἡ φτώχεια δὲν ἔγινε ἐμπόδιο, ἀλλ' ὑποδέχθηκε αὐτὸν μὲ μεγάλη χαρά, καὶ γι' αὐτὸ καὶ ἀπόλαυσε ἀντάξιους τῆς φιλοξενίας καρποὺς καὶ θέρισε τὸ στάχυ τῆς ἐλεημοσύνης.

Ἀλλ' ἴσως ὁ ἀκροατὴς πεῖ, 'δός μου τὸν Ἠλία'. Τί ζητᾶς τὸν Ἠλία; σοῦ δίνω τὸν Κύριο τοῦ Ἠλία κι ὅμως δὲν τὸν τρέφεις. Ἂν ἔβρισκες τὸν Ἠλία πῶς θὰ τὸν φιλοξενοῦσες; Τοῦ Χριστοῦ, τοῦ Κυρίου τῶν ὅλων, εἶναι ἡ ἀπόφαση· «ὅποιος θὰ κάνει αὐτὸ σ' ἕναν ἀπὸ τοὺς ἀσήμαντους αὐτοὺς σ' ἐμένα τὸ ἔκαμε»[11]. Ἐὰν ὁ βασιλιὰς

δείπνου, καὶ τῶν θεραπόντων παρεστηκότων εἶπε πρὸς αὐτούς· 'εὐχαριστήσατε τούτῳ πολλὰ ἀντ' ἐμοῦ· οὗτός με ἐν πενίᾳ ὄντα διέθρεψε καὶ ἐξένισεν, οὗτος ἐμοὶ πολλὰς εὐεργεσίας ἐν καιρῷ στενοχωρίας παρέσχε', πῶς οὐκ ἂν ἕκαστος τὰ χρήματα αὐτοῦ ὅλα πρὸς ἐκεῖνον ἀνήλωσεν, ᾧ ὁ βασιλεὺς ηὐχαρίστησε; πῶς οὐκ ἂν ἀπελογίσατο; πῶς οὖν ἂν ἕκαστος ἐσπούδασεν ἑαυτὸν αὐτῷ παραθέσθαι καὶ φιλιωθῆναι;

3. Εἴδετε τὴν δύναμιν τοῦ λόγου; Εἰ δέ γε ἐπὶ βασιλέως ἀνθρώπου τοσαύτην τιμὴν ἔχει τὸ πρᾶγμα, ἐννόησον Χριστὸν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καλοῦντα ἐπὶ ἀγγέλων καὶ πάσης δυνάμεως, καὶ λέγοντα· 'οὗτός με ἐν τῇ γῇ ἐξένισεν· οὗτός με μυρία εὐηργέτησεν· οὗτός με ξένον ὄντα συνήγαγεν'· ἐννόησον λοιπὸν τὴν παρρησίαν τὴν ἐπὶ τῶν ἀγγέλων, τὸ καύχημα τὸ ἐπὶ τῶν δήμων τῶν ἄνω. Ὧι ὁ Χριστὸς μαρτυρεῖ, πῶς οὐκ ἂν σχῇ παρρησίαν ὑπὲρ ἀγγέλους; Μέγα οὖν πρᾶγμα ἐλεημοσύνη, ἀδελφοί· ταύτην ἀσπασώμεθα, ἧς οὐδὲν ἴσον· ἱκανή ἐστι καὶ ἄλλας ἁμαρτίας ἐξαλεῖψαι καὶ τὴν κρίσιν ἀπελάσαι· σοῦ σιωπῶντος ἕστηκε καὶ συνηγορεῖ· μᾶλλον δὲ σοῦ σιωπῶντος μυρία στόματα εὐχαριστεῖ ὑπὲρ σοῦ. Τοσαῦτα ἀγαθὰ ἐκ τῆς ἐλεημοσύνης, καὶ ἡμεῖς ἀμελοῦμεν καὶ ἀναπεπτώκαμεν. Δὸς κατὰ δύναμιν ἄρτον· οὐκ ἔχεις ἄρτον; δὸς ὀβολόν· οὐκ ἔχεις ὀβολόν; δὸς ποτήριον ψυχροῦ ὕδατος· οὐκ ἔχεις τοῦτο; συμπένθησον τῷ θλιβομένῳ, καὶ ἔχεις μισθόν. Οὐ γὰρ τῆς ἀνάγκης ὁ μισθός, ἀλλὰ τῆς προαιρέσεως. Ἀλλ' ὡς ἔτι περὶ τούτου διαλεγόμεθα, ἐξῆλθεν ἡμῖν ἡ φροντὶς τῶν παρθένων· φέρε οὖν εἰς τὸ προκείμενον ἐπανέλθωμεν.

«Δότε ἡμῖν», φησίν, «ἔλαιον ἐκ τῶν ἀγγείων ὑμῶν. Οὐ δυνάμεθα δοῦναι ὑμῖν, μή ποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· ἀλλ' ἀπελθοῦσαι ἀγοράσατε ἀπὸ τῶν πωλούντων. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἔχουσαι τὰς λαμπάδας φαιδρὰς

προσκαλοῦσε κάποιον σὲ δεῖπνο, καὶ ἐνῶ ἦταν παρόντες οἱ ὑπηρέτες, ἔλεγε πρὸς αὐτούς· 'εὐχαριστῆστε αὐτὸν πολὺ ἀντ' ἐμοῦ· αὐτὸς ὅταν ἤμουν φτωχὸς μὲ διέθρεψε καὶ μὲ φιλοξένησε, αὐτὸς μοῦ ἔκανε πολλὲς εὐεργεσίες σὲ στιγμὲς θλίψεως'· πῶς δὲν θὰ ξόδευε ὁ καθένας ὅλα τὰ χρήματά του γιὰ ἐκεῖνον, γιὰ τὸν ὁποῖο ὁ βασιλιὰς ἔνιωσε τόση εὐχαρίστηση; πῶς δὲν θὰ τὸν ἀπαριθμοῦσε στοὺς οἰκείους του; πῶς δὲ θὰ φρόντιζε ὁ καθένας νὰ τὸν πλησιάσει καὶ νὰ γίνει φίλος του;

3. Εἴδατε τὴ δύναμη τοῦ λόγου; Ἐὰν ὅμως στὴν περίπτωση τοῦ βασιλιᾶ, ποὺ εἶναι ἄνθρωπος, τὸ πράγμα ἔχει τόση τιμή, σκέψου τὸ Χριστὸ κατὰ τὴν ἡμέρα ἐκείνη νὰ καλεῖ παρουσία τῶν ἀγγέλων καὶ ὅλων τῶν οὐράνιων δυνάμεων καὶ νὰ λέγει· 'αὐτὸς μὲ φιλοξένησε στὴ γῆ· αὐτὸς μοῦ ἔκανε ἄπειρες εὐεργεσίες· αὐτός, ἐνῶ ἤμουν ξένος, μὲ περιμάζεψε'· σκέψου λοιπὸν τὴν παρρησία ἐνώπιον τῶν ἀγγέλων, τὸ καύχημα ἐνώπιον τῶν οὐράνιων δυνάμεων. Ἐκεῖνος γιὰ τὸν ὁποῖο δίνει τὴν ἐπιβεβαίωση ὁ Χριστὸς πῶς εἶναι δυνατὸ νὰ μὴ ἔχει παρρησία μεγαλύτερη ἀπὸ τοὺς ἀγγέλους; Μεγάλο λοιπὸν πράγμα, ἀδελφοί, ἡ ἐλεημοσύνη· αὐτὴν ἂς ἀγαπήσομε μ' ὅλη μας τὴν καρδία, μὲ τὴν ὁποία τίποτε δὲν μπορεῖ νὰ ἐξισωθεῖ· αὐτὴ εἶναι ἱκανὴ καὶ τὶς ἄλλες ἁμαρτίες νὰ ἐξαλείψει κι ἀπ' τὴ μέλλουσα κρίση ν' ἀπαλλάξει· ἐνῶ σὺ σιωπαίνεις αὐτὴ στέκεται καὶ σὲ ὑπερασπίζεται· ἢ καλύτερα, ἐνῶ σὺ σιωπαίνεις ἀμέτρητα στόματα εὐχαριστοῦν γιὰ σένα. Τόσα ἀγαθὰ πηγάζουν ἀπὸ τὴν ἐλεημοσύνη, κι ἐμεῖς ἀμελοῦμε κι ἀδρανοῦμε. Δῶσε ψωμὶ ὅσο μπορεῖς· δὲν ἔχεις ψωμί; δῶσε ἕναν ὀβολό· δὲν ἔχεις ὀβολό; δῶσε ἕνα ποτήρι κρύο νερό· δὲν ἔχεις κι αὐτό; πένθησε μαζὶ μὲ τὸν θλιβόμενο κι ἔχεις μισθό. Γιατὶ ὁ μισθὸς δὲν ἐξαρτᾶται ἀπὸ τὴν ἀνάγκη, ἀλλ' ἀπ' τὴν διάθεση. Ὅμως μιλώντας γιὰ τὸ θέμα αὐτό, ἀπομακρυνθήκαμε ἀπὸ τὸ θέμα τῶν παρθένων· ἐμπρὸς λοιπὸν ἂς ἐπιστρέψομε σ' αὐτό.

«Δῶστε μας», λέγει, «λάδι ἀπὸ τὰ δοχεῖα σας. Δὲν μποροῦμε νὰ σᾶς δώσομε, μήπως δὲν φτάσει γιὰ μᾶς καὶ γιὰ σᾶς· ἀλλὰ πηγαίνετε κι ἀγοράστε ἀπὸ ἐκείνους ποὺ πουλοῦν. Κι ἐνῶ αὐτὲς πῆγαν ν' ἀγοράσουν, ἦρθε ὁ νυμφίος καὶ ἐκεῖνες ποὺ εἶχαν τὶς λα-

συνεισῆλθον αὐτῷ, καὶ ἀπεκλείσθη ἡ θύρα νυμφῶνος». Ἦλθον δὲ καὶ αἱ πέντε μωραί, καὶ ἔκρουον τὴν θύραν τοῦ νυμφῶνος βοῶσαι· «ἄνοιξον ἡμῖν»· καὶ φωνὴ ἔσωθεν πρὸς αὐτὰς τοῦ νυμφίου· «ἀπέλθετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς». Καὶ μετὰ τοσούτους καμάτους τί ἤκουσαν; «Οὐκ οἶδα ὑμᾶς». Τοῦτό ἐστιν, ὃ ἔλεγον, εἰκῇ καὶ μάτην ἐκτήσαντο τὸ μέγα κτῆμα τῆς παρθενίας. Ἐννόησον, μετὰ τοσούτους καμάτους ἐξεβλήθησαν, ὅτε ἀκρασίαν ἐχαλίνωσαν, ὅτε πρὸς τὰς ἄνω δυνάμεις τὴν ἅμιλλαν εἶχον, ὅτε τῶν βιωτικῶν κατεγέλασαν πραγμάτων, ὅτε τὸν καύσωνα ὑπήνεγκαν τὸν μέγαν, ὅτε τὰ σκάμματα ὑπερέβησαν, ὅτε ἀπὸ γῆς εἰς οὐρανὸν ἀνεπτερώθησαν, ὅτε τοῦ σώματος τὴν σφραγῖδα οὐ διέλυσαν, ὅτε τὸ μέγα εἶδος τῆς παρθενίας ἐκτήσαντο, ὅτε τὴν ἅμιλλαν πρὸ τοὺς ἀγγέλους ἔσχον, ὅτε τοῦ σώματος τὰς ἀνάγκας καταπάτησαν, ὅτε τῆς φύσεως ἐπελήσθησαν, ὅτε ἐν σώματι τὰ ἀσώματα ἐπετέλεσαν, ὅτε τὸ μέγα καὶ ἀκατάμαχητον κτῆμα τῆς παρθενίας ἐκτήσαντο· τότε ἤκουσαν, «ἀπέλθετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς». Μὴ γὰρ ἐμοὶ νομίσῃς τὸ τῆς παρθενίας μέγεθος μικρὸν εἶναι· τοιοῦτόν ἐστιν ἡ παρθενία, ὅτι οὐδεὶς ἠδυνήθη τῶν ἀρχαίων τοῦτο τηρῆσαι. Διὰ τοῦτο γὰρ ἡ χάρις μεγάλη, ὅτι ἃ ἦν φοβερὰ ἐν τοῖς προφήταις καὶ ἐν τοῖς ἀρχαίοις, ταῦτα ἐγένετο νῦν εὐκαταφρόνητα.

Τίνα γὰρ ἦν τὰ βαρύτατα καὶ ἀναγκαῖα; Παρθενία καὶ θανάτου ὑπεροψία· ἀλλὰ τούτων νῦν καὶ κόραι εὐτελεῖς καταφρονοῦσι. Βαρὺ γὰρ ἦν τὸ τῆς παρθενίας κτῆμα οὕτως, ὡς μηδένα δύνασθαι ταύτην ἀσκῆσαι τῶν παλαιῶν. Νῶε δίκαιος καὶ μαρτυρηθεὶς ὑπὸ τοῦ Θεοῦ, ἀλλὰ γυναικὶ προσωμίλησεν· ὁμοίως δὲ Ἀβραὰμ καὶ Ἰσαὰκ οἱ συγκληρονόμοι αὐτοῦ τῆς ἐπαγγελίας γυναικὶ προσωμίλησαν. Ἰωσὴφ ὁ σώφρων τὸ μέγα δρᾶμα τῆς μοιχείας ἠρνήσατο, ἀλλὰ καὶ οὗτος γυναικὶ προσωμίλησεν· βαρὺ γὰρ ἦν τὸ ἐπάγγελμα τῆς παρθενίας. Ἕκτοτε ἰσχυρὰ ἡ παρθενία ἐγένετο, ἐξότε τὸ ἄνθος τὸ τῆς παρθενίας ἐβλάστησεν. Οὐδεὶς τοίνυν τῶν παλαιῶν ἠδυνή-

12. Ματθ. 25,10. 13. Ματθ. 25,11–12. 14. Γεν. κεφ. 39.

μπάδες φωτεινὲς μπῆκαν μαζὶ μ' αὐτὸν καὶ ἔκλεισε ἡ θύρα τοῦ νυμφώνα»[12]. Ἦρθαν τότε καὶ οἱ πέντε μωρὲς καὶ χτύπησαν τὴ θύρα τοῦ νυμφώνα, φωνάζοντας δυνατά· «ἄνοιξέ μας»· κι ἀπάντησε ἀπὸ μέσα ἡ φωνὴ τοῦ νυμφίου· «φύγετε ἀπὸ ἐδῶ· δὲ σᾶς γνωρίζω»[13]. Μετὰ δηλαδὴ ἀπὸ τόσους κόπους τί ἄκουσαν; «Δὲ σᾶς γνωρίζω». Αὐτὸ εἶναι ποὺ σᾶς ἔλεγε, ὅτι ἄσκοπα καὶ στὰ χαμένα καλλιέργησαν τὸ μεγάλο κτῆμα τῆς παρθενίας. Σκέψου ὅτι μετὰ ἀπὸ τόσους κόπους ἐκδιώχθηκαν ἀκριβῶς τότε, ὅταν χαλιναγώγησαν τὴν ἀκράτεια, ὅταν συναγωνίσθηκαν τὶς οὐράνιες δυνάμεις, ὅταν περιφρόνησαν τὰ κοσμικὰ πράγματα, ὅταν ὑπέφεραν τὸν μεγάλο καύσωνα, ὅταν ὑπερπήδησαν τὰ σκάμματα, ὅταν πέταξαν ἀπὸ τὴ γῆ στὸν οὐρανό, ὅταν δὲν διέλυσαν τὴ σφραγίδα τοῦ σώματος, ὅταν ὁλοκληρώθηκε ἡ ἅμιλλά τους πρὸς τοὺς ἀγγέλους, ὅταν καταπάτησαν τὶς σωματικὲς ἀνάγκες, ὅταν λησμόνησαν τὴ φύση τους, ὅταν κατόρθωσαν τὰ ἀσώματα μὲ τὸ σῶμα τους, ὅταν ἔκαναν δικό τους τὸ μεγάλο κι ἀκαταμάχητο κτῆμα τῆς παρθενίας· τότε λοιπὸν ἄκουσαν, «φύγετε ἀπὸ κοντά μου· δὲ σᾶς γνωρίζω». Μὴ νομίσης δηλαδή, σὲ παρακαλῶ, ὅτι εἶναι μικρὸ τὸ μέγεθος τῆς παρθενίας· τέτοιο πράγμα εἶναι ἡ παρθενία, τὸ ὁποῖο κανένας ἀπὸ τοὺς ἀρχαίους δὲν μπόρεσε νὰ τηρήσει. Γι' αὐτὸ καὶ ἡ χάρη εἶναι μεγάλη, γιατί, ἐκεῖνα ποὺ ἦταν φοβερὰ γιὰ τοὺς προφῆτες καὶ τοὺς ἀρχαίους, αὐτὰ ἔγιναν τώρα εὐκαταφρόνητα.

Ποιά λοιπὸν ἦταν τὰ πάρα πολὺ βαριὰ καὶ ἀβάσταχτα; Ἡ παρθενία καὶ ἡ περιφρόνηση τοῦ θανάτου· ἀλλ' αὐτὰ τώρα τὰ κατορθώνουν καὶ τὰ μικρὰ κορίτσια. Γιατὶ τόσο βαριὰ ἦταν ἡ ἄσκηση τῆς παρθενίας, ὥστε νὰ μὴ μπορεῖ κανένας ἀπὸ τοὺς παλιοὺς νὰ τὴν ἀσκήσει. Ὁ Νῶε ἦταν δίκαιος καὶ ἀναγνωρίσθηκε κι ἀπ' τὸ Θεὸ ἡ δικαιοσύνη του, ἀλλὰ συνουσιάσθηκε μὲ γυναίκα· ὅμοια καὶ ὁ Ἀβραὰμ καὶ ὁ Ἰσαὰκ καὶ ἐκεῖνοι ποὺ κληρονόμησαν μαζὶ μ' αὐτὸν τὰ ὑποσχεθέντα ἀπὸ τὸ Θεὸ συνουσιάσθηκαν μὲ γυναίκα. Ὁ Ἰωσὴφ ὁ σώφρονας ἀπέκρουσε τὸ μεγάλο δράμα τῆς μοιχείας[14], ἀλλὰ κι αὐτὸς συνουσιάσθηκε μὲ γυναίκα· γιατὶ ἦταν βαριὰ ἡ ἄσκηση τῆς παρθενίας. Ἀπὸ τότε ἡ παρθενία ἔγινε ἰσχυρή, ἀπ' τὴ στιγμὴ ποὺ βλάστησε τὸ ἄνθος τῆς παρθενίας. Κανένας λοιπὸν

θη παρθενίαν ἀσκῆσαι· μέγα γὰρ πρᾶγμα σῶμα χαλινῶσαι. Ἀναζωγράφησον τῷ λόγῳ τὸ τῆς παρθενίας εἶδος, καὶ κατάμαθε τὸ μέγεθος τῆς ἀρετῆς αὐτῆς· ἔτι πόλεμον ἔχει ἐφ' ἑκάστης ἡμέρας οὐδέποτε δυνάμενον ἡσυχάσαι· χείρων τοῦ βαρβαρικοῦ πολέμου οὗτος ὁ πόλεμος. Ὁ μὲν γὰρ τῶν βαρβάρων πόλεμος καιρόν τινα ἔχει ἀνοχῆς ἐν ταῖς συνθήκαις, καὶ ποτὲ μὲν συμβάλλουσι, ποτὲ δὲ οὔ, καὶ τάξεις καὶ χρόνοι εἰσίν· ἐπὶ δὲ τοῦ πολέμου τοῦ πρὸς τὴν παρθενίαν οὐκ ἔστιν ἀνοχή· διάβολος γάρ ἐστιν ὁ πολεμῶν, οὐ καιρὸν ἐπιτηρεῖν ἐπιθέσεως εἰδώς, οὐ σύνταξιν πρὸς τὴν συμβουλὴν ἐκδεχόμενος, ἀλλ' ἕστηκεν ἀεὶ ζητῶν τὴν παρθένον γυμνὴν εὑρεῖν, ἵνα καιρίαν ἐπαγάγῃ τὴν πληγήν· καὶ οὐδέποτε δύναται ἡ παρθένος τοῦ πολέμου παύσασθαι τούτου, ἀλλ' ἐν αὐτῇ τὸν τάραχον περιάγει καὶ τὸν πολεμιστήν. Καὶ οἱ μὲν κατάδικοι κἂν πρὸς καιρὸν ἴδωσι τὸν ἄρχοντα, οὐχ οὕτω χειμάζονται, ἡ δὲ παρθένος ὅπουπερ ἂν ἀπέρχηται, τὸν δικαστὴν περιάγει μεθ' ἑαυτῆς, καὶ τὸν πολέμιον περιφέρει, καὶ ὁ πολέμιος οὐχ ἑσπέρας αὐτῇ δίδωσιν ἄνεσιν, οὐκ ἐν νυκτί, οὐκ ὄρθρου, οὐκ ἐν μεσημβρίᾳ· ἀλλὰ πολεμεῖ πάντοτε, ἡδονὴν ὑποτιθέμενος, γάμον μηνύων, ὅπως τὴν ἀρετὴν ἐξ αὐτῆς ἀποδιώξῃ, καὶ ὅπως τὴν κακίαν ἐν αὐτῇ ἐγγεννήσῃ· ὅπως τὴν σωφροσύνην αὐτῆς ἀπελάσῃ, ὅπως πορνείαν ἐνσπείρῃ· ἐκκαίεται ἐφ' ἑκάστης ὥρας τῆς ἡδονῆς ἡ κάμινος μαλθακῶς ὑποκαιομένη. Ἐννόησον πόσος τοῦ κατορθώματος ὁ κάματος. Ἀλλ' ἐκεῖναι μετὰ ταῦτα πάντα ἤκουσαν, «ἀπέλθετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς».

Ὅρα πῶς μέγα πρᾶγμα ἡ παρθενία· ὅταν ἔχῃ τὴν ἀδελφὴν αὐτῆς τὴν ἐλεημοσύνην, οὐδὲν αὐτῆς περιγίνεται τῶν δεινῶν, ἀλλ' ἀνωτέρα πάντων ἐστί. Διὰ τοῦτο ἐκεῖναι οὐκ εἰσῆλθον, ἐπειδὴ μετὰ τῆς παρθενίας τὴν ἐλεημοσύνην οὐκ εἶχον. Πολλῆς αἰσχύνης τὸ ῥῆμα ἄξιον· ἡδονὴν καταπαλαίσασα, χρημάτων οὐ κατεφρόνησας· ἀλλὰ παρθένος ἀποταξαμένη τῷ βίῳ, καὶ σταυρωθεῖσα χρημάτων

ἀπὸ τοὺς παλιοὺς δὲν μπόρεσε ν' ἀσκήσει τὴν παρθενία· γιατὶ εἶναι μεγάλο πράγμα νὰ χαλιναγωγήσει κανεὶς τὸ σῶμα. Περιέγραψε μὲ τὸ λόγια τὸ κάλλος τῆς παρθενίας καὶ μάθε καλὰ τὸ μέγεθος τῆς ἀρετῆς αὐτῆς· καθημερινὰ ἔχει πόλεμο ποὺ δὲν εἶναι δυνατὸ ποτὲ νὰ ἡσυχάσει· αὐτὸς ὁ πόλεμος εἶναι χειρότερς ἀπὸ τὸν βαρβαρικὸ πόλεμο. Γιατὶ ὁ πόλεμος τῶν βαρβάρων ἔχει καὶ κάποια διακοπὴ ὅταν συνάπτονται συνθῆκες, καὶ ἄλλοτε συγκρούονται, ἄλλοτὲ ὄχι, καὶ ὑπάρχουν δυνατότητες ἀνασύνταξης τῶν δυνάμεων καὶ χρόνος ἀνάπαυσης, στὴν περίπτωση ὅμως τοῦ πολέμου πρὸς ἄσκηση τῆς παρθενίας δὲν ὑπάρχει διακοπή· γιατὶ ὁ διάβολος εἶναι ἐκεῖνος ποὺ κάμνει τὸν πόλεμο, ποὺ δὲν γνωρίζει νὰ φυλάγει εὐκαιρία γιὰ ἐπίθεση, οὔτε περιμένει νὰ συνταχθεῖ πρὸς ἐπίθεση, ἀλλὰ στέκεται πάντοτε στὴ θέση του ζητώντας νὰ βρεῖ τὴν παρθένα γυμνή, γιὰ νὰ τῆς καταφέρει θανάσιμο χτύπημα· καὶ δὲν μπορεῖ ποτὲ ἡ παρθένα νὰ σταματήσει τὸν πόλεμο αὐτό, ἀλλὰ μεταφέρει μαζί της τὴν ταραχὴ καὶ τὸν πολεμιστή. Καὶ οἱ κατάδικοι βέβαια, κι' ἂν ἀκόμη δοῦν πρὸς στιγμὴ τὸν ἄρχοντα, δὲν ταράζονται τόσο, ἐνῶ ἡ παρθένα ὅπου κι ἂν μεταβεῖ, φέρνει μαζί της τὸ δικαστὴ καὶ περιφέρει τὸν πολέμιο, καὶ ὁ πολέμιος δὲν τὴν ἀφήνει ν' ἀναπαυθεῖ οὔτε τὴν ἑσπέρα, οὔτε τὴ νύχτα, οὔτε τὸ πρωΐ, οὔτε τὸ μεσημέρι, ἀλλὰ τὴν πολεμεῖ πάντοτε, προβάλλοντάς της τὴν ἡδονή, ὑπενθυμίζοντάς της τὸ γάμο, ὥστε νὰ διώξει μακριά της τὴν ἀρετὴ καὶ νὰ βάλει μέσα της τὴν κακία, ὥστε ν' ἀπομακρύνει τὴ σωφροσύνη ἀπ' αὐτὴν καὶ νὰ σπείρει μέσα της τὴν πορνεία· κάθε στιγμὴ δυναμώνει ἡ φλόγα τοῦ καμινιοῦ τῆς ἡδονῆς, σιγοκαιόμενο κρυφά. Σκέψου λοιπὸν πόσος εἶναι ὁ κόπος τοῦ κατορθώματος. 'Αλλ' ἐκεῖνες μετὰ ἀπ' ὅλα αὐτὰ ἄκουσαν, «φύγετε ἀπὸ κοντά μου· δὲ σᾶς γνωρίζω».

Πρόσεχε πόσο μεγάλο πράγμα εἶναι ἡ παρθενία· ὅταν ἔχει τὴν ἀδελφή της τὴν ἐλεημοσύνη, δὲν τὴν ὑπερνικᾶ κανένα κακό, ἀλλὰ στέκεται πάνω ἀπ' ὅλα. Γι' αὐτὸ ἐκεῖνες δὲν μπῆκαν, ἐπειδὴ μαζὶ μὲ τὴν παρθενία δὲν εἶχαν καὶ τὴν ἐλεημοσύνη. Ὁ λόγος αὐτὸς εἶναι ἄξιος πολλῆς ντροπῆς· ἐνῶ κατανίκησες τὴν ἡδονή, δὲν περιφρόνησες τὰ χρήματα· ἐνῶ εἶσαι παρθένα κι ἀπαρνήθηκες τὴ

ἐρᾷς. Εἴθε ἀνδρὸς ἐπεθύμησας καὶ οὐ τοσοῦτον τὸ ἔγκλημα ἦν· τῆς γὰρ ὁμοουσίου ὕλης ἐπεθύμεις· νῦν δὲ μείζων ἡ κατηγορία, ὅτι ἀλλοτρίας ὕλης ἐπεθύμησας. Ἔστω, αἱ ὕπανδροι ἐκεῖναι κακῶς ἀπανθρωπίαν ἐπιδείκνυνται διὰ τὴν τῶν τέκνων πρόφασιν· καὶ ἐὰν εἴπῃς αὐταῖς, 'δός μοι ἐλεημοσύνην', 'τέκνα ἔχω', φησί, 'καὶ οὐ δύναμαι'. Ὁ Θεός σοι ἔδωκε τέκνα, καρπὸν κοιλίας ἔλαβες, ἵνα φιλάνθρωπος γένῃ, οὐχ ἵνα ἀπάνθρωπος· μὴ τὴν ὑπόθεσιν τῆς φιλανθρωπίας εἰς ἀφορμὴν ἀπανθρωπίας ἐκλάμβανε. Θέλεις κληρονομίαν καλὴν καταλεῖψαι τοῖς τέκνοις σου; κατάλειψον ἐλεημοσύνην, ἵνα πάντες ἐγκωμιάσωσί σε, καὶ πολυθρύλλητον τὴν μνήμην σου καταλείπῃς. Σὺ δὲ μὴ τέκνα ἔχουσα, ἀλλ' ἐσταυρωμένη τῷ βίῳ, ἵνα τί χρήματα συλλέγεις;

4. Ἀλλ' ὁ λόγος ἡμῖν ἔμψυχός ἐστι, καὶ περὶ τῆς ὁδοῦ τῆς μετανοίας, καὶ περὶ τῆς ἐλεημοσύνης. Ἐλέγομεν ὅτι μέγα κτῆμα ἡ ἐλεημοσύνη· ἐκεῖθεν διεδέξατο ἡμᾶς τὸ πέλαγος τῆς παρθενίας. Ἔχεις οὖν πρώτην καὶ μεγάλην μετάνοιαν τὴν ἐλεημοσύνην, λυτρώσασθαι τῆς σειρᾶς ἁμαρτημάτων δυναμένην· ἀλλ' ἔχεις καὶ ἄλλην ὁδὸν μετανοίας εὐχερεστάτην πάλιν, δι' ἧς δύνασαι ἀπαλλαγῆναι τῶν ἁμαρτημάτων. Εὔχου ἐφ' ἑκάστης ὥρας καὶ μὴ ἐκκακήσῃς εὐχόμενος, μήτε ῥαθύμως τὴν τοῦ Θεοῦ φιλανθρωπίαν αἴτει, καὶ οὐκ ἀποστρέψεται ἐμμένοντα, ἀλλὰ συγχωρήσει σοι τὰς ἁμαρτίας σου καὶ δώσει τὰ αἰτήματά σου. Εὐχόμενος ἐὰν εἰσακουσθῇς, μένε εὐχαριστῶν ἐν τῇ εὐχῇ· εἰ δὲ οὐκ εἰσηκούσθης, ἐπίμενε εὐχόμενος, ἵνα εἰσακουσθῇς. Καὶ μὴ λέγε ὅτι 'πολλὰ ηὐξάμην καὶ οὐκ εἰσηκούσθην'· καὶ γὰρ καὶ τοῦτο πολλάκις ὑπὲρ τοῦ συμφέροντός σοι γίνεται. Οἶδε γὰρ ὅτι ῥᾴθυμος εἶ καὶ ἀναπεπτωκώς, καὶ ἐὰν ἐπιτύχῃς τῆς χρείας, ἀναχωρεῖς, μηκέτι εὐχόμενος· καὶ προφάσει τῆς χρείας ὑπερτίθεταί σε, ἵνα πυκνότερον τῷ Θεῷ προσομιλῇς καὶ τῇ εὐχῇ σχολάζῃς. Εἰ γὰρ ἐν τοιαύτῃ ἀνάγκῃ ὢν καὶ χρείαν ἔχων

ζωὴ καὶ σταυρώθηκες γι' αὐτήν, ἀγαπᾶς τὰ χρήματα. Μακάρι νὰ ἐπιθυμοῦσες ἄνδρα καὶ δὲν θὰ ἦταν τόσο μεγάλο τὸ ἔγκλημα· γιατὶ θὰ ἐπιθυμοῦσες τὴν ὁμοούσια ὕλη· τώρα ὅμως ἡ κατηγορία εἶναι μεγαλύτερη, γιατὶ ἐπιθύμησες ξένη ὕλη. Ἀλλ' ἀκόμα καὶ οἱ παντρεμένες γυναῖκες κακῶς δείχνουν ἀπανθρωπιά, προβάλλοντας σὰν δικαιολογία τὰ παιδιά· κι ἂν πεῖς σ' αὐτές, 'δός μου ἐλεημοσύνη', ἔχω παιδιά, λέγει, καὶ δὲν μπορῶ. Ὁ Θεὸς σοῦ ἔδωσε παιδιά, ἔλαβες καρπὸ τῆς κοιλιᾶς γιὰ νὰ γίνεις φιλάνθρωπη, καὶ ὄχι γιὰ νὰ γίνεις ἀπάνθρωπη· μὴ χρησιμοποιεῖς τὴν ὑπόθεση τῆς φιλανθρωπίας σὰν ἀφορμὴ ἀπανθρωπιᾶς. Θέλεις ν' ἀφήσεις στὰ παιδιά σου καλὴ κληρονομιά; Ἄφησέ τα ἐλεημοσύνη, γιὰ νὰ σὲ ἐπαινέσουν ὅλοι καὶ ν' ἀφήσεις τὴ μνήμη σου πολυθρύλλητη. Σὺ ὅμως χωρὶς νὰ ἔχεις παιδιά, ἀλλ' ἔχεις σταυρωθεῖ γιὰ τὴ ζωή, γιατί συγκεντρώνεις χρήματα;

4. Ἀλλ' ὁ λόγος μας εἶναι πλούσιος καὶ ὡς πρὸς τὴν ὁδὸ τῆς μετάνοιας καὶ ὡς πρὸς τὴν ἐλεημοσύνη. Λέγαμε ὅτι ἡ ἐλεημοσύνη εἶναι μεγάλο κτῆμα· ἀπὸ ἐκεῖ μεταπηδήσαμε στὸ πέλαγος τῆς παρθενίας. Ἔχεις λοιπὸν πρώτη καὶ μεγάλη μετάνοια τὴν ἐλεημοσύνη, ποὺ μπορεῖ νὰ σὲ σώσει ἀπὸ πλῆθος ἁμαρτιῶν· ἀλλ' ἔχεις κι ἄλλη ὁδὸ μετάνοιας, πολὺ εὔκολη πάλι, μὲ τὴν ὁποία μπορεῖς ν' ἀπαλλαγεῖς ἀπ' τ' ἁμαρτήματά σου. Νὰ προσεύχεσαι κάθε ὥρα καὶ μὴ λυποψυχήσεις προσευχόμενος, οὔτε νὰ ζητᾶς μὲ ἀδιαφορία τὴ φιλανθρωπία τοῦ Θεοῦ, καὶ νὰ εἶσαι σίγουρος ὅτι δὲν θ' ἀποστραφεῖ τὴν ἐπιμονή σου, ἀλλὰ θὰ συγχωρήσει τὶς ἁμαρτίες σου καὶ θὰ σοῦ δώσει αὐτὰ ποὺ ζητᾶς. Ἐὰν εἰσακουσθεῖ ἡ προσευχή σου, συνέχισε νὰ τὸν εὐχαριστεῖς στὴν προσευχή σου· ἐὰν πάλι δὲν εἰσακούσθηκες, συνέχισε μ' ἐπιμονὴ τὴν προσευχή σου, γιὰ νὰ εἰσακουσθεῖς. Καὶ μὴ λές, 'προσευχήθηκα πάρα πολὺ καὶ δὲν εἰσακούσθηκα'· καθόσον κι αὐτὸ πολλὲς φορὲς γίνεται γιὰ τὸ συμφέρον σου. Γιατὶ γνωρίζει ὅτι εἶσαι ράθυμος κι ὀλιγόψυχος καὶ ἂν ἐπιτύχεις αὐτὸ ποὺ χρειάζεσαι, φεύγεις καὶ δὲν ξαναπροσεύχεσαι· ἔχοντας λοιπὸν σὰν πρόφαση αὐτὸ ποὺ ζητᾶς μεταθέτει πρὸς τὰ πίσω τὴ χορήγηση αὐτοῦ, γιὰ νὰ συνομιλεῖς πιὸ πυκνὰ μὲ τὸ Θεὸ καὶ ν' ἀσχολεῖσαι μὲ τὴν προσευχή. Γιατί, ἂν, βρισκόμενος σὲ μιὰ τέ-

ῥαθυμεῖς καὶ οὐ παραμένεις τῇ εὐχῇ, τί εἰ μηδενὸς τούτων ἔχρῃζες; Ὥστε καὶ αὐτὸς ὑπὲρ τοῦ συμφέροντος, θέλων σε μὴ ἀπολιμπάνεσθαι τῆς εὐχῆς, τοῦτο ποιεῖ. Μένε οὖν εὐχόμενος καὶ μὴ ῥᾳθύμει· πολλὰ γὰρ δύναται ἡ εὐχὴ ἀνύσαι, ἀγαπητέ, καὶ μὴ ὡς μικρῷ πράγματι προσέλθῃς τῇ εὐχῇ.

Ὅτι δὲ εὐχὴ ἀφίησιν ἁμαρτίας, ἐκ τῶν θείων Εὐαγγελίων τοῦτο παιδεύθητι. Τί γάρ φησιν; «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ, ὃς ἔκλεισε τὴν θύραν αὐτοῦ, καὶ ἀνέπεσε μετὰ τῶν τέκνων αὐτοῦ· ἦλθε δέ τις ἑσπέρας θέλων λαβεῖν ἄρτους παρ' αὐτοῦ, καὶ κρούει λέγων· 'ἄνοιξόν μοι, ὅτι χρείαν ἔχω ἄρτων'. Ὁ δὲ πρὸς αὐτόν· 'οὐ δύναμί σοι δοῦναι νῦν· ἀνεπέσομεν γὰρ καὶ ἡμεῖς καὶ τὰ παιδία ἡμῶν'. Ὁ δὲ ἐπέμενε κρούων τὴν θύραν. Καί φησι πάλιν πρὸς αὐτόν· 'οὐ δύναμαί σοι δοῦναι· ἀναπέσομεν γὰρ καὶ ἡμεῖς καὶ τὰ παιδία'. Ὁ δὲ καὶ ταῦτα ἀκούσας ἐπέμενε κρούων, καὶ μὴ ἀναχωρῶν, ἕως οὗ εἶπεν ὁ οἰκοδεσπότης, 'ἀνάστητε, δότε αὐτῷ καὶ ἄφετε ἀπελθεῖν'». Διδάσκει σε οὖν εὔχεσθαι ἀεὶ καὶ μὴ ἀκηδιᾶν ἀεί, ἀλλά, καὶ ἐὰν μὴ λάβῃς, παραμένειν ἕως ἂν λάβῃς. Καὶ πολλὰς ἄλλας ὁδοὺς μετανοίας εὑρήσεις ἐν τῇ Γραφῇ. Αὕτη ἡ μετάνοια καὶ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας ἐκηρύττετο διὰ τοῦ Ἱερεμίου λέγοντος· «μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει;» καὶ πάλιν· «μετὰ ταῦτα εἶπον αὐτῇ· μετὰ τὸ πορνεῦσαι δεῦρο ἀνάστρεψον πρός με». Καὶ διὰ τοῦτο παλλὰς καὶ ἄλλας ὁδοὺς διαφόρους ἔδωκεν ἡμῖν, ἵνα ἐκκόψῃ πᾶσαν ἡμῶν πρόφασιν ῥᾳθυμίας. Εἰ γὰρ μίαν ὁδὸν εἴχομεν μόνην, διὰ ταύτης εἰσελθεῖν οὐκ ἂν ἠδυνήθημεν.

Ταύτην τὴν μάχαιραν ἀεὶ φεύγει ὁ διάβολος. Ἥμαρτες; εἴσελθε εἰς τὴν ἐκκλησίαν καὶ ἐξάλειψόν σου τὴν ἁμαρτίαν. Ὁσάκις ἂν

15. Λουκᾶ 11,5 ἑἑ.
16. Ἱερ. 8,4.
17. Ἱερ. 3,7.

τοια ἀνάγκη καὶ δύσκολη στιγμή, δείχνεις ἀδιαφορία καὶ δὲν ἐπιμένεις στὴν προσευχή, τί θὰ ἔκαμνες ἐὰν δὲν εἶχες ἀνάγκη τίποτε ἀπ' αὐτά; Ὥστε κι αὐτὸς σοῦ τὸ κάμνει αὐτὸ γιὰ τὸ συμφέρον σου, θέλοντας νὰ σὲ κάμει νὰ μὴ παρατᾶς τὴν προσευχή. Δείχνε λοιπὸν ἐπιμονὴ στὴν προσευχή σου καὶ μὴν ἀδιαφορεῖς· γιατὶ πολλὰ μπορεῖ νὰ κατορθώσει ἡ προσευχή, ἀγαπητέ, καὶ μὴ καταφύγεις στὴν προσευχὴ πιστεύοντας ὅτι πρόκειται γιὰ μικρὸ πράγμα.

Τὸ ὅτι ἡ προσευχὴ συγχωρεῖ ἁμαρτίες, μάθε το ἀπὸ τὰ θεῖα εὐαγγέλια. Τί λέγουν λοιπὸν αὐτά; Μοιάζει ἡ βασιλεία τῶν οὐρανῶν μὲ ἄνθρωπο, ὁ ὁποῖος ἔκλεισε τὴν πόρτα του καὶ ἔπεσε νὰ κοιμηθεῖ μαζὶ μὲ τὰ παιδιά του· τὸ βράδυ ὅμως ἦρθε κάποιος θέλοντας νὰ πάρει ἀπ' αὐτὸν ψωμί, καὶ χτύπησε τὴν πόρτα λέγοντας· 'ἄνοιξέ μου, γιατὶ ἔχω ἀνάγκη ἀπὸ ψωμί'. Ἀλλ' αὐτὸς τοῦ εἶπε· 'δὲν μπορῶ νὰ σοῦ δώσω τώρα· γιατὶ πέσαμε νὰ κοιμηθοῦμε ἐμεῖς καὶ τὰ παιδιά μας'. Ἐκεῖνος ὅμως ἐπέμενε νὰ χτυπάει τὴν πόρτα. Καὶ λέγει πάλι πρὸς αὐτόν· 'δὲν μπορῶ νὰ σοῦ δώσω, γιατὶ πέσαμε νὰ κοιμηθοῦμε ἐμεῖς καὶ τὰ παιδιά'. Ἐκεῖνος ὅμως ἂν καὶ ἄκουσε αὐτὰ συνέχισε νὰ χτυπάει καὶ νὰ μὴ φεύγει, μέχρι ποὺ εἶπε ὁ οἰκοδεσπότης, 'σηκωθεῖτε, δῶστε του αὐτὸ ποὺ θέλει κι ἀφῆστε τον νὰ φύγει'[15]. Μ' αὐτὸ λοιπὸν σὲ διδάσκει νὰ προσεύχεσαι πάντοτε καὶ νὰ μὴ εἶσαι ποτὲ ἀμέριμνος, ἀλλά, καὶ ἂν ἀκόμα δὲν λάβεις, νὰ ἐπιμένεις μέχρι ποὺ νὰ λάβεις. Καὶ πολλὲς ἄλλες ὁδοὺς μετάνοιας θὰ βρεῖς στὴ Γραφή. Αὐτὴ ἡ μετάνοια κηρύττονταν καὶ πρὶν ἀπὸ τὴν παρουσία τοῦ Χριστοῦ ἀπὸ τὸν Ἰερεμία ποὺ ἔλεγε· «μήπως ἐκεῖνος ποὺ πέφτει δὲ σηκώνεται, ἢ ἐκεῖνος ποὺ παίρνει στραβὸ δρόμο δὲν ἐπιστρέφει;» [16]· καὶ πάλι· «μετὰ ἀπ' αὐτὰ εἶπα σ' αὐτήν· ἀφοῦ ἔκαμες τὴν πορνεία, ἔλα τώρα καὶ γύρισε σ' ἐμένα»[17]. Καὶ γι' αὐτὸ μᾶς ἔδωσε καὶ πολλὲς ἄλλες καὶ διάφορες ὁδούς, γιὰ νὰ μᾶς ἀφαιρέσει κάθε πρόφαση ραθυμίας. Γιατί, ἐὰν εἴχαμε μία ὁδὸ μόνο, δὲ θὰ μπορούσαμε νὰ μποῦμε ἀπ' αὐτὴν στὴ βασιλεία τοῦ Θεοῦ.

Αὐτὴ τὴ μάχαιρα τὴν ἀποφεύγει πάντοτε ὁ διάβολος. Ἁμάρτησες; Ἔλα στὴν ἐκκλησία κι ἐξάλειψε τὴν ἁμαρτία σου. Ὅσες

πέσῃς εἰς τὴν ἀγοράν, τοσαυτάκις ἐγείρῃ· οὕτως ὁσάκις ἂν ἁμαρτήσῃς, μετανόησον ἐπὶ τῇ ἁμαρτίᾳ· μὴ σαυτοῦ ἀπογνῷς· κἂν δεύτερον ἁμάρτῃς, δεύτερον μετενόησον, μὴ διὰ ῥᾳθυμίαν τέλεον ἐκπέσῃς τῆς τῶν προκειμένων ἀγαθῶν ἐλπίδος· κἂν ἐν ἐσχάτῃ πολιᾷ ᾗς καὶ ἁμάρτῃς, εἴσελθε, μετανόησον· ἰατρεῖον γάρ ἐστιν ἐνταῦθα, οὐ δικαστήριον, οὐκ εὐθύνας ἁμαρτημάτων ἀπαιτοῦν, ἀλλὰ συγχώρησιν ἁμαρτημάτων παρέχον. Θεῷ μόνῳ εἰπὲ τὴν ἁμαρτίαν σου, «σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα», καὶ συγχωρεῖταί σου ἡ ἁμαρτία. Ἔχεις δὲ καὶ ἄλλην ὁδὸν μετανοίας, οὐ δύσκολον, ἀλλὰ καὶ πάνυ εὐχερεστάτην. Ποίαν δὲ ταύτην; Κλαῦσον ἐπὶ τῇ ἁμαρτίᾳ σου καὶ διδάχθητι ἐκ τῶν θείων Εὐαγγελίων τοῦτο. Πέτρος ἐκεῖνος, ἡ κορυφὴ τῶν ἀποστόλων, ὁ πρῶτος ἐν τῇ Ἐκκλησίᾳ, ὁ φίλος Χριστοῦ, ὁ τὴν ἀποκάλυψιν παρὰ ἀνθρώπων μὴ δεξάμενος, ἀλλὰ παρὰ τοῦ Πατρός, καθὼς αὐτῷ μαρτυρεῖ ὁ Δεσπότης λέγων, «μακάριος εἶ, Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ οὐράνιος», οὗτος ὁ Πέτρος –Πέτρον δὲ ὅταν εἴπω, τὴν πέτραν λέγω τὴν ἀρραγῆ, τὴν κρηπῖδα τὴν ἀσάλευτον, τὸν ἀπόστολον τὸν μέγαν, τὸν πρῶτον τῶν μαθητῶν, τὸν πρῶτον κληθέντα, καὶ πρῶτον ὑπακούσαντα–, ἐκεῖνος οὐ μικρόν τι πρᾶγμα ἔδρασεν, ἀλλὰ καὶ σφόδρα μέγα, ὡς αὐτὸν ἀρνήσασθαι τὸν Δεσπότην. Τοῦτο λέγω οὐ κατηγορῶν τοῦ δικαίου, ἀλλὰ σοὶ ὑπόθεσιν διδοὺς τῆς μετανοίας, αὐτὸν τὸν Δεσπότην τῆς οἰκουμένης, τὸν κηδεμόνα, τὸν Σωτῆρα τῶν ἁπάντων ἠρνήσατο.

Ἵνα δὲ ἄνωθεν τὴν ὑπόθεσιν εἴπωμεν, ἐν τῇ παραδόσει εἶδεν ὁ Σωτὴρ τινας ἀναχωρήσαντας καὶ λέγει τῷ Πέτρῳ· «μὴ καὶ σὺ ἀναχωρῆσαι θέλεις; Ὁ δὲ Πέτρος εἶπε, κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι». Τί λέγεις, Πέτρε; Θεὸς ὁ ἀποφηνάμενος καὶ ἀντιμάχῃ; Ἀλλ' ὅμως ἡ προαίρεσις τὸ ἴδιον ἔδειξε, τῆς δὲ φύσεως ἡ ἀσθένεια ἠλέγχετο. Ταῦτα δὲ πότε; Ἐν νυκτί, ἐν ᾗ παρεδόθη ὁ Χριστός· τότε οὖν, φησίν, εἱστήκει ὁ Πέτρος παρὰ τὴν ἀν-

---

18. Ψαλμ. 50,6.
19. Ματθ. 16,17.
20. Ἰω. 6,67.
21. Ματθ. 26,35.

φορὲς κι ἂν πέσεις στὴν ἀγορά, τόσες φορὲς σηκώνεσαι· ἔτσι κάθε φορὰ ποὺ θ' ἁμαρτήσεις, μετανόησε γιὰ τὴν ἁμαρτία σου· μὴν ἀπελπισθεῖς· ἂν ἁμαρτήσεις γιὰ δεύτερη φορά, μετανόησε γιὰ δεύτερη φορὰ καὶ μὴ ἀπὸ ραθυμία χάσεις τελείως τὴν ἐλπίδα γιὰ τ' ἀγαθὰ ποὺ σοῦ ἐπιφυλάσσονται· κι ἂν ἀκόμα βρίσκεσαι σὲ βαθιὰ γηρατειὰ κι ἁμαρτήσεις, ἔλα στὴν ἐκκλησία καὶ μετανόησε· γιατὶ ἐδῶ εἶναι ἰατρεῖο κι ὄχι δικαστήριο, ποὺ δὲν ζητᾶ εὐθύνες ἁμαρτημάτων, ἀλλὰ παρέχει συγχώρηση ἁμαρτημάτων. Πὲς στὸ Θεὸ μόνο τὴν ἁμαρτία σου, «σ' ἐσένα μόνο ἁμάρτησα κι ἔπραξα τὸ κακὸ ἐνώπιόν σου»[18], καὶ συγχωρεῖται ἡ ἁμαρτία σου. Ἀλλ' ἔχεις κι ἄλλη ὁδὸ μετάνοιας, ὄχι δύσκολη, ἀλλὰ πάρα πολὺ εὔκολη. Ποιά εἶναι αὐτή; Κλάψε γιὰ τὴν ἁμαρτία σου καὶ πάρε τὸ δίδαγμα αὐτὸ ἀπὸ τὰ θεῖα εὐαγγέλια. Ὁ Πέτρος ἐκεῖνος, ἡ κορυφὴ τῶν ἀποστόλων, ὁ πρῶτος στὴν Ἐκκλησία, ὁ φίλος τοῦ Χριστοῦ, ἐκεῖνος ποὺ δὲν ἔλαβε τὴν ἀποκάλυψη ἀπὸ ἀνθρώπους, ἀλλὰ ἀπὸ τὸν Πατέρα, ὅπως τὸ βεβαιώνει σ' αὐτὸν ὁ Κύριος, λέγοντας, «εἶσαι μακάριος, Σίμων, γιὲ τοῦ Ἰωανᾶ, γιατὶ δὲν σοῦ ἀποκάλυψε τὴν ἀλήθεια κάποιος μὲ σάρκα καὶ αἷμα, ἀλλ' ὁ Πατέρας μου ὁ οὐράνιος»[19], αὐτὸς ὁ Πέτρος –ὅταν λέγω Πέτρο, ἐννοῶ τὴν πέτρα τὴ στερεά, τὸ ἀσάλευτο θεμέλιο, τὸν μέγα ἀπόστολο, τὸν πρῶτο ἀπὸ τοὺς μαθητές, τὸν πρῶτο ποὺ κάλεσε καὶ πρῶτος ὑπάκουσε–, αὐτὸς λοιπὸν δὲν ἔκαμε κάτι τὸ μικρό, ἀλλὰ κάτι τὸ πάρα πολὺ μεγάλο, ὥστε ν' ἀπαρνηθεῖ τὸν ἴδιο τὸν Κύριο. Αὐτὸ τὸ λέγω ὄχι γιὰ νὰ κατηγορήσω τὸν δίκαιο, ἀλλὰ γιὰ νὰ δώσω σ' ἐσένα ἀφορμὴ μετάνοιας, ἀφοῦ ὁ Πέτρος ἀρνήθηκε τὸν ἴδιο τὸν Κύριο τῆς οἰκουμένης, τὸν κηδεμόνα καὶ Σωτήρα ὅλων τῶν ἀνθρώπων.

Καὶ γιὰ νὰ ποῦμε τὴν ὑπόθεση ἀπὸ τὴν ἀρχή, κατὰ τὴν παράδοση εἶδε ὁ Σωτήρας μερικοὺς ποὺ ἔφυγαν[20] καὶ λέγει στὸν Πέτρο· «μήπως καὶ σὺ θέλεις νὰ φύγεις; Ἀλλ' ὁ Πέτρος εἶπε· κι ἂν ἀκόμη χρειαστεῖ νὰ πεθάνω μαζί σου, δὲ θὰ σ' ἀπαρνηθῶ»[21]. Τί λές, Πέτρε; Τοῦ Θεοῦ εἶναι τὰ λόγια αὐτὰ καὶ σὺ διαφωνεῖς; Ἀλλ' ὅμως ἡ διάθεση ἔδειξε αὐτὸ ἀκριβῶς, ἐνῶ φανερώθηκε ἡ ἀδυναμία τῆς ἀνθρώπινης φύσεως. Καὶ αὐτὰ πότε; Τὴ νύχτα κατὰ τὴν ὁπία παραδόθηκε ὁ Χριστός· τότε λοιπόν, λέγει, στεκόταν ὁ Πέ-

θρακιὰν θερμαινόμενος καὶ κόρη τις προσῆλθε καὶ λέγει αὐτῷ· «χθὲς καὶ σὺ μετὰ τούτου τοῦ ἀνθρώπου ἦς». Ὁ δέ· «οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον». Εἶτα καὶ δεύτερον καὶ τρίτον καὶ ἐπληρώθη ἡ ἀπόφασις. Εἶτα ὁ Χριστὸς ἐνέβλεψε τῷ Πέτρῳ, φωνὴν διὰ τοῦ βλέμματος ἀφιείς· οὐ γὰρ διὰ στόματος αὐτῷ ἐλάλησεν, ἵνα μὴ ἐλέγξῃ αὐτὸν ἐπὶ τῶν Ἰουδαίων καὶ τὸν ἴδιον καταισχύνῃ μαθητήν, ἀλλὰ διὰ τοῦ βλέμματος τὴν φωνὴν ἀφῆκε· τουτέστι, 'Πέτρε, ὃ ἔλεγον, γέγονεν'. Ἀμέλει γοῦν καὶ ὁ Πέτρος αἰσθανόμενος τότε ἤρξατο κλαίειν, ἀλλ' οὐχ ἁπλῶς ἔκλαυσεν, ἀλλὰ πικρῶς, δεύτερον βάπτισμα διὰ τῶν δακρύων ἐκ τῶν ὀφθαλμῶν ποιήσας. Ἀλλὰ κλαύσας οὕτω πικρῶς, ἐξήλειψε τὴν ἁμαρτίαν· μετὰ ταῦτα δὲ πιστεύεται τὰς κλεῖς τῶν οὐρανῶν. Εἰ δὲ Πέτρου κλαυθμὸς τηλικαύτην ἐξήλειψεν ἁμαρτίαν, σὺ ἐὰν κλαύσῃς, πῶς οὐκ ἂν ἀπαλείψεις τὴν ἁμαρτίαν; Οὐ γὰρ μικρὸν ἦν ἔγκλημα τὸ ἀρνήσασθαι τὸν ἴδιον Δεσπότην, ἀλλὰ μέγα καὶ ἰσχυρόν· ἀλλ' ὅμως τὰ δάκρυα ἐξήλειψε τὸ ἁμάρτημα.

Κλαῦσον οὖν καὶ σὺ ἐπὶ τῇ ἁμαρτίᾳ σου· ἀλλ' οὐχ ἁπλῶς, οὐδὲ μετὰ σχήματος, ἀλλὰ κλαῦσον πικρῶς, ὡς ὁ Πέτρος· ἐξ αὐτοῦ τοῦ βάθους προσάγαγε τὰς πηγὰς τῶν δακρύων, ἵνα οὕτως σπλαγχνισθεὶς ὁ Δεσπότης συγχωρήσῃ σοι τὸ πλημμέλημα· φιλάνθρωπος γάρ ἐστιν· αὐτὸς γὰρ εἶπεν· «οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι, καὶ μετανοῆσαι, καὶ ζῆν αὐτόν». Μικρὸν θέλει παρὰ σοῦ πόνον, καὶ αὐτὸς παρέχει τὰ μεγάλα· πρόφασιν ζητεῖ παρὰ σοῦ, ἵνα σοι δῷ θησαυρὸν σωτηρίας. Πρόβαλε δάκρυα, καὶ αὐτός σοι δίδωσι συγχώρησιν· πρόβαλε μετάνοιαν, καὶ αὐτός σοι παρέχει ἄφεσιν ἁμαρτιῶν· πρόφασιν μικρὰν σὺ εἰσένεγκε, ἵνα εὐπρόσωπον ἔχῃς τὴν ἀπολογίαν· τὰ μὲν γὰρ παρ' αὐτοῦ ἐστι, τὰ δὲ παρ' ἡμῶν· τὰ παρ' ἡμῶν ἐὰν εἰσενέγκωμεν, πάλιν καὶ αὐτὸς παρέχει τὰ παρ' ἑαυτοῦ. Ἤδη μὲν οὖν τὰ παρ' ἑαυτοῦ αὐτὸς παρέσχεν, ἥλιον, σελήνην, ποικίλον χορὸν ἀστέρων ἐθεμελίωσεν, ἀέρα ἐξέχεε, γῆν ἥπλωσε, θάλασσαν ἐτείχισεν, ἔδωκεν ὄρη, νάπας,

---

22. Ματθ. 26,69.
23. Μάρκ. 14,68.
24. Λουκᾶ 21,61.
25. Ἰεζ. 18,23.

τρος κοντα στὴ φωτιὰ καὶ ζεσταινόταν, καὶ πλησίασε κάποιο κορίτσι καὶ λέγει σ' αὐτόν· «χθὲς ἦσουν καὶ σὺ μαζὶ μ' αὐτὸν τὸν ἄνθρωπο»[22]. Κι ἐκεῖνος ἀπάντησε· «δὲν τὸν γνωρίζω τὸν ἄνθρωπο αὐτό»[23]. Στὴ συνέχεια τὸν ἀπαρνήθηκε δεύτερη καὶ τρίτη φορὰ καὶ ἐκπληρώθηκε ὁ λόγος τοῦ Χριστοῦ. Ἔπειτα ὁ Χριστὸς κοίταξε τὸν Πέτρο, ἀφήνοντας φωνὴ μὲ τὸ βλέμμα του[24]· δὲν τοῦ μίλησε βέβαια μὲ τὸ στόμα, γιὰ νὰ μὴν τὸν ἐλέγξει μπροστὰ στοὺς Ἰουδαίους καὶ καταντροπιάσει ἔτσι τὸν μαθητή του, ἀλλ' ἄφησε τὴ φωνὴ νὰ βγεῖ ἀπὸ τὸ βλέμμα του, ποὺ ἦταν σὰν νὰ τοῦ ἔλεγε· 'Πέτρε, ἔγινε ἐκεῖνο ποὺ ἔλεγα'. Ἀμέσως λοιπὸν ὁ Πέτρος αἰσθάνθηκε αὐτὸ καὶ ἄρχισε νὰ κλαίει, καὶ δὲν ἔκλαψε ἁπλῶς, ἀλλὰ πολὺ πικρά, δεχόμενος δεύτερο βάπτισμα μὲ τὰ δάκρυα τῶν ὀφθαλμῶν. Κι ἀφοῦ ἔκλαψε τόσο πικρά, ἐξάλειψε τὴν ἁμαρτία, καὶ στὴ συνέχεια τοῦ ἐμπιστεύεται τὰ κλειδιὰ τῶν οὐρανῶν. Ἂν λοιπὸν τὸ κλάμα τοῦ Πέτρου ἐξάλειψε τόσο μεγάλη ἁμαρτία, ἐὰν κλάψεις καὶ σὺ πῶς δὲ θὰ ἐξαλείψεις τὴν ἁμαρτία; Γιατὶ δὲν ἦταν μικρὸ παράπτωμα τὸ ν' ἀρνηθεῖ τὸν ἴδιο τὸν Κύριο, ἀλλὰ μεγάλο καὶ βαρύ· κι ὅμως τὰ δάκρυα ἐξάλειψαν τὸ ἁμάρτημα.

Κλάψε λοιπὸν καὶ σὺ γιὰ τὴν ἁμαρτία σου· ὄχι ὅμως ἁπλῶς, οὔτε προσποίητά, ἀλλὰ κλάψε πικρά, ὅπως ὁ Πέτρος· μέσα ἀπὸ τὰ βάθη τῆς καρδιᾶς σου χύσε τὶς πηγὲς τῶν δακρύων σου, γιὰ νὰ σ' εὐσπλαχνισθεῖ ὁ Κύριος καὶ νὰ συγχωρήσει τὸ ἁμάρτημά σου· γιατὶ εἶναι φιλάνθρωπος· κι αὐτὸς εἶναι ποὺ εἶπε· «δὲ θέλω τὸ θάνατο τοῦ ἁμαρτωλοῦ, ἀλλὰ νὰ ἐπιστρέψει καὶ νὰ μετανοήσει γιὰ νὰ ζήσει»[25]. Μικρὸ κόπο θέλει ἀπὸ σένα, κι αὐτὸς σοῦ δίνει τὰ μεγάλα· ἀφορμὴ θέλει ἀπὸ σένα, γιὰ νὰ σοῦ δώσει θησαυρὸ σωτηρίας. Χύσε δάκρυα, κι αὐτὸς σοῦ δίνει συγχώρηση· δεῖξε μετάνοια, κι αὐτὸς σοῦ προσφέρει ἄφεση ἁμαρτιῶν· δῶσε ἐσὺ μικρὴ ἀφορμή, γιὰ νὰ ἔχεις εὐπρόσδεκτη τὴν ἀπολογία· γιατὶ ἄλλα προσφέρονται ἀπὸ αὐτόν, καὶ ἄλλα ἀπὸ μᾶς· ἐὰν προσφέρομε τὰ δικά μας, τότε κι αὐτὸς μᾶς προσφέρει τὰ δικά του. Αὐτὸς βέβαια ἔδωσε ἤδη τὰ δικά του, τὸν ἥλιο, τὴ σελήνη, θεμελίωσε τὸν ποικιλόμορφο χορὸ τῶν ἀστέρων, ἄφησε διάχυτο τὸν ἀέρα, ἅπλωσε τὴ γῆ, περιτείχισε τὴ θάλασσα, ἔδωσε τὰ ὄρη, τὰ φαράγγια, τὰ βουνά, τίς πηγές, τὶς

βουνούς, πηγάς λίμνας, ποταμούς, τὰ μυρία γένη τῶν φυτῶν, παραδείσους, τὰ ἄλλα πάντα· πάλιν σὺ συνεισένεγκε μικρόν, ἵνα οὕτω καὶ τὰ ἄνω σοι χαρίσηται.

Μὴ οὖν ἀμελήσωμεν ἑαυτῶν, μηδὲ ἀποστῶμεν τῆς ἡμετέρας σωτηρίας, τοσοῦτον πέλαγος φιλανθρωπίας ἔχοντες τοῦ πάντων Δεσπότου καὶ μετανοοῦντος ἐπὶ ταῖς ἡμετέραις ἁμαρτίαις. Βασιλεία οὐρανῶν πρόκειται καὶ παράδεισος. Καὶ τὰ ἀγαθὰ «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν», καὶ οὐκ ὀφείλομεν ἅπαντα ποιῆσαι, ἵνα τι συνεισενέγκωμεν, ὥστε τούτων μὴ ἐκπεσεῖν; Ἢ οὐκ οἶδας Παῦλος τί λέγει, ὁ πολλὰ κοπιάσας, καὶ μυρία τρόπαια κατὰ τοῦ διαβόλου στήσας, ὁ ἐν σώματι τὴν οἰκουμένην πεζεύσας, ὁ γῆν καὶ θάλατταν καὶ ἀέρα περιδραμών, ὁ καθάπερ ὑπόπτερός τις τὴν οἰκουμένην περιελθών, ὁ λιθαθείς, ὁ φονευθείς, ὁ τυπτηθείς, ὁ πάντα διὰ τὸ ὄνομα τοῦ Θεοῦ παθών, ὁ οὐρανίᾳ φωνῇ κληθεὶς ἄνωθεν, ὅρα, οὗτος τί λέγει, ποίαν φωνὴν ἔρρηξεν· ἐλάβομεν χάριν, φησίν, ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ κἀγὼ ἐκοπίασα καὶ συνεισήνεγκα· «καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ κενὴ οὐκ ἐγενήθη· ἀλλὰ καὶ περισσότερον αὐτῶν πάντων ἐκοπίασα καὶ συνεισήνεγκα». Οἴδαμεν, φησίν, οἴδαμεν τῆς χάριτος τὸ μέγεθος, ὃ ἐλάβομεν, ἀλλ' οὐκ ἀργόν με εὗρε· φανερὰ τὰ παρ' ἐμοῦ εἰσενεχθέντα.

Οὕτως οὖν καὶ ἡμεῖς τὰς χεῖρας πρὸς ἐλεημοσύνην διδάξωμεν, ἵνα συνεισενέγκωμεν μικρόν τι· κλαύσωμεν ἐπὶ τῇ ἁμαρτίᾳ, θρηνήσωμεν ἐπὶ τῇ ἀνομίᾳ, ἵνα δόξωμεν μικρόν τι συνεισφέρειν, ἐπειδὴ καὶ μεγάλα τὰ μέλλοντα δίδοσθαι ἡμῖν καὶ ὑπερβαίνει τὴν ἡμετέραν δύναμιν· παράδεισος γάρ ἐστι καὶ βασιλεία οὐρανῶν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

26. Α΄ Κορ. 2,9.
27. Α΄ Κορ. 15,10.

λίμνες, τὰ ποτάμια, τ' ἀμέτρητα εἴδη τῶν φυτῶν, τοὺς κήπους κι ὅλα τὰ ἄλλα· πρόσφερε καὶ σὺ κάτι τὸ μικρό, γιὰ νὰ σοῦ χαρίσει ἔτσι καὶ τὰ οὐράνια.

Ἂς μὴ ἀδιαφορήσομε λοιπὸν γιὰ τὸ ἑαυτό μας, οὔτε νὰ ἐγκαταλείψομε τὴ σωτηρία μας, ἀφοῦ ἔχομε τόσο μεγάλο πέλαγος τῆς φιλανθρωπίας τοῦ Κυρίου τῶν πάντων, ὁ ὁποῖος μεταβάλλει τὶς ἀποφάσεις του γιὰ τὶς ἁμαρτίες μας. Βασιλεία τῶν οὐρανῶν βρίσκεται μπροστά μας καὶ παράδεισος καὶ τὰ ἀγαθὰ «ποὺ ὀφθαλμὸς δὲν τὰ εἶδε, κι αὐτὶ δὲν τὰ ἄκουσε, καὶ σὲ καρδιὰ ἀνθρώπου δὲν ἀνέβηκαν, τὰ ὁποῖα ἑτοίμασε ὁ Θεὸς γιὰ ἐκείνους ποὺ τὸν ἀγαποῦν»[26], καὶ δὲν πρέπει ὅλα νὰ τὰ κάνουμε, γιὰ νὰ συνεισφέρουμε κι ἐμεῖς κάτι, ὥστε νὰ μὴ χάσουμε αὐτά; Ἢ δὲ γνωρίζεις τί λέγει ὁ Παῦλος, αὐτὸς ποὺ τόσο πολὺ κόπιασε καὶ ἔστησε ἀμέτρητο τρόπαιο ἐναντίον τοῦ διαβόλου, ποὺ διέσχισε μὲ τὸ σῶμα του τὴν οἰκουμένη, ποὺ περιέτρεξε γῆ καὶ θάλασσα, ποὺ σὰν νὰ ἦταν φτερωτὸς περιῆλθε ὅλη τὴν οἰκουμένη, ποὺ λιθοβολήθηκε, ποὺ φονεύθηκε, ποὺ χτυπήθηκε, ποὺ ἔπαθε τὰ πάντα γιὰ τὸ ὄνομα τοῦ Θεοῦ, ποὺ κλήθηκε στὸ ἔργο του μὲ οὐράνια φωνή; Πρόσεχε αὐτὸς τί λέγει, ποιὰ λόγια βροντοφώναξε· λάβαμε, λέγει, χάρη ἀπὸ τὸ Θεό, ἀλλὰ καὶ ἐγὼ κόπιασα καὶ πρόσφερα· «καὶ ἡ χάρη αὐτοῦ ποὺ μοῦ δόθηκε δὲν πῆγε στὰ χαμένα, ἀλλὰ καὶ περισσότερο ἀπ' ὅλους κόπιασα καὶ πρόσφερα»[27]. Γνωρίζομε, λέγει, γνωρίζομε τὸ μέγεθος τῆς χάριτος ποὺ λάβαμε, ἀλλὰ δὲν μὲ βρῆκε ἀργό· εἶναι φανερὰ τὰ προσφερθέντα ἀπὸ μένα.

Ἔτσι λοιπὸν καὶ ἐμεῖς ἂς διδάξομε τὰ χέρια μας, γιὰ νὰ προσφέρομε κι ἐμεῖς κάτι τὸ μικρό· ἂς κλάψομε γιὰ τὴν ἁμαρτία μας, ἂς θρηνήσομε γιὰ τὴν ἀνομία μας, γιὰ νὰ φανοῦμε ὅτι προσφέρομε κι ἐμεῖς κάτι τὸ μικρό, ἐπειδὴ καὶ μεγάλα εἶναι ἐκεῖνα ποὺ πρόκειται νὰ μᾶς δοθοῦν καὶ ὑπερβαίνουν τὴ δύναμή μας· γιατὶ εἶναι παράδεισος καὶ βασιλεία οὐρανῶν, τὴν ὁποία εὔχομαι ὅλοι μας νὰ ἐπιτύχομε μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΤΕΤΑΡΤΗ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΚΑΙ ΕΥΧΗΣ

1. Οἱ ποιμένες τὰ πρόβατα ἔνθα ἂν ἴδωσι βαθυτέαν οὖσαν τὴν πόαν, συνεχῶς ἄγουσι, καὶ οὐ πρότερον ἐκεῖθεν ἐγείρουσιν, ἕως ἂν αὐτὴν πᾶσαν ἀποκείρῃ τὰ ποίμνια. Τούτους δὲ καὶ ἡμεῖς μιμούμενοι, τετάρτην ταύτην ἤδη ἡμέραν εἰς τὸν τῆς μετανοίας τρόπον βόσκομεν τοῦτο τὸ ποίμνιον, καὶ οὐδέπω καὶ σήμερον ἀναστῆσαι παρασκευαζόμεθα· ὁρῶμεν γὰρ πολλὴν οὖσαν ἔτι νομῆς εὐπορίαν καὶ πολλὴν τέρψιν ὁμοῦ καὶ ὠφέλειαν. Οὐδὲ γὰρ οὕτως αἱ κόμαι τῶν δένδρων ἀντὶ στέγης τοῖς προβάτοις γινόμεναι κατὰ τὸ μεσημβρινὸν τῆς ἡμέρας ἀναπαύουσι τὰ πρόβατα, ποθεινήν τε καὶ ὠφέλιμον παρέχουσι τὴν σκιάν, καὶ μετὰ πολλῆς κατακοιμίζουσι τῆς ἡδονῆς, ὡς ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις τὰς ὀδυνωμένας ψυχὰς καὶ ἀθυμίᾳ κατεχομένας ἀνακτᾶται καὶ καταψύχει, τὸ μὲν σφοδρὸν καὶ διακαὲς τῆς ὀδύνης ἀποχριομένη, παραμυθίαν δὲ σκιᾶς ἁπάσης ἡδίω καὶ τερπνοτέραν παρέχουσα. Οὐ γὰρ μόνον ἐν ταῖς τῶν χρημάτων ζημίαις, οὐδὲ ἐν ταῖς τῶν τέκνων ἀποβολαῖς, οὔτε ἐν τοῖς ἄλλοις τοῖς τοιούτοις, ἀλλὰ καὶ ἐν ταῖς τῶν ἁμαρτιῶν περιστάσεσι πολλὴν ὑμῖν αὐτὴ παρέχει τὴν παραμυθίαν. Ὅταν γὰρ ἄνθρωπος ὑπὸ ἁμαρτίας ἁλοὺς καὶ ὑποσκελισθεὶς καταπέσῃ, εἶτα κατεσθίῃ αὐτὸν τὸ συνειδός, καὶ τῆς ἁμαρτίας συνεχῶς ἀναμιμνήσκων, ἑαυτὸν ἀποπνίγῃ τῇ τῆς ἀθυμίας ὑπερβολῇ, καὶ καθ' ἑκάστην ἐμπυρίζεται τὴν ἡμέραν, καὶ μυρίων παρακαλούντων, ἂν μὴ προσίηται τὴν παράκλησιν, εἰσελθὼν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκού-



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΤΕΤΑΡΤΗ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΚΑΙ ΠΡΟΣΕΥΧΗΣ

1. Οἱ ποιμένες ὅπου δοῦν νὰ εἶναι ἄφθονο καὶ μεγάλο τὸ χορτάρι ἐκεῖ πηγαίνουν συνέχεια τὰ πρόβατα, καὶ δὲν τ' ἀπομακρύνουν ἀπὸ ἐκεῖ, μέχρι ποὺ νὰ τὸ καταφάγουν τελείως τὰ ποίμνιά τους. Αὐτοὺς λοιπὸν μιμούμενος κι ἐγώ, γιὰ τέταρτη ἤδη ἡμέρα βόσκω αὐτὸ τὸ ποίμνιο στὸ θέμα τῆς μετάνοιας καὶ δὲν ἐπιθυμῶ καὶ σήμερα νὰ τὸ μετακινήσω· γιατὶ βλέπω νὰ εἶναι ἀκόμη πολὺ πλούσια ἡ βοσκὴ καὶ μεγάλη ἡ εὐχαρίστηση καὶ μαζὶ καὶ ἡ ὠφέλεια. Καὶ πράγματι δὲν ἀναπαύουν τὰ πρόβατα κατὰ τὶς μεσημβρινὲς ὧρες τόσο πολὺ τὰ ὑπὸ μορφὴ στέγης φυλλώματα τῶν δένδρων, παρέχοντάς τα ποθητὴ καὶ ὠφέλιμη σκιὰ καὶ κατακοιμίζοντάς τα μὲ τόση μεγάλη εὐχαρίστηση, ὅσο ἀναζωογονεῖ καὶ δροσίζει ἡ θεία Γραφὴ τὶς ψυχὲς ποὺ πονοῦν καὶ εἶναι κυριευμένες ἀπὸ λύπη, ἡ ὁποία ἀπομακρύνει τὴ σφοδρότητα καὶ τὴ φωτιὰ τοῦ πόνου καὶ παρέχει παρηγοριὰ πιὸ γλυκιὰ καὶ πιὸ εὐχάριστη ἀπὸ κάθε σκιά. Γιατὶ σᾶς παρέχει μεγάλη τὴν παρηγοριὰ ὄχι μόνο γιὰ τὶς χρηματικὲς ζημιές, οὔτε γιὰ τὶς ἀπώλειες τῶν παιδιῶν, οὔτε γιὰ τὰ ἄλλα τὰ παρόμοια ἀλλὰ καὶ γι' αὐτὲς τὶς ἴδιες τὶς ἁμαρτίες. Ὅταν δηλαδὴ ὁ ἄνθρωπος κυριευθεῖ ἀπὸ τὴν ἁμαρτία καὶ ὑποσκελισθεῖ καὶ καταπέσει, καὶ στὴ συνέχεια τὸν κατατρώγει ἡ συνείδηση, καί, φέρνοντας συνέχεια στὴ μνήμη του τὴν ἁμαρτία, καταπνίγεται ἀπὸ τὴν ὑπερβολικὴ λύπη καὶ καθημερινὰ κατακαίεται, κι ἐνῶ τὸν παρηγοροῦν ἄπειροι, αὐτὸς μένει ἀπαρηγόρητος, ἐὰν ἔρθει στὴν ἐκ-

σας ὅτι πολλοὶ τῶν ἁγίων πεσόντες ἀνέστησαν καὶ εἰς τὴν προτέραν πάλιν ἐπανῆλθον εὐδοκίμησιν, λανθανόντως λαβὼν τὴν παραμυθίαν ἀπέρχεται. Καὶ ἀνθρώποις μὲν πολλάκις ἁμαρτόντες οὔτε ἐκκαλύψαι τὸ πλημμέλημα ὑπομένομεν αἰσχυνόμενοι καὶ ἐρυθριῶντες, κἂν δὲ ἐκκαλύψωμεν, οὐδὲν καρπωσόμεθα τοσοῦτον· ὅταν δὲ Θεὸς παρακαλῇ καὶ τῆς καρδίας ἅπτηται, πᾶσα ταχέως φυγαδευθήσεται σατανικὴ λύπη. Διὰ τοῦτο καὶ πτώματα τῶν δικαίων ἐστὶν ἡμῖν ἀνάγραπτα, ἵνα οἵ τε κατορθοῦντες, οἵ τε ἁμαρτάνοντες τὰ μέγιστα ἐκ τούτων κερδάνωσιν. Ὁ γὰρ ἁμαρτάνων οὐκ ἔρχεται εἰς ἀπόγνωσιν καὶ ἀπελπισμόν, ἰδὼν ἕτερον πεσόντα, καὶ πάλιν ἀναστῆναι δυνηθέντα, ὁ δὲ δικαιοσύνην ἐργαζόμενος, σπουδαιότερος ἔσται καὶ ἀσφαλέστερος. Ὅταν γὰρ τῶν αὐτοῦ πολὺ βελτιόνων πολλοὺς καταπεσόντας ἴδῃ, τῷ φόβῳ τῆς ἐκείνων πτώσεως σωφρονιζόμενος, ἐναγώνιος ἔσται πάντοτε, καὶ πολλὴν περὶ ἑαυτὸν ἐπιδείξεται τὴν ἀσφάλειαν· καὶ οὕτως ὁ μὲν τὴν ἀρετὴν κατορθῶν, ὁ δὲ ἁμαρτάνων τῆς ἀπογνώσεως ἀπαλλαγείς, ὁ μὲν στήσεται ἀσφαλῶς, ὁ δὲ ἐπανήξει ταχέως, ὅθεν ἐξέπεσεν. Ὅταν γὰρ ἡμᾶς ἄνθρωπος παρακαλῇ λυπουμένους καὶ δόξωμεν πρὸς ὀλίγον παραμυθεῖσθαι, πάλιν εἰς τὴν αὐτὴν ἀθυμίαν καταπίπτομεν· ἐπὰν δὲ ὁ Θεὸς προτρέπηται δι' ἑτέρων ἁμαρτησάντων καὶ μετανοησάντων καὶ σωθέντων, φανερὰν ἡμῖν ποιεῖ τὴν αὐτοῦ ἀγαθότητα, ἵνα μὴ ἀμφιβάλλωμεν περὶ τῆς ἑαυτῶν σωτηρίας, ὁμολογουμένην καὶ ἀσφαλῆ δεχόμενοι τὴν παράκλησιν.

Ὥσπερ οὖν ἐν ταῖς τῶν ἁμαρτημάτων περιστάσεσιν, οὕτω καὶ ἐν ταῖς τῶν κινδύνων ἐπαγωγαῖς, ἱκανὸν τοῖς ἀθυμοῦσι φάρμακον αἱ παλαιαὶ τῶν Γραφῶν ἱστορίαι παρέχουσι πᾶσι τοῖς βουλομένοις προσέχειν. Καὶ εἴτε χρημάτων δήμευσις, εἴτε συκοφαντῶν ἐπήρειαι, εἴτε δεσμωτήρια, εἴτε μάστιγες, κἂν ὁτιοῦν ἕτερον τῶν δεινῶν ἡμᾶς καταλάβῃ, ἀποβλέποντες εἰς τοὺς δικαίους τοὺς αὐτὰ παθόντας καὶ ὑπομείναντας, ταχέως εἰς ἑαυτοὺς ἐλθεῖν δυνησόμεθα. Ἐπὶ μὲν γὰρ τοῦ σώματος παθῶν τὸ πρὸς τοὺς πάσχοντας

κλησία καὶ ἀκούσει ὅτι πολλοὶ ἀπὸ τοὺς ἁγίους, ἂν καὶ ἔπεσαν, σηκώθηκαν καὶ ἐπανῆλθαν στὴν προηγούμενη πάλι εὐδοκίμηση, φεύγει ἀπὸ τὴν ἐκκλησία, ἀφοῦ λάβει ἀνεπαίσθητα τὴν παρηγοριά. Καὶ πολλὲς φορὲς ποὺ ἁμαρτάνομε δὲν ἔχομε τὴ δύναμη νὰ φανερώσομε τὸ ἁμάρτημα στοὺς ἀνθρώπους γιατὶ νιώθομε ντροπὴ καὶ κοκκινίζομε, ἀλλά, κι ἂν τὸ φανερώσομε, δὲν ὠφελούμαστε καὶ τόσο· ὅταν ὅμως μᾶς παρηγορεῖ ὁ Θεὸς καὶ ἀγγίζει τὴν καρδιά μας, τότε ἀμέσως φυγαδεύεται κάθε σατανικὴ λύπη. Γι' αὐτὸ καὶ μᾶς εἶναι γραμμένες οἱ πτώσεις τῶν δικαίων, γιὰ νὰ ὠφελοῦνται πάρα πολὺ ἀπ' αὐτὲς καὶ οἱ ἐνάρετοι καὶ οἱ ἁμαρτάνοντες. Γιατὶ ἐκεῖνος ποὺ ἁμαρτάνει δὲν κυριεύεται ἀπὸ ἀπόγνωση καὶ ἀπελπισία, βλέποντας ἄλλον ποὺ ἔπεσε καὶ μπόρεσε καὶ πάλι νὰ σηκωθεῖ, ἐνῶ ἐκεῖνος ποὺ ἀσκεῖ τὴν ἀρετὴ θὰ γίνει πιὸ σπουδαῖος καὶ πιὸ ἀσφαλής. Ὅταν δηλαδὴ δεῖ πολλούς, ποὺ εἶναι πολὺ πιὸ καλοὶ ἀπ' αὐτόν, νὰ ἔχουν πέσει, σωφρονιζόμενος ἀπὸ τὸ φόβο τῆς πτώσεως ἐκείνου, θὰ ἐπιδοθεῖ σὲ διαρκῆ ἀγώνα καὶ θ' ἀσφαλίσει πάρα πολὺ τὸν ἑαυτό του· ἔτσι ἐκεῖνος ποὺ ἀσκεῖ τὴν ἀρετὴ θὰ σταθεῖ ἀσφαλὴς στὴν ἄσκηση αὐτῆς, ἐνῶ ἐκεῖνος ποὺ ἁμαρτάνει, ἀφοῦ ἀπαλλαγεῖ ἀπὸ τὴν ἀπόγνωση, θὰ ἐπιστρέψει ἀμέσως ἐκεῖ ἀπὸ ἀπ' ὅπου ἐξέπεσε. Γιατί, ὅταν εἴμαστε λυπημένοι καὶ μᾶς παρηγορεῖ ἄνθρωπος καὶ φανοῦμε γιὰ λίγο ὅτι παρηγορούμαστε, πάλι πέφτομε στὴν ἴδια λύπη, ὅταν ὅμως μᾶς παρηγορεῖ ὁ Θεὸς μὲ ἄλλους ποὺ ἁμάρτησαν καὶ ματανόησαν καὶ σώθηκαν, μᾶς φανερώνει τὴν ἀγαθότητά του, γιὰ νὰ μὴ ἀμφιβάλλομε γιὰ τὴ σωτηρία μας, δεχόμενοι σίγουρη καὶ ἀσφαλὴ τὴν παρηγοριά.

Ὅπως ἀκριβῶς λοιπὸν στὶς περιπτώσεις τῶν ἁμαρτημάτων, ἔτσι καὶ ὅταν μᾶς βρίσκουν κίνδυνοι οἱ παλιὲς ἱστορίες τῶν Γραφῶν παρέχουν σπουδαῖο φάρμακο σ' ὅλους ἐκείνους ποὺ δοκιμάζονται ἀπὸ τὴ θλίψη καὶ θέλουν νὰ προσέχουν. Καὶ εἴτε μᾶς δημεύσουν τὰ χρήματα, εἴτε μᾶς βλάψουν συκοφάντες, εἴτε μᾶς ρίξουν στὴ φυλακή, εἴτε μᾶς μαστιγώσουν καὶ εἴτε μᾶς βρεῖ ὁποιοδήποτε ἄλλο κακό, ἔχοντας σὰν παράδειγμα τοὺς δικαίους ποὺ ἔπαθαν τὰ ἴδια καὶ ἔδειξαν ὑπομονή, θὰ μπορέσομε ἀμέσως νὰ ρθοῦμε στὸν ἑαυτό μας. Γιατὶ στὴν περίπτωση τῶν σωματικῶν

ἀφορᾶν ἐπιτείνει τὴν νόσον τοῦ ἀρρωστοῦντος, πολλάκις δὲ καὶ οὐκ οὖσαν ἐργάζεται· οἷον ὀφθαλμοὺς πάσχοντας ἰδόντες τινές, μετέλαβον τοῦ νοσήματος ἀπὸ τῆς θέας μόνης· ἐπὶ δὲ ψυχῆς οὐχ οὕτως, ἀλλὰ τὸ ἐναντίον γίνεται, καὶ τὸ συνεχῶς ἐννοεῖν τοὺς τὰ τοιαῦτα πεπονθότας, ἡμῖν κουφοτέραν ποιεῖται τὴν ἐπὶ τοῖς ἡμετέροις κακοῖς ἀθυμίαν. Διὰ τοῦτο καὶ ὁ Παῦλος τοὺς ὄντας πιστοὺς τοῦτον παρακαλεῖ τὸν τρόπον, οὐχ ὅτι τοὺς ζῶντας μόνον ἁγίους, ἀλλὰ καὶ τοὺς ἀποθανόντας εἰς μέσον παράγων. Ἑβραίοις μὲν γὰρ διαλεγόμενος μέλλουσιν ὑποσκελίζεσθαι καὶ καταπίπτειν, τοὺς ἁγίους ἄνδρας εἰς μέσον παράγει, τὸν Δανιήλ, τοὺς παῖδας τοὺς τρεῖς, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, οὑτωσὶ λέγων· «ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐλιθάσθησαν, ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος». Ἡ δὲ κοινωνία τῶν παθῶν τοῖς ὀδυνωμένοις παρέχει παραμυθίαν· καὶ καθάπερ τὸ μόνον παθεῖν τι δεινόν, ἀπαραμύθητον ἔχει τὸ κακόν, οὕτω τὸ εὑρεῖν ἕτερον τοῖς αὐτοῖς περιπεσόντα κακοῖς κουφοτέραν ἐργάζεται τὴν πληγήν.

2. Ἵν' οὖν ἐν πᾶσι τοῖς δοκοῦσιν ἡμᾶς ἐνοχλεῖν μὴ καταπίπτωμεν, μετὰ ἀκριβείας προσέχωμεν ταῖς τῶν Γραφῶν ἱστορίαις· πολλῆς γὰρ ὑπομονῆς ἐντεῦθεν ληψόμεθα ἀφορμήν, οὐ τῇ κοινωνίᾳ τῶν τὰ αὐτὰ παθόντων παραμυθούμενοι μόνον, ἀλλὰ καὶ τῷ μανθάνειν τὸν τρόπον τῆς ἀπαλλαγῆς τῶν ἐπαγομένων ἡμῖν δεινῶν, καὶ μετὰ τὴν ἄνεσιν μένειν πάλιν ἐπὶ τῆς αὐτῆς, καὶ μήτε εἰς ῥαθυμίαν ἐκπίπτειν, μήτε εἰς ἀπόνοιαν αἴρεσθαι. Τὸ μὲν γὰρ κακῶς πράττοντας συστέλλεσθαι καὶ ταπεινοῦσθαι καὶ πολλὴν εὐλάβειαν ἐπιδείκνυσθαι, θαυμαστὸν οὐδέν· αὕτη γὰρ ἡ τῶν πειρασμῶν φύσις καὶ τοὺς λιθίνην ἔχοντας καρδίαν καταναγκάζει τοῦτο ποιεῖν, τὸ

1. Πρβλ. Ἑβρ. 11,34 ἑέ.

ἀσθενειῶν, τὸ νὰ προσέχει κανεὶς τοὺς ἀσθενεῖς αὐξάνει τὴν ἀρρώστια τοῦ ἀσθενοῦς, καὶ πολλὲς φορὲς τὴν προξενεῖ καὶ χωρὶς νὰ ὑπάρχει· ὅπως βλέποντας μερικοὶ ὀφθαλμοὺς ἀσθενεῖς, ἀπόκτησαν τὴν ἀσθένεια ἀπὸ τὴ θέα καὶ μόνο· στὴν περίπτωση τῆς ψυχῆς ὅμως δὲν συμβαίνει τὸ ἴδιο, ἀλλὰ τὸ ἀντίθετο· σκεπτόμενοι δηλαδὴ συνέχεια ἐκείνους ποὺ ἔχουν πάθει αὐτά, αὐτὸ κάμνει ἐλαφρότερη τὴ λύπη μας γιὰ τὰ κακὰ ποὺ μᾶς θλίβουν. Γι' αὐτὸ καὶ ὁ Παῦλος μ' αὐτὸν τὸν τρόπο παρηγορεῖ τοὺς πραγματικοὺς πιστούς, ἀναφέροντας σὰν παράδειγμα ὄχι μόνο τοὺς ἁγίους ποὺ βρίσκονται στὴ ζωή, ἀλλὰ καὶ τοὺς πεθαμένους. Μιλώντας δηλαδὴ πρὸς τοὺς Ἑβραίους ποὺ κινδύνευαν νὰ ὑποσκελισθοῦν καὶ νὰ καταπέσουν, φέρνει σὰν παράδειγμα τοὺς ἅγιους ἄνδρες, τὸν Δανιήλ, τὰ τρία παιδιά, τὸν Ἠλία, τὸν Ἐλισσαῖο, λέγοντας τὰ ἑξῆς· «ἔκλεισαν στόματα λιονταριῶν, ἔσβησαν τὴ δύναμη τῆς φωτιᾶς, διέφυγαν τὶς κόψες τῶν μαχαιριῶν, λιθοβολήθηκαν, ἐμπαίχτηκαν καὶ μαστιγώθηκαν, καὶ ἀκόμη δέθηκαν καὶ φυλακίσθηκαν· περιφέρονταν φορώντας προβιὲς καὶ δέρματα ἀπὸ γίδια, γεμάτοι ἀπὸ στερήσεις, θλίψεις καὶ κακουχίες, ὑποφέροντας αὐτὰ ἐκεῖνοι πρὸς τοὺς ὁποίους δὲν ἦταν ἄξιος ὅλος ὁ κόσμος»[1]. Ἡ συμμετοχὴ στὰ παθήματα τῶν ἄλλων παρέχει παρηγοριὰ σ' ἐκείνους ποὺ ὑποφέρουν· καὶ ὅπως ἀκριβῶς τὸ νὰ πάθει κανεὶς μόνος κάποιο κακὸ εἶναι ἀπαρηγόρητη ἡ λύπη του γι' αὐτό, ἔτσι τὸ νὰ βρεῖ ἄλλον ποὺ ὑπέπεσε στὰ ἴδια κακὰ αὐτὸ κάμνει ἐλαφρότερη τὴν πληγή.

2. Γιὰ νὰ μὴ χάνομε λοιπὸν τὸ θάρρος μας ἀπὸ ὅλα ἐκεῖνα ποὺ φαίνονται πὼς μᾶς ἐνοχλοῦν, ἂς προσέχομε μὲ ὅλη μας τὴν προθυμία τὶς ἱστορίες τῶν Γραφῶν· γιατὶ θὰ λάβομε μεγάλη ἀφορμὴ ἀπὸ αὐτὲς γιὰ ὑπομονή, ὄχι μόνο παρηγορούμενοι ἀπὸ τὴ συμμετοχὴ ἐκείνων ποὺ ἔπαθαν αὐτά, ἀλλὰ καὶ μὲ τὸ ὅτι θὰ μάθομε τὸν τρόπο τῆς ἀπαλλαγῆς ἀπὸ τὰ κακὰ ποὺ μᾶς βρίσκουν, καὶ μετὰ τὴν ἀπαλλαγὴ νὰ παραμένομε στὴν ἴδια κατάσταση, χωρὶς νὰ περιπίπτομε σὲ ἀδιαφορία, οὔτε νὰ κυριευόμαστε ἀπὸ ἀλαζονεία. Γιατὶ τὸ νὰ διαπράττομε κακὰ καὶ νὰ μετανοοῦμε καὶ νὰ ταπεινωνόμαστε καὶ νὰ δείχνομε μεγάλη εὐλάβεια, αὐτὸ δὲν εἶναι καθόλου θαυμαστό· γιατὶ ἡ ἴδια ἡ φύση τῶν πειρασμῶν ἀναγκάζει νὰ τὸ κάνουν αὐτό,

λυπεῖσθαι· ψυχῆς δέ ἐστιν εὐλαβοῦς καὶ τὸν Θεὸν ἐχούσης διηνεκῶς πρὸ ὀφθαλμῶν, καὶ μετὰ τὴν τῶν πειρασμῶν ἀπαλλαγὴν μηδέποτε εἰς λήθην ἐμπεσεῖν, ὅπερ Ἰουδαῖοι συνεχῶς ἔπασχον. Διὸ καὶ σκώπτων αὐτοὺς ὁ προφήτης ἔλεγεν· «ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐζήτουν αὐτόν, καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς Θεόν». Καὶ Μωϋσῆς δὲ αὐτοῖς τοῦτο αὐτὸ συνειδώς, παρῄνει συνεχῶς λέγων· «φαγὼν καὶ πιὼν καὶ ἐμπλησθείς, πρόσεχε σεαυτῷ, μὴ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου». Τοῦτο γοῦν καὶ ἐγένετο· «ἔφαγε» γάρ, φησίν, «Ἰακὼβ καὶ ἐλιπάθη καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος». Διόπερ οὐ διὰ τοῦτο χρὴ θαυμάζειν τοὺς ἁγίους, ὅτι τῆς θλίψεως αὐτῆς ἀκμαζούσης, οὕτως ἦσαν εὐλαβεῖς καὶ φιλόσοφοι, ἀλλ' ὅτι καὶ τοῦ χειμῶνος παρελθόντος καὶ γαλήνης γινομένης, ἐπὶ τῆς αὐτῆς ἔμενον ἐπιεικείας καὶ σπουδῆς. Καὶ ἵππον δὲ ἐκεῖνον θαυμάζειν μάλιστα χρὴ τὸν χωρὶς χαλινοῦ δυνάμενον εὔρυθμα βαδίζειν· ἂν δέ, κημοῦ καὶ χαλινοῦ κατέχοντος αὐτόν, εὐτακτῇ, θαυμαστὸν οὐδέν· οὐ γὰρ τῇ εὐγενείᾳ τοῦ ζώου, ἀλλὰ τῇ ἀνάγκῃ τοῦ χαλινοῦ τὴν εὐταξίαν λογίσασθαι χρή.

Τοῦτο καὶ ἐπὶ ψυχῆς ἔστιν εἰπεῖν, ὅτι φόβου μὲν ἐπικειμένου ἠρεμεῖν, θαυμαστὸν οὐδέν· ὅταν δὲ παρέλθωσιν οἱ πειρασμοὶ καὶ τὸν χαλινὸν τοῦ φόβου περιέλῃ τις, τότε μοι δεῖξον φιλοσοφίαν ψυχῆς καὶ τὴν εὐταξίαν ἅπασαν. Ἀλλὰ φοβοῦμαι μή, βουλόμενος Ἰουδαίων κατηγορεῖν, τῆς ἡμετέρας κατηγορήσω πολιτείας/ ἐπεὶ καὶ ἡμεῖς ἡνίκα ἐσαλευόμεθα ἀπό τε λιμοῦ καὶ λοιμοῦ καὶ χαλάζης καὶ ἀβροχίας καὶ ἐμπρησμῶν καὶ ἐπαναστάσεως ἐχθρῶν, οὐχὶ καθ' ἑκάστην ἡμέραν ἡ ἐκκλησία τῷ πλήθει τῶν συναγομένων ἐστενοχωρεῖτο; καὶ πολλή τις ἦν ἡμῶν ἡ φιλοσοφία καὶ ὑπεροψία τῶν βιωτικῶν πραγμάτων, καὶ οὔτε χρημάτων πόθος, οὔτε δόξης ἐπιθυμία, οὔτε ὄρεξις καὶ ἔρως ἀσελγείας, οὔτε ἄλλος τις λογισμὸς

---

2. Ψαλμ. 77,34.
3. Δευτ. 6,12 · 15.
4. Δευτ. 32,15.

τὸ νὰ λυπηθοῦν δηλαδή, καὶ ἐκείνους ποὺ ἔχουν πέτρινη καρδιά· ἐνῶ γνώρισμα τῆς εὐλαβικῆς ψυχῆς εἶναι τὸ νὰ ἔχει πάντοτε μπροστὰ στὰ μάτια της τὸ Θεὸ καὶ μετὰ τὴν ἀπαλλαγὴ ἀπὸ τοὺς πειρασμοὺς νὰ μὴ λησμονεῖ ποτὲ τὸ Θεό, πράγμα ποὺ πάθαιναν συνέχεια οἱ Ἰουδαῖοι. Γι' αὐτὸ καὶ κατηγορώντας αὐτοὺς ὁ προφήτης ἔλεγε· «ὅταν θανάτωνε αὐτούς, τότε τὸν ζητοῦσαν καὶ μετανοοῦσαν καὶ ἐπέστρεφαν γρήγορα πρὸς τὸ Θεό»[2]. Καὶ ὁ Μωϋσῆς γνωρίζοντας καλὰ αὐτὸ τὸ ἐλάττωμά τους, τοὺς συμβούλευε συνέχεια λέγοντας· «ἀφοῦ φᾶς καὶ πιεῖς καὶ χορτάσεις, πρόσεχε τὸν ἑαυτό σου, μήπως λησμονήσει τὸν Κύριο τὸ Θεό σου»[3]. Αὐτὸ βέβαια καὶ ἔγινε· γιατὶ λέγει, «ἔφαγε ὁ Ἰακὼβ καὶ λιπάνθηκε καὶ παχύνθηκε καὶ κλώτσησε ὁ ἀγαπημένος»[4]. Γι' αὐτὸ ἀκριβῶς δὲν πρέπει νὰ θαυμάζομε τοὺς ἁγίους ποὺ ἔδειχναν τόση εὐλάβεια καὶ φιλοσοφικότητα τὴ στιγμὴ ποὺ ἡ θλίψη τους βρισκόταν στὴν ἀκμή της, ἀλλὰ γιὰ τὸ ὅτι καὶ ὅταν περνοῦσε ἡ τρικυμία καὶ ἐπικρατοῦσε γαλήνη ἐξακολουθοῦσαν νὰ δείχνουν τὴν ἴδια ἠρεμία καὶ προθυμία. Ἀλλὰ καὶ ἵππο ἐκεῖνον πρὸ πάντων πρέπει νὰ θαυμάζομε ποὺ μπορεῖ καὶ χωρὶς χαλινάρι νὰ βαδίζει ρυθμικά· ἂν ὅμως βαδίζει μὲ εὐταξία ἐπειδὴ τὸν ὑποχρεώνει τὸ φίμωτρο καὶ τὸ χαλινάρι αὐτὸ δεν εἶναι καθόλου θαυμαστό· γιατὶ δὲν πρέπει ν' ἀποδώσομε τὸ ρυθμικὸ βάδισμα στὴν εὐγένεια τοῦ ζώου, ἀλλὰ στὸ ἀναγκαστικὸ χαλινάρι.

Αὐτὸ μποροῦμε νὰ ποῦμε καὶ γιὰ τὴν ψυχή, ὅτι δηλαδὴ δὲν εἶναι καθόλου ἀξιοθαύμαστο τὸ νὰ ἠρεμεῖ ὅταν ὑπάρχει φόβος· ὅταν ὅμως περάσουν οἱ πειρασμοὶ κι ἀφαιρέσει κάποιος τὸ χαλινάρι τοῦ φόβου, τότε δεῖξε μου τὴν εὐσέβεια τῆς ψυχῆς καὶ ὅλη τὴν εὐταξία της. Ἀλλὰ φοβᾶμαι μήπως, θέλοντας νὰ κατηγορήσω τοὺς Ἰουδαίους, κατηγορήσω τὸν δικό μας τρόπο ζωῆς· γιατὶ κι ἐμεῖς ὅταν κλονιζόμασταν καὶ ἀπὸ τὴν πείνα καὶ ἀπὸ τὴ λοιμώδη ἀρρώστια καὶ ἀπὸ τὸ χαλάζι καὶ ἀπὸ τὴν ἀβροχιὰ καὶ ἀπὸ τοὺς ἐμπρησμοὺς καὶ ἀπὸ τὶς ἐπαναστάσεις τῶν ἐχθρῶν δὲν συνέβαινε τότε νὰ εἶναι καθημερινὰ ἀσφυκτικὰ γεμάτη ἡ ἐκκλησία ἀπὸ τὸ πλῆθος ποὺ συγκεντρονόταν; Καὶ ἦταν τότε μεγάλη ἡ εὐσέβειά μας καὶ ἡ περιφρόνηση τῶν κοσμικῶν πραγμάτων, καὶ δὲν μᾶς ἐνοχλοῦσε

πονηρὸς τότε ἠνώχλει, ἀλλὰ πάντες εἰς θεοσέβειαν ἑαυτοὺς ἐπεδώκατε, μετὰ δεήσεως καὶ δακρύων· καὶ ὁ πόρνος μὲν ἐσωφρόνει τότε, ὁ δὲ μνησίκακος ἐπὶ τὰς καταλλαγὰς ἐτρέπετο, ὁ πλεονέκτης πρὸς ἐλεημοσύνην ἐκάμπτετο, ὁ ὀργίλος καὶ θρασὺς εἰς ταπεινοφροσύνην καὶ πραότητα μετεβάλλετο· καὶ ἐπὰν ὁ Θεὸς τὴν ὀργὴν ἐκείνην διεσκέδασε καὶ τὸν χειμῶνα παρήγαγε καὶ γαλήνην ἐποίησεν ἐκ τοσούτων κυμάτων, εἰς τὰς πρότερον πάλιν ἐπανήλθομεν προλήψεις. Καίτοι γε οὐκ ἐπαυόμην τότε παρ' αὐτὸν τὸν καιρὸν τῶν πειρασμῶν προλέγων ταῦτα καὶ προδιαμαρτυρόμενος· ἀλλ' ὅμως οὐδὲν ἡμῖν ἐγένετό τι πλέον, ἀλλ' ὡς ὄναρ καὶ σκιὰν παρελθοῦσαν, οὕτως ἅπαντα ἐκεῖνα τῆς διανοίας ἐξεβάλετε.

Διὰ δὴ τοῦτο δέδοικα νῦν μᾶλλον ἢ τότε, καὶ ὃ τότε ἔλεγον, νῦν δέδοικα μειζόνως, μὴ χαλεπώτερα τῶν προτέρων ἐπισπασώμεθα κακά, καὶ τότε δεξώμεθα πληγὴν ἀνίατον ἐκ τοῦ Θεοῦ. Ὅτε γάρ τις συνεχῶς ἁμαρτάνων συγγνώμης τυγχάνει παρὰ τοῦ Θεοῦ, εἶτα μηδὲν ἀπὸ τῆς ἀνεξικακίας ταύτης κερδάνῃ ὁ ἄνθρωπος εἰς τὴν τῆς κακίας ἀπαλλαγήν, λοιπὸν τοῦτον παρασκευάζει, ὥστε καὶ μὴ βουλόμενον αὐτὸν τὸν κολοφῶνα τῶν κακῶν ἐπαγαγεῖν, καὶ ἐκτρίψαι αὐτὸν τέλειον, καὶ μηκέτι δοῦναι μετανοίας τινὰ προθεσμίαν, ὃ καὶ ἐπὶ τοῦ Φαραὼ συνέβη. Ἐπειδὴ γὰρ προτέρᾳ καὶ δευτέρᾳ καὶ τρίτῃ καὶ τετάρτῃ καὶ ταῖς μετ' ἐκείναις πληγαῖς πολλῆς ἀπήλαυσε μακροθυμίας παρὰ τοῦ Θεοῦ οὐδὲν ἐγένετο αὐτῷ τι χρήσιμον, ἐξετρίβη λοιπὸν ναὶ ἠφανίσθη μετὰ τῆς πόλεως ἄρδην. Τοῦτο καὶ Ἰουδαῖοι πεπόνθασι. Διὸ καὶ ὁ Χριστὸς μέλλων αὐτοὺς ἀφανίζειν καὶ ἐρημίαν ἐπάγειν αὐτοῖς ἀδιόρθωτον, οὕτως ἔλεγε· «ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε. Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος». Δέδοικα οὖν μὴ καὶ ἡμεῖς τὰ αὐτὰ πάθωμεν, ὅτι οὔτε τοῖς ἀλλοτρίοις, οὔτε τοῖς ἡμετέροις σωφρονιζόμεθα κακοῖς. Οὐ πρὸς ὑμᾶς δὲ μόνον λέγω ταῦτα τοὺς νῦν παρόντας, ἀλλὰ καὶ πρὸς τοὺς ἀπορραγέντας τῆς καθημερινῆς

5. Λουκᾶ 13,34.

οὔτε πόθος χρημάτων, οὔτε ἐπιθυμία δόξας, οὔτε ὄρεξη καὶ ἔρωτας γιὰ ἀσέλγεια, οὔτε κάποιος ἄλλος πονηρὸς λογισμός, ἀλλ' ὅλοι παραδώσατε τότε τὸν ἑαυτό σας στὴ θεοσέβεια μὲ παρακλήσεις καὶ δάκρυα· καὶ τότε ὁ πόρνος σωφρονοῦσε, ὁ μνησίκακος πήγαινε γιὰ συμφιλίωση, ὁ πλεονέκτης λύγιζε στὸ νὰ κάμει ἐλεημοσύνη, ὁ ὀργίλος καὶ ὁ θρασὺς παρουσίαζε μεταβολὴ πρὸς ταπεινοφροσύνη καὶ πραότητα· ὅταν ὅμως ὁ Θεὸς σταμάτησε ἐκείνη τὴν ὀργή του κι ἔδωσε τέρμα στὴν τρικυμία, χαρίζοντας γαλήνη ἀπὸ τὰ τόσα κύματα, ἐπιστρέψαμε πάλι στὶς προηγούμενες συνήθειες. Ἂν καὶ βέβαια δὲν σταματοῦσα τότε ποὺ συνέβαιναν οἱ δοκιμασίες ἐκεῖνες νὰ προλέγω αὐτὰ καὶ νὰ διαμαρτύρομαι ἀπὸ τότε, ὅμως τίποτα παραπάνω δὲν κερδίσαμε, ἀλλὰ σὰν ὄνειρο καὶ σκιὰ ποὺ πέρασε, ἔτσι ὅλα ἐκεῖνα τὰ διώξατε ἀπὸ τὴ σκέψη σας.

Γι' αὐτὸ λοιπὸν φοβᾶμαι τώρα πολὺ περισσότερο παρὰ τότε, καὶ ἐκεῖνο ποὺ ἔλεγα τότε, τώρα τὸ φοβᾶμαι περισσότερο, μήπως δηλαδὴ ἐπισύρομε φοβερότερα κακὰ ἀπὸ τὰ προηγούμενα καὶ δεχθοῦμε τότε ἀπὸ τὸ Θεὸ ἀθεράπευτη πληγή. Γιατί, ὅταν κανεὶς ἁμαρτάνοντας συνέχεια δέχεται συγχώρηση ἀπὸ τὸ Θεό, καὶ δὲν κερδίζει ὁ ἄνθρωπος αὐτὸς τίποτα ἀπὸ τὴν ἀνεξικακία τοῦ Θεοῦ στὸ ν' ἀπαλλαγεῖ ἀπὸ τὴν κακία, αὐτὸν τότε τὸν κάνει τέτοιο, ὥστε καὶ χωρὶς νὰ θέλει νὰ φτάσει στὸ ἀποκορύφωμα τῶν κακῶν καὶ νὰ τὸν συντρίψει τελείως, χωρὶς νὰ τοῦ δώσει καμιὰ ἄλλη εὐκαιρία γιὰ μετάνοια, πράγμα ποὺ συνέβηκε στὴν περίπτωση τοῦ Φαραώ. Ἐπειδὴ δηλαδὴ μὲ τὴν πρώτη, τὴ δεύτερη, τὴν τρίτη, τὴν τέταρτη καὶ τὶς ἄλλες στὴ συνέχεια πληγὲς ἀπόλαυσε μεγάλη μακροθυμία ἀπὸ τὸ Θεὸ καὶ δὲν ὠφελήθηκε σὲ τίποτε ἀπ' αὐτό, συντρίφτηκε στὴ συνέχεια καὶ ἐξαφανίσθηκε ὁλοκληρωτικά. Αὐτὸ ἔπαθαν καὶ οἱ Ἰουδαῖοι. Γι' αὐτὸ καὶ ὁ Χριστός, ἐπειδὴ ἐπρόκειτο νὰ τοὺς ἐξαφανίσει καὶ νὰ τοὺς ἐρημώσει κατὰ τρόπο ἀδιόρθωτο, ἔλεγε τὰ ἑξῆς· «πόσες φορὲς θέλησα νὰ συγκεντρώσω τὰ τέκνα σου καὶ δὲ θελήσατε. Νά, ἀφήνεται ὁ οἶκος σας ἔρημος»[5]. Φοβᾶμαι λοιπὸν μήπως κι ἐμεῖς πάθομε τὰ ἴδια, γιατὶ δὲ σωφρονιζόμαστε οὔτε μὲ τὰ ξένα οὔτε μὲ τὰ δικά μας κακά. Κι αὐτὰ δὲν τὰ λέγω μόνο γιὰ σᾶς ποὺ εἶστε ἐδῶ παρόντες, ἀλλὰ καὶ γιὰ ἐκείνους

σπουδῆς καὶ τῶν προτέρων θλίψεων ἐπιλελησμένους, πρὸς οὓς οὐ διέλιπον ἀεὶ διαρρηγνύμενος και λέγων, ὅτι εἰ καὶ παρῆλθον οἱ πειρασμοί, μενέτω ἐν ταῖς ψυχαῖς ἡμῶν τῶν πειρασμῶν ἡ μνήμη, ἵνα καὶ τῆς εὐεργεσίας συνεχῶς μνημονεύοντες, διηνεκῶς εὐχαριστῶμεν τῷ ταύτην παρασχόντι Θεῷ.

3. Ταῦτα καὶ τότε ἔλεγον καὶ νῦν λέγω ὑμῖν καὶ δι' ὑμῶν ἐκείνοις· μιμησώμεθα τοὺς ἁγίους, οἵτινες οὔτε ὑπὸ τῶν θλίψεων κατεπόθησαν, οὔτε ὑπὸ τῆς ἀνέσεως χαυνότεροι γεγόνασιν, ὅπερ πολλοὶ τῶν ἀνθρώπων νῦν πάσχομεν, καθάπερ τὰ κοῦφα τῶν πλοίων ὑπὸ πάσης περιστάσεως κυμάτων περιαντλούμενα βαπτίζεται. Καὶ γὰρ πενία πολλάκις ἡμῖν ἐπελθοῦσα ἐβάπτισε καὶ ὑποβρυχίους ἡμᾶς ἐποίησε, καὶ πλοῦτος προσγενόμενος, πάλιν ἐφύσησεν ἡμᾶς καὶ εἰς ἐσχάτην ὀλιγωρίαν ἐνέβαλε. Διὸ παρακαλῶ, παραλιπόντες ἅπαντα, τὰς ἑαυτῶν ψυχὰς ρυθμίσωμεν πρὸς σωτηρίαν ἕκαστος ἡμῶν· ταύτης γὰρ καλῶς διακειμένης, ὅπερ ἂν ἐμπέσῃ τῶν δεινῶν, κἂν λιμός, κἂν νόσος, κἂν συκοφαντία, κἂν χρημάτων διαρπαγή, κἂν ὅ,τι ἄλλο οὖν, φορητὸν ἔσται καὶ κοῦφον, διὰ τὴν τοῦ Δεσπότου ἐντολὴν καὶ τὴν εἰς αὐτὸν ἐλπίδα· ὥσπερ πάλιν τῆς ψυχῆς πρὸς τὸν Θεὸν οὐκ ἐχούσης καλῶς, κἂν πλοῦτος ἐπιρρέῃ, κἂν παῖδες παρῶσι, κἂν μυρίων ἀπόλαυσις ᾖ χρημάτων, ἀθυμίας πολλὰς ἐπισπάσεται ὁ τοιοῦτος καὶ φροντίδας. Μὴ τοίνυν πλοῦτον ζητῶμεν, μὴ πενίαν φεύγωμεν, ἀλλὰ πρὸ πάντων τῆς ἑαυτῶν ἐπιμελώμεθα ψυχῆς ἕκαστος, καὶ ποιῶμεν ἐπιτηδείαν αὐτὴν πρός τε τὴν τοῦ παρόντος βίου οἰκονομίαν, καὶ πρὸς τὴν ἐντεῦθεν ἐκεῖσε ἀποδημίαν. Ἔτι γὰρ μικρὸν καὶ ἡ δοκιμασία ἑκάστου ἡμῶν γενήσεται, ἡνίκα πάντες παραστῶμεν τῷ φοβερῷ βήματι τοῦ Χριστοῦ, περιβεβλημένοι τὰς ἑαυτῶν πράξεις καὶ τοῖς ὀφθαλμοῖς ἡμῶν ὁρῶντες, τοῦτο μὲν τὰ δάκρυα τῶν ὀρφανῶν, τοῦτο δὲ τὰς αἰσχρὰς ἀσελγείας, ἐν αἷς ἐμιάναμεν τὰς ἑαυτῶν ψυχάς, τοῦτο δὲ τοὺς στεναγμοὺς τῶν χηρῶν, τοῦτο δὲ τοὺς κονδυλισμοὺς τῶν πενήτων, τὰς ἁρπαγὰς τῶν πτωχῶν· οὐ μόνον δὲ ταῦτα καὶ τὰ τούτοις ὅμοια,

ποὺ ἐγκατέλειψαν τὴν καθημερινὴ φροντίδα καὶ ξέχασαν τὶς προηγούμενες θλίψεις, γιὰ τοὺς ὁποίους δὲν σταμάτησα νὰ στεναχωριέμαι πάντοτε καὶ νὰ λέγω, ὅτι, ἂν καὶ πέρασαν οἱ δοκιμασίες, ὅμως πρέπει νὰ μείνει μέσα στὶς ψυχές μας ἡ ἀνάμνηση τῶν δοκιμασιῶν, ὥστε, ἐνθυμούμενοι συνέχεια τὴν εὐεργεσία, νὰ εὐχαριστοῦμε διαρκῶς τὸ Θεὸ ποὺ μᾶς τὴν ἔδωσε.

3. Αὐτὰ καὶ τότε ἔλεγα καὶ τώρα σᾶς λέγω καὶ λέγοντάς τα σὲ σᾶς τὰ λέγω καὶ πρὸς ἐκείνους· ἂς μιμηθοῦμε τοὺς ἁγίους, οἱ ὁποῖοι οὔτε ἀπὸ τὶς θλίψεις ἐξαφανίσθηκαν, οὔτε ἔγιναν πιὸ χαῦνοι ἐξ αἰτίας τῆς ἄνεσης, πράγμα ποὺ παθαίνουν τώρα πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους, ὅπως ἀκριβῶς τὰ ἐλαφριὰ πλοῖα πού, δεχόμενα τὰ χτυπήματα τῶν κυμάτων, καταβυθίζονται. Πραγματικὰ καὶ ἡ φτώχεια πολλὲς φορὲς ποὺ μᾶς βρῆκε μᾶς καταπόντισε καὶ μᾶς ἔρριξε στὸ βυθό, καὶ ὁ πλοῦτος ποὺ μᾶς ἦρθε, πάλι μᾶς φούσκωσε τὰ μυαλὰ καὶ μᾶς ὁδήγησε στὴ χειρότερη ἀδιαφορία. Γι' αὐτὸ παρακαλῶ, ἀφοῦ τ' ἀφήσομε κατὰ μέρος ὅλα, ὁ καθένας μας ἂς ρυθμίσει τὴν ψυχή του γιὰ νὰ δεχθεῖ τὴ σωτηρία· γιατί, ὅταν αὐτὴ βρίσκεται σὲ καλὴ κατάσταση, ὅποιο ἀπὸ τὰ κακὰ καὶ ἂν μᾶς βρεῖ, εἴτε ἀρρώστια, εἴτε συκοφαντία, εἴτε ἁρπαγὴ χρημάτων, εἴτε ὁτιδήποτε ἄλλο, θὰ εἶναι ὑποφερτὸ καὶ ἐλαφρύ, ἐξ αἰτίας τῆς ἐντολῆς τοῦ Κυρίου καὶ τῆς ἐλπίδας μας πρὸς αὐτόν· ὅπως πάλι, ἂν ἡ ψυχὴ δὲν βρίσκεται σὲ καλὴ σχέση μὲ τὸ Θεό, εἴτε τρέχει τότε μὲ ἀφθονία ὁ πλοῦτος, εἴτε ὑπάρχουν παιδιά, εἴτε ἀπολαμβάνει κανεὶς ἄπειρα χρήματα, θὰ δοκιμάσει ὁ ἄνθρωπος αὐτὸς πολλὲς θλίψεις καὶ φροντίδες. Ἂς μὴν ἐπιζητοῦμε λοιπὸν τὸν πλοῦτο, οὔτε ν' ἀποφεύγομε τὴ φτώχεια, ἀλλὰ πρὸ πάντων ἂς φροντίζομε ὁ καθένας τὴν ψυχή μας καὶ ἂς τὴν κάμνομε κατάλληλη πρὸς ἀντιμετώπιση τῆς παρούσας ζωῆς καὶ τὴν ἀποδημία της ἀπὸ τὴν ἐδῶ στὴν ἐκεῖ ζωή. Γιατὶ λίγο ἀκόμη, καὶ θ' ἀκολουθήσει ἡ δοκιμασία τοῦ καθενός μας, ὅταν θὰ παρουσιασθοῦμε ὅλοι μπροστὰ στὸ βῆμα τοῦ Χριστοῦ ντυμένοι μὲ τὶς πράξεις μας καὶ βλέποντας μὲ τὰ μάτια μας τὰ δάκρυα τῶν ὀρφανῶν, τὶς αἰσχρὲς ἀσέλγειές μας μὲ τὶς ὁποῖες μολύναμε τὶς ψυχές μας, τοὺς στεναγμοὺς τῶν χηρῶν, τὶς κακοποιήσεις τῶν φτωχῶν, τὶς ἁρπαγὲς τῶν φτωχῶν, καὶ ὄχι μόνο

ἀλλ' εἴ τι καὶ ἐν διανοίᾳ ἄτοπον διεπράξαμεν· ὅτι αὐτός ἐστιν «ἐνθυμήσεων δικαστής, καὶ ἐννοιῶν κριτής»· καὶ πάλιν· «ἐτάζων καρδίας καὶ νεφρούς», καὶ «ἀποδιδοὺς ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ».

Οὗτος δέ μοι ὁ λόγος οὐ πρὸς τοὺς ἐν τῷ βίῳ ἐξεταζομένους μόνον ἐστίν, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τοῖς ὄρεσι τὰς ἑαυτῶν καλύβας πηξαμένους τοῦ μοναδικοῦ ἕνεκεν βίου, ὅτι οὐ μόνον τὰ σώματα αὐτῶν οἱ τοιοῦτοι φυλάττειν ὀφείλουσιν ἀπὸ μολυσμοῦ πορνείας, ἀλλὰ καὶ τὴν ψυχὴν ἀπὸ πάσης σατανικῆς πλεονεξίας. Οὐ γὰρ γυναιξὶ μόνον διαλέγεται ὁ ἀπόστολος Παῦλος ἀλλὰ καὶ ἀνδράσι καὶ ὁλοκλήρῳ τῇ Ἐκκλησίᾳ, ὅτι, φησί, τὴν παρθενευομένην ψυχὴν εἶναι δεῖ ἁγίαν καὶ σώματι καὶ πνεύματι· καὶ πάλιν, «παραστήσατε τὰ σώματα ὑμῶν παρθένον ἁγνήν»· ἁγνὴν δὲ πῶς; «Μὴ ἔχουσαν σπίλον ἢ ρυτίδα». Ἐπεὶ κἀκεῖναι αἱ παρθένοι αἱ τὰς λαμπάδας ἔχουσαι ἐσβεσμένας, παρθένοι ἦσαν τῷ σώματι, ἀλλ' οὐχ ἁγναὶ τῇ καρδίᾳ, ἀλλ' εἰ καὶ μὴ ἀνὴρ αὐτὰς διέφθειρε, ἀλλ' ὁ τῶν χρημάτων διέφθειρεν ἔρως· τὸ σῶμα αὐτῶν ἦν καθαρόν, ἀλλ' ἡ ψυχὴ αὐτῶν πολλῆς ἦν ἐμπεπλησμένη τῆς μοιχείας πονηρῶν λογισμῶν εἰς αὐτὰς χωρησάντων, τῆς τε φιλοχρηματίας καὶ ἀσπλαγχνίας καὶ ὀργῆς καὶ φθόνου καὶ ἀργίας καὶ λήθης καὶ ὑπερηφανίας λυμαινομένων πάντων τὴν σεμνότητα τῆς παρθενίας αὐτῶν. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «ἵνα ἡ παρθένος ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι»· καὶ πάλιν, «παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ». Ὥσπερ γὰρ τὸ σῶμα ὑπὸ μοιχειῶν διαφθείρεται, οὕτω καὶ ἡ ψυχὴ ὑπὸ λογισμῶν σατανικῶν μαίνεται, ὑπὸ δογμάτων διεφθαρμένων, ὑπὸ νοημάτων ἀτόπων. Ὁ γὰρ λέγων, 'παρθένος εἰμὶ τῷ σώματι', τῇ δὲ ψυχῇ φθονεῖ τῷ ἀδελφῷ, οὗτος οὐκ ἔστι παρθένος· τὴν γὰρ παρθενίαν αὐτοῦ διέφθειρεν ἡ τοῦ φθόνου μίξις. Πάλιν ὁ κενόδοξος οὐκ ἔστι παρθένος· τὴν γὰρ παρθενίαν αὐτοῦ διέφθειρεν ὁ τῆς βασκανίας ἔρως· τὸ γὰρ πάθος εἰσελθόν, τῆς ψυχῆς ἔλυσεν αὐτοῦ τὴν παρθε-

---

6. Ἑβρ. 4,12.
7. Ψαλμ. 7,10.
8. Ματθ. 16,27.
9. Β' Κορ. 11,2.
10. Ἐφ. 5,27.
12. Α' Κορ. 7,34.
13. Β' Κορ. 11,2.

αὐτὰ καὶ τὰ ὅμοια μ' αὐτά, ἀλλὰ ἀκόμη κι ἂν διαπράξαμε κάτι τὸ ἀπρεπὲς μὲ τὴ σκέψη μας· γιατὶ αὐτὸς εἶναι «δικαστὴς τῶν σκέψεων, καὶ κριτὴς τῶν προθέσεων»[6]· καὶ πάλι· «αὐτὸς εἶναι ποὺ ἐρευνᾶ τὶς καρδιὲς καὶ τὶς ἐπιθυμίες»[7], καί, «ἀνταμείβει τὸν καθένα σύμφωνα μὲ τὰ ἔργα του»[8].

Αὐτὰ τὰ λόγια μου λέγονται ὄχι μόνο γιὰ ἐκείνους ποὺ δοκιμάζονται μέσα στὴν κοσμικὴ ζωή, ἀλλὰ καὶ γιὰ ἐκείνους ποὺ ἔστησαν τὶς καλύβες τους στὰ ὄρη ἐξ αἰτίας τοῦ μοναχικοῦ βίου, γιατὶ αὐτοὶ πρέπει νὰ φυλάγουν ὄχι μόνο τὰ σώματά τους ἀπὸ τὸν μολυσμὸ τῆς πορνείας, ἀλλὰ καὶ τὴν ψυχή τους ἀπὸ κάθε σατανικὴ πλεονεξία. Γιατὶ ὁ ἀπόστολος δὲν μιλάει μόνο γιὰ τὶς γυναῖκες, ἀλλὰ καὶ γιὰ τοὺς ἄνδρες καὶ γιὰ ὁλόκληρη τὴν ἐκκλησία, γιατὶ λέγει, ἡ ψυχὴ ποὺ ἀσκεῖ τὴν παρθενία πρέπει νὰ εἶναι ἁγνὴ στὸ σῶμα καὶ στὸ πνεῦμα· καὶ πάλι, «καταστῆστε τὰ σώματά σας σὰν ἁγνὴ παρθένο»[9]· καὶ ἁγνὴ πῶς; «Χωρὶς νὰ ἔχει κηλίδα ἢ ρυτίδα»[10]. Γιατὶ κι ἐκεῖνες οἱ παρθένες ποὺ εἶχαν σβησμένες τὶς λαμπάδες[11], ἦταν παρθένες στὸ σῶμα, ὄχι ὅμως ἁγνὲς στὴν καρδία, ἀλλ', ἂν καὶ δὲν διέφθειρε ἄνδρας τὴν παρθενία τους, τίς διέφθειρε ὅμως ὁ ἔρωτας τῶν χρημάτων· τὸ σῶμα τους ἦταν καθαρό, ἀλλ' ἡ ψυχή τους ἦταν γεμάτη ἀπὸ τὴν πολλὴ μοιχεία τῶν πονηρῶν λογισμῶν ποὺ εἶχαν εἰσχωρήσει σ' αὐτές, καὶ τῆς φιλοχρηματίας, καὶ τῆς ἀσπλαγχνίας, καὶ τῆς ὀργῆς, καὶ τοῦ φθόνου, καὶ τῆς ἀργίας, καὶ τῆς ἀδιαφορίας, καὶ τῆς ὑπερηφάνειας, ποὺ διέφθειραν ὅλα τὴ σεμνότητα τῆς παρθενίας τους. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «γιὰ νὰ εἶναι ἡ παρθένα ἁγνὴ στὸ σῶμα καὶ στὸ πνεῦμα»[12]· καὶ πάλι, «γιὰ νὰ τὴν παρουσιάσει παρθένα ἁγνὴ μπροστὰ στὸ Χριστό»[13]. Γιατί, ὅπως τὸ σῶμα διαφθείρεται ἀπὸ μοιχεῖες, ἔτσι καὶ ἡ ψυχὴ μολύνεται ἀπὸ σατανικοὺς λογισμούς, ἀπὸ διεφθαρμένα δόγματα, ἀπὸ ἀπρεπὴ νοήματα. Γιατὶ ἐκεῖνος ποὺ λέγει, 'εἶμαι παρθένος στὸ σῶμα', μὲ τὴν ψυχὴ ὅμως φθονεῖ τὸν ἀδελφό του, αὐτὸς δὲν εἶναι παρθένος· γιατὶ τὴν παρθενία του τὴ διέφθειρε ἡ ἀνάμειξή της μὲ τὸ φθόνο. Ἐπίσης ὁ ματαιόδοξος δὲν εἶναι παρθένος· γιατὶ τὴν παρθενία του τὴ διέφθειρε ὁ ἔρωτας τοῦ φθόνου· τὸ πάθος δηλαδὴ ποὺ μπῆκε μέσα του διέφθειρε τὴν παρθενία τῆς ψυχῆς του. Ἐκεῖ-

νίαν. Ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, οὗτος ἀνθρωποκτόνος ἐστὶ μᾶλλον ἢ παρθένος· καὶ ἁπαξαπλῶς, ἕκαστος εἰς ὃ κρατεῖται πάθος πονηρόν, ἐν τούτῳ τὴν παρθενίαν αὐτοῦ διαφθείρει. Διὰ τοῦτο ὁ Παῦλος πάσας τὰς πονηρὰς ταύτας ἐξώρισε μίξεις, καὶ κελεύει παρθένους ἡμᾶς εἶναι οὕτως, ὡς μηδένα λογισμὸν ἐναντίον παραδέχεσθαι ἑκουσίως τῇ ψυχῇ.

4. Τί οὖν πρὸς ταῦτα λέγωμεν; πῶς ἐλεηθῶμεν; πῶς σωθῶμεν; Ἐγὼ λέγω· τὴν εὐχὴν ἐν τῇ καρδίᾳ ἀναλάβωμεν πάντοτε καὶ τοὺς ταύτης καρπούς, λέγω δὴ τὴν ταπεινοφροσύνην καὶ πραότητα. «Μάθετε» γάρ, φησίν, «ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν»· καὶ πάλιν ὁ Δαυΐδ· «θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει». Οὐδὲν γὰρ οὕτως ἀποδέχεται ὁ Θεὸς καὶ ἀγαπᾷ, ὡς ψυχὴν πρᾷον καὶ ταπεινόφρονα καὶ εὐχάριστον. Βλέπε οὖν καὶ σύ, ἀδελφέ, ἐπὰν ἴδῃς τι τῶν ἀδοκήτων προσπεσὸν καὶ ἐνοχλοῦν σοι, μὴ πρὸς ἀνθρώπους καταφύγῃς καὶ πρὸς θνητὴν ἴδῃς βοήθειαν, ἀλλὰ πάντας παραδραμὼν ἀνάδραμε τῇ διανοίᾳ σου πρὸς τὸν τῶν ψυχῶν ἰατρόν. Καρδίαν γὰρ θεραπεῦσαι ἐκεῖνος μόνος δύναται ὁ πλάσας καταμόνας τὰς καρδίας ἡμῶν καὶ συνιεὶς πάντα τὰ ἔργα ἡμῶν· αὐτὸς δύναται εἰς τὸ συνειδὸς ἡμῶν εἰσελθεῖν καὶ τῆς διανοίας ἅψασθαι καὶ παρακαλέσαι τὴν ψυχήν. Ἐὰν δὲ ἐκεῖνος μὴ παρακαλέσῃ τὰς καρδίας ἡμῶν, τὰ παρὰ ἀνθρώπων περιττὰ καὶ ἀνόνητα· ὥσπερ πάλιν τοῦ Θεοῦ παρακαλοῦντος καὶ παραμυθουμένου, κἂν μυρία ἄνθρωποι παρενοχλῶσιν, οὐδὲ εἰς τὸ τυχὸν ἡμᾶς παραβλάψαι δυνήσονται· ὅταν γὰρ ἐκεῖνος στερεώσῃ καρδίαν, οὐδεὶς αὐτὴν διαστεῖσαι δύναται.

Ταῦτα οὖν εἰδότες, ἀγαπητοί, ἀεὶ πρὸς τὸν Θεὸν καταφεύγωμεν, τὸν καὶ βουλόμενον καὶ δυνάμενον λῦσαι ἡμῶν τὰς συμφοράς. Ἀνθρώπους μὲν γὰρ ὅταν δέῃ παρακαλέσαι καὶ πυλωροῖς ἡμᾶς συντυχεῖν ἀνάγκη πρότερον καὶ παρασίτους καὶ κόλακας παρακα-

14. Ματθ. 11,29.
15. Ψαλμ. 50,19.
16. Ψαλμ. 32,15.

νος πάλι πού μισεῖ τὸν ἀδελφό του, αὐτὸς πολὺ περισσότερο εἶναι ἀνθρωποκτόνος, παρὰ παρθένος καὶ γενικὰ ὁ καθένας μὲ ὅποιο πονηρὸ πάθος ἐξουσιάζεται, μ' αὐτὸ διαφθείρει τὴν παρθενία του. Γι' αὐτὸ ὁ Παῦλος ἀπαγόρευσε ὅλες αὐτὲς τὶς πονηρὲς μίξεις καὶ προτρέπει νὰ εἴμαστε κατὰ τέτοιο τρόπο παρθένοι, ὥστε νὰ μὴ ἀποδεχόμαστε στὴν ψυχή μας μὲ τὴ θέλησή μας κανένα ἐνάντιο λογισμό.

4. Τί θὰ ποῦμε λοιπὸν γιὰ ὅλα αὐτά; πῶς θὰ ἐλεηθοῦμε; πῶς θὰ σωθοῦμε; Ἐγὼ θὰ σᾶς τὸ πῶ· ἂς ἔχομε πάντοτε μέσα στὴν ψυχή μας τὴν προσευχὴ καὶ τοὺς καρποὺς αὐτῆς, ἐννοῶ δηλαδὴ τὴν ταπεινοφροσύνη καὶ τὴν πραότητα. Γιατὶ λέγει, «μάθετε ἀπὸ μένα ὅτι εἶμαι πράος καὶ ταπεινὸς στὴν καρδιὰ καὶ θὰ βρεῖτε ἀνάπαυση στὴν ψυχή σας»[14]· καὶ πάλι ὁ Δαυῒδ λέγει· «θυσία γιὰ τὸ Θεὸ εἶναι τὸ συντριμμένο πνεῦμα· καρδιὰ συντριμμένη καὶ ταπεινωμένη ὁ Θεὸς δὲ θὰ τὴν περιφρονήσει»[15]. Γιατὶ ὁ Θεὸς τίποτε δὲν ἀποδέχεται καὶ δὲν ἀγαπᾶ τόσο, ὅσο ψυχὴ πράη, ταπεινὴ καὶ εὐχάριστη. Πρόσεχε λοιπόν, ἀδελφέ, καὶ σύ, ὅταν δεῖς κάτι ἀπὸ τὰ ἀπροσδόκητα νὰ ἔρχεται καὶ νὰ σὲ ἐνοχλεῖ, μὴ καταφύγεις στοὺς ἀνθρώπους καὶ στηρίξεις τὴν ἐλπίδα σου σὲ θνητὴ βοήθεια, ἀλλ', ἀφοῦ τοὺς ἀφήσεις ὅλους κατὰ μέρος, τρέξε μὲ τὴ σκέψη σου πρὸς τὸ γιατρὸ τῶν ψυχῶν. Γιατὶ τὴν καρδιὰ ἐκεῖνος μόνο μπορεῖ νὰ τὴ θεραπεύσει, ἐκεῖνος πού μόνος του ἔπλασε τὶς καρδιές μας καὶ γνωρίζει ὅλα τὰ ἔργα μας[16]· αὐτὸς μπορεῖ νὰ μπεῖ στὴ συνείδησή μας, ν' ἀγγίξει τὴ διάνοιά μας καὶ νὰ παρηγορήσει τὴν ψυχή μας. Γιατί, ἐὰν ἐκεῖνος δὲν παρηγορήσει τὶς καρδιές μας, εἶναι περιττὰ κι ἀνώφελα τὰ τῶν ἀνθρώπων· ὅπως πάλι, ὅταν ὁ Θεὸς μᾶς παρηγορεῖ καὶ μᾶς ἐνθαρρύνει, κι ἂν ἀκόμη μᾶς παρενοχλοῦν ἀμέτρητοι ἄνθρωποι, δὲν θὰ μπορέσουν νὰ μᾶς βλάψουν σὲ τίποτε· γιατί, ὅταν ἐκεῖνος στερεώσει τὴν καρδιά, κανένας δὲν μπορεῖ νὰ τὴν κλονίσει.

Γνωρίζοντας λοιπὸν αὐτά, ἀγαπητοί, ἂς καταφεύγομε πάντοτε πρὸς τὸ Θεό, ὁ ὁποῖος καὶ θέλει καὶ μπορεῖ νὰ μᾶς ἀπαλλάξει ἀπὸ τὶς συμφορές. Γιατί, ὅταν χρειάζεται νὰ παρακαλέσομε ἀνθρώπους, πρέπει προηγουμένως καὶ θυρωροὺς νὰ συναντήσομε καὶ πα-

λέσαι καὶ ὁδὸν πολλὴν ἀπελθεῖν, ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲν τοιοῦτόν ἐστιν, ἀλλὰ χωρὶς μεσίτου παρακαλεῖται, χωρὶς χρημάτων, χωρὶς δαπάνης ἐπινεύει τῇ δεήσει· ἀρκεῖ μόνον βοῆσαι τῇ καρδίᾳ καὶ δάκρυα προσηνέγκαι, καὶ εὐθέως εἰσελθὼν αὐτὸν ἐπισπάσῃ. Καὶ ἄνθρωπον μὲν παρακαλοῦντες πολλάκις δεδοίκαμεν, μή τις τῶν ἐχθρῶν παρὼν ἢ φίλος ἤ τις τῶν ἀντιδίκων ἀκούσῃ τοῦ πράγματος, καὶ ἄλλος ἐκφάνῃ τὰ λεγόμενα και διαφθείρῃ τὸ δίκαιον· ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲν τούτων ὑποπτεῦσαι ἔνι. Ὅταν γὰρ βούλῃ με, φησί, παρακαλέσαι, μόνος μοι πρόσελθε μηδενὸς παρόντος, τουτέστι, τῇ καρδίᾳ βόησον, μὴ κινῶν τὰ χείλη. «Εἴσελθε» γάρ, φησίν, «εἰς τὸ ταμεῖόν σου· ἀπόκλεισον τὴν θύραν σου, καὶ πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ». Ὅρα τιμῆς ὑπερβολήν· ὅταν μὲ παρακαλῇς, φησί, μηδεὶς βλεπέτω, ὅταν δὲ ἐγώ σε τιμῶ, τὴν οἰκουμένην φέρω μάρτυρα τῆς εὐεργεσίας.

Πειθώμεθα τοίνυν καὶ μὴ πρὸς ἐπίδειξιν εὐχώμεθα μηδὲ κατὰ τῶν ἐχθρῶν τῶν ἡμετέρων, καὶ μὴ τὸν τρόπον τῆς βοηθείας διδάσκωμεν αὐτόν. Εἰ γὰρ ἀνθρώποις τοῖς συνηγοροῦσι καὶ ρητορεύουσιν ἐπὶ τῶν ἔξωθεν δικαστῶν τὰ πράγματα τὰ ἡμέτερα λέγομεν μόνον, τὸν δὲ τρόπον τῆς συμμαχίας ἐκείνοις καταλιμπάνομεν, ὅπως ἂν βούλοιντο διαθεῖναι τὰ ἡμέτερα, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο χρὴ ποιεῖν. Εἶπες αὐτῷ τὴν δίκην τὴν σήν, εἶπες ἅπερ ἔπαθες; μηκέτι λέγε τὸ καὶ πῶς βοηθῆσαι· αὐτὸς γὰρ οἶδεν ἀκριβῶς τὸ συμφέρον σοι. Εἰσὶ δὲ πολλοὶ οἵτινες μυρίους στίχους ἀπαγγέλουσι τῆς εὐχῆς ἕνεκεν λέγοντες· 'Κύριε, δός μοι ὑγείαν σώματος, διπλασίασόν μου τὰ ὑπάρχοντα, ἀμύνου μου τὸν ἐχθρόν', ὅπερ πολλῆς ἀλογίας ἐστὶ πεπληρωμένον. Διὸ χρή, ταῦτα πάντα ἀφέντας, ἱκετεύειν καὶ παρακαλεῖν μόνον κατὰ τὸν τελώνην τὸν λέγοντα· «Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ»· καὶ αὐτὸς οἶδε λοι-

17. Ματθ. 6,6.
18. Λουκᾶ 18,13.

ρασίτους καὶ κόλακες νὰ παρακαλέσομε καὶ πολὺ δρόμο νὰ βαδίσομε, ἐνῶ στὴν περίπτωση τοῦ Θεοῦ τίποτε παρόμοιο δὲν χρειάζεται, ἀλλὰ παρακαλεῖται χωρὶς μεσίτη, χωρὶς χρήματα, χωρὶς δαπάνη ἀποδέχεται τὴν παρακλησή μας· ἀρκεῖ μόνο νὰ φωνάξει κανεὶς μὲ τὴν καρδιά του καὶ νὰ χύσει δάκρυα, κι ἀμέσως θὰ σπεύσει καὶ θὰ βοηθήσει αὐτόν. Καὶ ὅταν βέβαια παρακαλοῦμε ἀνθρώπους πολλὲς φορὲς φοβόμαστε μήπως εἶναι ἐκεῖ παρὼν κάποιος ἐχθρὸς ἢ φίλος ἢ κάποιος ἀπὸ τοὺς ἀντιδίκους καὶ ἀκούσει τὴν παράκλησή μας καὶ διαδώσει ἀλλιῶς τὰ λόγια μας, διαστρέφοντας τὸ δίκαιο, ἐνῶ στὴν περίπτωση τοῦ Θεοῦ δὲν εἶναι δυνατὸ νὰ σκεφτεῖς τίποτε παρόμοιο. Γιατὶ λέγει, ὅταν θέλεις νὰ μὲ παρακαλέσεις, ἔλα μόνος χωρὶς νὰ εἶναι κανένας παρών, δηλαδή, φώναξε μὲ τὴν καρδιά σου, χωρὶς νὰ κινεῖς τὰ χείλη σου. Γιατὶ λέγει, «μπὲς στὸ δωμάτιό σου, κλεῖσε τὴν πόρτα σου, καὶ προσευχήσου στὸν Πατέρα σου ποὺ βρίσκεται ἐκεῖ ἀοράτως»[17]. Πρόσεχε ὑπερβολικὸ μέγεθος τιμῆς· ὅταν μὲ παρακαλεῖς, λέγει, κανένας νὰ μὴ βλέπει, ὅταν ὅμως ἐγὼ σὲ τιμῶ, φέρνω μάρτυρα τῆς εὐεργεσίας τὴν οἰκουμένη.

Ἂς πιστεύομε λοιπὸν τὰ λόγια αὐτὰ καὶ ἂς μὴ προσευχόμαστε γιὰ ἐπίδειξη, οὔτε ἐναντίον τῶν ἐχθρῶν μας, καὶ ἂς μὴ τοῦ ὑποδεικνύομε τὸν τρόπο τῆς βοήθειας. Γιατί, ἐὰν στὴν περίπτωση τῶν ἀνθρώπων, ποὺ συνηγοροῦν καὶ ρητορεύουν στὰ κοσμικὰ δικαστήρια, ἁπλῶς λέμε τὴν ὑπόθεσή μας, ἐνῶ τὸν τρόπο τῆς βοήθειας τὸν ἀφήνομε σ' ἐκείνους, ὥστε νὰ χειρισθοῦν τὸ θέμα μας ὅπως θέλουν, πολὺ περισσότερο πρέπει νὰ τὸ κάμνομε αὐτὸ στὴν περίπτωση τοῦ Θεοῦ. Εἶπες σ' αὐτὸν τὸν δίκιο σου, εἶπες ἐκεῖνα ποὺ ἔπαθες; δὲν χρειάζεται νὰ τοῦ πεῖς καὶ πῶς νὰ σὲ βοηθήσει· γιατὶ αὐτὸς γνωρίζει ἀκριβῶς τὸ συμφέρον σου. Ὑπάρχουν πολλοὶ ποὺ λένε στὴν προσευχή τους ἀμέτρητα λόγια, ὅπως· 'Κύριε, δός μου ὑγεία σωματική, διπλασίασε τὰ ὑπάρχοντά μου, βοήθησέ με κατὰ τοῦ ἐχθροῦ μου', πράγμα ποὺ εἶναι γεμάτο ἀπὸ πολλὴ ἀνοησία. Γι' αὐτὸ πρέπει, ἀφήνοντας ὅλα αὐτά, νὰ ἱκετεύομε καὶ νὰ παρακαλοῦμε αὐτὸν μόνο σύμφωνα μὲ τὸν τελώνη ποὺ λέγει, «Θεέ μου, συγχώρεσέ με τὸν ἁμαρτωλό»[18], κι αὐτὸς γνωρίζει στὴ συνέ-

πὸν πῶς σοῦ ἀντιλάβηται· «ζητεῖτε» γάρ, φησί, «πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν».

Οὕτως οὖν, ἀγαπητοί, φιλοσοφῶμεν μετὰ πόνου καὶ ταπεινώσεως, τύπτοντες ἑαυτῶν τὰ στήθη, καθάπερ ἐκεῖνος, καὶ ἐπιτευξόμεθα ὧνπερ αἰτοῦμεν· ἐὰν δὲ θυμοῦ καὶ ὀργῆς πεπληρωμένοι προσευχώμεθα, βδελυκτοὶ καὶ μισητοὶ παρὰ Θεῷ εὑρισκόμεθα. Συντρίψωμεν οὖν ἡμῶν τὴν διάνοιαν καὶ ταπεινώσωμεν ἡμῶν τὰς ψυχάς, καὶ εὐχώμεθα ὑπέρ τε ἑαυτῶν καὶ ὑπὲρ τῶν λυπησάντων ἡμᾶς. Εἰ γὰρ βούλει τὸν δικαστὴν ἐπισπάσασθαι πρὸς βοήθειαν τῆς σῆς ψυχῆς καὶ τοῦ σοῦ μέρους αὐτὸν ποιῆσαι, μηδέποτε αὐτῷ ἐντύγχανε κατὰ τοῦ λελυπηκότος. Τοιοῦτος γάρ ἐστι τοῦ δικαστοῦ ὁ τρόπος· ἐκείνοις μάλιστα ἐπινεύει καὶ δίδωσι τὰ αἰτήματα, τοῖς ὑπὲρ τῶν ἐχθρῶν εὐχομένοις, τοῖς μὴ μνησικακοῦσι, τοῖς μὴ ἐπαιρομένοις τοῖς ἐχθροῖς αὐτῶν. Καὶ ὅσον οὗτοι ποιοῦσι τοῦτο, τοσοῦτον ἐκείνοις ὁ Θεὸς ἐπεξέρχεται, ἐὰν μὴ μεταβληθῶσιν εἰς μετάνοιαν.

5. Βλέπετε οὖν, ἀδελφοί, ὅταν τις ἀτιμία ἡμῖν ἐπενεχθῇ παρά τινος, μὴ εὐθέως δυσχεράνωμεν καὶ ἀθυμῶμεν, ἀλλ' εὐχαριστῶμεν φιλοσοφοῦντες καὶ ἀναμένοντες τὴν βοήθειαν τοῦ Κυρίου. Μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς πρὸ τῆς αἰτήσεως διδόναι ἡμῖν τὰ ἀγαθά; μὴ βίον ἡμῖν ἀνώδυνον χαρίσασθαι καὶ πάσης θλίψεως κεχωρισμένον; Ἀλλὰ ἀμφότερα ἀπὸ φίλτρου ποιεῖ. Τί γὰρ παραχωρεῖ θλιβῆναι ἡμᾶς καὶ οὐκ ἐπάγει ταχέως ἀπαλλαγήν; Διὰ τί; Ἵνα αὐτῷ προσεδρεύωμεν ἀντεχόμενοι τῆς παρ' αὐτοῦ βοηθείας καὶ αὐτῷ προσφεύγωμεν καὶ συνεχῶς αὐτὸν καλῶμεν εἰς ἀντίληψιν ἡμῶν. Διὰ τοῦτο οὖν ἀλγηδόνες σώματος, διὰ τοῦτο ἀφορίαι καρπῶν, διὰ τοῦτο λιμοί, ἵνα ἀπὸ τῶν θλίψεων τούτων πάντοτε πρὸς αὐτὸν ἐκκρεμώμεθα, καὶ οὕτω διὰ τῶν προσκαίρων θλίψεων τὴν αἰώνιον ζωὴν κληρονομήσωμεν. Ὥστε οὖν καὶ ὑπὲρ τούτων εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ, τῷ διὰ πολλῶν μεθοδειῶν ἰωμένῳ καὶ σώζοντι τὰς ψυχὰς ἡμῶν. Ἄνθρωποι μὲν γὰ ἐὰν τυχὸν εὐεργετή-

19. Ματθ. 6,33.

χεια πῶς θὰ σὲ βοηθήσει· γιατὶ λέγει, «ζητεῖτε πρῶτα τὴ βασιλεία τοῦ Θεοῦ καὶ ὅλα αὐτὰ θὰ σᾶς δοθοῦν σὰν ἐπιπρόσθετα»[19].

Ἔτσι λοιπόν, ἀγαπητοί, ἃς φιλοσοφοῦμε μὲ πόνο καὶ ταπείνωση, χτυπώντας τὰ στήθη μας, ὅπως ἀκριβῶς ἐκεῖνος, καὶ θὰ ἐπιτύχομε ἐκεῖνα ποὺ ζητοῦμε· ἐὰν ὅμως προσευχόμαστε γεμάτοι ἀπὸ θυμὸ καὶ ὀργή, εἴμαστε σιχαμεροὶ καὶ μισητοὶ ἀπέναντι στὸ Θεό. Ἂς συντρίψομε λοιπὸν τὴ σκέψη μας καὶ ἂς ταπεινώσομε τὶς ψυχές μας καὶ ἂς προσευχόμαστε καὶ γιὰ τὸν ἑαυτό μας καὶ γιὰ ἐκείνους ποὺ μᾶς λύπησαν. Γιατί, ἂν θέλεις ν' ἀποσπάσεις σὲ βοήθεια τῆς ψυχῆς σου τὸ δικαστὴ καὶ νὰ τὸν πάρεις μὲ τὸ μέρος σου, ποτὲ νὰ μὴν τὸν παρακαλᾶς ἐναντίον ἐκείνου ποὺ σὲ λύπησε. Γιατὶ τέτοιος εἶναι ὁ τρόπος ἐνέργειας τοῦ δικαστῆ· σ' ἐκείνους πρὸ πάντων συγκατατίθεται καὶ ἱκανοποιεῖ τὰ αἰτήματά τους, σ' ἐκείνους ποὺ προσεύχονται γιὰ τοὺς ἐχθρούς τους, ποὺ δὲν εἶναι μνησίκακοι, ποὺ δὲν ἐξεγείρονται ἐναντίον τῶν ἐχθρῶν τους. Καὶ ὅσο περισσότερο αὐτοὶ τὸ κάμνουν αὐτό, τόσο περισσότερο καὶ ὁ Θεὸς τοὺς τιμωρεῖ ἐὰν δὲν μετανοήσουν.

5. Προσέχετε λοιπόν, ἀδελφοί, ὅταν διαπραχθεῖ κάποια ἀτιμία σὲ βάρος μας ἀπὸ κάποιον, ἃς μὴ δυσανασχετοῦμε ἀμέσως καὶ στενοχωριέμαστε, ἀλλὰ νὰ δείχνομε φιλοσοφικότητα καὶ νὰ εὐχαριστοῦμε τὸν Κύριο, περιμένοντας τὴ βοήθειά του. Μήπως δηλαδὴ δὲν μποροῦσε ὁ Θεὸς νὰ μᾶς δώσει τὰ ἀγαθὰ πρὶν ἀπὸ τὴν αἴτηση; μήπως δὲν μποροῦσε νὰ μᾶς χαρίσει ζωὴ ἀνώδυνη καὶ ἀπαλλαγμένη ἀπὸ κάθε θλίψη; Ἀλλὰ καὶ τὰ δύο τὰ κάμνει ἀπὸ ἀγάπη. Γιατί λοιπὸν ἐπιτρέπει νὰ θλιβοῦμε καὶ δὲν μᾶς ἀπαλλάσσει ἀμέσως ἀπὸ τὴ θλίψη; Γιατί; Γιὰ νὰ μένομε προσηλωμένοι σ' αὐτόν, περιμένοντας τὴ βοήθειά του, νὰ προσφεύγομε σ' αὐτὸν καὶ νὰ τὸν καλοῦμε συνέχεια σὲ βοήθειά μας. Γι' αὐτὸ λοιπὸν συμβαίνουν σωματικοὶ πόνοι, γι' αὐτὸ ἀκαρπίες, γι' αὐτὸ λιμοί, ὥστε ἐξ αἰτίας αὐτῶν τῶν θλίψεων νὰ εἴμαστε πάντοτε κρεμασμένοι ἀπ' αὐτόν, καὶ ἔτσι μὲ τὶς πρόσκαιρες θλίψεις νὰ κληρονομήσομε τὴν αἰώνια ζωή. Ὥστε λοιπὸν καὶ γι' αὐτὰ ὀφείλομε νὰ εὐχαριστοῦμε τὸ Θεό, ὁ ὁποῖος θεραπεύει καὶ σώζει τὶς ψυχές μας μὲ πολλὲς μεθόδους. Γιατί, ἐὰν τυχὸν μᾶς εὐεργετήσουν κάποτε ἄνθρωποι καὶ

σωσιν ἡμᾶς ποτε εἶτα ἄκοντες αὐτοὺς λυπήσωμέν τι μικρόν, εὐθὺς ὀνειδίζουσι τὴν εὐεργεσίαν προσφέροντες ὡς πολλοὺς καταρᾶσθαι ἑαυτοῖς ὅτι ὅλως παρ' αὐτῶν εὐηργετήθησαν· ὁ δὲ Θεὸς οὐχ οὕτως ἀλλὰ μετὰ τὰς εὐεργεσίας καταφρονούμενος καὶ ὑβριζόμενος ἀκμὴν καὶ ἀπολογεῖται, καὶ εὐθύνας παρέχει τοῖς ὑβρικόσιν αὐτόν, οὑτωσὶ λέγων· «λαός μου, τί ἐποίησά σοι;»

Αὐτοὶ Θεὸν οὐκ ἐβούλοντο αὐτὸν καλεῖν καὶ αὐτὸς οὐ διέλειπε λαὸν αὐτοὺς ὀνομάζειν· αὐτοὶ παρῃτοῦντο τὴν δεσποτείαν, αὐτὸς δὲ οὐκ ἠρνεῖτο αὐτούς, ἀλλ' ᾠκειοῦτο, καὶ πρὸς ἑαυτὸν εἷλκε λέγων· «λαός μου, τί ἐποίησά σοι;». Μὴ φορτικός σοι, φησίν, ἐγενόμην ἢ βαρὺς καὶ ἐπαχθής; 'Αλλ' οὐδὲ τοῦτο ἔχεις εἰπεῖν· εἰ γὰρ καὶ τοῦτο ἦν, οὐδὲ οὕτως ἔδει σε ἀποσκιρτῆσαι· «τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ;». 'Αλλ' ὅμως οὐδὲ τοῦτο ἔχετε εἰπεῖν. Καὶ πάλιν ἀλλαχοῦ· «τί εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα;». Μέγα καὶ θαυμαστὸν τὸ εἰρημένον· ὃ γὰρ λέγει τοιοῦτόν ἐστι· 'τί ἥμαρτον', φησίν; 'Ο Θεὸς λέγει τοῖς ἀνθρώποις, 'τί ἥμαρτον;' ὅπερ οὐδὲ δοῦλοι τὸν δεσπότην φθέγξασθαι ἀνέχονται. Καὶ οὐ λέγει, 'τί ἥμαρτον εἰς ὑμᾶς', ἀλλ', 'εἰς τοὺς πατέρας ὑμῶν'. 'Αλλ' οὐδὲ τοῦτο, φησίν, ἔχετε εἰπεῖν, ὅτι πατρικὴν εἰς ἐμὲ τηρεῖτε ἔχθραν· οὐδὲ γὰρ τοὺς προγόνους ὑμῶν ἐγκαλέσαι ποτὲ ἀφῆκα τῇ ἐμῇ προνοίᾳ, ἐν μικρῷ ἢ μεγάλῳ παριδὼν αὐτούς. Καὶ οὐκ εἶπεν ἁπλῶς, 'τί ἔσχον οἱ πατέρες ὑμῶν', ἀλλά, «τί εὗρον;». Πολλὰ ζητήσαντες, πολλὰ περιελθόντες ἐν τοσούτοις ἔτεσιν ὑπὸ τὴν ἐμὴν ἀρχὴν γενόμενοι, οὐδὲν εὗρον ἐν ἐμοὶ πλημμέλημα.

Διὰ δὴ ταῦτα πάντα συνεχῶς πρὸς αὐτὸν καταφεύγωμεν καὶ ἐν πάσῃ ἀθυμίᾳ ζητῶμεν τὴν παραμυθίαν αὐτοῦ, ἐν πάσῃ συμφορᾷ τὴν αὐτοῦ λύσιν, τὸν αὐτοῦ ἔλεον, ἐν παντὶ πειρασμῷ τὴν αὐτοῦ βοήθειαν· οἷον γὰρ ἐὰν ᾖ δεινόν, οἷον ἐὰν ᾖ μέγεθος συμφορᾶς, πάντα καὶ λῦσαι καὶ παραγαγεῖν δύναται· οὐ μόνον δέ, ἀλλὰ καὶ

20. Ματθ. 6,3.
21. Ἑβρ. 12,7.
22. Ἱερ. 2,5.

στὴ συνέχεια τοὺς λυπήσομε σὲ κάτι χωρὶς νὰ τὸ θέλομε, ἀμέσως μᾶς κατηγοροῦν προβάλλοντας τὴν εὐεργεσία, ὥστε πολλοὶ καὶ νὰ καταριένται τὸν ἑαυτό τους ποὺ ἔτυχε νὰ εὐεργετηθοῦν ἀπ' αὐτούς· ὁ Θεὸς ὅμως δὲν κάμνει τὸ ἴδιο, ἀλλὰ μετὰ τὶς εὐεργεσίες, ἂν καὶ καταφρονεῖται καὶ βρίζεται, αὐτὸς ἀκόμα καὶ ἀπολογεῖται καὶ λογοδοτεῖ σὰν κατηγορούμενος σ' ἐκείνους ποὺ τὸν ἔχουν βρίσει, λέγοντας τὰ ἑξῆς· «λαέ μου, τί σοῦ ἔκανα;»[20].

Αὐτοὶ δὲν ἤθελαν νὰ τὸν ὀνομάζουν Θεό, κι αὐτὸς δὲν ἔπαυε νὰ τοὺς ὀνομάζει λαό του· αὐτοὶ ἀρνοῦνταν τὴν ἐξουσία του, αὐτὸς ὅμως δὲν τοὺς ἀρνιοῦνταν, ἀλλὰ τοὺς θεωροῦσε δικούς του καὶ τοὺς προσέλκυε κοντά του, λέγοντας, «λαέ μου, τί σοῦ ἔκανα;». Μήπως, λέγει, σοῦ ἔγινα ἐνοχλητικὸς ἢ βαρὺς καὶ μισητός; Ἀλλ' οὔτε αὐτὸ μπορεῖς νὰ τὸ πεῖς· γιατί, κι ἂν ἀκόμη συνέβαινε αὐτό, οὔτε κι ἔτσι ἔπρεπε ν' ἀποσκιρτήσεις ἀπὸ κοντά μου· «γιατὶ ποιό παιδὶ εἶναι ἐκεῖνο ποὺ δὲν τὸ παιδαγωγεῖ ὁ πατέρας του;»[21]. Ἀλλ' ὅμως οὔτε αὐτὸ μπορεῖτε νὰ τὸ πεῖτε. Καὶ πάλι ἀλλοῦ λέγει· «ποιό παράπτωμα βρῆκαν οἱ πατέρες σας σ' ἐμένα;»[22]. Μεγάλα καὶ ἄξια θαυμασμοῦ τὰ λόγια αὐτά· γιατί, αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· 'ποιό σφάλμα, λέγει, ἔκανα;' Ὁ Θεὸς λέγει στοὺς ἀνθρώπους, 'ποιό σφάλμα ἔκανα;' πράγμα ποὺ δὲν ἀνέχονται οὔτε οἱ δοῦλοι νὰ τοὺς τὸ πεῖ ὁ κύριός τους. Καὶ δὲν λέγει, 'ποιό σφάλμα ἔκανα σ' ἐσᾶς', ἀλλά, 'στοὺς πατέρες σας'. Ἀλλ' οὔτε αὐτὸ μπορεῖτε, λέγει, νὰ τὸ πεῖτε, ὅτι δηλαδὴ κρατᾶτε ἀπέναντί μου πατρικὴ ἔχθρα· γιατὶ οὔτε τοὺς προγόνους σας ἄφησα νὰ μὲ κατηγορήσουν ποτὲ γιὰ τὴν πρόνοιά μου, ὅτι δηλαδὴ τοὺς παρέβλεψα γιὰ λίγο ἢ πολύ. Καὶ δὲν εἶπε ἁπλῶς, 'τί εἶχαν οἱ πατέρες σας', ἀλλά, «τί βρῆκαν;». Πολλὰ ζήτησαν καὶ πολλὰ πέρασαν στὰ τόσα χρόνια κάτω ἀπὸ τὴν καθοδήγησή μου, ἀλλ' ὅμως δὲν μοῦ βρῆκαν κανένα σφάλμα.

Γιὰ ὅλα αὐτὰ λοιπὸν ἂς καταφεύγομε συνέχεια πρὸς αὐτὸν καὶ σὲ κάθε λύπη ἂς ζητοῦμε τὴν παρηγοριά του, σὲ κάθε συμφορὰ τὴ βοήθειά του πρὸς ἀπαλλαγή, τὸ ἔλεός του, σὲ κάθε πειρασμὸ τὴ βοήθειά του· γιατὶ ὅποιο κι ἂν εἶναι τὸ κακό, ὅποιο κι ἂν εἶναι τὸ μέγεθος τῆς συμφορᾶς, ὅλα μπορεῖ καὶ νὰ τὰ τερματίσει καὶ νὰ τ' ἀπομακρύνει· καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ κάθε ἀσφάλεια

πᾶσαν ἀσφάλειαν καὶ δύναμιν καὶ δόξαν ἀγαθὴν καὶ ὑγίειαν σώματος καὶ φιλοσοφίαν ψυχῆς καὶ ἐλπίδας χρηστὰς καὶ τὸ μὴ ταχέως ἁμαρτάνειν, ἡ ἀγαθότης αὐτοῦ παρέξει ἡμῖν. Μὴ οὖν κατὰ τοὺς ἀγνώμονας δούλους γογγύζωμεν, μηδὲ τοῦ Δεσπότου κατηγορήσωμεν, ἀλλ' ἐν πᾶσιν εὐχαριστῶμεν καὶ ἓν μόνον δεινὸν εἶναι νομίζωμεν, τὸ εἰς αὐτὸν ἐξαμαρτάνειν. Καὶ ἐὰν οὕτω πρὸς τὸν Θεὸν διατεθῶμεν, οὐ νόσος, οὐ πενία, οὐκ ἀτιμία, οὐκ ἀφορία καρπῶν, οὐκ ἄλλο οὐδὲν τῶν δοκούντων εἶναι λυπηρῶν διαδέξεται ἡμᾶς, ἀλλὰ καθαρὰν ἡδονὴν καὶ ἁγνὴν καρπούμενοι διαπαντός, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτευξόμεθα, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καὶ δύναμη καὶ φήμη καλὴ καὶ σωματικὴ ὑγεία καὶ εὐσέβεια ψυχῆς καὶ ἀγαθὲς ἐλπίδες καὶ τὸ νὰ μὴ ἁμαρτάνομε θὰ μᾶς χαρίσει ἡ ἀγαθότητά του. Ἂς μὴ γογγύζομε λοιπὸν σὰν τοὺς ἀγνώμονες δούλους, οὔτε νὰ κατηγοροῦμε τὸν Κύριο, ἀλλὰ γιὰ ὅλα νὰ τὸν εὐχαριστοῦμε, καὶ ἕνα μόνο νὰ θεωροῦμε κακό, τὸ ν' ἁμαρτάνομε ἀπέναντί του. Ἐὰν λοιπὸν δείξομε τέτοια συμπεριφορὰ πρὸς τὸ Θεό, δὲ θὰ μᾶς συμβεῖ οὔτε ἀσθένεια, οὔτε φτώχεια, οὔτε ἀτιμία, οὔτε ἀκαρπία, οὔτε κάτι ἄλλο ἀπο ἐκεῖνα ποὺ θεωροῦνται λυπηρά, ἀλλ', ἀπολαμβάνοντας διαρκῶς καθαρὴ καὶ ἁγνὴ ἡδονή, θὰ ἐπιτύχομε καὶ τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΠΕΜΠΤΗ

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ ΚΑΙ ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΙΩΝΑΝ ΚΑΙ ΔΑΝΙΗΛ ΚΑΙ ΤΟΥΣ ΤΡΕΙΣ ΠΑΙΔΑΣ

Ἐλέχθη δὲ εἰς τὴν εἴσοδον τῶν ἁγίων νηστειῶν

1. Φαιδρὰ σήμερον ἡμῖν ἡ πανήγυρις καὶ λαμπρότερος τοῦ συνήθους ὁ σύλλογος. Τί ποτε ἄρα τὸ αἴτιον; Νηστείας τὸ κατόρθωμα τοῦτο· οἶδα κἀγώ, νηστείας οὐχὶ παρούσης, ἀλλὰ προσδοκωμένης. Ἐκείνη γὰρ ἡμᾶς πρὸς τὸν πατρῷον συνήγαγεν οἶκον, ἐκείνη καὶ τοὺς πρὸ τούτου ῥᾳθυμοτέρους, σήμερον πρὸς τὰς μητρικὰς ἐπανήγαγε χεῖρας. Εἰ δὲ καὶ προσδοκωμένη μόνον τοσαύτην ἡμῖν ἐνεποίησε σπουδήν, φανεῖσα καὶ παραγενομένη πόσην ἐν ἡμῖν ἐργάσεται τὴν εὐλάβειαν; Οὕτω καὶ πόλις ἄρχοντος εἰσελαύνειν μέλλοντος φοβεροῦ, πᾶσαν ἀποτίθεται ῥᾳθυμίαν καὶ ἐν πλείονι καθίσταται τῇ σπουδῇ. Ἀλλὰ μὴ πτήξητε φοβερὸν ἄρχοντα τὴν νηστείαν ἀκούσαντες· οὐ γὰρ ἡμῖν ἐστι φοβερά, ἀλλὰ τῇ τῶν δαιμόνων φύσει. Ἐὰν σεληνιαζόμενος ᾖ τις, δεῖξον αὐτῷ νηστείας πρόσωπον, καὶ καθάπερ δεσμῷ τινι κατεχόμενος, καὶ μάλιστα ὅταν ἴδῃ τῇ νηστείᾳ συμβεβλημένην τὴν ἀδελφὴν τῆς νηστείας καὶ ὁμόζυγον, τὴν εὐχήν. Διὰ τοῦτο καὶ ὁ Χριστός φησι· «τὸ γένος τοῦ-



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΠΕΜΠΤΗ

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ, ΠΕΡΙ ΤΩΝ ΠΡΦΗΤΩΝ ΙΩΝΑ ΚΑΙ ΔΑΝΙΗΛ ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΤΡΙΩΝ ΠΑΙΔΩΝ

Λέχθηκε στὴν ἀρχὴ τῶν ἁγίων νηστειῶν

1. Χαρούμενο εἶναι σήμερα τὸ πανηγύρι μας καὶ λαμπρότερη ἀπὸ τὶς συνηθισμένες ἡ συγκέντρωσή μας. Ποιά ἄραγε εἶναι ἡ αἰτία; Τῆς νηστείας εἶναι τὸ κατόρθωμα αὐτό· τὸ γνωρίζω κι ἐγώ, εἶναι τῆς νηστείας ποὺ δὲν ἄργησε ἀκόμα, ἀλλὰ τὴν περιμένομε. Γιατὶ ἐκείνη μᾶς συγκέντρωσε στὸν πατρικὸ οἶκο, ἐκείνη ἐπανέφερε σήμερα στὴ μητρικὴ ἀγκαλιὰ ἐκείνους ποὺ πρὶν ἀπ' αὐτὸ ἦταν ἀδιάφοροι. Ἐὰν ὅμως καὶ μόνο τὸ ὅτι τὴν περιμέναμε μᾶς δημιούργησε τόση προθυμία, πόση εὐλάβεια δὲν θὰ μᾶς δημιουργήσει ὅταν φανεῖ καὶ ἔρθει; Τὸ ἴδιο συμβαίνει καὶ ὅταν ἄρχοντας φοβερὸς πρόκειται νὰ ἐπιτεθεῖ σὲ μιὰ πόλη· ἡ πόλη τότε ἀποβάλλει ὅλη τὴ ραθυμία της καὶ ἐκδηλώνει μεγαλύτερη προθυμία. Ἀλλὰ μὴ φοβηθεῖτε ἀκούοντας τὴ νηστεία ν' ἀντιπαραβάλλεται μὲ ἄρχοντα φοβερό· γιατὶ δὲν εἶναι φοβερὴ σ' ἐμᾶς, ἀλλὰ στὴ φύση τῶν δαιμόνων. Ἐὰν κάποιος σεληνιάζεται, δεῖξε σ' αὐτὸν τὸ πρόσωπο τῆς νηστείας καὶ τότε αὐτὸς ἀπὸ τὸ φόβο του ἀκινητοποιεῖται πιὸ πολὺ κι ἀπ' τὶς ἴδιες τὶς πέτρες, καὶ φαίνεται σὰν νὰ εἶναι δεμένος μὲ δεσμά, καὶ μάλιστα ὅταν δεῖ συμβεβλημένη μὲ τὴ νηστεία τὴν ἀδελφὴ τῆς νηστείας καὶ τὴν στενὰ μ' αὐτὴν συνδεδεμένη εὐχή. Γι' αὐτὸ καὶ ὁ Χριστὸς λέγει· «αὐτὸ τὸ γένος δὲν βγαί-

το οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ». Ὅταν οὖν τοὺς πολεμίους τῆς σωτηρίας τῆς ἡμετέρας οὕτως ἐλαύνῃ, καὶ τοῖς ἐχθροῖς τῆς ζωῆς ἡμῶν οὕτως ᾖ φοβερά, φιλεῖν αὐτὴν καὶ ἀσπάζεσθαι, οὐχὶ δεδοικέναι χρή· εἰ γὰρ φοβεῖσθαι, δεῖ μέθην καὶ ἀδηφαγίαν, οὐχὶ νηστείαν φοβεῖσθαι χρή. Ἐκείνη μὲν γὰρ ὀπίσω τὰς χεῖρας ἡμῶν δήσασα, τῇ τυραννίδι τῶν παθῶν, καθάπερ τινὶ δεσποίνῃ χαλεπῇ, δούλους καὶ αἰχμαλώτους ἐκδίδωσιν· ἡ δὲ νηστεία δουλεύοντας ἡμᾶς καὶ δεδεμένους εὑροῦσα, ἀνίησι τῶν δεσμῶν, ἀπαλλάττει τῆς τυραννίδος καὶ πρὸς τὴν ἐλευθερίαν ἐπανάγει τὴν προτέραν. Ὅταν οὖν καὶ τοῖς ἐχθροῖς ἡμῶν πολεμῇ καὶ δουλείας ἀπαλλάττῃ καὶ πρὸς ἐλευθερίαν ἐπανάγῃ, ποίαν ἑτέραν μείζονα ζητεῖς ἀπόδειξιν τῆς φίλιας αὐτοῦ τῆς πρὸς τὸ γένος τὸ ἡμέτερον; Μεγίστη γὰρ φιλίας ἀπόδειξις εἶναι δοκεῖ τὸ τοὺς αὐτοὺς ἡμῖν φιλεῖν καὶ μισεῖν.

2. Βούλει μαθεῖν ὅσος κόσμος ἀνθρώποις ἡ νηστεία, ὅση φυλακὴ καὶ ἀσφάλεια; Ἐννόησόν μοι τὸ μακάριον καὶ θαυμαστὸν τῶν μοναζόντων γένος. Οὗτοι γὰρ τοὺς ἐν μέσῳ θορύβους φυγόντες καὶ πρὸς τὰς κορυφὰς τῶν ὀρέων ἀναδραμόντες καὶ τὰς καλύβας ἐν τῇ τῆς ἐρημίας ἡσυχίᾳ καθάπερ ἐν εὐδιεινῷ τινι λιμένι πηξάμενοι, ταύτην συνέμπορον καὶ συγκοινωνὸν τοῦ βίου παντὸς ἔλαβον. Τοιγαροῦν καὶ ἀγγέλους αὐτοὺς ἐξ ἀνθρώπων ἐποίησεν, οὐκ ἐκείνους δὲ μόνους, ἀλλὰ καὶ ἐν ταῖς πόλεσιν ὅσους ἂν εὕρῃ προσιεμένους αὐτὴν πρὸς αὐτὸ τῆς φιλοσοφίας ἀνάγει τὸ ὕψος. Καὶ γὰρ Μωϋσῆς καὶ Ἠλίας, οἱ πύργοι τῶν ἐν τῇ Παλαιᾷ προφητῶν, καίτοι καὶ ἀπὸ τῶν ἄλλων ὄντες λαμπροὶ καὶ μεγάλοι καὶ πολλὴν ἔχοντες παρρησίαν, ὅτε ἐβούλοντο προσελθεῖν τῷ Θεῷ καὶ διαλεχθῆναι, ὡς ἀνθρώπῳ δυνατὸν ἦν, πρὸς ταύτην κατέφυγον καὶ διὰ τῶν ταύτης αὐτῷ προσεφέροντο χειρῶν. Διὰ τοῦτο καὶ ὁ Θεὸς τὸν ἄνθρωπον ποιῶν ἐξ ἀρχῆς, εὐθέως αὐτὸν ταῖς τῆς νηστείας φέρων παρακατέθετο χερσίν, ὥσπερ φιλοστόργῳ μητρὶ καὶ ἀρίστῃ διδασκάλῳ τὴν

1. Ματθ. 17,21.

νει ἀπὸ τὸν ἄνθρωπο, παρὰ μόνο μὲ προσευχὴ καὶ νηστεία»[1]. Ἀφοῦ λοιπὸν ἔτσι ἀπομακρύνει τοὺς ἐχθροὺς τῆς σωτηρίας μας, καὶ εἶναι τόσο φοβερὴ στοὺς ἐχθροὺς τῆς ζωῆς μας, πρέπει νὰ τὴν ἀγαποῦμε καὶ νὰ τὴν ἀσπαζόμαστε κι ὄχι νὰ τὴ φοβόμαστε· γιατί, ἐὰν πρέπει νὰ φοβόμαστε κάτι, αὐτὰ εἶναι ἡ μέθη καὶ ἡ πολυφαγία, κι ὄχι ἡ νηστεία. Γιατὶ ἐκείνη, δένοντας τὰ χέρια μας πίσω, μᾶς παραδίνει σὰν ἀκριβῶς κάποια φοβερὴ κυρία, στὰ τυραννικὰ δεσμὰ τῶν παθῶν, ἐνῶ ἡ νηστεία, βρίσκοντάς μας δούλους καὶ δεμένους, μᾶς ἐλευθερώνει ἀπὸ τὰ δεσμὰ καὶ μᾶς ἀπαλλάσσει ἀπὸ τὴν τυραννικὴ ἐξουσία, ἐπαναφέρντάς μας στὴν προηγούμενη ἐλευθερία. Ὅταν λοιπὸν καὶ τοὺς ἐχθρούς μας πολεμεῖ καὶ ἀπὸ τὴ δουλεία μᾶς ἀπαλλάσσει καὶ στὴν ἐλευθερία μᾶς ἐπαναφέρει, ποιά ἄλλη μεγαλύτερη ἀπόδειξη ζητᾶς τῆς ἀγάπης αὐτοῦ πρὸς τὸ γένος μας; Γιατὶ μέγιστη ἀπόδειξη ἀγάπης θεωρεῖται ὅτι εἶναι τὸ ν' ἀγαπᾶ καὶ νὰ μισεῖ τοὺς ἴδιους ἐκείνους ποὺ ἐμεῖς ἀγαπᾶμε καὶ μισοῦμε.

2. Θέλεις νὰ μάθεις πόσο μεγάλο κόσμημα εἶναι ἡ νηστεία γιὰ τοὺς ἀνθρώπους, πόσο μεγάλο μέσο προφύλαξης καὶ ἀσφάλειάς τους; Σκέψου, σὲ παρακαλῶ, τὸ μακάριο καὶ θαυμαστὸ γένος τῶν μοναχῶν. Γιατὶ αὐτοί, ἐγκαταλείποντας τὸ θόρυβο τοῦ κόσμου καὶ καταφεύγοντας στὶς κορυφὲς τῶν βουνῶν, καὶ στήνοντας ἐκεῖ μέσα στὴν ἡσυχία τῆς ἐρήμου, σὰν μέσα σὲ γαλήνιο λιμάνι, τὶς καλύβες τους, αὐτὴν ἔλαβαν σὰν συνταξιδιώτη καὶ σύντροφο τῆς ὅλης ζωῆς τους. Αὐτὴ καὶ ἀγγέλους ἀπὸ ἀνθρώπους ποὺ ἦταν τοὺς ἔκαμε, καὶ ὄχι μόνο ἐκείνους, ἀλλὰ καὶ μέσα στὶς πόλεις ὅσους βρεῖ νὰ τὴν ἐφαρμόζουν τοὺς ἀνεβάζει σ' αὐτὸ τὸ ἴδιο τὸ ὕψος τῆς εὐσέβειας. Καθόσον ὁ Μωϋσῆς καὶ ὁ Ἠλίας, οἱ πύργοι τῶν προφητῶν τῆς Π. Διαθήκης, ἂν καὶ βέβαια καὶ ἀπὸ τὰ ἄλλα εἶναι λαμπροὶ καὶ μεγάλοι καὶ ἔχουν μεγάλη παρρησία, ὅταν ἤθελαν νὰ προσέλθουν στὸ Θεὸ καὶ νὰ συνομιλήσουν μαζί του, ὅσο αὐτὸ ἦταν δυνατὸ στὸν ἄνθρωπο, σ' αὐτὴν κατέφυγαν καὶ μὲ τὰ χέρια αὐτῆς προσφέρονταν σ' αὐτόν. Γι' αὐτὸ καὶ ὁ Θεὸς στὴν ἀρχή, ὅταν δημιούργησε τὸν ἄνθρωπο, ἀμέσως τὸν ἔφερε καὶ τὸν παράδωσε στὰ χέρια τῆς νηστείας, ἐμπιστεύμενος σ' αὐτήν, σὰν σὲ φι-

ἐκείνου σωτηρίαν ἐγχειρίζων αὐτῇ. Τὸ γάρ, «ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου βρώσει φαγῇ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε», νηστείας εἶδός ἐστιν. Εἰ δὲ ἐν παραδείσῳ ἀναγκαία ἡ νηστεία, πολλῷ μᾶλλον ἐκτὸς τοῦ παραδείσου· εἰ πρὸ τῆς πληγῆς χρήσιμον τὸ φάρμακον, πολλῷ μᾶλλον μετὰ τὴν πληγήν· εἰ μηδέπω τοῦ πολέμου τῶν ἐπιθυμιῶν ἀναστάντος ἐπιτήδειον ἡμῖν τὸ ὅπλον ἦν, πολλῷ μᾶλλον μετὰ τὴν τοσαύτην μάχην τὴν ἀπὸ τῶν ἐπιθυμιῶν, τὴν ἀπὸ τῶν δαιμόνων, ἀναγκαία ἡ παρὰ τῆς νηστείας συμμαχία. Εἰ ταύτης ἤκουσε τῆς φωνῆς ὁ Ἀδάμ, οὐκ ἂν ἤκουσε τῆς δευτέρας τῆς λεγούσης, «γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ», ἀλλ' ἐπειδὴ ταύτης παρήκουσε, διὰ τοῦτο θάνατος καὶ φροντίδες καὶ πόνοι καὶ ἀθυμίαι καὶ ζωὴ θανάτου παντὸς βαρυτέρα· διὰ τοῦτο ἄκανθαι καὶ τρίβολοι, διὰ τοῦτο πόνοι καὶ ὠδῖνες καὶ βίος ἐπίμοχθος.

Εἶδες πῶς ὁ Θεὸς ἀγανακτεῖ νηστείας ὑβριζομένης; μάθε καὶ πῶς εὐφραίνεται νηστείας τιμωμένης. Ὥσπερ γὰρ ὑβρισθείσης αὐτῆς θάνατον ἐπέθηκε τῷ ὑβρίσαντι τὸ ἐπιτίμιον, οὕτω πάλιν τιμηθείσης αὐτῆς θάνατον ἀνεκαλέσατο. Καὶ γὰρ βουλόμενός σοι δεῖξαι τοῦ πράγματος τὴν δύναμιν, ἔδωκεν ἐξουσίαν αὐτῇ μετὰ ἀπόφασιν, μετὰ ἀπαγωγήν, τοὺς ἀπαγομένους τὴν ἐπὶ θάνατον ἐκ μέσης ἀναρπάσαι τῆς ὁδοῦ καὶ πρὸς ζωὴν μεταγαγεῖν· καὶ τοῦτο οὐκ ἐπὶ δύο ἢ καὶ τριῶν καὶ εἴκοσιν ἀνθρώπων ἐποίησεν, ἀλλὰ καὶ δῆμον ὁλόκληρον, τὴν τῶν Νινευϊτῶν πόλιν μεγάλην καὶ θαυμαστὴν ἐπὶ γόνυ κειμένην, παρ' αὐτὸ τὸ βάραθρον τὴν κεφαλὴν κλίνασαν καὶ μέλλουσαν τὴν ἄνωθεν φερομένην δέχεσθαι πληγήν, καθάπερ τις ἄνωθεν ἐπιστᾶσα δύναμις, καὶ ἐξ αὐτῶν ἥρπασεν τῶν τοῦ θανάτου πυλῶν καὶ πρὸς τὴν ζωὴν ἐπανήγαγεν. Ἀλλ' εἰ δοκεῖ καὶ τῆς ἱστορίας αὐτῆς ἐπακούσωμεν. «Καὶ ἐγένετο» φησί, «λόγος Κυρίου πρὸς Ἰωνᾶν λέγων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευῒ τὴν πόλιν τὴν μεγάλην». Εὐθέως αὐτὸν ἀπὸ τοῦ μεγέθους τῆς πόλεως

---

2. Γεν. 2,16.
3. Γεν. 3,19.
4. Ἰωνᾶ 1,1.

λόστοργη μητέρα καὶ ἄριστη δασκάλα καὶ τὴ σωτηρία του. Γιατὶ τὸ λεγόμενο, «ἀπὸ κάθε δένδρο τοῦ παραδείσου μπορεῖτε νὰ τρῶτε, ἀπὸ τὸ δένδρο ὅμως τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ δὲν θὰ φᾶτε»[2], εἶναι ἕνα εἶδος νηστείας. Κι ἂν ἡ νηστεία ἦταν ἀναγκαία στὸν παράδεισο, πολὺ περισσότερο εἶναι ἀναγκαία ἔξω ἀπὸ τὸν παράδεισο· ἂν τὸ φάρμακο εἶναι χρήσιμο πρὶν ἀπὸ τὴν πληγή, πολὺ περισσότερο μετὰ τὴν πληγή· ἐὰν τὸ ὅπλο μᾶς ἦταν χρήσιμο προτοῦ οἱ ἐπιθυμίες ξεσηκωθοῦν σὲ πόλεμο, πολὺ περισσότερο εἶναι ἀναγκαία ἡ βοήθεια τῆς νηστείας μετὰ τὴν τόσο μεγάλη μάχη τῶν ἐπιθυμιῶν, ποὺ προέρχονται ἀπὸ τοὺς δαίμονες. Ἐὰν ὁ Ἀδὰμ ἄκουε αὐτὴ τὴ φωνή, δὲν θὰ ἄκουε τὴ δεύτερη ποὺ ἔλεγε, «χῶμα εἶσαι καὶ στὸ χῶμα θὰ ἐπιστρέψεις»[3], ἀλλ', ἐπειδὴ παράκουσε αὐτήν, γι' αὐτὸ ἀκολούθησαν ὁ θάνατος καὶ οἱ φροντίδες καὶ οἱ πόνοι καὶ οἱ λύπες καὶ ζωὴ χειρότερη ἀπὸ κάθε θάνατο· γι' αὐτὸ ἀγκάθια καὶ τριβόλια, γι' αὐτὸ κόποι καὶ ὑπερβολικοὶ πόνοι καὶ ζωὴ κοπιαστική.

Εἶδες πῶς ὁ Θεὸς ἀγανακτεῖ ὅταν περιφρονεῖτε ἡ νηστεία; μάθε καὶ πῶς εὐφραίνεται ὅταν τιμᾶται ἡ νηστεία. Ὅπως δηλαδὴ ὅταν περιφρονήθηκε αὐτὴ ἡ τιμωρία προξένησε θάνατο σ' ἐκεῖνον ποὺ τὴν περιφρόνησε, ἔτσι πάλι ὅταν τιμήθηκε αὐτὴ κατάργησε τὸ θάνατο. Γιατί, θέλοντας νὰ σοῦ δείξει τὴ δύναμη τοῦ πράγματος, ἔδωσε σ' αὐτὴν τὴ δύναμη, μετὰ τὴν καταδικαστικὴ ἀπόφαση, μετὰ τὴν ἀπαγωγή, ν' ἁρπάξει ἀπὸ τὸ μέσον τῆς ὁδοῦ ἐκείνους ποὺ ὁδηγοῦνταν στὸ θάνατο καὶ νὰ τοὺς ὁδηγήσει στὴ ζωή· κι αὐτὸ δὲν τὸ ἔκανε σὲ δύο ἢ τρεῖς ἢ εἴκοσι ἀνθρώπους, ἀλλὰ καὶ πλῆθος ὁλόκληρο, τὴ μεγάλη καὶ θαυμαστὴ πόλη τῶν Νινευϊτῶν ποὺ εἶχε γονατίσει καὶ εἶχε κλίνει τὸ κεφάλι της μπροστὰ στὸ ἴδιο τὸ βάραθρο καὶ ἐπρόκειτο νὰ δεχθεῖ τὸ πλῆγμα ἀπὸ τὸν οὐρανό, αὐτὴ σὰν ἀκριβῶς κάποια δύναμη ἦρθε ἀπὸ πάνω της καὶ τὴν ἅρπαξε ἀπὸ τὶς πύλες τοῦ θανάτου καὶ τὴν ἐπανέφερε στὴ ζωή. Ἀλλ', ἐὰν θέλετε, ἄς ἀκούσομε καὶ τὴν ἱστορία αὐτή. «Μίλησε», λέγει, «τότε ὁ Κύριος στὸν Ἰωνᾶ καὶ τοῦ εἶπε· σήκω καὶ πήγαινε στὴ Νινευή, τὴν πόλη τὴ μεγάλη»[4]. Ἀπὸ τὴν πρώτη στιγμὴ θέλει νὰ τὸν συγκινήσει μὲ τὸ μέγεθος τῆς πόλεως, γνωρίζοντας ἀπὸ πρὶν τὴ φυγὴ

δυσωπῆσαι βούλεται, τὴν μέλλουσαν προειδὼς τοῦ προφήτου φυγήν. Ἀλλ' ἀκούσωμεν καὶ τοῦ κηρύγματος.

«Ἔτι τρεῖς ἡμέραι καὶ Νινευῒ καταστραφήσεται». Καὶ τίνος ἕνεκεν ἃ μέλλεις δεινὰ ποιεῖν προλέγεις; Ἵνα μὴ ποιήσω ἃ προλέγω. Διὰ τοῦτο καὶ γέενναν ἠπείλησεν, ἵνα μὴ ἀπαγάγῃ εἰς γέενναν· 'φοβείτω', φησίν, 'ὑμᾶς τὰ ρήματα, καὶ μὴ λυπείτω τὰ πράγματα'. Τίνος δὲ ἕνεκεν καὶ τὴν προθεσμίαν εἰς οὕτω στενὸν συνάγει χρόνον; Ἵνα καὶ τὴν τῶν βαρβάρων μάθῃς ἀρετήν· βαρβάρων λέγω τῶν Νινευϊτῶν ἐν τρισὶν ἡμέραις δυνηθέντων τοσαύτην ἁμαρτημάτων ὀργὴν καταλῦσαι καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν θαυμάσῃς μετανοίᾳ τριῶν ἡμερῶν ἀρκεσθέντος ὑπὲρ τοσούτων πλημμελημάτων, καὶ αὐτὸς μὴ καταπέσῃς εἰς ἀπόγνωσιν, κἂν μυρία ἡμαρτηκὼς ᾖς. Ὥσπερ γὰρ ὁ νωθρὸς τὴν ψυχὴν καὶ ὀλίγωρος, κἂν πολὺν λάβῃ πρὸς μετάνοιαν χρόνον, οὐδὲν μέγα ἐργάζεται, οὐδὲ καταλλάξει τὸν Θεὸν ἑαυτῷ διὰ ῥᾳθυμίαν, οὕτως ὁ διεγηγερμένος καὶ τῇ προθυμίᾳ ζέων καὶ μετὰ πολλῆς τῆς σπουδῆς τὴν μετάνοιαν ἐπιδεικνύμενος, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ πολλοῦ χρόνου παραπτώματα ἀφανίσαι δυνήσεται. Οὐχὶ τρίτον ὁ Πέτρος ἠρνήσατο; οὐχὶ μεθ' ὅρκου τὸ τρίτον; οὐχὶ θεραπαινιδίου τινὸς εὐτελοῦς ρήματα δείσας; Τί οὖν; ἐνιαυτῶν πολλῶν ἐδέησεν αὐτῷ πρὸς μετάνοιαν; Οὐδαμῶς· ἀλλ' αὐτῇ τῇ νυκτὶ καὶ ὠλίσθησε καὶ ἀνέστη, καὶ τὴν πληγὴν καὶ τὸ φάρμακον ἐδέξατο, καὶ ἠρρώστησε, καὶ πρὸς τὴν ὑγίειαν ἐπανῆλθε.

Πῶς καὶ τίνα τρόπον; Κλαύσας καὶ ἀποδυράμενος· μᾶλλον δὲ οὐ κλαύσας ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς σπουδῆς καὶ διαθέσεως· καὶ διὰ τοῦτο ὁ εὐαγγελιστὴς οὐκ εἶπεν, ὅτι 'ἔκλαυσεν' ἁπλῶς, ἀλλ' «ἔκλαυσε πικρῶς». Καὶ ποταπὴ τῶν δακρύων ἐκείνων ἡ δύναμις, φησί, λόγος μὲν οὐδεὶς παραστῆσαι δυνήσεται, ἡ δὲ τῶν πραγμάτων ἔκβασις δείκνυσι σαφῶς. Μετὰ γὰρ τὸ χαλεπὸν ἐκεῖνο πτῶμα –ἀρνήσεως γὰρ οὐδὲν ἴσον κακόν–, ἀλλ' ὅμως μετὰ τοσοῦτον κακὸν πάλιν αὐτὸν πρὸς τὴν προτέραν ἐπανήγαγε τιμὴν καὶ τὴν

5. Ἰωνᾶ 3,4.
6. Ματθ. 26,75.

τοῦ προφήτη ποὺ ἐπρόκειτο νὰ συμβεῖ. Ἀλλ' ἂς ἀκούσομε καὶ τὸ κήρυγμα.

«Ἀκόμη τρεῖς ἡμέρες καὶ ἡ Νινευὴ θὰ καταστραφεῖ»[5]. Καὶ γιὰ ποιό λόγο προλέγεις τὰ κακὰ ἐκεῖνα ποὺ πρόκειται νὰ κάνεις; Γιὰ νὰ μὴ κάνω ἐκεῖνα ποὺ προλέγω. Γι' αὐτὸ καὶ ἀπείλησε μὲ γέεννα, γιὰ νὰ μὴ ὁδηγήσει στὴ γέεννα· φοβηθεῖτε, λέγει, τὰ λόγια, γιὰ νὰ μὴ σᾶς λυπήσουν τὰ γεγονότα. Καὶ γιὰ ποιό λόγο περιορίζει τὴν προθεσμία σὲ τόσο σύντομο χρόνο; Γιὰ νὰ γνωρίσεις καὶ τῶν βαρβάρων τὴν ἀρετή –λέγοντας βαρβάρους ἐννοῶ τοὺς Νινευῖτες–, ποὺ μέσα σὲ τρεῖς μέρες μπόρεσαν νὰ ἐξαλείψουν τόσων ἁμαρτημάτων ὀργή, καὶ νὰ θαυμάσεις τὴ φιλανθρωπία τοῦ Θεοῦ, ποὺ ἀρκέσθηκε στὴ μετάνοια τριῶν ἡμερῶν γιὰ τόσα ἁμαρτήματα, κι ὁ ἴδιος νὰ μὴ κυριευθεὶς ἀπὸ ἀπόγνωση, κι ἂν ἀκόμη διέπραξες ἄπειρα ἁμαρτήματα. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ ἔχει λάβει πολὺ χρόνο γιὰ μετάνοια, τίποτα μεγάλο δὲν κατορθώνει, οὔτε θὰ συμφιλιώσει τὸ Θεὸ μὲ τὸν ἑαυτό του ἐξ αἰτίας τῆς ἀδιαφορίας του, ἔτσι κι ἐκεῖνος ποὺ εἶναι προσεκτικὸς καὶ διακέεται ἀπὸ προθυμία καὶ μὲ πολλὴ ζῆλο δείχνει τὴ μετάνοια, θὰ μπορέσει νὰ ἐξαλείψει μέσα σὲ μιὰ στιγμὴ παραπτώματα πολλοῦ χρόνου. Δὲν ἀρνήθηκε ὁ Πέτρος τὸ Χριστὸ τρεῖς φορές; δὲν τὸν ἀρνήθηκε καὶ μὲ ὅρκο τὴν τρίτη φορά; δὲν φοβήθηκε τὰ λόγια κάποιας ἀσήμαντης ὑπηρέτριας; Τί λοιπόν; χρειάστηκε αὐτὸς χρόνια πολλὰ γιὰ μετάνοια; Καθόλου, ἀλλὰ τὴν ἴδια νύχτα καὶ ἔπεσε καὶ σηκώθηκε, καὶ τὴν πληγὴ δέχθηκε καὶ τὸ φάρμακο, καὶ ἀρρώστησε καὶ ἐπανεῦρε τὴν ὑγεία του.

Πῶς καὶ μὲ ποιόν τρόπο; Ἀφοῦ ἔκλαψε καὶ θρήνησε πικρά· ἢ καλύτερα δὲν ἔκλαψε ἁπλῶς, ἀλλὰ μὲ πολλὴ προθυμία καὶ διάθεση· καὶ γι' αὐτὸ ὁ εὐαγγελιστὴς δὲν εἶπε ὅτι ἔκλαψε ἁπλῶς, ἀλλ', «ἔκλαψε πικρά»[6]. Καὶ πόσο μεγάλη, λέγει, ἦταν ἡ δύναμη τῶν δακρύων ἐκείνων δὲν θὰ μπορέσει κανένας λόγος νὰ τὴν παραστήσει, τὸ δείχνει ὅμως ὁλοφάνερα ἡ ἔκβαση τῶν πραγμάτων. Γιατὶ μετὰ τὴ φοβερὴ ἐκείνη πτώση –κανένα κακὸ δὲν εἶναι ἴσο μὲ τὴν ἄρνηση–, ἀλλ' ὅμως μετὰ τόσο μεγάλο κακό, πάλιν τὸν ἐπανέφερε στὴν προηγούμενη τιμὴ καὶ τοῦ ἐμπιστεύθηκε τὴ φροντίδα τῆς

ἐπιστασίαν τῆς οἰκουμενικῆς Ἐκκλησίας ἐνεχείρισε· καὶ ὃ πάντων μεῖζόν ἐστιν, ἀπέδειξεν ἡμῖν αὐτὸν πλείω τῶν ἀποστόλων ἁπάντων ἔχοντα τὴν εἰς τὸν Δεσπότην ἀγάπην. «Πέτρε» γάρ, φησί, «φιλεῖς με πλεῖον τούτων;». Τούτου δ' οὐδὲν γένοιτο ἂν ἴσον εἰς ἀρετῆς λόγον. Ἵνα γὰρ μὴ λέγῃς ὅτι τοῖς Νινευΐταις εἰκότως συνέγνω, ἀνθρώποις βαρβάροις καὶ ἀνοήτοις, «ὁ γὰρ δοῦλος», φησίν, «ὁ μὴ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ καὶ μὴ ποιήσας, δαρήσεται ὀλίγας»· ἵνα οὖν μὴ τοῦτο λέγῃς, διὰ τοῦτό σοι καὶ τὸν Πέτρον εἰς μέσον παρήγαγε, δοῦλον μάλιστα τὸ θέλημα τοῦ Κυρίου εἰδότα. Ἀλλ' ὅμως καὶ οὗτος ἁμαρτὼν καὶ τὴν ἐσχάτην ἁμαρτίαν, ὅρα πρὸς ὅσον παρρησίας ὕψος ἀνῆλθε.

Μὴ τοίνυν μηδ' αὐτὸς ἐπὶ τοῖς ἁμαρτήμασι καταπέσῃς· τὸ γὰρ χαλεπώτερον τῆς ἁμαρτίας, τὸ μένειν ἐν τῇ ἁμαρτίᾳ, καὶ τὸ δεινότερον τοῦ πτώματος, τὸ κεῖσθαι ἐν τῷ πτώματι· τοῦτο καὶ ὁ Παῦλος θρηνεῖ καὶ ἀποδύρεται, τοῦτο πένθους ἄξιον εἶναί φησι. «Μή πως» γάρ, φησίν, «ἐλθόντος μου πρὸς ὑμᾶς, ταπεινώσῃ με ὁ Θεός καὶ πενθήσω πολλούς», οὐχὶ τῶν ἡμαρτηκότων ἁπλῶς, ἀλλὰ «τῶν μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ καὶ πορνείᾳ ᾗ ἔπραξαν». Πρὸς δὲ μετάνοιαν ποῖος ἐπιτηδειότερος γένοιτ' ἂν καιρὸς τοῦ τῆς νηστείας καιροῦ;

3. Ἀλλ' ἐπανίωμεν εἰς τὴν ἱστορίαν. «Ἀκούσας γὰρ ταῦτα τὰ ῥήματα ὁ προφήτης κατέβη εἰς Ἰόππην τοῦ φεύγειν εἰς Θαρσεῖς ἀπὸ προσώπου Κυρίου». Ποῦ φεύγεις, ἄνθρωπε; οὐκ ἤκουσας τοῦ προφήτου λέγοντος; «ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;» Εἰς τὴν γῆν; Ἀλλά, «τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς». Ἀλλ' εἰς τὸν ᾅδην; «Κἂν καταβῶ», φησίν, «εἰς τὸν ᾅδην, πάρει». Εἰς τὸν οὐρανόν; «Ἀλλ' ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ». Ἀλλ' εἰς τὴν θάλασσαν; «Καὶ ἐκεῖ», φησί, «καθέξει με ἡ δεξιά σου», ὃ δὴ καὶ ἐπὶ τούτου γέγονεν. Ἀλλὰ τοιοῦτον ἡ ἁμαρτία· εἰς πολλὴν ἄνοιαν ἐμβάλλει τὴν ἡμετέραν ψυχήν. Καθάπερ γὰρ οἱ καρηβαρίᾳ καὶ μέθῃ κατεχόμενοι

---

7. Ἰω. 21,15.
8. Λουκᾶ 12,48.
9. Β' Κορ. 12,21.
10. Ἰωνᾶ 1,3.
11. Ψαλμ. 138,7.
12. Ψαλμ. 23,1.

Ἐκκλησίας τῆς οἰκουμένης καὶ ἐκεῖνο ποὺ εἶναι τὸ σπουδαιότερο ἀπ' ὅλα, ἀπέδειξε σὲ μᾶς ὅτι αὐτὸς εἶχε τὴ μεγαλύτερη ἀγάπη πρὸς τὸν Κύριο ἀπ' ὅλους τοὺς ἀποστόλους. Γιατὶ λέγει, «Πέτρε μὲ ἀγαπᾶς περισσότερο ἀπ' αὐτούς;»[7]. Τίποτε ἄλλο ὡς πρὸς τὴν ἀρετὴ δὲν θὰ μποροῦσε νὰ ἐξισωθεῖ μ' αὐτό. Γιὰ νὰ μὴ λὲς δηλαδὴ ὅτι πολὺ εὔλογα συγχώρησε τοὺς Νινευΐτες, ἀφοῦ ἦταν ἄνθρωποι βάρβαροι καὶ ἀνόητοι, γιατὶ λέγει, «ὁ δοῦλος ποὺ δὲ γνωρίζει τὸ θέλημα τοῦ κυρίου του καὶ δὲν τὸ ἔκαμε θὰ δαρεῖ λιγότερο»[8]· γιὰ νὰ μὴ λὲς λοιπὸν αὐτό, γι' αὐτὸ καὶ σοῦ παρουσίασε τὸν Πέτρο, δοῦλο δηλαδὴ ποὺ γνώριζε ὅλως ἰδιαίτερα τὸ θέλημα τοῦ Κυρίου του. Ἀλλ' ὅμως καὶ αὐτός, ἂν καὶ ἁμάρτησε καὶ διέπραξε τὴ χειρότερη ἁμαρτία, πρόσεχε σὲ πόσο ὕψος παρρησίας ἀνέβηκε.

Οὔτε καὶ σὺ λοιπὸν ν' ἀπελπισθεῖς γιὰ τ' ἁμαρτήματά σου· γιατὶ τὸ χειρότερο τῆς ἁμαρτίας εἶναι τὸ νὰ μένεις στὴν ἁμαρτία, καὶ τὸ φοβερότερο ἀπὸ τὶς πτώσεις εἶναι τὸ νὰ παραμένεις πεσμένος. Αὐτὸ καὶ ὁ Παῦλος θρηνεῖ καὶ ὀδύρεται, αὐτὸ λέγει ὅτι εἶναι ἄξιο γιὰ πένθος. Γιατὶ λέγει, «μήπως, ὅταν ρθῶ πρὸς ἐσᾶς, μὲ ταπεινώσει ὁ Θεὸς καὶ πενθήσω πολλούς», ὄχι ἀπὸ ἐκείνους ποὺ ἁμάρτησαν ἁπλῶς, ἀλλὰ «ἀπὸ ἐκείνους ποὺ δὲ μετανόησαν γιὰ τὴν ἀσέλγεια, τὴν ἀκαθαρσία καὶ τὴν πορνεία ποὺ διέπραξαν»[9]. Γιὰ τὴ μετάνοια ὅμως ποιός καιρὸς θὰ μποροῦσε νὰ εἶναι πιὸ κατάλληλος ἀπὸ τὸν καιρὸ τῆς νηστείας;

3. Ἀλλ' ἂς ἐπιστρέψομε στὴν ἱστορία. «Ὅταν ὁ προφήτης ἄκουσε αὐτὰ τὰ λόγια κατέβηκε στὴν Ἰόππη μὲ σκοπὸ νὰ φύγει στοὺς Θαρσεῖς, μακριὰ ἀπὸ τὸν Κύριο»[10]. Ποῦ φεύγεις, ἄνθρωπε; δὲν ἄκουσες τὸν προφήτη ποὺ λέγει, «ποῦ νὰ πάω μακριὰ ἀπὸ τὸ πνεῦμα σου καὶ ποῦ νὰ φύγω μακριὰ ἀπὸ τὸ πρόσωπό σου;»[11]. Στὴ γῆ; Ἀλλά, «τοῦ Κυρίου εἶναι ἡ γῆ καὶ ὅλα ὅσα ὑπάρχουν ἐπάνω σ' αὐτήν»[12]. Μήπως στὸν ἅδη; «Κι ἂν ἀκόμα κατεβῶ στὸν ἅδη», λέγει, «ἐσὺ εἶσαι ἐκεῖ παρών». Στὸν οὐρανό; «Ἀλλ' ἐὰν ἀνεβῶ στὸν οὐρανό, σὺ εἶσαι ἐκεῖ». Μήπως στὴ θάλασσα; «Καὶ ἐκεῖ», λέγει, «θὰ μὲ κρατάει τὸ χέρι σου», πράγμα ποὺ ἔγινε καὶ σ' αὐτόν. Ἀλλὰ τέτοιο πράγμα εἶναι ἡ ἁμαρτία· ὁδηγεῖ τὴν ψυχή μας σὲ μεγάλη ἀνοησία. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ὑποφέρουν ἀπὸ

ἁπλῶς καὶ εἰκῇ περιφέρονται, κἂν βάραθρον κἂν κρημνὸς κἂν ὁτιοῦν ᾖ ὑποκείμενον, καταπίπτουσιν ἀφυλάκτως, οὕτω καὶ οἱ πρὸς τὴν ἁμαρτίαν ἐξολισθαίνοντες, καθάπερ μέθῃ τινὶ τῇ τῆς πράξεως ἐπιθυμίᾳ κατεχόμενοι, οὐκ ἴσασιν ὅπερ πράττουσιν· οὐ τῶν παρόντων, οὐ τῶν μελλόντων τι προορῶσι.

Τὸν Δεσπότην φεύγεις, εἰπέ μοι; Οὐκοῦν μικρὸν ἀνάμεινον καὶ διὰ τῶν πραγμάτων αὐτῶν μαθήσῃ, ὅτι οὐδὲ τῆς δούλης θαλάττης τὰς χεῖρας δυνήσῃ διαφυγεῖν. Ὁμοῦ γὰρ ἐπέβη τῆς νηὸς οὗτος, κἀκείνη τὰ κύματα διανέστησε, καὶ πρὸς ὕψος ἠγείρετο μέγα· καὶ καθάπερ θεράπαινά τις εὐγνώμων σύνδουλον εὑροῦσα φυγάδα, τῶν δεσποτικῶν ὑφελόμενόν τι κτημάτων, οὐ πρότερον ἀφίσταται μυρία τοῖς ὑποδεξαμένοις αὐτὸν παρέχουσα πράγματα, ἕως ἂν λαβοῦσα αὐτὸν ἀπέλθῃ· οὕτω δὴ καὶ ἡ θάλαττα τὸν σύνδουλον εὑροῦσα τὸν ἑαυτῆς καὶ ἐπιγνοῦσα, μυρία τοῖς ναύταις παρέχει πράγματα, ταράττουσα, βοῶσα, οὐκ εἰς δικαστήριον ἕλκουσα, ἀλλ' αὔτανδρον ἀπειλοῦσα κατάδυσιν τοῦ σκάφους, εἰ μὴ τὸν ὁμόδουλον ἀποδοῖεν αὐτῇ. Τί οὖν οἱ ναῦται, τούτων γινομένων; «Ἐποιήσαντο», φησίν, «ἐκβολὴν τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ· τὸ δὲ πλοῖον οὐκ ἐκουφίζετο»· ὁ γὰρ φόρτος ἅπας ἔνδον ἔμενεν ἔτι, τοῦ προφήτου τὸ σῶμα, τὸ βαρὺ φορτίον, οὐ παρὰ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ παρὰ το τῆς ἁμαρτίας ἄχθος· οὐδὲν γὰρ οὕτω βαρὺ καὶ δυσβάστακτον, ὡς ἁμαρτία καὶ παρακοή. Διὰ τοῦτο καὶ Ζαχαρίας εἰς ὄψιν μολίβδου διετύπωσεν αὐτήν· ὁ Δαυῒδ δὲ τὴν φύσιν αὐτῆς διαγράφων ἔλεγεν· «αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ». Ὁ δὲ Χριστὸς πρὸς τοὺς ἐν ἁμαρτίαις βεβιωκότας παλλαῖς ἐβόα· «δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς».

Αὕτη τοίνυν καὶ τὸ πλοῖον ἐβάρυνε τότε καὶ βαπτίζειν ἔμελλεν· ὁ δὲ Ἰωνᾶς ἐκάθευδε καὶ ἔρεγχε. Βαρὺς ὁ ὕπνος οὐκ ἦν ἡδο-

---

13. Ἰωνᾶ 1,5.
14. Ζαχ. 5,7.
15. Ψαλμ. 37,5.
16. Ματθ. 11,28.

πονοκέφαλο καὶ ἐκεῖνοι ποὺ εἶναι μεθυσμένοι γυρίζουν ἐδῶ κι ἐκεῖ στὴν τύχη καὶ ἄσκοπα, καὶ πέφτουν ἀπροφύλακτα ἂν βρεθεῖ μπροστά τους εἴτε βάραθρο, εἴτε γκρεμός, εἴτε ὁτιδήποτε ἄλλο, ἔτσι καὶ ἐκεῖνοι ποὺ γλυστροῦν πρὸς τὴν ἁμαρτία, κυριευμένοι ἀπὸ τὴν ἐπιθυμία τῆς πράξεως σὰν ἀπὸ κάποια μέθη δὲν γνωρίζουν ἐκεῖνο ποὺ κάμνουν· δὲν προσέχουν οὔτε τὰ παρόντα οὔτε τὰ μελλοντικά.

Ἀπὸ τὸν Κύριο, πές μου, φεύγεις μακριά; Λοιπὸν περίμενε λίγο καὶ ἀπὸ τὰ ἴδια τὰ πράγματα θὰ μάθεις, ὅτι δὲν μπορεῖς νὰ ξεφύγεις οὔτε τὰ χέρια τῆς δούλης θάλασσας. Γιατί, μόλις αὐτὸς ἀνέβηκε στὸ πλοῖο καὶ ἐκείνη ξεσήκωσε τὰ κύματα καὶ τὰ ἀνέβασε σὲ ὕψος μεγάλο· καὶ ὅπως ἀκριβῶς κάποια πιστὴ ὑπηρέτρια, βρίσκοντας σύνδουλό της δραπέτη, ποὺ ἔκλεψε κάτι ἀπὸ τὰ πράγματα τοῦ κυρίου, δὲν σταματᾶ προηγουμένως νὰ παρενοχλεῖ μὲ ἀμέτρητες ἐνοχλήσεις ἐκείνους ποὺ τὸν συνέλαβαν, μέχρι ποὺ νὰ λάβει αὐτὸν καὶ νὰ φύγει, ἔτσι λοιπὸν καὶ ἡ θάλασσα, βρίσκοντας τὸν σύνδουλό της καὶ ἀναγνωρίζοντάς τον, παρενοχλεῖ μὲ ἀμέτρητους τρόπους τοὺς ναῦτες, δημιουργώντας ταραχὴ καὶ βοή, χωρὶς νὰ τοὺς σύρει στὸ δικαστήριο, ἀλλ' ἀπειλώντας αὔτανδρο νὰ καταβυθίσει τὸ σκάφος, ἂν δὲν τῆς παραδώσουν τὸν σύνδουλό της. Τί ἔκαναν λοιπὸν οἱ ναῦτες βλέποντας αὐτὰ νὰ γίνονται; «Ἔρριξαν», λέγει, «τὶς ἀποσκευὲς τοῦ πλοίου στὴ θάλασσα, ἀλλὰ τὸ πλοῖο δὲν ἀλάφραινε»[13]· γιατὶ ὅλο τὸ φορτίο βρισκόταν ἀκόμα μέσα, τὸ σῶμα τοῦ προφήτη, τὸ βαρὺ φορτίο, ὄχι ἀπὸ τὴν ἴδια τὴ φύση τοῦ σώματος, ἀλλ' ἀπὸ τὸ βάρος τῆς ἁμαρτίας· γιατὶ τίποτα δὲν εἶναι τόσο βαρὺ καὶ δυσβάστακτο, ὅσο ἡ ἁμαρτία καὶ παρακοή. Γι' αὐτὸ καὶ ὁ Ζαχαρίας παρομοίασε αὐτὴν μὲ μολύβι[14]. Ὁ Δαυῒδ πάλι περιγράφοντας τὴ φύση της ἔλεγε· «οἱ ἀνομίες μου σκέπασαν τὸ κεφάλι μου, σὰν βαρὺ φορτίο βάρυναν ἐπάνω μου»[15]. Καὶ ὁ Χριστὸς πρὸς ἐκείνους ποὺ ζοῦσαν στὴν ἁμαρτία φώναζε καὶ ἔλεγε· «ἐλᾶτε πρὸς ἐμένα ὅλοι οἱ καταπονεμένοι καὶ φορτωμένοι κι ἐγὼ θὰ σᾶς ξεκουράσω»[16].

Αὐτὴ λοιπὸν βάρυνε καὶ τὸ πλοῖο τότε καὶ ἐπρόκειτο νὰ τὸ βυθίσει· ὁ Ἰωνᾶς ὅμως κοιμόταν καὶ ροχάλιζε. Βαρὺς ὁ ὕπνος του,

νῆς, ἀλλὰ λύπης, οὐχὶ ῥᾳθυμίας, ἀλλὰ ἀθυμίας. Οἱ γὰρ εὐγνώμονες τῶν οἰκετῶν ταχέως αἰσθάνονται τῶν ἁμαρτημάτων, ὅπερ κἀκεῖνος ἔπαθε. Μετὰ γὰρ τὴν πρᾶξιν τῆς ἁμαρτίας, ἔγνω τῆς ἁμαρτίας τότε τὸ δεινόν· καὶ γὰρ τοιοῦτον ἡ ἁμαρτία· μετὰ τὸ τεχθῆναι, πλήρης τότε τὰς ὠδῖνας ἐγείρει τῇ τεκούσῃ ψυχῇ, ἀπεναντίας τῷ νόμῳ τῆς ἡμετέρας γεννήσεως. Ἡμεῖς μὲν γὰρ ὁμοῦ τεχθέντες τὰς ὠδῖνας λύομεν, ἐκείνη δὲ ὁμοῦ τεχθεῖσα διασπᾷ ταῖς ὀδύναις τοὺς τεκόντας αὐτὴν λογισμούς. Τί οὖν ὁ πρωρεύς; Προσῆλθε, φησίν, αὐτῷ καὶ λέγει· «ἀνάστα, καὶ ἐπικαλοῦ Κύριον τὸν Θεόν σου». Ἔγνω λοιπὸν ἀπὸ τῆς πείρας, ὅτι οὐκ ἦν συνήθης ὁ χειμών, ἀλλὰ θεήλατος ἦν ἡ πληγὴ καὶ μεῖζον τῆς ἀνθρωπίνης τέχνης τὸ κλυδώνιον, καὶ ὅτι τῶν τοῦ κυβερνήτου χειρῶν ὄφελος οὐδέν· ἑτέρου γὰρ ἐδεῖτο μείζονος κυβερνήτου τὰ γινόμενα, τοῦ τὸν κόσμον διακυβερνῶντος ἅπαντα, καὶ τῆς ἄνωθεν χρείαν εἶχε ῥοπῆς. Διὰ τοῦτο κἀκεῖνοι κώπας καὶ ἱστία καὶ σχοινία καὶ πάντα ἀφέντες καὶ τῆς εἰρεσίας τὰς χεῖρας ἀποστήσαντες πρὸς τὸν οὐρανὸν ἀνέτειναν καὶ τὸν Θεὸν παρεκάλουν.

Ὡς δὲ οὐδὲ οὕτως ἐγένετό τι πλέον, «ἔβαλον κλήρους», φησί· καὶ παρέδωκε λοιπὸν ὁ κλῆρος τῇ ψήφῳ τὸν ὑπεύθυνον. Οἱ δὲ οὐδὲ οὕτως αὐτὸν λαβόντες κατεπόντισαν, ἀλλὰ θορύβου τοσούτου καὶ ταραχῆς ἐπικειμένης, ὥσπερ ἡσυχίας πολλῆς ἀπολαύοντες, οὕτω δικαστήριον ἐν τῷ πλοίῳ καθιστάντες, καὶ λόγου μετέδωκαν αὐτῷ καὶ ἀπολογίας ἠξίωσαν καὶ πάντα μετὰ ἀκριβείας ἐξήταζον, ὥσπερ μέλλοντές τινι παρέχειν εὐθύνας, ὧν ἂν ψηφίσωνται. Ἄκουσον γοῦν αὐτῶν, ὥσπερ ἐν δικαστηρίῳ πάντα ἐξεταζόντων. Τίς σου ἡ ἐργασία ἐστί; καὶ πόθεν ἔρχῃ; καὶ ποῦ πορεύῃ; καὶ ἐκ ποίας χώρας καὶ ἐκ ποίου [illegible]ῦ εἶ σύ; Καίτοι κατηγόρησεν μὲν ἡ θάλασσα καταβοῶσα, ἤλεγξε δὲ ὁ κλῆρος καὶ κατεμαρτύρησεν, ἀλλ' ὅμως οὔτε τῆς θαλάσσης καταβοώσης, οὔτε τοῦ κλήρου κα-

---

17. Ἰωνᾶ 1,6.

πού δὲν ἦταν ὅμως ὕπνος ἡδονῆς, ἀλλὰ λύπης, πού δὲν ἦταν ὕπνος ραθυμίας, ἀλλὰ ὑπερβολικῆς λύπης. Γιατὶ οἱ εὐγνώμονες δοῦλοι ἀμέσως συναισθάνονται τὰ ἁμαρτήματά τους, πράγμα πού ἔπαθε κι ἐκεῖνος. Πραγματικὰ μετὰ τὴν διάπραξη τῆς ἁμαρτίας, ἀντιλήφθηκε τότε τὸ κακό· γιατὶ τέτοια εἶναι ἡ ἁμαρτία· ἀφοῦ διαπραχθεῖ, προξενεῖ τότε τοὺς φοβεροὺς πόνους στὴν ψυχὴ πού τὴ γέννησε, ἀντίθετα μὲ τὸ νόμο τῆς δικῆς μας γεννήσεως. Ἐμεῖς δηλαδὴ μόλις γεννηθοῦμε, σταματοῦμε τοὺς πόνους τοῦ τοκετοῦ, ἐνῶ ἐκείνη μόλις γεννηθεῖ ξεσχίζει μὲ τοὺς πόνους τοὺς λογισμοὺς πού τὴ γέννησαν. Τί ἔκαμε λοιπὸν ὁ πλοίαρχος; Πλησίασε, λέγει, σ' αὐτὸν καὶ τοῦ εἶπε· «σήκω καὶ παρακάλεσε τὸν Κύριο τὸ Θεό σου»[17]. Ἀντιλήφθηκε δηλαδὴ ἀπὸ τὰ ἴδια τὰ πράγματα, ὅτι δὲν ἦταν συνηθισμένη ἡ κακοκαιρία, ἀλλ' ἦταν θεόσταλτη ἡ πληγὴ καὶ μεγαλύτερη ἡ θαλασσοταραχὴ ἀπὸ τὴν ἀνθρώπινη τέχνη, καὶ ὅτι δὲν ὑπῆρχε κανένα ὄφελος ἀπὸ τὰ χέρια τοῦ κυβερνήτη· γιατὶ χρειάζονταν τὰ ὅσα γίνονταν μεγαλύτερο κυβερνήτη, ἐκεῖνον πού κυβερνᾶ τὸν κόσμο ὅλο, καὶ εἶχαν ἀνάγκη ἀπὸ τὴ θεία βοήθεια. Γι' αὐτὸ κι ἐκεῖνοι, ἀφοῦ ἄφησαν τὰ κουπιὰ καὶ τὰ πανιὰ καὶ τὰ σχοινιὰ καὶ ὅλα γενικὰ καὶ ἀπομάκρυναν τὰ χέρια τους ἀπὸ τὴν κωπηλασία, τὰ σήκωσαν πρὸς τὸν οὐρανὸ καὶ παρακαλοῦσαν τὸ Θεό.

Ἐπειδὴ ὅμως οὔτε ἔτσι παρατηρήθηκε κάποια βελτίωση, «ἔρριξαν κλῆρο», λέγει, καὶ ὁ κλῆρος τότε παρέδωσε μὲ τὴν ψῆφο τὸν ὑπεύθυνο. Ἐκεῖνοι ὅμως δὲν τὸν ἔπιασαν οὔτε ἔτσι γιὰ νὰ τὸν ρίξουν στὴ θάλασσα, ἀλλ', ἐνῶ γίνονταν τόσος θόρυβος καὶ βρισκόταν μπροστά τους ἡ ταραχή, σὰν ν' ἀπολάμβαναν μεγάλη ἡσυχία, ἔτσι ἔστησαν δικαστήριο ἐπάνω στὸ πλοῖο, καὶ τοῦ ἔδωσαν τὸ λόγο, ζητώντας ν' ἀπολογηθεῖ, καὶ ὅλα τὰ ἐξέταζαν μὲ προσοχή, σὰν νὰ ἐπρόκειτο νὰ λογοδοτήσουν σὲ κάποιον γιὰ τὴν απόφαση πού θὰ ἔπαιρναν. Ἄκουσε λοιπὸν αὐτοὺς πού ὅλα τὰ ἐξετάζουν ὅπως στὸ δικαστήριο. Τί δουλειὰ κάνεις; Ἀπὸ ποῦ ἔρχεσαι καὶ ποῦ πηγαίνεις; Ἀπὸ ποιά χώρα κατάγεσαι καὶ ἀπὸ ποιό λαό; Ἂν καὶ βέβαια τὸν κατηγόρησε ἡ θάλασσα καταβοώντας, τὸ φανέρωσε ὁ κλῆρος καὶ τὸ ἐπιβεβαίωσε· κι ὅμως ἂν καὶ καταβοᾶ ἡ

ταμαρτυρήσαντος τὴν ψῆφον ἐπάγουσιν οὐδέπω, ἀλλ' ὥσπερ ἐν δικαστηρίῳ, καὶ κατηγόρων παρόντων καὶ μαρτύρων ἐφεστηκότων καὶ ἐλέγχων γινομένων, οὐ πρότερον οἱ δικάζοντες τὴν ψῆφον ἐπάγουσιν, ἕως ἂν αὐτὸς ὁ κατάδικος κατήγορος τῆς ἰδίας ἁμαρτίας γένηται· οὕτω δὴ καὶ οἱ ναῦται ἐνταῦθα, ἄνθρωποι βάρβαροι καὶ ἀνόητοι, τὴν ἐν τοῖς δικαστηρίοις εὐταξίαν ἐμιμοῦντο· καίτοι τοσούτου φόβου, τοσούτου κλυδωνίου, τοσαύτης ταραχῆς περιεστώσης αὐτοὺς καὶ τῆς θαλάσσης οὐδὲ ἀναπνεῖν ἐπιτρεπούσης· οὕτως ἐθορύβει καὶ κατέσπευδε μαινομένη καὶ καταβοῶσα καὶ συνεχῆ τὰ κύματα ἐπεγείρουσα.

Πόθεν οὖν ἡ τοσαύτη πρόνοια γέγονεν, ἀγαπητοί, περὶ τὸν προφήτην; Ἀπὸ τῆς τοῦ Θεοῦ οἰκονομίας. Ὁ γὰρ Θεὸς ᾠκονόμει ταῦτα γίνεσθαι, τὸν προφήτην διὰ τούτων παιδεύων φιλάνθρωπον εἶναι καὶ ἥμερον, καὶ μονονουχὶ βοῶν πρὸς αὐτὸν καὶ λέγων· 'μίμησαι τοὺς ναύτας, ἀνθρώπους ἀνοήτους· εἴπερ οὗτοι μὲν οὐδὲ μιᾶς καταφρονοῦσι ψυχῆς, οὐδὲ ἑνὸς ἀφειδοῦσι σώματος τοῦ σοῦ, σὺ δὲ ὁλόκληρον πόλιν τοσαύτας ἔχουσαν μυριάδας ἐξέδωκας τό γε σὸν μέρος· καὶ αὐτοὶ μὲν τὸν αἴτιον τῶν γεγενημένων αὐτοῖς κακῶν εὑρόντες, οὐδὲ οὕτως ὁρμῶσιν ἐπὶ τὴν καταδικάζουσαν ψῆφον, σὺ δὲ οὐδὲν ἔχων ἐγκαλεῖν τοῖς Νινευΐταις κατέδυσας αὐτοὺς καὶ ἀπώλεσας. Καὶ σὺ μέν, ἐμοῦ κελεύσαντος ἀπιέναι καὶ πρὸς σωτηρίαν αὐτοὺς ἀνακαλεῖσθαι διὰ τοῦ κηρύγματος, οὐχ ὑπήκουσας, οὗτοι δὲ οὐδενὸς ἀκούσαντες, πάντα ποιοῦσι καὶ πραγματεύονται, ὥστε σε τὸν ὑπεύθυνον γενόμενον τιμωρίας ἀνακαλέσασθαι. Καὶ γὰρ καὶ μετὰ τὴν ἀπὸ τῆς θαλάττης κατηγορίαν, μετὰ τὴν ἀπόδειξιν τὴν διὰ τοῦ κλήρου, ὅτε αὐτὸς ἑαυτοῦ κατηγόρησε καὶ τὴν φυγὴν ὡμολόγησε, οὐδὲ οὕτως ὥρμησαν ἐπὶ τὴν ἀπώλειαν τοῦ προφήτου, ἀλλὰ ἠνεῖχον καὶ ἐβιάζοντο καὶ πάντα ἐποίουν, ὥστε αὐτὸν μηδὲ μετὰ τοσαύτην ἀπόδειξιν ἐκδοῦναι τῇ τῆς θαλάττης ὁρμῇ. Ἀλλ' οὐκ ἐπέτρεπεν οὐδὲ οὕτως ἡ θάλαττα· μᾶλλον δὲ ὁ Θεὸς οὐκ ἠφίει, ὥσπερ διὰ τῶν ναυτῶν, οὕτω καὶ διὰ τοῦ κήτους

θάλασσα καὶ ὁ κλῆρος τὸ ἐπιβεβαιώνει δὲν βγάζουν ἀκόμα τὴν ἀπόφασή τους, ἀλλ' ὅπως στὸ δικαστήριο, ποὺ καὶ οἱ κατήγοροι εἶναι παρόντες καὶ οἱ μάρτυρες παραβρίσκονται καὶ ἔλεγχοι γίνονται, οἱ δικαστὲς δὲν βγάζουν τὴν ἀπόφαση, μέχρι ποὺ ὁ ἴδιος ὁ κατάδικος νὰ γίνει κατήγορος τῆς ἁμαρτίας του· ἔτσι λοιπὸν καὶ οἱ ναῦτες ἐδῶ, ἂν καὶ εἶναι ἄνθρωποι βάρβαροι καὶ ἀνόητοι, ἐφαρμόζουν τὴ διαδικασία στὰ δικαστήρια· ἂν καὶ ὁ φόβος ἦταν τόσος, καὶ ἡ θαλασσοταραχὴ τόσο μεγάλη, καὶ τόση ταραχὴ περιέβαλε αὐτούς, μὴ ἀφήνοντάς τους ἡ θάλασσα οὔτε ν' ἀναπνεύσουν· τόσο πολὺ τοὺς συντάρασσε, ὁρμώντας μὲ μανία καὶ ξεσπώντας σὲ ἄγρια βοητὰ καὶ συνεχὴ κύματα.

'Από ποῦ λοιπόν, ἀγαπητοί, ἐπιδείχθηκε τόση πρόνοια γιὰ τὸν προφήτη; 'Από τὴν οἰκονομία τοῦ Θεοῦ. 'Ο Θεὸς δηλαδὴ ρύθμιζε τὰ πράγματα νὰ γίνονται ἔτσι, διδάσκοντας τὸν προφήτη μ' αὐτὰ νὰ εἶναι φιλάνθρωπος καὶ ἥμερος, καὶ κατὰ κάποιο τρόπο βοώντας πρὸς αὐτὸν καὶ λέγοντας· 'μιμήσου τοὺς ναῦτες, ποὺ εἶναι ἄνθρωποι ἀσύνετοι· γιατὶ αὐτοὶ δὲν περιφρονοῦν οὔτε μιὰ ψυχή, οὔτε μένουν ἀδιάφοροι γιὰ ἕνα σῶμα, τὸ δικό σου, ἐνῶ σὺ ὁλόκληρη πόλη ποὺ ἔχει τόσες μυριάδες ἀνθρώπων τοὺς παρέδωσες, ὅσο φυσικὰ ἐξαρτᾶται ἀπὸ σένα· κι αὐτοὶ βέβαια ἂν καὶ βρῆκαν τὸν αἴτιο τῶν κακῶν ποὺ προξενήθηκαν σ' αὐτούς, οὔτε ἔτσι προχωροῦν στὴν καταδικαστικὴ ἀπόφαση, ἐνῶ σύ, χωρὶς νὰ μπορεῖς νὰ κατηγορήσεις σὲ τίποτα τοὺς Νινευΐτες, τοὺς καταπόντισες καὶ τοὺς κατέστρεψες. Σὺ ἂν καὶ ἐγὼ σὲ πρόσταξα νὰ πᾶς ἐκεῖ καὶ νὰ τοὺς καλέσεις μὲ τὸ κήρυγμά σου πρὸς σωτηρία, δὲν ὑπάκουσες, ἐνῶ αὐτοὶ χωρὶς ν' ἄκουσαν ἀπὸ κανέναν, κάμνουν τὰ πάντα καὶ φροντίζουν, ὥστε νὰ σὲ ἀπαλλάξουν ἀπὸ τὴν τιμωρία γιὰ τὴν ὁποία κρίθηκες ὑπεύθυνος. Γιατὶ καὶ μετὰ τὴν κατηγορία τῆς θάλασσας, μετὰ τὴν ἀπόδειξη μὲ τὸν κλῆρο, ὅταν ὁ ἴδιος κατηγόρησε τὸν ἑαυτό του καὶ ὁμολόγησε τὴ φυγή, οὔτε ἔτσι προχώρησαν στὴν ἀπώλεια τοῦ προφήτη, ἀλλὰ συγκρατοῦνταν καὶ ἀγωνίζονταν καὶ ἔκαμναν τὰ πάντα, ὥστε νὰ μὴ τὸν παραδώσουν στὴ μανία τῆς θάλασσας οὔτε καὶ μετὰ ἀπὸ τόσο μεγάλη ἀπόδειξη. 'Αλλὰ δὲν τὸ ἐπέτρεπε οὔτε ἔτσι ἡ θάλασσα· ἢ καλύτερα δὲν ἄφηνε ὁ Θεός, θέλοντας νὰ σωφρονίσει αὐτὸν ὅπως μὲ τοὺς ναῦτες, ἔτσι καὶ μὲ τὸ

αὐτὸν σωφρονίσαι βουλόμενος. Καὶ γὰρ μετὰ τὸ ἀκοῦσαι, «ἄρατέ με καὶ ἐμβάλετε εἰς τὴν θάλατταν, καὶ κοπάσει ἡ θάλαττα ἀφ' ὑμῶν», παρεβιάζοντο εἰς τὴν γῆν ἀπελθεῖν, ἀλλὰ τὰ κύματα οὐκ ἐπέτρεπε.

4. Σὺ δέ, ὥσπερ εἶδες τὸν προφήτην φεύγοντα, ἄκουσον αὐτοῦ καὶ ἐξομολογουμένου κάτωθεν ἀπὸ τῆς γαστρὸς τοῦ θηρίου· ἐκεῖνο μὲν γὰρ ἔπαθεν ὡς ἄνθρωπος, τοῦτο δὲ ὡς προφήτης ἐπεδείξατο. Λαβοῦσα τοίνυν αὐτὸν ἡ θάλαττα, καθάπερ ἐν δεσμωτηρίῳ τινὶ τῇ γαστρὶ τοῦ κήτους ἐναπέθετο σῶον τῷ Δεσπότῃ φυλάττουσα τὸν φυγάδα· καὶ οὔτε κύματα ἄγρια λαβόντα ἀπέπνιξαν, οὔτε κῆτος κυμάτων ἀγριώτερον ὑποδεξάμενον αὐτὸν ἐν κοιλίᾳ διέφθειρεν, ἀλλὰ διέσωσε καὶ πρὸς τὴν πόλιν ἐπανήγαγε· καὶ θάλαττα καὶ κῆτος παρὰ φύσιν ὑπήκουσαν, ἵνα διὰ πάντων ὁ προφήτης παιδεύηται. Ἐλθὼν τοίνυν εἰς τὴν πόλιν ἀνέγνω τὴν ἀπόφασιν, καθάπερ ἐπιστολὴν βασιλικὴν κόλασιν ἔχουσαν, καὶ ἐβόα λέγων· «ἔτι τρεῖς ἡμέραι καὶ Νινευῒ καταστραφήσεται».

Ἤκουσαν ταῦτα ἐκεῖνοι, οὐ διηπίστησαν, οὐ κατεφρόνησαν, ἀλλ' εὐθέως δρόμος ἁπάντων εἷς ἐπὶ τὴν νηστείαν, ἀνδρῶν, γυναικῶν, δούλων, δεσποτῶν, ἀρχόντων, ἀρχομένων, παιδίων, πρεσβυτέρων· οὐδ' ἡ τῶν ἀλόγων φύσις ταύτης ἀτελὴς ἦν τῆς λειτουργίας· πανταχοῦ σάκκος, πανταχοῦ σποδός, πανταχοῦ θρῆνος καὶ οἰμωγή. Καὶ γὰρ καὶ αὐτὸς ὁ τὸ διάδημα περικείμενος, ἀπὸ τοῦ θρόνου καταβὰς τοῦ βασιλικοῦ σάκκον ὑπεστρώσατο, σποδὸν κατεπάσατο, καὶ οὕτω τὴν πόλιν ἐξήρπασε τῶν κινδύνων· καὶ ἦν ἰδεῖν πρᾶγμα παράδοξον ὑπὸ σάκκου προρφυρίδα παρευδοκιμηθεῖσαν. Ὅπερ γὰρ οὐκ ἴσχυσεν ἁλουργίς, τοῦτο ἴσχυσεν ὁ σάκκος· ὅπερ οὐκ ἤνυσε τὸ διάδημα, τοῦτο κατώρθωσεν ἡ σποδός. Ὁρᾷς ὡς οὐ μάτην εἶπον ὅτι οὐ νηστείαν, ἀλλὰ μέθην καὶ ἀδηφαγίαν δεδοικέναι χρή; Ἡ μὲν γὰρ μέθη καὶ ἀδηφαγία τὴν πόλιν ἑστῶσαν διέσεισε καὶ καταβαλεῖν ἔμελλεν· ἡ δὲ νηστεία, σαλευομένην αὐτὴν καὶ μέλλουσαν καταπίπτειν, ἔστησε. Μετὰ ταύτης καὶ ὁ Δανιὴλ εἰς λάκκον

18. Ἰωνᾶ 1,12.
19. Ἰωνᾶ 3,4.

κῆτος. Γιατὶ καὶ μετὰ τὸ ἄκουσμα, «σηκῶστε με καὶ ρίξτε μέ στὴ θάλασσα καὶ θὰ σταματήσει ἡ θάλασσα τὴ μανία της ἐναντίον σας»[18], ἀγωνίζονταν νὰ βγοῦν στὴν ξηρά, ἀλλὰ τὰ κύματα δὲν τοὺς ἄφηναν.

4. Σὺ ὅμως, ὅπως ἀκριβῶς εἶδες τὸν προφήτη νὰ φεύγει, ἄκουσε αὐτὸν καὶ ποὺ προσεύχεται μέσα στὴν κοιλιὰ τοῦ θηρίου· γιατὶ ἐκεῖνο τὸ ἔπαθε σὰν ἄνθρωπος, ἐνῶ αὐτὸ τὸ φανέρωσε σὰν προφήτης. Ἀφοῦ δηλαδὴ τὸν δέχθηκε ἡ θάλασσα, τὸν ἔβαλε σὰν σὲ κάποιο δεσμωτήριο στὴν κοιλιὰ τοῦ κήτους, φυλάγοντας σῶο τὸν φυγάδα γιὰ τὸν Κύριο· καὶ οὔτε τὰ ἄγρια κύματα ποὺ τὸν δέχθηκαν τὸν ἔπνιξαν, οὔτε τὸ κῆτος ποὺ τὸν δέχθηκε στὴν κοιλία του, καὶ ποὺ ἦταν πιὸ ἄγριο ἀπὸ τὰ κύματα, τὸν κατάστρεψε, ἀλλὰ τὸν ἔσωσε καὶ τὸν ἐπανέφερε στὴν πόλη· καὶ ἡ θάλασσα καὶ τὸ κῆτος ὑπάκουσαν παρὰ φύση, γιὰ νὰ διδάσκεται ὁ προφήτης μὲ ὅλα. Ἀφοῦ ἦρθε στὴν πόλη διάβασε τὴν ἀπόφαση, σὰν βασιλικὴ ἐπιστολὴ ποὺ περιέχει τιμωρία, καὶ βροντοφώναζε λέγοντας· «ἀκόμα τρεῖς ἡμέρες καὶ ἡ Νινευὴ θὰ καταστραφεῖ»[19].

Ἄκουσαν αὐτὰ ἐκεῖνοι καὶ δὲν ἀπίστησαν, οὔτε τὰ περιφρόνησαν, ἀλλ' ἀμέσως ὅλοι, ἄνδρες, γυναῖκες, δοῦλοι, κύριοι, ἄρχοντες, ἀρχόμενοι, παιδιά, γέροι πρὸς ἕνα δρόμο ἔτρεξαν, τὴ νηστεία· οὔτε καὶ τὰ ἄλογα ζῶα ἔμειναν ἔξω ἀπὸ τὴν ἐνέργεια αὐτή· παντοῦ τοποθετήθηκε σάκκος, παντοῦ στάχτη, παντοῦ θρῆνος καὶ κραυγή. Γιατὶ κι αὐτὸς ἀκόμα ποὺ φοροῦσε τὸ βασιλικὸ στέμμα, ἀφοῦ κατέβηκε ἀπὸ τὸ βασιλικὸ θρόνο, ἔστρωσε ἀπὸ κάτω τὸν σάκκο καὶ ἀλείφτηκε μὲ στάχτη, καὶ ἔτσι ἔσωσε τὴν πόλη ἀπὸ τοὺς κινδύνους· καὶ μποροῦσε κανεὶς νὰ δεῖ πράγμα παράδοξο, τὸ σάκκο νὰ παρουσιάζει μεγαλύτερη δύναμη ἀπὸ τὴν πορφύρα. Ἐκεῖνο δηλαδὴ ποὺ δὲν τὸ κατόρθωσε ἡ πορφύρα, αὐτὸ τὸ κατόρθωσε ὁ σάκκος· ἐκεῖνο ποὺ δὲν τὸ κατόρθωσε τὸ βασιλικὸ στέμμα, αὐτὸ τὸ κατόρθωσε ἡ στάχτη. Βλέπεις πὼς δὲν εἶπα ἄδικα ὅτι πρέπει νὰ φοβόμαστε ὄχι τὴ νηστεία, ἀλλὰ τὴ μέθη καὶ τὴν πολυφαγία; Γιατὶ ἡ μέθη καὶ ἡ πολυφαγία τὴν πόλη ποὺ στέκονταν ὄρθια τὴν συγκλόνισε καὶ ἐπρόκειτο νὰ τὴν καταγκρεμίσει, ἐνῶ ἡ νηστεία, ἂν καὶ σαλευόταν καὶ ἐπρόκειτο νὰ πέσει, τὴν κράτησε ὄρθια. Μαζὶ μ' αὐτὴν καὶ ὁ Δανιήλ, ὅταν ρίχτηκε μέσα

λεόντων εἰσελθών, καθάπερ προβάτοις ἡμέροις συγγενόμενος, οὕτως ἐξῄει. Καὶ γὰρ καὶ τῷ θυμῷ ζέοντες καὶ φόνιον βλέποντες, τῆς τραπέζης περικειμένης οὐχ ἥπτοντο, ἀλλὰ καὶ τῆς φύσεως αὐτῆς διεγειρούσης (οὐδὲν γὰρ ἀγριώτερον ἐκείνων τῶν θηρίων) καὶ τοῦ λιμοῦ (καὶ γὰρ ἑπτὰ ἡμέρας οὐ μετέσχον τροφῆς), καθάπερ δημίου τινὸς ἔνδοθεν καθημένου, καὶ τῶν λαγόνων μὴ ἅπτεσθαι βοῶντος τῶν προφητικῶν, ᾐδέσθησαν τὴν τροφήν. Μετὰ ταύτης καὶ οἱ παῖδες οἱ τρεῖς εἰς τὴν Βαβυλωνίαν κάμινον εἰσελθόντες, καὶ πολὺν χρόνον ὁμιλήσαντες τῷ πυρί, αὐτοῦ τοῦ πυρὸς λαμπρότερα ἔχοντες τὰ σώματα, ἀπὸ τῆς καμίνου τότε ἐξῄεσαν· καίτοι γε εἰ πῦρ ἦν ἐκεῖνο ὄντως τὸ πῦρ, πῶς οὐκ ἐποίει τὰ τοῦ πυρός; εἰ σώματα ἦν ἐκεῖνα τὰ σώματα, πῶς τὰ τῶν σωμάτων οὐκ ἔπασχε; Πῶς; ἐρώτησο τὴν νηστείαν καὶ ἀποκρινεῖταί σοι καὶ αὐτὴ λύσει σου τὸ αἴνιγμα· καὶ γὰρ ἦν ὄντως αἴνιγμα· σωμάτων γὰρ φύσις ἐμάχετο φύσει πυρός, καὶ ἡ νίκη τῶν σωμάτων ἐγίνετο.

Εἶδες παράδοξον μάχην; εἶδες παραδοξοτέραν τὴν νίκην; Θαύμασον τὴν νηστείαν καὶ ὑπτίαις ὑπόδεξαι χερσίν· ὅταν γὰρ καὶ ἐν καμίνῳ βοηθῇ καὶ ἐν λάκκῳ λεόντων φυλάττῃ καὶ δαίμονας ἀπελαύνῃ καὶ ἀπόφασιν ἀναλύῃ Θεοῦ καὶ παθῶν μανίαν καταστέλλῃ καὶ πρὸς ἐλευθερίαν ἡμᾶς ἐπανάγῃ καὶ πολλὴν ἐν τοῖς λογισμοῖς ἡμῶν ποιῆται τὴν γαλήνην, πῶς οὐκ ἐσχάτης ἂν εἴη παρανοίας, τοσαῦτα ἔχουσαν ἐν ταῖς χερσὶν ἀγαθὰ φεύγειν καὶ δεδοικέναι; Ἐπιτρίβει γὰρ ἡμῖν τὸ σῶμα πρὸς τὴν ἀσθένειαν, φησίν. Ἀλλ' ὅσῳ ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, τοσούτῳ ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ· μᾶλλον δέ, εἰ βουληθείης μετὰ ἀκριβείας ἐξετάσαι τὸ πρᾶγμα, καὶ εὐεξίας αὐτὴν εὑρήσεις μητέρα τυγχάνουσαν. Καὶ εἰ τοῖς ἐμοῖς ἀπιστεῖς λόγοις, παῖδας ἰατρῶν περὶ τούτων ἐρώτησον, καὶ αὐτοὶ ταῦτα σαφέστερον ἐροῦσιν, οἳ τὴν μὲν ἔνδειαν μητέρα τῆς ὑγιείας καλοῦσι, τὰς δὲ ποδαλγίας καὶ καρηβαρίας καὶ ἀποπληξίας καὶ φθόην καὶ ὕδερον καὶ φλεγμονὰς καὶ οἰδήματα καὶ

---

20. Β' Κορ. 4,16.

στὸ λάκκο τῶν λιονταριῶν, συναναστρεφόταν αὐτὰ σὰν ἥμερα πρόβατα, καὶ ἔτσι ἔβγαινε ἀπὸ τὸ λάκκο. Γιατί, ἂν καὶ ἔβραζαν ἀπὸ θυμὸ καὶ ἔβλεπαν μὲ φονικὲς διαθέσεις, ὅμως δὲν ἄγγιζαν τὴν τράπεζα ποὺ βρισκόταν κοντά τους· καὶ ἂν καὶ ἡ ἴδια ἡ φύση τους τὰ διέγειρε (γιατὶ τίποτε δὲν ὑπάρχει ἀγριότερο ἀπὸ τὰ θηρία ἐκεῖνα) καὶ ἡ πείνα (ἀφοῦ ἐφτὰ μέρες δὲν εἶχαν φάγει), σὰν ἀκριβῶς νὰ καθόταν μέσα κάποιος δήμιος καὶ φώναζε νὰ μὴ ἀγγίξουν τὶς προφητικὲς σάρκες, σεβάστηκαν τὸν προφήτη. Μὲ τὴ νηστεία καὶ τὰ τρία παιδιὰ ρίχτηκαν μέσα στὸ βαβυλώνιο καμίνι, καί, ἂν καὶ ἐπὶ πολὺ χρόνο ἔμειναν μέσα στὴ φωτιά, ἔχοντας λαμπρότερα τὰ σώματα καὶ ἀπ᾽ τὴν ἴδια τὴ φωτιά, ἔτσι βγῆκαν ἀπὸ τὸ καμίνι· ἂν καὶ βέβαια, ἐὰν ἐκείνη ἡ φωτιὰ ἦταν πραγματικὴ φωτιά, πῶς δὲν παρουσίαζε τὴ δραστικὴ δύναμη τῆς φωτιᾶς; καὶ ἂν ἐκεῖνα τὰ σώματα ἦταν σώματα, πῶς δὲν πάθαιναν ἐκεῖνα ποὺ παθαίνουν τὰ σώματα; Πῶς; Ρώτησε τὴ νηστεία καὶ θὰ σοῦ ἀπαντήσει, λύνοντάς σου τὸ αἴνιγμα· καὶ πραγματικὰ ἦταν αἴνιγμα· γιατὶ ἡ φύση τῶν σωμάτων πολεμοῦσε τὴ φύση τῆς φωτιᾶς καὶ ἡ νίκη κερδιζόταν ἀπὸ τὰ σώματα.

Εἶδες παράδοξη μάχη; εἶδες πολὺ πιὸ παράδοξη τὴ νίκη; Θαύμασε τὴ νηστεία καὶ ὑποδέξου την μὲ ἀνοιχτὴ ἀγκαλιά· γιατὶ ὅταν καὶ στὸ καμίνι βοηθεῖ καὶ στὸ λάκκο λιονταριῶν φυλάσσει, καὶ δαίμονες ἀπομακρύνει, καὶ ἀπόφαση τοῦ Θεοῦ μεταβάλλει, καὶ τὴ μανία τῶν παθῶν καταπραΰνει, καὶ στὴν ἐλευθερία μᾶς ξαναφέρνει, καὶ πολλὴ γαλήνη παρέχει στοὺς λογισμούς, πῶς δὲν θὰ ἦταν δεῖγμα τῆς πιὸ χειρότερης μορφῆς παρανοησίας, ἐνῶ ἔχει τόσα πολλὰ ἀγαθὰ στὰ χέρια της νὰ τὴν ἀποφεύγομε καὶ νὰ τὴ φοβόμαστε; Ἐξαντλεῖ τὸ σῶμα μας, λέγει, καὶ τὸ κάμνει ἀσθενικό. Ἀλλ᾽ ὅσο περισσότερο φθείρεται ὁ ἐξωτερικός μας ἄνθρωπος, τόσο περισσότερο ἀνακαινίζεται ὁ ἐσωτερικὸς μέρα μὲ τὴν ἡμέρα[20]· ἢ καλύτερα, ἐὰν θελήσεις νὰ ἐξετάσεις μὲ προσοχὴ τὸ πράγμα, θὰ βρεῖς αὐτὴν νὰ εἶναι καὶ μητέρα τῆς σωματικῆς εὐρωστίας. Καὶ ἐὰν δὲν πιστεύεις τὰ λόγια μου, ρώτησε τοὺς βοηθοὺς τῶν γιατρῶν γι᾽ αὐτὰ κι αὐτοὶ θὰ σοῦ τὰ ποῦν αὐτὰ σαφέστερα, οἱ ὁποῖοι ὀνομάζουν τὴ φτώχεια μητέρα τῆς ὑγείας, ἐνῶ τὶς ποδαλγίες, τοὺς πονοκεφάλους, τὶς ἀποπληξίες, τὴ φυματίωση, τὴν ὑδρωπικία, τὶς

μυρίων ἑτέρων νοσημάτων χειμάρρους, ἀπὸ τῆς τρυφῆς καὶ τῆς ἀδηφαγίας ἐξιέναι φασίν, ὥσπερ ἀπό τινος πονηροτάτης πηγῆς πονηροὺς ῥύακας, καὶ τῇ τοῦ σώματος εὐεξίᾳ καὶ τῇ τῆς ψυχῆς σωφροσύνῃ λυμαινομένους.

5. Μὴ τοίνυν φοβώμεθα νηστείαν, τὴν τῶν τοσούτων ἡμᾶς ἀπαλλάττουσαν κακῶν. Οὐ γὰρ ἁπλῶς ὑμῖν τοῦτο παραινῶ· ἀλλ' ἐπειδὴ πολλοὺς ὁρῶ τῶν ἀνθρώπων, καθάπερ ἀγρίᾳ τινὶ γυναικὶ παραδίδοσθαι μέλλοντας, οὕτως ὀκνοῦντας καὶ ἀναδυομένους, καὶ μέθῃ καὶ ἀδηφαγίᾳ τήμερον ἑαυτοὺς διαφθείροντας· διὰ τοῦτο παραινῶ ὥστε μὴ τὴν ἐκ τῆς νηστείας ἐσομένην ὠφέλειαν προανελεῖν λαιμαργίᾳ καὶ μέθῃ. Καὶ γὰρ οἱ κακόσιτοι τῶν ἀνθρώπων, ὅταν πικρὰ μέλλωσι πίνειν φάρμακα, ἂν πολλῆς ἑαυτοὺς ἐμπλήσωσι τροφῆς, καὶ οὕτω τὰ φάρμακα λάβωσι, τὴν μὲν πικρίαν ὑπέμειναν, τῆς δὲ ὠφελείας ἐξέπεσον, δυσκολωτέραν τῷ φαρμάκῳ ποιοῦντες τὴν πάλην πρὸς τὴν τῶν διεφθορότων χυμῶν πονηρίαν. Διὰ τοῦτο αὐτοὺς οἱ τῶν ἰατρῶν παῖδες μὴ δειπνήσαντας κελεύουσι καθεύδειν, ἵνα πᾶσαν τῶν φαρμάκων τὴν δύναμιν ἐκ πρώτης εὐθέως τοῖς νοσοποιοῖς τῶν περιττωμάτων προσαγάγῃ χυμοῖς. Οὕτω καὶ ἐπὶ τῆς νηστείας· ἐὰν μὲν πολλῆς ἑαυτὸν ἐμπλήσῃς τῆς μέθης τήμερον καὶ αὔριον ὑποδείξῃ τὸ παρ' ἐκείνης φάρμακον, ἄχρηστον αὐτὸ καὶ ἀνόνητον ἐποίησας, καὶ τὸν μὲν πόνον ὑπέμεινας, τὸ δὲ κέρδος οὐκ ἐκαρπώσω τοῦ πράγματος, εἰς τὴν πρόσφατον ἐκ τῆς μέθης ἐγγινομένην κακίαν ἅπασαν αὐτοῦ καταδαπανῶντος τὴν δύναμιν· ἐὰν δὲ κοῦφον αὐτῇ τὸ σῶμα παρασκευάσῃς καὶ νήφοντι λογισμῷ τὸ φάρμακον δέξῃ, πολλὰ τῶν παλαιῶν ἁμαρτημάτων ἀποκαθῆραι δυνήσῃ.

Μὴ τοίνυν διὰ μέθης ἴωμεν εἰς τὴν νηστείαν, μηδὲ ἀπὸ νηστείας εἰς μέθην καταλύσωμεν πάλιν, ἵνα μὴ ταὐτὸν γένηται, οἷον εἴ τις ἀρρωστοῦντι σώματι καὶ διανίστασθαι μέλλοντι λὰξ ἐμβαλὼν σφοδρότερον καταβάλοι πάλιν. Ὃ καὶ ἐπὶ τῆς ψυχῆς τῆς ἡμετέρας γίνεται, ὅταν ἐξ ἑκατέρου μέρους, καὶ τῆς ἀρχῆς καὶ τοῦ

φλεγμονὲς καὶ τὰ πρηξίματα, καὶ τὸ πλῆθος τῶν ἀμέτρητων ἄλλων νοσημάτων, λένε ὅτι προέρχονται ἀπὸ τὴν τρυφιλὴ ζωὴ καὶ τὴν πολυφαγία, ποὺ σὰν ἀκάθαρτα ρυάκια ποὺ πηγάζουν ἀπὸ βρωμερὴ πηγή, καταστρέφουν καὶ τὴ σωματικὴ εὐρωστία καὶ τὴ σωφροσύνη τῆς ψυχῆς.

5. Ἂς μὴ φοβόμαστε λοιπὸν τὴ νηστεία, ποὺ μᾶς ἀπαλλάσσει ἀπὸ τόσα κακά. Καὶ δὲν σᾶς τὴ δίνω αὐτὴ τὴ συμβουλὴ ἔτσι στὴν τύχη, ἀλλ' ἐπειδὴ βλέπω πολλοὺς ἀνθρώπους, σὰν νὰ πρόκειται νὰ παραδοθοῦν σὲ κάποια ἄγρια γυναίκα, ἔτσι ν' ἀδιαφοροῦν καὶ νὰ τὴν ἀποφεύγουν, καταστρέφοντας τὸν ἑαυτό τους μὲ τὴ μέθη καὶ τὴν πολυφαγία. Γι' αὐτὸ σᾶς συμβουλεύω, ὥστε νὰ μὴ καταστρέψομε ἀπὸ πρὶν μὲ τὴ λαιμαργία καὶ τὴ μέθη τὴν ὠφέλεια ποὺ πρόκειται νὰ προέλθει ἀπὸ τὴ νηστεία. Γιατὶ οἱ ἄνθρωποι ἐκεῖνοι ποὺ δὲν σιτίζονται σωστά, ὅταν πρόκειται νὰ πιοῦν πικρὰ φαρμάκια, ἂν γεμίσουν τὸ στομάχι τους μὲ πολλὴ τροφὴ καὶ μετὰ πάρουν τὰ φάρμακα, τὴν πίκρα βέβαια τὴν ὑπομένουν, τὴν ὠφέλεια ὅμως τὴν ἔχασαν, κάμνοντας δυσκολότερη τὴν πάλη τοῦ φαρμάκου πρὸς τὴν κακὴ ἐπενέργεια τῶν βλαβερῶν χυμῶν. Γι' αὐτὸ οἱ βοηθοὶ τῶν γιατρῶν δίνουν ἐντολὴ σ' αὐτοὺς νὰ κοιμοῦνται χωρὶς νὰ παίρνουν τὸ δεῖπνο τους, ὥστε ἀμέσως τὰ φάρμακα ν' ἀσκήσουν ὅλη τὴ δύναμή τους στοὺς βλαβεροὺς χυμοὺς τῶν περιττωμάτων. Ἔτσι καὶ στὴν περίπτωση τῆς νηστείας· ἐὰν σήμερα παραγεμίσεις τὸν ἑαυτό σου μὲ πολλὴ μέθη καὶ αὔριο λάβεις τὸ φάρμακο τῆς νηστείας, τὸ κατέστησες ἄχρηστο καὶ ἀνώφελο· καὶ τὸν πόνο βέβαια τὸν ὑπέμεινες, τὸ κέρδος τοῦ πράγματος ὅμως δὲν τὸ καρπώθηκες, ἀφοῦ καταδαπάνησες ὅλη τὴ δύναμή του στὴν πρόσφατη βλάβη ποὺ προξενήθηκε ἀπὸ τὴ μέθη. Ἐὰν ὅμως καταστήσεις τὸ σῶμα σου ἀνάλαφρο καὶ λάβεις τὸ φάρμακο μὲ νηφάλιο λογισμό, θὰ μπορέσει νὰ καθαρίσει πολλὰ ἀπὸ τὰ παλιὰ ἁμαρτήματα.

Ἂς μὴ πηγαίνομε λοιπὸν ἀπὸ τὴ μέθη στὴ νηστεία, οὔτε ἀπὸ τὴ νηστεία νὰ ἐπιστρέφομε πάλι στὴ μέθη, γιὰ νὰ μὴ συμβεῖ τὸ ἴδιο, ὅπως ἐὰν κάποιος ἕνα ἄρρωστο σῶμα, ποὺ πρόκειται νὰ σηκωθεῖ, δίνοντάς το μιὰ κλωτσιά, τὸ ρίξει πάλι κάτω χειρότερα. Αὐτὸ ἀκριβῶς γίνεται καὶ μὲ τὴν ψυχή μας, ὅταν καὶ στὰ δύο μέρη, καὶ στὴν ἀρχὴ καὶ στὸ τέλος τῆς νηστείας ἐπισκιάσομε μὲ

τέλους τῆς νηστείας, τῇ νεφέλῃ τῆς μέθης τὴν ἐκ τῆς ἀσιτίας γενομένην ἡμῖν νῆψιν συσκιάσωμεν. Καθάπερ γὰρ οἱ θηρίοις πυκτεύειν μέλλοντες, πολλοῖς ὅπλοις καὶ ἀσφαλίσμασι τὰ καίρια τῶν μελῶν περιφράξαντες, τὴν πρὸς ἐκεῖνα ἀναδέχονται μάχην, οὕτω καὶ νῦν πολλοὶ τῶν ἀνθρώπων εἰσίν, οἵ καθάπερ θηρίῳ τῇ νηστείᾳ πυκτεύειν μέλλοντες, οὕτω τῇ γαστριμαργίᾳ καθοπλίζονται, καὶ διαρρήξαντες ἑαυτοὺς καὶ σκοτώσαντες μετὰ πολλῆς τῆς παραφροσύνης ὑποδέχονται τὸ γαλήνιον καὶ ἥμερον τῆς νηστείας ὄμμα. Κἂν μὲν ἐρωτήσω σε, 'τίνος ἕνεκεν εἰς βαλανεῖον τρέχεις σήμερον', 'ἵνα καθαρῷ τῷ σώματι τὴν νηστείαν ὑποδέξωμαι', φήσεις· ἂν δὲ ἐρωτήσω, 'τίνος ἕνεκεν μεθύεις;' ''Ἐπειδὴ εἰς νηστείαν μέλλω εἰσιέναι', πάλιν ἐρεῖς. Καὶ πῶς οὐκ ἄτοπόν ἐστι, σώματι μὲν καθαρῷ, ψυχῇ δὲ ἀκαθάρτῳ καὶ μεθυούσῃ, τὴν καλλίστην ταύτην ἑορτὴν ὑποδέχεσθαι;


Ἐνῆν μὲν οὖν καὶ πλείονα τούτων εἰπεῖν, ἀλλὰ τοῖς σωφρονοῦσι καὶ ταῦτα ἀρκεῖ πρὸς διόρθωσιν. Διόπερ ἀνάγκη καταπαῦσαι τὸν λόγον· καὶ γὰρ τῆς τοῦ πατρὸς φωνῆς ἐπιθυμῶ ἀκοῦσαι. Ἡμεῖς μὲν γάρ, κατὰ τὰ παιδία τὰ ποιμενικά, λεπτῷ τῷ καλάμῳ συρίζομεν, ὥσπερ ὑπό τινα δρῦν ἢ λεύκην, τῇ σκιᾷ τῶν ἱερῶν τούτων καθήμενοι, οὗτος δὲ καθὰ μουσικός τις ἄριστος χρυσῆν ἁρμοσάμενος κιθάραν, τῇ συμφωνίᾳ τῶν κρουσμάτων ὁλόκληρον ἀνίστησι θέατρον· οὕτω δὴ καὶ οὗτος, οὐ συμφωνίᾳ κρουσμάτων, ἀλλὰ συμφωνίᾳ λόγων καὶ πράξεων πολλὴν ἡμῖν ἐντίθησι τὴν ὠφέλειαν. Τοιούτους καὶ ὁ Χριστὸς ζητεῖ διδασκάλους· «ὁ γὰρ ποιήσας», φησί, «καὶ διδάξας, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν». Τοιοῦτος οὗτός ἐστι· διὸ καὶ μέγας ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐστι. Γένοιτο δὲ ἡμᾶς εὐχαῖς αὐτοῦ καὶ τῶν συνέδρων ἁπάντων δυνηθῆναι καταξιωθῆναι τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

21. Ἐννοεῖ τὸ ἐπίσκοπο ποὺ ἦταν ἐκεῖ παρών.
22. Ματθ. 5,19.

τὴ νεφέλη τῆς μέθης τὴ νηφαλιότητα ποὺ ἀποκτήσαμε μὲ τὴ νηστεία. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ πρόκειται ν' ἀγωνιστοῦν μὲ θηρία, ἀρχίζουν τὸν ἀγώνα πρὸς ἐκεῖνα ἀφοῦ πρῶτα περιφράξουν τὰ καίρια μέλη τους μὲ πολλὰ ὅπλα καὶ ἀσφάλιστρα, ἔτσι καὶ τώρα ὑπάρχουν πολλοὶ ἄνθρωποι, πού, σὰν νὰ πρόκειται ν' ἀγωνιστοῦν μὲ τὴ νηστεία, θεωρώντας την θηρίο, ἔτσι ὁπλίζονται μὲ τὴ γαστριμαργία, καὶ ἀφοῦ σκάσουν ἀπὸ τὴ πολυφαγία καὶ κυριευθοῦν ἀπὸ σκοτοδίνη μὲ μεγάλη παραφροσύνη ὑποδέχονται τὸ γαλήνιο καὶ ἥμερο βλέμμα τῆς νηστείας. Κι ἂν σὲ ἐρωτήσω, 'γιὰ ποιό λόγο τρέχεις σήμερα στὸ λουτρό;', θὰ πεῖς, 'γιὰ νὰ ὑποδεχθῶ τὴ νηστεία μὲ καθαρὸ σῶμα'. Κι ἂν σὲ ἐρωτήσω, 'γιὰ ποιό λόγο μεθᾶς;', θὰ πεῖς πάλι, 'ἐπειδὴ πρόκειται ν' ἀρχίσω τὴ νηστεία'. Καὶ πῶς δὲν εἶναι παράλογο, νὰ ὑποδέχεσαι τὴν πιὸ ὡραιότερη γιορτὴ μὲ σῶμα βέβαια καθαρό, ἀλλὰ μὲ ἀκάθαρτη καὶ μεθυσμένη ψυχή;

Θὰ μποροῦσα βέβαια νὰ πῶ περισσότερα ἀπ' αὐτά, ἀλλὰ στοὺς σώφρονες εἶναι ἀρκετὰ κι αὐτὰ πρὸς διόρθωση. Γι' αὐτὸ πρέπει νὰ σταματήσω τὸ λόγο· καθόσον ἐπιθυμῶ ν' ἀκούσω καὶ τὴ φωνὴ τοῦ πατέρα μας[21]. Γιατὶ ἐμεῖς, ὅπως οἱ βοσκοί, παίζομε τὴ λεπτὴ φλογέρα μας καθισμένοι, σὰν κάτω ἀπὸ κάποια βελανιδιὰ ἢ λεύκα, στὴ σκιὰ τῶν ναῶν αὐτῶν, ἐνῶ αὐτός, ὅπως κάποιος ἄριστος μουσικός, παίρνοντας τὴ χρυσὴ ἁρμονικὴ κιθάρα του, ξεσηκώνει ὁλόκληρο τὸ θέατρο μὲ τὴν ἁρμονικὴ συμφωνία τῶν κρουσμάτων του, ἔτσι λοιπὸν κι' αὐτός, ὄχι μὲ τὴν ἁρμονία τῶν κρουσμάτων, ἀλλὰ μὲ τὴν ἁρμονία τῶν λόγων καὶ τῶν πράξεών του μᾶς προσφέρει μεγάλη ὠφέλεια. Τέτοιους δασκάλους θέλει καὶ ὁ Χριστός· γιατὶ λέγει, «ἐκεῖνος ποὺ θὰ διδάξει καὶ θὰ κάνει αὐτὰ ποὺ διδάσκει, αὐτὸς θὰ ὀνομαστεῖ μεγάλος στὴ βασιλεία τῶν οὐρανῶν»[22]. Τέτοιος εἶναι κι αὐτός· γι' αὐτὸ καὶ εἶναι μεγάλος στὴ βασιλεία τῶν οὐρανῶν. Εὔχομαι μὲ τὶς εὐχὲς αὐτοῦ καὶ ὅλων τῶν συνέδρων νὰ μπορέσομε νὰ καταστοῦμε ἄξιοι τῆς βασιλείας τῶν οὐρανῶν, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΕΚΤΗ

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ

Λεχθεῖσα τῇ ἕκτῃ ἑβδομάδι τῆς ἁγίας τεσσαρακοστῆς

1. Ὡς τερπνὰ τῆς πνευματικῆς ταύτης ἡμῖν θαλάσσης τὰ κύματα, καὶ αὐτῶν τῶν ἐν τῷ πελάγει τερπνότερα. Ἐκεῖνα μὲν γὰρ ἀνέμων ἀταξία, ταῦτα δὲ ἀκροάσεως ἐπιθυμία διανίστησι· κἀκεῖνα μὲν κορυφούμενα πολλὴν τῷ κυβερνήτῃ τὴν ἀγωνίαν παρέχει, ταῦτα δὲ φαινόμενα πολλὴν τῷ λέγοντι τὴν παρρησίαν ἐντίθησι. Τὰ μὲν γάρ ἐστι χειμαζομένης θαλάσσης τεκμήρια, ταῦτα δὲ ψυχῆς εὐφραινομένης σημεῖα. Κἀκεῖνα μὲν ταῖς πέτραις προσαραττόμενα ἄσημον τὸν ἦχον ἀφίησι, ταῦτα δὲ τῷ λόγῳ τῆς διδασκαλίας προσρηγνύμενα προσηνῆ τὴν φωνὴν ἀφίησιν. Οὕτω καὶ ζεφύρου πνοαὶ ὅταν ἐμπέσωσιν εἰς λήϊα καὶ τὰς κεφαλὰς τῶν ἀσταχύων ἐπικλίνωσι καὶ διανιστῶσι, τὰ κύματα τῆς θαλάσσης ἐπὶ τῆς χέρσου μιμοῦνται. Ἀλλὰ καὶ ἐκείνων τῶν ληΐων ταῦτα τερπνότερα· οὐ γὰρ ζεφύρου πνοαί, ἀλλὰ Πνεύματος χάρις τὰς ὑμετέρας διανέστησε ψυχὰς καὶ ἐθέρμανε, καὶ τὸ πῦρ ἐκεῖνο, ὃ πάλαι ὁ Χριστὸς ἔλεγεν, ὅτι «πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη;», τοῦτο ὁρῶ καταβεβλημένον καὶ καιόμενον ἐν ταῖς ὑμετέραις ψυχαῖς. Ἐπεὶ οὖν τοσαύτας ἡμῖν λαμπάδας ὁ τοῦ Χριστοῦ φόβος ἀνή-

---

1. Λουκᾶ 12,49.



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΕΚΤΗ

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ

Λέχθηκε τὴν ἕκτη ἑβδομάδα τῆς ἁγίας τεσσαρακοστῆς

1. Πόσο χαρούμενα εἶναι τὰ κύματα τῆς πνευματικῆς αὐτῆς θάλασσας καὶ πολὺ πιὸ χαρωπὰ κι ἀπὸ τὰ ἴδια τὰ κύματα τοῦ πελάγους. Γιατὶ ἐκεῖνα τὰ ξεσηκώνει ἡ ἀταξία τῶν ἀνέμων, ἐνῶ αὐτὰ ἡ ἐπιθυμία τῆς ἀκροάσεως· καὶ ἐκεῖνα βέβαια ὅταν κορυφώνονται δημιουργοῦν μεγάλη ἀγωνία στὸν κυβερνήτη, ἐνῶ αὐτὰ ὅταν ἐμφανισθοῦν προξενοῦν μεγάλη παρρησία στὸν ὁμιλητή. Ἐκεῖνα εἶναι δείγματα τῆς τρικυμισμένης θάλασσας, ἐνῶ αὐτὰ δείγματα ψυχῆς εὐφραινομένης. Ἐκεῖνα ἐπίσης χτυπώντας στὶς πέτρες δημιουργοῦν θόρυβο ἀσήμαντο, ἐνῶ αὐτά, σπάζοντας ἐπάνω στὸ λόγο τῆς διδασκαλίας, ἀφήνουν ν' ἀκουσθεῖ εὐχάριστη φωνή. Τὸ ἴδιο καὶ τὸ ἀεράκι τοῦ ζεφύρου, ὅταν πέσει στὰ ἀθέριστα σπαρτά, κάνει τὰ στάχυα τους τὴ μιὰ νὰ λυγίζουν καὶ τὴν ἄλλη νὰ σηκώνονται, μιμούμενα τὰ κύματα τῆς θάλασσας ἐπάνω στὴν ξηρά. Ἀλλὰ καὶ ἀπὸ ἐκεῖνα τὰ σπαρτὰ αὐτὰ εἶναι πιὸ εὐχάριστα· γιατὶ τὶς ψυχὲς τὶς ξεσήκωσε καὶ τὶς θέρμανε ὄχι τὸ ἀεράκι τοῦ ζεφύρου, ἀλλ' ἡ χάρη τοῦ Πνεύματος, καὶ ἡ φωτιὰ ἐκείνη, γιὰ τὴν ὁποία ἔλεγε παλαιότερα ὁ Χριστός, «φωτιὰ ἦρθα νὰ βάλω στὴ γῆ καὶ τί ἄλλο θέλω ἂν ἤδη ἄναψε;»[1], αὐτὴ βλέπω νὰ ἔχει ἀνάψει καὶ νὰ καίει μέσα στὶς ψυχές σας. Ἐπειδὴ λοιπὸν ὁ φόβος τοῦ Χριστοῦ ἄναψε

ψε, φέρε ἐντεῦθεν τὸ τῆς διδασκαλίας ἔλαιον ἐπιστάξωμεν, ὥστε διαρκέστερον ἡμῖν γενέσθαι τὸ φῶς.

Ὁ γὰρ καιρὸς τῆς νηστείας ἡμῖν λοιπὸν πρὸς τὸ τέλος ἐπείγεται· εἰς γὰρ τὰ μέσα τῶν σταδίων φθάσαντες πρὸς τὸ τέλος λοιπὸν ἀπηντήκαμεν. Ὥσπερ γὰρ ὁ ἀρχόμενος ἐμέσασεν, οὕτως ὁ πρὸς μέσον ἐλθὼν τοῦ τέλους ἐπείληπται. Ὁ μὲν οὖν καιρὸς πρὸς τὸ τέλος ἐπείγεται καὶ πρὸς τὸν λιμένα βλέπει τὸ σκάφος λοιπόν, ἀλλὰ τὸ ζητούμενον οὐ πρὸς τὸν λιμένα ἐλθεῖν, ἀλλὰ μὴ κενὸν τῆς ἐμπορίας ἑλκύσαι τὸ σκάφος. Δέομαι πάντων ὑμῶν καὶ ἀντιβολῶ, εἰς τὸ συνειδὸς ἕκαστος αὐτοῦ ἀναλογιζέσθω τὴν ἀπὸ τῆς νηστείας πραγματείαν, κἂν μὲν εὕρῃ κέρδος πολὺ γεγενημένον, προστιθέτω τῇ πραγματείᾳ, ἂν δὲ μηδὲν ᾖ συνειλεγμένον, τῷ λειπομένῳ τοῦ χρόνου κεχρήσθω πρὸς τὴν ἐμπορίαν. Ἕως ἕστηκεν ἡ πανήγυρις, μέγα πραγματευσάμενοι κέρδος ἀναχωρήσωμεν, ἵνα μὴ κεναῖς ἀναχωρήσωμεν χερσίν, ἵνα μὴ πόνον ὑπομείναντες νηστείας, μισθὸν νηστείας ἀπολέσωμεν. Ἔστι γὰρ καὶ πόνον ὑπομεῖναι νηστείας, καὶ μισθὸν νηστείας μὴ λαβεῖν. Πῶς; Ὅταν βρωμάτων μὲν ἀπεχώμεθα, ἁμαρτημάτων δὲ μὴ ἀπεχώμεθα· ὅταν κρέα μὲν μὴ ἐσθίωμεν, κατεσθίωμεν δὲ τὰς τῶν πενήτων οἰκίας· ὅταν οἴνῳ μὲν μὴ μεθύωμεν, μεθύωμεν δὲ ἐπιθυμίᾳ πονηρᾷ· ὅταν πᾶσαν τὴν ἡμέραν ἄσιτοι διατελῶμεν, πᾶσαν δὲ διημερεύωμεν ἐν ἀκολάστοις θεάμασιν. Ἰδοὺ καὶ πόνος νηστείας καὶ μισθὸς νηστείας οὐδαμοῦ, ὅταν εἰς τὰ θέατρα τῆς παρανομίας ἀναβαίνωμεν.

Οὐ πρὸς ὑμᾶς ὁ λόγος· οἶδα γὰρ ὅτι καθαροὶ τῆς κατηγορίας ἐστέ, ἀλλ᾽ ἔθος τοῖς ὀδυνωμένοις, ὅταν τοὺς αἰτίους μὴ λάβωσιν, εἰς τοὺς παρόντας ἀφιέναι τὴν ὀργήν. Ποῖον κέρδος νηστεύοντας εἰς τὰ θέατρα παρανομίας ἀναβαίνειν, εἰς τὸ κοινὸν τῆς ἀσελγείας διδασκαλεῖον εἰσιέναι, εἰς τὸ δημόσιον τῆς ἀκολασίας γυμνάσιον, ἐπὶ τὴν καθέδραν καθέζεσθαι τῶν λοιμῶν; Καὶ γὰρ καὶ καθέδραν λοιμοῦ καὶ ἀκολασίας καὶ διδασκαλεῖον ἀσελγείας, καὶ πάντα τὰ αἴσχιστα τὴν ὀρχήστραν τις προσειπὼν οὐκ ἂν ἁμάρτοι, τὸ πονη-

μέσα μας τόσες φλόγες, ἐμπρὸς ἂς στάξομε ἀπὸ ἐδῶ τὸ λάδι τῆς διδασκαλίας, ὥστε νὰ διαρκέσει σ' ἐμᾶς τὸ φῶς περισσότερο.

Ὁ χρόνος λοιπὸν τῆς νηστείας μας προχωρεῖ πλέον πρὸς τὸ τέλος· γιατί, ἀφοῦ φτάσαμε στὸ μέσο τῶν ἀγώνων, ἔχομε φτάσει σχεδὸν στὸ τέλος. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνος ποὺ ἔφτασε στὸ μέσον, βρίσκεται σχεδὸν στὸ τέλος. Ὁ καιρὸς λοιπὸν προχωρεῖ βιαστικὰ πρὸς τὸ τέλος καὶ τὸ σκάφος πλέον βλέπει πρὸς τὸ λιμάνι, ὅμως τὸ ἐπιδιωκόμενο δὲν εἶναι νὰ φτάσομε στὸ λιμάνι, ἀλλὰ νὰ μὴ προσαράξομε ἐκεῖ τὸ σκάφος ἄδειο ἀπὸ ἐμπόρευμα. Σᾶς παρακαλῶ ὅλους καὶ σᾶς ἱκετεύω, ἂς ἀναλογισθεῖ ὁ καθένας μέσα στὴ συνείδησή του τὴν πραγματεία ἀπὸ τὴ νηστεία, καὶ ἂν βρεῖ πολὺ μεγάλο τὸ κέρδος ποὺ ἀποκυήθηκε, ἂς τὸ προσθέσει στὴν πραγματεία, ἂν ὅμως δὲν μαζεύτηκε τίποτε, ἂς χρησιμοποιήσει τὸ χρόνο ποὺ ὑπολείπεται γιὰ τὴν ἀπόκτηση ἐμπορεύματος. Ὅσο ἀκόμα διαρκεῖ τὸ πανηγύρι, ἂς φροντίσομε πρὶν φύγομε νὰ συγκεντρώσομε μεγάλο κέρδος, γιὰ νὰ μὴ ἀναχωρήσομε μὲ ἄδεια χέρια, καὶ νὰ μὴ συμβεῖ νὰ ὑπομείνομε βέβαια τὸν κόπο τῆς νηστείας, ἀλλὰ νὰ χάσομε τὸ μισθὸ τῆς νηστείας. Γιατὶ εἶναι δυνατὸ νὰ ὑποστοῦμε τὸν κόπο τῆς νηστείας ἀλλὰ νὰ μὴ λάβομε τὸ μισθὸ τῆς νηστείας. Πῶς; Ὅταν ἀπέχομε βέβαια ἀπὸ τὶς τροφές, δὲν ἀπέχομε ὅμως ἀπὸ τ' ἁμαρτήματα· ὅταν δὲν τρῶμε κρέατα, κατατρῶμε ὅμως τὰ σπίτια τῶν φτωχῶν· ὅταν δὲν μεθᾶμε βέβαια μὲ κρασί, μεθᾶμε ὅμως μὲ τὴν πονηρὴ ἐπιθυμία· ὅταν μένομε ὅλοι τὴ μέρα νηστικοί, ἀλλὰ περνοῦμε ὅλη τὴν ἡμέρα σὲ ἀκόλαστα θεάματα. Νά, καὶ κόπος νηστείας, καὶ μισθὸς νηστείας κανένας, ὅταν πηγαίνομε στὰ θέατρα τῆς παρανομίας.

Τὰ λόγια αὐτὰ δὲν λέγονται γιὰ σᾶς· γιατὶ γνωρίζω ὅτι εἶστε καθαροὶ ἀπὸ τὴν κατηγορία, ἀλλὰ συνήθως αὐτοὶ ποὺ ὑποφέρουν, ὅταν δὲν βροῦν τοὺς αἴτιους, ἀφήνουν τὴν ὀργή τους νὰ ξεσπάσει στοὺς παρόντες. Ποιό τὸ κέρδος νὰ νηστεύομε καὶ νὰ πηγαίνομε στὰ θέατρα τῆς παρανομίας, νὰ μπαίνομε στὸ κοινὸ διδασκαλεῖο τῆς ἀσέλγειας, στὸ δημόσιο γυμναστήριο τῆς ἀκολασίας, νὰ καθόμαστε στὴν καθέδρα τῆς διαφθορᾶς; Πραγματικὰ δὲν θὰ ἔσφαλλε κανεὶς ἂν τὴν ὀρχήστρα, τὸν πονηρότατο ἐκεῖνο τόπο, τὸν γεμάτο

ρότατον ἐκεῖνο χωρίον καὶ νοσημάτων γέμον παντοδαπῶν, τὴν βαβυλωνίαν κάμινον. Καθάπερ γὰρ εἰς κάμινόν τινα εἰς τὸ θέατρον τὴν πόλιν ἐμβαλὼν ὁ διάβολος, οὕτω κάτωθεν ὑποκαίει, οὐ κληματίδας ὑποτιθείς, καθάπερ ὁ βάρβαρος τότε ἐκεῖνος, οὐδὲ νάφθαν, οὐδὲ στυππεῖον, οὐδὲ πίσσαν, ἀλλὰ τὰ πολλῷ τούτων χαλεπώτερα, πορνικὰς ὄψεις, αἰσχρὰ ρήματα, διακεκλασμένα μέλη, πάσης γέμοντα πονηρίας ᾄσματα. Ἐκείνην μὲν οὖν βαρβαρικαὶ τὴν κάμινον χεῖρες ἀνῆψαν, ταύτην δὲ τὴν κάμινον ἀνοητότεροι τῶν βαρβάρων ἅπτουσι λογισμοί· χαλεπωτέρα αὕτη ἐκείνης, ἐπειδὴ καὶ τὸ πῦρ χαλεπώτερον· οὐ γὰρ σωμάτων καίει φύσιν, ἀλλὰ ψυχῆς εὐεξίαν λυμαίνεται· καὶ τὸ χαλεπώτερον, ὅτι οὐδὲ αἰσθάνονται οἱ καιόμενοι· εἰ γὰρ ᾐσθάνοντο, οὐκ ἂν πλατὺν γέλωτα ἐπὶ τοῖς γενομένοις ἠφίεσαν· ὅπερ οὖν ἐστι χαλεπώτατον, ὅταν τις νοσῶν μηδὲ αὐτὸ τοῦτο οἶδεν ὅτι νοσεῖ, καὶ καιόμενος ἀθλίως καὶ ταλαιπώρως, οὐκ αἰσθάνεται τῶν ἐμπρησμῶν.

Τί τὸ ὄφελος τῆς νηστείας, ὅταν τὸ μὲν σῶμα κωλύσῃς τῆς νενομισμένης τροφῆς, τῇ δὲ ψυχῇ προσάγῃς τὴν παράνομον τροφήν; ὅταν διημερεύσῃς ἐκεῖ καθήμενος, βλέπων τὴν κοινὴν φύσιν ἀσχημονοῦσαν καὶ παραδειγματιζομένην, γυναῖκας πορνευομένας, μοιχείας ὑποκρινομένους ἐκεῖ τοὺς τὰ ἑκάστης οἰκίας κακὰ συλλέγοντας; Καὶ γὰρ καὶ πορνείας καὶ μοιχείας ἔστιν ἰδεῖν καὶ βλασφημίας ἀκοῦσαι, ἵνα καὶ δι' ὀφθαλμῶν καὶ δι' ἀκοῆς ἡ νόσος ἐπεισίῃ τῇ ψυχῇ· μιμοῦνται τὰς ἀλλοτρίας συμφοράς, ὅθεν αὐτοῖς καὶ τὸ ὄνομα τῆς αἰσχύνης ἐπίκειται. Τί οὖν τὸ κέρδος τῆς νηστείας, τοιαῦτα τῆς ψυχῆς σιτουμένης; ποίοις ὀφθαλμοῖς ὄψει τὴν γυναῖκα ἀπὸ τῶν θεαμάτων ἐκείνων; ποίοις ὄμμασιν ὄψει τὸν υἱόν, ποίοις τὸν οἰκέτην, ποίοις τὸν φίλον; Ἀνάγκη γὰρ λέγοντα τὰ ἐκεῖ γινόμενα ἀσχημονεῖν, ἢ σιγᾶν καὶ καταδύεσθαι ἐρυθριῶντα. Ἀλλ' οὐκ ἐντεῦθεν οὕτως ἀναχωρεῖς, ἀλλ' ἕξεις ἐν τῇ οἰκίᾳ μετὰ πολλῆς τῆς

ἀπὸ παντὸς εἴδους νοσήματα, τὸ βαβυλώνιο καμίνι, τὸ ὀνόμαζε καὶ καθέδρα τῆς διαφθορᾶς, καὶ γυμναστήρι τῆς ἀκολασίας, καὶ διδασκαλεῖο τῆς ἀσέλγειας καὶ ὅλα τὰ χειρότερα. Γιατὶ ὁ διάβολος, ἀφοῦ ἔβαλε τὴν πόλη μέσα στὸ θέατρο, σὰν σὲ καμίνι, ἔτσι τὴν σιγοκαίει ἀπὸ κάτω, τοποθετώντας ἀπὸ κάτω ὄχι κληματόβεργες, ὅπως ἀκριβῶς τότε ἐκεῖνος ὁ βάρβαρος, οὔτε νέφτι, οὔτε στουπί, οὔτε πίσσα, ἀλλὰ τὰ πολὺ πιὸ φοβερὰ ἀπ' αὐτά, πορνικὰ πρόσωπα, αἰσχρὰ λόγια, προκλητικὰ μέλη, γεμάτα ἀπὸ κάθε πονηρά ἄσματα. Καὶ ἐκεῖνο βέβαια τὸ καμίνι τὸ ἄναψαν βαρβαρικὰ χέρια, ἐνῶ αὐτὸ τὸ καμίνι τὸ ἀνάβουν λογισμοὶ πιὸ ἀνόητοι κι ἀπ' τοὺς βαρβάρους· τὸ καμίνι αὐτὸ εἶναι πιὸ φοβερὸ ἀπὸ ἐκεῖνο, ἐπειδὴ καὶ ἡ φωτιὰ εἶναι φοβερότερη· γιατὶ δὲν καίει σώματα, ἀλλὰ καταστρέφει τὴν εὐεξία τῆς ψυχῆς· καὶ τὸ φοβερότερο, ὅτι δὲν τὸ αἰσθάνονται αὐτοὶ ποὺ καίονται· γιατί, ἂν τὸ αἰσθάνονταν, δὲν θὰ ξεσποῦσαν σὲ μεγάλα γέλια γιὰ τὰ ὅσα γίνονται, πράγμα ποὺ εἶναι φοβερότατο, ὅταν κανείς, ἐνῶ εἶναι ἀσθενής, δὲν γνωρίζει οὔτε κι αὐτό, τὸ ὅτι δηλαδὴ εἶναι ἀσθενής, καί, ἐνῶ καίεται τόσο ἄθλια καὶ ἐλεεινά, δὲν αἰσθάνεται τὸν ἐμπρησμό.

Ποιό τὸ ὄφελος λοιπὸν τῆς νηστείας, ὅταν τὸ σῶμα βέβαια τὸ ἐμποδίσεις ἀπὸ τὴν κανονικὴ τροφή, ἀλλὰ προσφέρεις στὴν ψυχὴ τὴν παράνομη τροφή; ὅταν περάσεις τὴν ἡμέρα σου ἐκεῖ καθισμένος, βλέποντας τὴν ἀνθρώπινη φύση ν' ἀσχημονεῖ καὶ ν' ἀτιμάζει τὸν ἑαυτό της, γυναῖκες νὰ πορνεύουν, καὶ νὰ προσποιοῦνται ἐκεῖ μοιχεῖες ἐκεῖνοι ποὺ μαζεύουν τὰ κακὰ κάθε σπιτιοῦ; Πραγματικὰ εἶναι δυνατὸ νὰ δεῖς ἐκεῖ καὶ πορνεῖες καὶ μοιχεῖες, καὶ ν' ἀκούσεις βλασφημίες, ὥστε καὶ μὲ τὰ μάτια καὶ μὲ τ' αὐτιὰ ἡ ἀσθένεια νὰ συγκλονίζει τὴν ψυχή· μιμοῦνται τὶς ξένες συμφορές, καὶ γι' αὐτὸ περιβάλλονται καὶ μὲ τὸ ὄνομα τῆς ντροπῆς. Ποιό λοιπὸν εἶναι τὸ κέρδος ἀπὸ τὴ νηστεία, ὅταν ἡ ψυχὴ τρέφεται μὲ τέτοια τροφή; Μὲ ποιά μάτια θὰ δεῖς τὴ γυναίκα σου γυρίζοντας ἀπὸ τὰ θεάματα ἐκεῖνα; Μὲ ποιά μάτια θὰ δεῖς τὸ παιδί σου, μὲ ποιά τὸ δοῦλο σου, μὲ ποιά τὸ φίλο σου; Γιατὶ κατ' ἀνάγκη θὰ πεῖς τὰ ὅσα γίνονται ἐκεῖ καὶ ἢ θὰ ντρέπεσαι ἢ θὰ σιωπᾶς, προσπαθώντας νὰ κρυφτεῖς κόκκινος ἀπὸ ντροπή. Ὅμως ἀπὸ ἐδῶ δὲν φεύγεις ἔτσι,

παρρησίας πάντα τὰ λεγόμενα διηγεῖσθαι, προφητικὰς φωνάς, ἀποστολικὰ δόγματα, νόμους δεσποτικούς, ἅπασαν τῆς ἀρετῆς παρατιθέναι τὴν τράπεζαν, καὶ γυναῖκα σωφρονεστέραν ποιεῖς τοῖς ἐντεῦθεν διηγήμασιν, καὶ υἱὸν συνετώτερον ἐργάζῃ, καὶ οἰκέτην εὐνούστερον, καὶ φίλον φιλικώτερον, καὶ τὸν ἐχθρὸν δὲ αὐτὸν πείθεις καταλῦσαι τὴν ἔχθραν.

2. Ὁρᾷς ὡς ταῦτα μὲν πανταχοῦ σωτήρια τὰ δόγματα, ἐκεῖνα δὲ ἄχρηστα πανταχοῦ τὰ ἀκούσματα; Τί τοίνυν ὄφελος νηστείας, εἰπέ μοι, ὅταν τῷ σώματι μὲν νηστεύῃς, διὰ δὲ τῶν ὀφθαλμῶν μοιχεύῃς; μοιχεία γάρ ἐστιν οὐ συμπλοκὴ μόνον, οὐδὲ ὁμιλία σώματος, ἀλλὰ καὶ ὄψις ἀκόλαστος· τί τὸ ὄφελος ὅταν ἐνταῦθα παραγίνῃ κἀκεῖ; Ἐγὼ παιδεύω, ἐκεῖνος διαφθείρει· ἐγὼ φάρμακα ἐπάγω τῇ νόσῳ, ἐκεῖνος προστίθησιν ὑπόθεσιν τῇ νόσῳ· ἐγὼ σβεννύω τὴν φλόγα τῆς φύσεως, ἐκεῖνος ἀνάπτει τὴν φλόγα τῆς ἐπιθυμίας. Τί τὸ ὄφελος, εἰπέ μοι; «Εἷς οἰκοδομῶν καὶ εἷς καθαιρῶν· τί ὠφέλησαν πλέον ἢ κόπους;». Μὴ τοίνυν ἐνταῦθα καὶ ἐκεῖ, ἀλλ' ἐνταῦθα μόνον διατρίβωμεν, ἵνα χρησίμως ἐνταῦθα, ἵνα μὴ μάτην ἐνταῦθα, ἵνα μὴ εἰκῇ μηδὲ ἐπὶ κατακρίσει· «εἷς οἰκοδομῶν καὶ εἷς καθαιρῶν· τί ὠφέλησαν πλέον ἢ κόπους;». Καίτοι γε εἰ καὶ πολλοὶ οἱ οἰκοδομοῦντες εἶεν, εἷς δὲ ὁ καθαιρῶν, νικᾷ τὴν πολυχειρίαν τῶν οἰκοδομούντων ἡ εὐκολία τῆς καταστροφῆς. Μεγάλη ὄντως αἰσχύνη καὶ νεάζοντας καὶ γεγηρακότας ἐπὶ τὴν τοιαύτην τρέχειν σπουδήν. Ἀλλ' εἴθε μέχρις αἰσχύνης ἦν τὸ κακόν· καίτοι γε οὐδὲ τοῦτο φορητὸν ἀνδρὶ ἐλευθέρῳ, ἀλλ' ἐσχάτη ζημία τῷ νοῦν ἔχοντι καὶ κατάγνωσις καὶ αἰσχύνη· ἀλλ' οὐ μέχρι τῆς αἰσχύνης τὸ ἐπιτίμιον, ἀλλὰ καὶ κόλασις ἐπίκειται μεγάλη καὶ τιμωρία. Ἀνάγκη γὰρ τοὺς ἐκεῖ καθημένους μοιχείας ἁμαρτίᾳ πάντας ἁλίσκεσθαι, οὐκ ἐπειδὴ συμπλέκονται ταῖς ἐκεῖ γυναιξίν, ἀλλ' ἐπειδὴ ἀκολάστοις βλέπουσιν αὐτὰς ὀφθαλμοῖς. Ὅτι γὰρ καὶ τούτους ἀνάγκη μοιχείᾳ ἁλίσκεσθαι, οὐκ ἐμὸν ὑμῖν ἐρῶ λόγον, ἵνα μὴ καταφρονήσητε, ἀλλὰ θεῖον

---

2. Ἐκκλ. 34,28.

ἀλλὰ θὰ μπορέσεις στὸ σπίτι σου μὲ πολλὴ παρρησία νὰ διηγεῖσαι ὅλα τὰ λεγόμενα, τὰ προφητικὰ λόγια, τὰ ἀποστολικὰ διδάγματα, τὰ προστάγματα τοῦ Κυρίου, παραθέτοντας ὅλη τὴν τράπεζα τῆς ἀρετῆς, καὶ ἔτσι καὶ τὴ γυναίκα νὰ τὴν κάμνεις πιὸ φρόνιμη μὲ τὶς διηγήσεις αὐτές, καὶ τὸ γιό σου πιὸ συνετό, καὶ τὸν δοῦλο πιὸ ἀφοσιωμένο, καὶ τὸ φίλο πιὸ φιλικό, καὶ τὸν ἴδιο τὸν ἐχθρὸ νὰ τὸν πείσεις νὰ σταματήσει τὴν ἔχθρα.

2. Βλέπεις ὅτι αὐτὰ τὰ διδάγματα εἶναι παντοῦ σωτήρια, ἐνῶ ἐκεῖνα τὰ ἀκούσματα ἄχρηστα παντοῦ; Ποιό λοιπὸν τὸ ὄφελος ἀπὸ τὴ νηστεία, πές μου, ὅταν μὲ τὸ σῶμα βέβαια νηστεύεις, ἐνῶ μὲ τὰ μάτια μοιχεύεις; γιατὶ μοιχεία εἶναι ὄχι μόνο ἡ ἕνωση, οὔτε ἡ σαρκικὴ μείξη, ἀλλὰ καὶ τὸ ἀκόλαστο βλέμμα· ποιό τὸ ὄφελος ὅταν καὶ ἐδῶ ἔρχεσαι καὶ ἐκεῖ πηγαίνεις; Ἐγὼ σὲ διδάκω, ἐνῶ ἐκεῖνος σὲ διαφθείρει· ἐγὼ προσθέτω φάρμακα στὴν ἀρρώστια, ἐνῶ ἐκεῖνος προσθέτει ἀφορμὴ γιὰ τὴν ἀρρώστια· ἐγὼ σβήνω τὴ φλόγα τῆς φύσεως, ἐνῶ ἐκεῖνος ἀνάβει τὴ φλόγα τῆς ἐπιθυμίας. Πές μου, ποιό τὸ ὄφελος; «Ἂν ὁ ἕνας οἰκοδομεῖ καὶ ὁ ἄλλος γκρεμίζει, ποιό τότε ὄφελος, παρὰ κόποι;»[2]. Ἂς μὴ συχνάζομε λοιπὸν ἐδῶ καὶ ἐκεῖ, ἀλλὰ μόνο ἐδῶ, γιὰ νὰ ὠφελούμαστε ἐδῶ, γιὰ νὰ μὴ ἐρχόμαστε ἐδῶ ἄσκοπα καὶ στὰ χαμένα, οὔτε πρὸς κατάκρισή μας· «ὁ ἕνας οἰκοδομεῖ καὶ ὁ ἄλλος γκρεμίζει· ποιό τὸ ἐπὶ πλέον ὄφελός τους, παρὰ κόποι;». Βέβαια, κι ἂν ἀκόμα ἦταν πολλοὶ αὐτοὶ ποὺ οἰκοδομοῦν καὶ ἕνας ὁ κατεδαφιστής, νικᾶ ἡ εὐκολία τῆς καταστροφῆς τὰ πολλὰ χέρια τῶν οἰκοδόμων. Εἶναι μεγάλη πράγματι ντροπὴ νὰ τρέχουν σ' αὐτὰ τὰ μέρη καὶ νέοι καὶ γέροι. Καὶ μακάρι τὸ κακὸ νὰ ἔφτανε μέχρι τὴ ντροπή· ἂν καὶ βέβαια οὔτε αὐτὸ εἶναι ὑποφερτὸ στὸν ἐλεύθερο ἄνθρωπο, ἀλλ' εἶναι ἡ πιὸ χειρότερη ζημιὰ γιὰ ἐκεῖνον ποὺ ἔχει νοῦ, καθὼς καὶ καταδίκη καὶ ντροπή· ὅμως τὸ ἐπιτίμιο δὲν περιορίζεται στὴ ντροπή, ἀλλ' ἐπιφυλάσσεται καὶ μεγάλη κόλαση καὶ τιμωρία. Γιατὶ κατ' ἀνάγκη ὅλοι ἐκεῖνοι ποὺ κάθονται ἐκεῖ συλλαμβάνονται ἀπὸ τὴν ἁμαρτία τῆς μοιχείας, ὄχι ἐπειδὴ ἔρχονται σὲ σαρκικὴ μείξη μὲ τὶς γυναῖκες, ἀλλ' ἐπειδὴ βλέπουν αὐτὲς μὲ ἀκόλαστα μάτια. Τὸ ὅτι βέβαια κι' αὐτοὶ διαπράττουν ἀναγκαστικὰ τὴ μοιχεία, δὲν θὰ σᾶς πῶ δικό

ὑμῖν ἀναγνώσομαι νόμον· ἐνταῦθα γὰρ οὐκέτι καταφρονεῖν δυνατόν. Τί οὖν ὁ θεῖος νόμος φησίν; «Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ».

Εἶδες ἀπηρτισμένον τὸν μοιχόν; εἶδες πεπληρωμένην τὴν ἁμαρτίαν; καὶ τὸ χαλεπώτερον, τὸν μοιχὸν μοιχείας ἁλόντα οὐκ ἐν ἀνθρωπίνῳ, ἀλλ' ἐν θείῳ δικαστηρίῳ τῆς μοιχείας γινόμενον ὑπεύθυνον, ἔνθα ἀθάνατα τὰ τῶν τιμωριῶν. «Πᾶς ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Οὐ τὸ νόσημα, ἀλλὰ καὶ τὴν ῥίζαν ἀναιρεῖ τοῦ νοσήματος· ῥίζα γὰρ μοιχείας ἐπιθυμία ἀκόλαστος· διὸ οὐ μοιχείαν κολάζει μόνον, ἀλλὰ καὶ ἐπιθυμίαν, τὴν τῆς μοιχείας μητέρα. Οὕτω καὶ οἱ ἰατροὶ ποιοῦσιν· οὐ πρὸς τὰ νοσήματα ἵστανται μόνον, ἀλλὰ καὶ πρὸς τὰς αἰτίας αὐτάς· κἂν ἴδωσιν ὀφθαλμοὺς νοσοῦντας, τὸ πονηρὸν ῥεῦμα ἄνωθεν ἀπὸ τῶν κροτάφων ἀναστέλλουσιν· οὕτω καὶ ὁ Χριστὸς ποιεῖ. Ὀφθαλμία χαλεπὴ μοιχεία· τῶν ὀφθαλμῶν ἐστι τὸ νόσημα, οὐ τῶν τοῦ σώματος, ἀλλὰ πρότερον τῶν τῆς ψυχῆς· διὰ τοῦτο ἐκεῖθεν ἀνέστειλε τὸ ῥεῦμα τῆς ἀκολασίας, τῷ φόβῳ τοῦ νόμου· διὰ τοῦτο οὐχὶ μοιχείαν μόνον ἐκόλασεν, ἀλλὰ καὶ ἐπιθυμίαν ἐτιμωρήσατο. «Ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ»· τῆς δὲ καρδίας διεφθαρμένης, τί λοιπὸν ὄφελος τοῦ λοιποῦ σώματος; Ὥσπερ γὰρ ἐπὶ φυτῶν καὶ ξύλων, ὅταν ἴδωμεν τὴν καρδίαν διαβρωθεῖσαν, τὸ λοιπὸν ἀποδοκιμάζομεν μέρος, οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου ὅταν ἐκείνη ἀπόληται, εἰκῇ λοιπὸν ἡ τοῦ σώματος ὑγιεία. Ὁ ἡνίοχος ἀπόλωλε, διέφθαρται καὶ καταβέβληται, μάτην τρέχουσιν οἱ ἵπποι λοιπόν· ἐπίπονος ὁ νόμος καὶ πολὺ τὸ φορτικὸν ἔχει, ὥσπερ οὖν καὶ μέγαν ἔχει τὸν στέφανον. Τοιαῦτα γὰρ τὰ ἐπίπονα, μεγάλας ἔχει τὰς ἀμοιβάς.

Σὺ δὲ μὴ τῷ πόνῳ πρόσεχε, ἀλλὰ τὴν ἀμοιβὴν ἐννόει· οὕτω γὰρ καὶ ἐπὶ τῶν βιωτικῶν γίνεται πραγμάτων. Ἂν μὲν γὰρ τὸν πόνον ἴδῃς τῶν κατορθωμάτων, βαρὺ καὶ φορτικόν, ἂν δὲ τὴν

μου λόγο, γιὰ νὰ μὴ τὸν περιφρονήσετε, ἀλλὰ θὰ σᾶς διαβάσω θεῖο νόμο, γιατὶ αὐτὸν δὲν εἶναι δυνατὸ νὰ τὸν περιφρονήσετε. Τί λέγει λοιπὸν ὁ θεῖος νόμος; «Ἀκούσατε ὅτι λέχθηκε στοὺς παλιούς, 'δὲ θὰ μοιχεύσεις'[3]· ἐγὼ ὅμως σᾶς λέγω, ὅτι ὁ καθένας ποὺ θὰ δεῖ γυναίκα μὲ ἐπιθυμία γι' αὐτήν, ἤδη διέπραξε τὴ μοιχεία μέσα στὴν καρδιά του»[4].

Εἶδες ὁλοκληρωμένο τὸ μοιχό; εἶδες ὁλοκληρωμένη τὴν ἁμαρτία; Καὶ τὸ φοβερώτερο, ὁ μοιχὸς ποὺ διαπράτει τὴν μοιχεία δὲν δικάζεται γιὰ τὴ μοιχεία του σὲ ἀνθρώπινο δικαστήριο, ἀλλὰ σὲ θεῖο, ὅπου οἱ τιμωρίες εἶναι αἰώνιες. Ὁ καθένας ποὺ εἶδε γυναίκα μὲ ἐπιθυμία γι' αὐτήν, ἤδη μοίχευσε αὐτὴν μέσα στὴν καρδιά του». Δὲν ἀπαλλάσσει ἀπὸ τὸ νόσημα, ἀλλ' ἀφαιρεῖ καὶ τὴν ἴδια τὴ ρίζα τοῦ νοσήματος· γιατὶ ρίζα τῆς μοιχείας εἶναι ἡ ἀκόλαστη ἐπιθυμία· γι' αὐτὸ δὲν τιμωρεῖ τὴ μοιχεία μόνο, ἀλλὰ καὶ τὴν ἐπιθυμία, τὴ μητέρα τῆς μοιχείας. Τὸ ἴδιο κάμνουν καὶ οἱ γιατροί· δὲν ἀρκοῦνται μόνο στὰ νοσήματα, ἀλλ' ἐρευνοῦν καὶ τὶς αἰτίες· κι ἂν δοῦν μάτια ἀσθενή, σταματοῦν τὴ βλαβερὴ ροὴ πάνω ἀπὸ τοὺς κροτάφους. Τὸ ἴδιο κάμνει καὶ ὁ Χριστός. Ἡ μοιχεία εἶναι φοβερὴ πάθηση τῶν ματιῶν· ἡ πάθηση εἶναι τῶν ματιῶν, ὄχι τῶν σωματικῶν, ἀλλὰ πρῶτα τῶν ματιῶν τῆς ψυχῆς· γι' αὐτὸ ἀπὸ ἐκεῖ σταμάτησε τὸ ρεῦμα τῆς ἀκολασίας μὲ τὸ φόβο τοῦ νόμου· γι' αὐτὸ δὲν κόλασε μόνο τὴ μοιχεία, ἀλλὰ τιμώρησε καὶ τὴν ἐπιθυμία. «Ἤδη μοίχευσε αὐτὴν μέσα στὴν καρδιά του»· ἐὰν ἡ καρδιὰ εἶναι διαφθαρμένη, πιό τὸ ὄφελος πλέον τοῦ ὑπόλοιπου σώματος; Γιατί, ὅπως ἀκριβῶς στὰ φυτὰ καὶ τὰ δένδρα, ὅταν δοῦμε τὴν καρδιὰ διαβρωμένη, ἀπορρίπτομε καὶ τὸ ὑπόλοιπο μέρος, ἔτσι καὶ στὸν ἄνθρωπο, ὅταν ἐκείνη διαφθαρεῖ, εἶναι ἀνώφελη τότε ἡ ὑγεία τοῦ σώματος. Ὁ ἡνίοχος χάθηκε, διαφθάρθηκε καὶ κατέπεσε, ἄσκοπα πιὰ τρέχουν τὰ ἄλογα· κοπιαστικὸς ὁ νόμος καὶ εἶναι μεγάλο τὸ βάρος ποὺ ἔχει, ὅπως βέβαια κι ἐπιφυλάσσει μεγάλο στεφάνι. Γιατὶ τέτοια εἶναι τὰ ἐπίπονα, ἐπιφυλάσσουν μεγάλες ἀμοιβές.

Σὺ ὅμως μὴ προσέχεις τὸν κόπο, ἀλλὰ νὰ σκέπτεσαι τὴν ἀμοιβή· γιατὶ τὸ ἴδιο γίνεται καὶ μὲ τὰ κοσμικὰ πράγματα. Ἂν προσέξεις τὸν κόπο τῶν κατορθωμάτων, εἶναι βαρὺ κι ἐνοχλητικό, ἂν

3. Ἐξ. 20,14. 4. Ματθ. 5,27–28.

ἀμοιβὴν ἴδῃς, κοῦφον καὶ ῥᾷστον τὸ προκείμενον. Οὕτω καὶ κυβερνήτης ἂν τὰ κύματα βλέπῃ μόνον, οὐδέποτε ἐξέλκει τοῦ λιμένος τὸ σκάφος, ἀλλὰ πρὸ τῶν κυμάτων τὴν ἐμπορίαν ὁρῶν, οὕτω καὶ ἀπλέτου κατατολμᾷ πελάγους. Οὕτω καὶ στρατιώτης ἂν τὰ τραύματα βλέπῃ καὶ τὰς σφαγάς, οὐδέποτε ἐνδύεται θώρακα, ἂν δὲ πρὸ τῶν τραυμάτων τὰ τρόπαια σκοπῇ καὶ τὰς νίκας, ὥσπερ εἰς λειμῶνα δραμεῖται τὴν παράταξιν. Τὰ γὰρ φύσει βαρέα, οὕτω κοῦφα γίνεται, ὅταν μὴ τοὺς πόνους λογιζώμεθα, ἀλλὰ καὶ τὰς ἀμοιγὰς αὐτῶν σκοπῶμεν. Βούλει μαθεῖν πῶς τὰ φύσει βαρέα κοῦφα γίνεται; ἄκουσον τοῦ Παύλου λέγοντος· «τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβλὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται». Αἴνιγμα τὸ εἰρημένον ἐστίν· εἰ θλίψεως, πῶς ἐλαφρόν; εἰ ἐλαφρόν, πῶς θλίψεως; Ταῦτα γὰρ ἐναντία. Ἀλλ' ἔλυσε τὸ αἴνιγμα τῇ ἐπαγωγῇ δείξας ἐλφρόν· πῶς; «Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα». Ἔθηκε τὸν στέφανον καὶ κοῦφον ἐποίησε τὸν ἀγῶνα· ἔδειξε τὸ βραβεῖον καὶ παραμυθήσατο τοὺς ἱδρῶτας.

Καὶ σὺ τοίνυν ὅταν ἴδῃς γυναῖκα λάμπουσαν ἀπὸ τῆς ὄψεως, φαιδρὰν ἀπὸ τῆς στολῆς, ἴδῃς ἐπιθυμίαν γαργαλίζουσαν, ἴδῃς τὴν ψυχὴν ἐπιθυμοῦσαν τῆς θεωρίας, ἀνάβλεψον πρὸς τὸν ἄνω σοι κείμενον στέφανον, ἵνα παραδράμῃς τὴν τοιαύτην ὄψιν. Εἶδες συνδούλην; ἐννόησον τὸν Δεσπότην, καὶ πάντως καταπαύσεις τὸ νόσημα. Εἰ γὰρ παιδία παιδαγωγῷ ἀκολουθοῦντα οὐ περιστρέφονται, οὐ κεχήνασιν, οὐκ ἐπτόηνται, πολλῷ μᾶλλον σὺ τὸν Χριστὸν ἂν ἴδῃς τοῖς λογισμοῖς παρόντα, οὐδὲν πείσῃ τοιοῦτον. «Ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Ἡδέως καὶ συνεχέστερον ἀναγινώσκω τοῦ νόμου τὰ γράμματα· εἴθε καὶ διὰ πάσης τῆς ἡμέρας ἦν τοῦτο λέγειν πρὸς ὑμᾶς, μᾶλλον δὲ οὐχὶ πρὸς ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ὑπευθύνους τοῖς ἁμαρτήμασιν ὄντας· μᾶλλον δὲ καὶ πρὸς ὑμᾶς· καὶ γὰρ ὑμεῖς ἀσφαλέστεροι ἔσεσθε, οἱ δὲ ἐν τῇ νόσῳ ὄντες ταχέως πρὸς τὴν ὑγίειαν ἐπανή-

---

5. Α' Κορ. 4,17. 6. Ματθ. 5,28.

ὅμως δεῖς τὴν ἀμοιβή, εἶναι ἐλαφρὺ τὸ πρᾶγμα κι εὔκολο. Ἔτσι κι ὁ κυβερνήτης, ἂν βλέπει μόνο τὰ κύματα, ποτὲ δὲ θὰ βγάλει τὸ σκάφος ἀπὸ τὸ λιμάνι, ἀλλὰ σκεπτόμενος τὸ ἐμπόρευμα περισσότερο ἀπὸ τὰ κύματα, ἐπιχειρεῖ ἔτσι μὲ τόλμη τὸ ταξίδι στὸ ἀπέραντο πέλαγος. Τὸ ἴδιο κι ὁ στρατιώτης, ἂν προσέχει τὰ τραύματα καὶ τὶς σφαγές, ποτὲ δὲ θὰ φορέσει θώρακα, ἂν ὅμως πρὶν ἀπὸ τὰ τραύματα σκέπτεται τὰ τρόπαια καὶ τὶς νίκες, θὰ τρέξει στὸ στρατὸ σὰν νὰ τρέχει σὲ λιβάδι. Γιατὶ τὰ ἀπὸ τὴ φύση τους βαριά, τόσο πολὺ ἐλαφριὰ γίνονται ὅταν δὲν σκεπτόμαστε τοὺς κόπους, ἀλλ' ἀναλογιζόμαστε τὶς ἀμοιβὲς αὐτῶν. Θέλεις νὰ μάθεις πῶς γίνονται ἐλαφριὰ τὰ ἀπὸ τὴ φύση τους βαριά; Ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «γιατὶ ἡ προσωρινὴ ἐλαφριὰ θλίψη μᾶς προσφέρει ὑπερβολικὰ αἰώνιο βάρος δόξας»[5]. Αἴνιγμα τὸ λεγόμενο εἶναι· ἐὰν περιέχει θλίψη, πῶς εἶναι ἐλαφρύ; Ἐὰν εἶναι ἐλαφρύ, πῶς περιέχει θλίψη; Γιατὶ αὐτὰ εἶναι ἀντίθετα. Ἀλλ' ἔλυσε τὸ αἴνιγμα, δείχνοντας τὸ ἐλαφρὺ αὐτοῦ μ' ἐκεῖνο ποὺ πρόσθεσε. Ποιό; «Μὴ δίνοντας σημασία σ' ἐκεῖνα ποὺ βλέπομε». Παρουσίασε τὸ στεφάνι καὶ ἔκαμε ἐλαφρὺ τὸν ἀγώνα· ἔδειξε τὸ βραβεῖο καὶ παρηγόρησε τοὺς ἱδρῶτες.

Καὶ σὺ λοιπόν, ὅταν δεῖς γυναίκα νὰ λάμπει στὴν ὄψη, νὰ εἶναι ὡραῖα ντυμένη, ὅταν δεῖς τὴν ἐπιθυμία νὰ σὲ γαργαλίζει, ὅταν δεῖς τὴν ψυχή σου νὰ ἐπιθυμεῖ τὴ θέα της, ρίξε τὸ βλέμμα σου πρὸς τὸ στεφάνι ποὺ βρίσκεται ἀπὸ πάνω σου, γιὰ ν' ἀποφύγεις τὸ θέαμα αὐτό. Εἶδες ὁμόδουλή σου; σκέψου τὸν Κύριο, καὶ ὁπωσδήποτε θὰ σταματήσεις τὸ νόσημα. Γιατί, ἂν τὰ παιδιὰ ποὺ ἀκολουθοῦν τὸν παιδαγωγό, δὲν γυρίζουν ἐδῶ κι ἐκεῖ, δὲν ἀποχαυνόνονται καὶ δὲν καταπτοοῦνται, πολὺ περισσότερο σὺ ὅταν δεῖς τὸ Χριστὸ μέσα στοὺς λογισμούς σου, δὲν θὰ πάθεις τίποτε τὸ παρόμοιο. «Ἐκεῖνος ποὺ εἶδε γυναίκα καὶ τὴν ἐπιθύμησε, ἤδη μοίχευσε αὐτὴν μέσα στὴν καρδιά του»[6]. Μὲ εὐχαρίστηση καὶ πολὺ συχνὰ διαβάζω τὰ γράμματα τοῦ νόμου· μακάρι κι ὅλη τὴν ἡμέρα νὰ μποροῦσα νὰ σᾶς τὸ λέγω αὐτό, ἢ καλύτερα ὄχι σ' ἐσᾶς, ἀλλὰ σ' ἐκείνους ποὺ εἶναι ὑπεύθυνοι ἁμαρτημάτων· ἀλλὰ καὶ σὲ σᾶς· γιατὶ καὶ σεῖς θὰ γίνετε πιὸ ἀσφαλεῖς, καὶ οἱ ἀσθενεῖς θὰ ἐπανεύρουν τὴν

ξουσιν. «Ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ».

3. Ἀρκεῖ πᾶσαν τῆς ἁμαρτίας τὴν σηπεδόνα καθᾶραι ψιλὰ ἀναγνωσθέντα τὰ ῥήματα. Ἀλλὰ σύγγνωτε· τραύματα καθαίρομεν, τὸν δὲ τραύματα καθαίροντα, ἀνάγκη καὶ πικρὰ ἐπιτιθέναι φάρμακα· ὅσῳπερ ἂν ἐνέγκητε τὰ ῥήματα, τοσοῦτον μᾶλλον ἐκκαθαίρεται ὁ ἰός. Ὥσπερ γὰρ τοῦ πυρὸς ἡ φύσις, ὅσῳπερ ἂν ἐπιπλέον ὁμιλήσῃ τῇ τοῦ χρυσοῦ φύσει, τοσοῦτον μᾶλλον δαπανᾷ τὸν ἰόν· οὕτω καὶ τῶν ῥημάτων τούτων ὁ φόβος, ὅσῳπερ ἂν ἐνηχηθῇ τῇ ὑμετέρᾳ διανοίᾳ, τοσούτῳ μᾶλλον ἅπασαν ἐκκαθαριεῖ τῆς ἀκολασίας τὴν ἁμαρτίαν. Πυρώσωμεν αὐτὴν ὧδε τῷ λόγῳ τῆς διδασκαλίας, ἵνα μὴ ἀναγκασθῶμεν αὐτὴν ἐκεῖ πυρῶσαι τῷ πυρὶ τῆς γεέννης. Τὴν μὲν γὰρ ἐντεῦθεν ἀπελθοῦσαν καθαρὰν οὐδὲν ἐκεῖνο βλάψει τὸ πῦρ, τὴν δὲ μετὰ ἁμαρτημάτων ἀπελθοῦσαν ἐντεῦθεν ἐκεῖνο δέξεται τὸ πῦρ. «Ἑκάστου» γάρ, φησί, «τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει». Δοκιμάσωμεν ἑαυτοὺς νῦν χωρὶς ὀδύνης, ἵνα μὴ δοκιμασθῶμεν τότε μετὰ ὀδύνης. Ὅσα ἂν εἴπῃς, φησίν, ἐπίπονος ὁ νόμος. Τί οὖν; ἀδύνατα ἡμῖν ὁ Θεὸς προστάττει; Οὔ φημι· ἐπιστομίζου, μὴ κατηγόρει τοῦ Δεσπότου· οὐ γάρ ἐστιν ἀπολογίας τρόπος, ἀλλὰ ἁμαρτίας προσθήκη τῆς προτέρας χαλεπωτέρα. Ὅτι δὲ τοῖς πολλοῖς τῶν ἁμαρτανόντων ἔθος ἐπὶ τὸν Δεσπότην ἀφίειν τὰ ἐγκλήματα, ἄκουσον. Προσῆλθεν ἐκεῖνος ὁ τὰ πέντε τάλαντα πιστευθεὶς καὶ προσήνεγκεν ἄλλα πέντε· προσῆλθεν ὁ τὰ δύο τάλαντα πιστευθεὶς καὶ προσήνεγκεν ἄλλα δύο· προσῆλθεν ὁ τὸ τάλαντον πιστευθείς, καὶ ἐπειδὴ ἄλλο τάλαντον προσενεγκεῖν οὐκ εἶχεν, ἀντὶ ταλάντου κατηγορίαν προσήνεγκε. Πῶς φησιν; «Ἔγνων σε ὅτι σκληρὸς εἶ». Ὢ ἀγνωμοσύνης οἰκέτου· οὐκ ἀρκεῖται τῇ ἁμαρτίᾳ, ἀλλὰ καὶ κατηγορίαν εἰσάγει κατὰ τοῦ δεσπότου· «θερίζων ὅπου οὐκ ἔσπειρας καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας». Οὕτω καὶ ἐν τῷ παρόντι βίῳ ὅσοι μηδὲν ἐργάζονται ἀγαθόν, προσθήκην τῶν κακῶν ἑαυτῶν ποιοῦνται τὴν κατηγορίαν τοῦ Δεσπότου.

Μὴ τοίνυν κατηγόρει τοῦ Δεσπότου· οὐκ ἐπέταξεν ἀδύνατα. Βούλει μαθεῖν ὅτι οὐκ ἐπέταξεν ἀδύνατα; Πολλοὶ τὰ προστάγματα

ὑγεία τους. «Ἐκεῖνος ποὺ εἶδε γυναίκα καὶ τὴν ἐπιθύμησε, ἤδη μοίχευσε αὐτὴν μέσα στὴν καρδιά του».

3. Τὰ λόγια αὐτὰ ἁπλῶς ἂν διαβασθοῦν ἔχουν τὴ δύναμη νὰ καθαρίσουν ὅλη τὴ σαπίλα τῆς ἁμαρτίας. Ἀλλὰ συγχωρέστε με· τραύματα καθαρίζομε, κι ἐκεῖνος ποὺ καθαρίζει τραύματα, εἶναι ἀναγκασμένος νὰ ἐπιθέτει καὶ πικρὰ φάρμακα· ὅσο περισσότερο ὑποφέρετε τὰ λόγια, τόσο περισσότερο θὰ καθαρίσει ὅλη τὴν ἁμαρτία τῆς ἀκολασίας. Ἂς πυρώσομε ἐδῶ τὴ διάνοιά μας μὲ τὸ λόγο τῆς διδασκαλίας, γιὰ νὰ μὴ ἀναγκασθοῦμε νὰ τὴν πυρώσομε ἐκεῖ μὲ τὴ φλόγα τῆς γέεννας. Γιατὶ ἐκείνην ποὺ θὰ φύγει ἀπὸ ἐδῶ καθαρὴ δὲ θὰ τὴν βλάψει καθόλου ἡ φλόγα ἐκείνη, ἐνῶ ἐκείνην ποὺ θὰ φύγει ἀπὸ ἐδῶ μὲ ἁμαρτήματα θὰ τὴν ὑποδεχθεῖ ἡ φλόγα. Γιατί, λέγει, «τὸ ἔργο τοῦ καθενὸς θὰ τὸ δοκιμάσει ἡ φωτιά»[7]. Ἂς ἐλέγξομε τώρα τοὺς ἑαυτούς μας χωρὶς πόνο, γιὰ νὰ μὴ ἐλεγχθοῦμε τότε μὲ πόνο. Ὅσα κι ἂν πεῖς, λέγει, ὁ νόμος εἶναι κοπιαστικός. Τί δηλαδή; ὁ Θεὸς μᾶς προστάζει ἀδύνατα; Δὲν λέγω αὐτό. Κλεῖσε λοιπὸν τὸ στόμα σου, μὴ κατηγορεῖς τὸν Κύριο· γιατὶ δὲν ἀποτελεῖ αὐτὸ δικαιολογία, ἀλλὰ προσθήκη τῆς ἁμαρτίας πολὺ πιὸ χειρότερη ἀπὸ τὴν προηγούμενη. Τὸ ὅτι πολλοὶ ἀπὸ ἐκείνους ποὺ ἁμαρτάνουν συνηθίζουν νὰ ἐπιρρίπτουν τὰ ἁμαρτήματά τους στὸν Κύριο, ἄκουσε. Ἦρθε ἐκεῖνος ποὺ τοῦ ἐμπιστεύθηκε τὰ πέντε τάλαντα καὶ τοῦ ἔδωσε ἄλλα πέντε· ἦρθε ἐκεῖνος ποὺ τοῦ εἶχε ἐμπιστευθεῖ τὰ δύο τάλαντα καὶ τοῦ ἔδωσε ἄλλα δύο· ἦρθε κι ἐκεῖνος ποὺ τοῦ ἐμπιστεύθηκε τὸ ἕνα τάλαντο κι ἐπειδὴ δὲν εἶχε νὰ τοῦ δώσει ἄλλα τάλαντα, ἀντὶ γιὰ τάλαντο τοῦ ἀπέδωσε κατηγορία. Τί λέγει; «Ἤξερα ὅτι εἶσαι σκληρός»[8]. Πὼ πὼ εὐγνωμοσύνη δούλου! δὲν ἀρκεῖται στὴν ἁμαρτία, ἀλλὰ προσάγει καὶ κατηγορία στὸν Κύριο· «θερίζεις ὅπου δὲν ἔσπειρες καὶ μαζεύεις ἀπ' ὅπου δὲν σκόρπισες»[9]. Ἔτσι καὶ στὴν παρούσα ζωή, ὅσοι δὲν κάμνουν κανένα καλό, αὐξάνουν τ' ἁμαρτήματά τους κατηγορώντας τὸν Κύριο.

Μὴ κατηγορᾶς λοιπὸν τὸν Κύριο· δὲν πρόσταξε ἀδύνατα. Θέλεις νὰ μάθεις ὅτι δὲν πρόσταξε ἀδύνατα; Πολλοὶ ὑπερβαίνουν τὰ προστάγματα, καὶ δὲ θὰ μποροῦσαν, ἐὰν ἦταν ἀδύνατα, νὰ τὰ ξεπε-

7. Α' Κορ. 3,13. 8. Ματθ. 25,4. 9. Λουκᾶ 19,21.

ὑπερβαίνουσιν, οὐκ ἂν δέ, εἰ ἀδύνατα ἦν, ὑπερέβησαν ἐξ οἰκείας προαιρέσεως. Παρθενίαν οὐκ ἐπέταξε καὶ κατορθοῦσι πολλοί· ἀκτημοσύνην οὐκ ἐπέταξε καὶ πολλοὶ τῶν ἑαυτῶν ῥίπτουσι, διὰ τῶν ἔργων μαρτυροῦντες πολλὴν εὐκολίαν τοῖς τῆς ἐπιταγῆς νόμοις· οὐ γὰρ ἂν ὑπερέβησαν αὐτά, εἰ μὴ αὐτὰ τὰ ἐπιταγέντα εὔκολα ἦν. Οὐκ ἐπέταξε παρθενίαν· ὁ μὲν γὰρ ἐπιτάξας παρθενίαν ὑπὸ τὴν ἀνάγκην ἄγει τοῦ νόμου καὶ τὸν μὴ βουλόμενον, ὁ δὲ παραινέσας κύριον ἀφίησι τῆς αἱρέσεως τὸν ἀκροατήν. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, «περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι». Ὁρᾷς οὐκ ἐπιταγήν, ἀλλὰ συμβουλήν; ὁρᾷς οὐ πρόσταγμα, ἀλλὰ παραίνεσιν; Πολὺ τὸ μέσον· τὸ μὲν γὰρ ἀνάγκης ἐστίν, τὸ δὲ προαιρέσεως. Οὐκ ἐπιτάσσω, φησίν, ἵνα μὴ βαρήσω· παραινῶ καὶ συμβουλεύω, ἵνα ἐναγάγω. Οὕτω καὶ ὁ Χριστός· οὐκ εἶπε, 'πάντες δὲ παρθενεύετε'· εἰ μὲν γὰρ ἐπέταξε παρθενεύειν ἅπαντας καὶ νόμον ἐποίησε τὸ πρόσταγμα, οὔτε κατορθώσας ἂν πολλῆς ἀπέλαυσε τιμῆς ὅσης νῦν, καὶ ὁ παρακούσας τὴν ἐσχάτην ἂν ἔδωκε δίκην. Εἶδες πῶς ἡμῶν ὁ νομοθέτης φείδεται; πῶς κήδεται τῆς ἡμετέρας σωτηρίας; Μὴ γὰρ οὐκ ἐδύνατο καὶ τοῦτο ἐπίταγμα ποιῆσαι καὶ εἰπεῖν ὅτι, 'οἱ μὲν παρθενεύοντες τιμάσθωσαν, οἱ δε μὴ παρθενεύοντες κολαζέσθωσαν'; Ἀλλ' ἐβάρει τὴν φύσιν· φείδεται τῆς φύσεως τῆς ἡμετέρας. Ἀφῆκεν ἔξω τῶν σταδίων, ἀφῆκεν ἀνωτέρω τῶν ἀγώνων τὴν παρθενίαν, ἵνα καὶ οἱ κατορθοῦντες τῆς συγγνώμης ἀπολαύσωσι τοῦ Δεσπότου.

Οὕτω καὶ περὶ τῆς ἀκτημοσύνης οὐκ ἐποίησε τὸ πρᾶγμα ἐπίταγμα. Οὐ γὰρ ἁπλῶς εἶπε, «πώλησόν σου τὰ ὑπάρχοντα», ἀλλ' «εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα». Ἐν τῇ βουλῇ κείσθω τῇ σῇ, κύριος ἔσο τῆς γνώμης· οὐκ ἀναγκάζω, οὐδὲ βαρῶ, ἀλλὰ κατορθώσαντα μὲν στεφανῶ, μὴ κατορθώσαντα δὲ οὐ κολάζω. Τὸ μὲν γὰρ ἐξ ἐπιταγῆς γινόμενα καὶ ἐξ ὀφειλῆς, οὐ

---

10. Α' Κορ. 7,25.
11. Ματθ. 19,21.

ράσουν μὲ τὴν προαίρεσή τους. Δὲν πρόσταξε παρθενία, καὶ πολλοὶ τὴν κατορθώνουν· δὲν πρόσταξε ἀκτημοσύνη καὶ πολλοὶ ἀπορρίπτουν τὰ δικά τους, ἐπιβεβαιώνοντας μὲ τὰ ἔργα τους τὴ μεγάλη εὐκολία τῶν προσταγμάτων του· γιατὶ δὲν θὰ ὑπερέβαιναν αὐτά, ἂν δὲν ἦταν εὔκολα τὰ προστάγματα. Δὲν πρόσταξε παρθενία· γιατὶ ἐκεῖνος ποὺ προστάζει παρθενία ὁδηγεῖ ἀναγκαστικὰ κάτω ἀπὸ τὸ νόμο καὶ ἐκεῖνον ποὺ δὲν θέλει, ἐνῶ ἐκεῖνος ποὺ συμβουλεύει ἀφήνει τὸν ἀκροατὴ κύριο τῆς ἐκλογῆς. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει, «γιὰ τοὺς ἄγαμους δὲν ἔχω ἐντολὴ τοῦ Κυρίου, ἁπλῶς λέγω τὴ γνώμη μου»[10]. Βλέπεις ὄχι προσταγή, ἀλλὰ συμβουλή; βλέπεις ὄχι πρόσταγμα, ἀλλὰ παραίνεση; Μεγάλη ἡ ἀπόσταση μεταξὺ αὐτῶν· γιατὶ τὸ ἕνα εἶναι ἀναγκαστικό, ἐνῶ τὸ ἄλλο προαιρετικό. Δὲν προστάσσω, λέγει, γιὰ νὰ μὴ φανῶ ἐνοχλητικός· παραινῶ καὶ συμβουλεύω, γιὰ νὰ ὁδηγήσω προαιρετικά. Ἔτσι καὶ ὁ Χριστός· δὲν εἶπε, 'ὅλοι νὰ παρθενεύετε'· γιατί, ἂν πρόσταζε ὅλοι νὰ παρθευνεύουν καὶ ἔκαμνε νόμο τὸ πρόσταγμα, οὔτε ἐκεῖνος ποὺ θὰ τὸ κατόρθωνε θ' ἀπολάμβανε τόση τιμὴ ὅση τώρα, καὶ ἐκεῖνος ποὺ θὰ παράκουε θὰ τιμωροῦνταν μὲ τὴ πιὸ χειρότερη τιμωρία. Εἶδες πῶς μᾶς λυπᾶται ὁ νομοθέτης, πῶς φροντίζει γιὰ τὴ σωτηρία μας; Μήπως δηλαδὴ δὲν μποροῦσε κι αὐτὸ νὰ τὸ κάνει πρόσταγμα καὶ νὰ πεῖ, 'ἐκεῖνοι ποὺ παρθενεύουν νὰ τιμοῦνται, ἐνῶ ἐκεῖνοι ποὺ δὲν παρθενεύουν νὰ τιμωροῦνται'; Ἀλλὰ θὰ ἦταν βαρὺ αὐτὸ γιὰ τὴν ἀνθρώπινη φύση· λυπᾶται τὴ φύση μας. Ἄφησε τὴν παρθενία ἔξω ἀπὸ τὰ στάδια, τὴν ἄφησε πάνω ἀπὸ τοὺς ἀγῶνες, ὥστε καὶ ἐκεῖνοι ποὺ τὴν κατορθώνουν νὰ ἐπιδείξουν τὴ μεγαλοψυχία τους, καὶ ἐκεῖνοι ποὺ δὲν τὴν κατορθώνουν ν' ἀπολαύσουν τὴ συγγνώμη τοῦ Κυρίου.

Τὸ ἴδιο καὶ μὲ τὴν ἀκτημοσύνη· δὲν ἔκαμε τὸ πράγμα πρόσταγμα. Γιατὶ δὲν εἶπε ἁπλῶς, «πούλησε τὰ ὑπάρχοντά σου», ἀλλά, «ἐὰν θέλεις νὰ γίνεις τέλειος, πήγαινε καὶ πούλησε τὰ ὑπάρχοντά σου»[11]. Ἂς ἐξαρτᾶται ἀπὸ τὴ θέλησή σου, ἂς εἶσαι κύριος τῆς ἀποφάσεώς σου· δὲν σ' ἀναγκάζω, δὲν σοῦ γίνομαι βαρύς, ἀλλά, ἂν τὸ κατορθώσεις σὲ στεφανώνω, ἂν δὲν τὸ κατορθώσεις δὲν σὲ τιμωρῶ. Γιατὶ ἐκεῖνα ποὺ γίνονται κατόπιν προσταγῆς καὶ

τοσοῦτον ἔχει μισθόν, τὰ δὲ ἐκ προαιρέσεως καὶ ἐξ οἰκείας φιλοτιμίας λαμπροὺς ἔχει τοὺς στεφάνους. Καὶ τούτων Παῦλον παράγω μάρτυρα· «ἐὰν εὐαγγελίζωμαι», φησίν, «οὐκ ἔστι μοι καύχημα». Διὰ τί; «Ἀνάγκη γάρ μοι ἐπίκειται. Οὐαὶ δέ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι». Ὁρᾷς, ἐν τοῖς νόμοις ὁ μὲν κατορθώσας οὐκ ἔχει πολὺν μισθόν· ἀνάγκη γάρ ἐστιν· ὁ δὲ μὴ κατορθώσας ὑπεύθυνός ἐστι τῇ κολάσει καὶ τῇ τιμωρίᾳ. «Ουαὶ γάρ μοι», φησίν, «ἐὰν μὴ εὐαγγελίζωμαι». Ἐπὶ δὲ τῶν ἄλλων οὐχ οὕτως, ἐπὶ τῶν ἐκ προαιρέσεως, ἀλλὰ τί; «Τίς οὖν μοί ἐστιν ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου». Ἐκεῖ νόμος ἦν, διὰ τοῦτο μισθὸν οὐκ εἶχε πολύν· τοῦτο δὲ προαιρέσεως ἦν, διὸ πολὺν ἔσχε τὸν μισθόν.

4. Ταῦτά μοι πάντα οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ διὰ τὸν νόμον τὸν θεῖον, ἵνα δείξω οὐκ ὄντα βαρύν, οὐκ ὄντα φορτικόν, οὐκ ὄντα ἐπίπονον οὐδὲ ἀδύνατον. Φέρε δὴ καὶ ἀπ' αὐτῶν τῶν τοῦ Χριστοῦ ρημάτων αὐτὸ τοῦτο φανερὸν ποιήσωμεν· «ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Συνεῖδε καὶ ὁ Χριστὸς αὐτὸ τοῦτο, ὅτι μέλλουσι πολλοὶ τοῦ νόμου κατηγορεῖν τὴν δυσκολίαν· διὰ τοῦτο αὐτὸν οὐ γυμνὸν εἰσήνεγκεν, οὐδὲ ψιλόν, οὐδὲ καθ' ἑαυτόν, ἀλλὰ καὶ τοῦ παλαιοῦ ἀναμιμνήσκει νόμου, ἀπὸ τῆς συγκρίσεως καὶ τὴν εὐκολίαν καὶ τὴν αὐτοῦ φιλανθρωπίαν ἐνδεικνύμενος. Πῶς δέ, προσέχετε. Οὐκ εἶπε γὰρ ἁπλῶς, «ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ» (ἐνταῦθα προσέχετε μετὰ ἀκριβείας), ἀλλὰ πρότερον ἀνέμνησε τοῦ παλαιοῦ νόμου οὕτω λέγων· «ἀκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, πᾶς ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Εἶδες τοὺς δύο νόμους, τὸν παλαιὸν καὶ τὸν καινόν, ὃν ἔθηκε Μωϋσῆς, καὶ ὃν εἰσάγει αὐτός; μᾶλλον δὲ καὶ τοῦτον αὐτὸς ἔθηκε· καὶ γὰρ διὰ Μωϋσέως αὐτὸς

12. Α' Κορ. 9,16. 14. Ματθ. 5,28.
13. Α' Κορ. 9,18. 15. Ἔξοδ. 20,14. 16. Ματθ. 5,28.

ὑποχρεωτικὰ δὲν ἔχουν τόσο μισθό, ἐνῶ ἐκεῖνα ποὺ γίνονται προαιρετικὰ καὶ ἀπὸ δική μας γενναιοδωρία ἔχουν λαμπρὰ στεφάνια. Καὶ μάρτυρα αὐτῶν παρουσιάζω τὸν Παῦλο· «τὸ ὅτι κηρύττω τὸ εὐαγγέλιο», λέγει, «δὲν μοῦ δίνει τὸ δικαίωμα νὰ καυχηθῶ». Γιατί; «Γιατὶ τὸ κάνω ἀναγκαστικά. Ἀλλοίμονό μου ἂν δὲν κηρύττω τὸ εὐαγγέλιο»[12]. Βλέπεις στὴν περίπτωση τῶν νόμων, ἐκεῖνος ποὺ τοὺς κατορθώνει δὲν ἔχει πολὺ μισθό, γιατὶ τὸ κάνει ἀναγκαστικά, ἐνῶ ἐκεῖνος ποὺ δὲν κατορθώνει νὰ τοὺς τηρήσει εἶναι ὑπεύθυνος γιὰ τιμωρία καὶ κόλαση. Γιατὶ λέγει, «ἀλλοίμονό μου ἐὰν δὲν κηρύττω τὸ εὐαγγέλιο». Στὴν περίπτωση ὅμως ἐκείνων ποὺ γίνονται προαιρετικὰ δὲν συμβαίνει τὸ ἴδιο, ἀλλὰ τί; «Ποιός λοιπὸν εἶναι ὁ μισθός μου; Τὸ νὰ μὴ ζητῶ δαπάνες γιὰ τὸ εὐαγγέλιο τοῦ Θεοῦ κηρύττοντάς το, γιὰ νὰ μὴ κάνω κατάχρηση τῆς ἐξουσίας μου»[13]. Ἐκεῖνο ἦταν νόμος, γι' αὐτὸ δὲν εἶχε μισθὸ πολύ, ἐνῶ αὐτὸ ἦταν προαιρετικό, γι' αὐτὸ εἶχε πολὺ μισθό.

4. Ὅλα αὐτὰ δὲν τὰ εἶπα στὴν τύχη, ἀλλὰ γιὰ τὸ θεῖο νόμο, γιὰ νὰ δείξω ὅτι δεν εἶναι βαρύς, οὔτε φορτικός, οὔτε κοπιαστικός, οὔτε ἀδύνατος. Ἐμπρὸς λοιπὸν ν' ἀποδείξομε αὐτὸ κι ἀπὸ τὰ λόγια τοῦ Χριστοῦ· «ἐκεῖνος ποὺ εἶδε γυναίκα μὲ τὴν ἐπιθυμία γι' αὐτήν, ἤδη μοίχευσε αὐτὴν μέσα στὴν καρδιά του»[14]. Γνώριζε καὶ ὁ Χριστὸς αὐτό, ὅτι δηλαδὴ πολλοὶ πρόκειται νὰ κατηγοροῦν τὸ νόμο σὰν δύσκολο καὶ γι' αὐτὸ δὲν τὸν παρέδωσε γυμνό, οὔτε ἔτσι ἁπλῶς καὶ ἀνεξάρτητο, ἀλλ' ὑπενθυμίζει καὶ τὸν παλιὸ νόμο, ἀποδεικνύοντας μὲ τὴ σύγκριση καὶ τὴν εὐκολία καὶ τὴ φιλανθρωπία αὐτοῦ. Καὶ προσέχετε πῶς. Δὲν εἶπε δηλαδὴ ἁπλῶς, «ἐκεῖνος ποὺ εἶδε γυναίκα μὲ ἐπιθυμία γι' αὐτὴν ἤδη μοίχευσε αὐτὴν μέσα στὴν καρδιά του» (συγκεντρῶστε ἐδῶ ὅλη τὴν προσοχή σας), ἀλλὰ προηγουμένως ὑπενθύμισε τὸν παλιὸ νόμο, λέγοντας τὰ ἑξῆς· «ἀκούσατε ὅτι λέχθηκε στοὺς παλιούς, δὲ θὰ μοιχεύσεις[15]· ἐγὼ ὅμως σᾶς λέγω, ὅτι ὁ καθένας ποὺ βλέπει γυναίκα μὲ τὴν ἐπιθυμία γι' αὐτήν, ἤδη μοίχευσε αὐτὴν μέσα στὴν καρδιά του»[16]. Εἶδες τοὺς δύο νόμους, τὸν παλαιὸ καὶ τὸν καινούριο, ἐκεῖνον ποὺ νομοθέτησε ὁ Μωϋσῆς καὶ αὐτὸν ποὺ εἰσάγει ὁ Χριστός; Ἢ καλύτερα καὶ ἐκεῖνον ὁ Χριστὸς τὸν ἔδωσε· ἀφοῦ μὲ τὸ Μωϋσῆ ὁ Χριστὸς

ἐλάλησε. Καὶ πόθεν δῆλον ὅτι κἀκεῖνον αὐτὸς ἔθηκεν; Οὐκ ἀπὸ Ἰωάννου, οὐδὲ ἀπὸ τῶν ἀποστόλων τὴν μαρτυρίαν παρέξομαι (πρὸς γὰρ Ἰουδαίους μοι νῦν ὁ ἀγών), ἀλλ' ἀπὸ τῶν προφητῶν οἷς δοκοῦσι πιστεύειν, ἀπ' αὐτῶν ἀποδείξω, ὅτι καὶ Παλαιὰ καὶ Καινὴ νομοθέτην ἕνα ἔχει. Τί οὖν ὁ Ἰερεμίας φησί; «Διαθήσομαι ὑμῖν διαθήκην καινήν».

Εἶδες καὶ τῆς Καινῆς τὸ ὄνομα ἐν τῇ Παλαιᾷ; εἶδες καὶ τὴν προσηγορίαν πρὸ τοσούτων διαλάμπουσαν χρόνων; «Διαθήσομαι ὑμῖν διαθήκην καινήν». Ἀλλὰ πόθεν δῆλον ὅτι καὶ τὴν Παλαιὰν αὐτὸς ἔδωκεν; Εἰπών, ὅτι «διαθήσομαι ὑμῖν διαθήκην καινήν», ἐπήγαγεν, «οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν». Ναί· ἀλλ' οὔπω τὸ πρᾶγμα ἀπεδείξαμεν· δεῖ γὰρ ἅπαντα τὰ ἀντικρούοντα παραγαγεῖν εἰς μέσον καὶ δῆλα ποιεῖν, ἵνα πάντοθεν ὁ λόγος ἡμῖν ἐκκαθαίρηται, καὶ μηδὲ τοῖς ἀναισχυντοῦσι καταλείπηται πρόφασις. «Διαθήσομαι ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν». Διέθετο διαθήκην πρὸς τὸν Νῶε, ἡνίκα ὁ κατακλυσμὸς ἐγένετο, βουλόμενος ἡμᾶς ἀπαλλάξαι τῶν φόβων, ἵνα μὴ δή, κατακλυσμὸν βλέποντες καὶ ὄμβρον ὁρῶντες ἀεί, καὶ τὴν πανωλεθρίαν ἐκείνην προσδοκῶμεν ἔσεσθαι· διὰ τοῦτο, φησί, «διαθήσομαι διαθήκην μετὰ σοῦ καὶ μετὰ πάσης σαρκός». Διέθετο πάλιν πρὸς τὸν Ἀβραὰμ διαθήκην τὴν τῆς περιτομῆς· διέθετο διαθήκην διὰ Μωϋσέως τὴν καὶ πᾶσι γνώριμον. Εἶπεν ὁ Ἰερεμίας· «διαθήσομαι ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν». Εἰπέ, ποίοις πατράσι; Καὶ γὰρ ὁ Νῶε πατὴρ ἦν καὶ ὁ Ἀβραὰμ πατὴρ ἦν· ποίοις οὖν λέγει πατράσι; Τὸ γὰρ ἀδιόριστον τοῦ προσώπου σύγχυσιν ποιεῖ.

Ἐνταῦθα προσέχετε· «οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν». Ἵνα γὰρ μὴ λέγῃς ὅτι τὴν ἐπὶ Νῶε λέγει, ἵνα μὴ λέγῃς ὅτι τὴν ἐπὶ τοῦ Ἀβραὰμ λέγει, αὐτοῦ τοῦ χρόνου λοιπὸν τῶν διαθηκῶν ἐμνημόνευσεν οὕτως· εἰπὼν γάρ, ὅτι «διαθήσομαι ὑμῖν

---

17. Ἱερ. 31,31. 18. Ἱερ. 31,32. 19. Γεν. 9,9.

μίλησε. Καὶ ἀπὸ ποῦ εἶναι φανερὸ ὅτι καὶ ἐκεῖνον τὸν νομοθέτησε ὁ Χριστός; Δὲν θὰ παρουσιάσω τὴ μαρτυρία ἀπὸ τὸν Ἰωάννη οὔτε ἀπὸ τοὺς ἀποστόλους (γιατὶ ὁ ἀγώνας τώρα εἶναι πρὸς τοὺς Ἰουδαίους), ἀλλ' ἀπὸ τοὺς προφῆτες, στοὺς ὁποίους νομίζουν ὅτι πιστεύουν, ἀπ' αὐτοὺς θ' ἀποδείξω, ὅτι ἔχουν ἕνα νομοθέτη καὶ ἡ Παλαιὰ καὶ ἡ Καινὴ Διαθήκη. Τί λέγει λοιπὸν ὁ Ἱερεμίας; «Θὰ σᾶς δώσω καινούρια διαθήκη»[17].

Εἶδες καὶ τὸ ὄνομα τῆς Καινῆς διαθήκης ὅτι ἀναφέρεται στὴν Παλαιά; εἶδες καὶ τὴν ὀνομασία της ὅτι διαλάμπει πρὶν ἀπὸ τόσα χρόνια; «Θὰ σᾶς δώσω καινούργια διαθήκη». Ἀλλ' ἀπὸ ποῦ εἶναι φανερὸ ὅτι αὐτὸς ἔδωσε καὶ τὴν Παλαιά; Ἀφοῦ εἶπε, «θὰ σᾶς δώσω διαθήκη καινούργια», πρόσθεσε, «ὄχι σὰν τὴ διαθήκη ποὺ ἔδωσα στοὺς πατέρες σας»[18]. Ναί, ἀλλὰ δὲν ἀποδείξαμε ἀκόμη τὸ πράγμα· γιατὶ πρέπει νὰ παρουσιάσομε καὶ νὰ κάνομε φανερὲς ὅλες τὶς ἀντιρρήσεις, γιὰ νὰ γίνει ἀπὸ παντοῦ ὁ λόγος μας καθαρὸς καὶ νὰ μὴ ἀπομείνει δικαιολογία γιὰ τοὺς ἀδιάντροπους. «Θὰ σᾶς δώσω καινούργια διαθήκη, ὄχι σὰν τὴ διαθήκη ποὺ ἔδωσα στοὺς πατέρες σας». Ἔδωσε διαθήκη στὸ Νῶε, ὅταν ἔγινε ὁ κατακλυσμός, θέλοντας νὰ μᾶς ἀπαλλάξει ἀπὸ τὸ φόβο, ὥστε νὰ μὴ περιμένομε νὰ γίνει ἐκείνη ἡ καταστροφή, κάθε φορὰ ποὺ θὰ βλέπομε κατακλυσμαῖες βροχὲς καὶ θὰ μᾶς βρίσκουν νεροποντές· γι' αὐτό, λέγει, «θὰ συνάψω συμφωνία μαζὶ μὲ σένα καὶ μὲ κάθε ἄνθρωπο»[19]. Ἐπίσης ἔδωσε στὸν Ἀβραὰμ τὴ διαθήκη τῆς περιτομῆς· ἔδωσε μέσω τοῦ Μωϋσῆ τὴ γνωστὴ σ' ὅλους διαθήκη. Εἶπε ὁ Ἱερεμίας, «θὰ συνάψω μαζί σας καινούργια διαθήκη, ὄχι σὰν τὴ διαθήκη ποὺ συνῆψα μὲ τοὺς πατέρες σας». Πές, μὲ ποιοὺς πατέρες; Γιατὶ καὶ ὁ Νῶε ἦταν πατέρας καὶ ὁ Ἀβραὰμ ἦταν πατέρας· ποιοὺς πατέρες λοιπὸν ἐννοεῖ; γιατὶ δημιουργεῖ σύγχυση μὲ τὸ νὰ μὴ προσδιορίζει τὸ πρόσωπο.

Προσέχετε ἐδῶ· «ὄχι σὰν τὴ διαθήκη ποὺ ἔκανα μὲ τοὺς πατέρες σας». Γιὰ νὰ μὴ λὲς δηλαδή, ὅτι ἐννοεῖ τὴ διαθήκη ποὺ ἔκανε μὲ τὸ Νῶε, γιὰ νὰ μὴ λὲς ὅτι ἐννοεῖ ἐκείνην ποὺ ἔκαμε μὲ τὸν Ἀβραάμ, μνημόνευσε στὴ συνέχεια καὶ τὸ χρόνο τῶν διαθηκῶν ὡς ἑξῆς· ἀφοῦ δηλαδὴ εἶπε, «θὰ συνάψω μαζί σας διαθήκη, ὄχι σὰν

διαθήκην, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν», ἐπήγαγε καὶ τὸν χρόνον· «ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου». Εἶδες ὁ τοῦ καιροῦ διορισμὸς πάσην ἐποίησε τὴν σαφήνειαν; Οὐκέτι λοιπὸν οὐδὲ Ἰουδαῖος ἀντιλέγει· ἀναμνήσθητι τοῦ χρόνου, καὶ λάβε τὴν νομοθεσίαν· «ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρός αὐτῶν». Διὰ τί δὲ καὶ τὸν τρόπον λέγει τῆς ἐξόδου, «ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου»; Ἵνα πατρικὴν δείξῃ φιλοστοργίαν, οὐχ ὡς δούλους ἐξήγαγεν, ἀλλ' ὡς παιδίον λαβὼν πατήρ, οὕτως ἀπήλλαξεν, οὐκ ὄπισθεν βαδίζειν κελεύων ὥσπερ οἰκέτην, ἀλλ' ὡς υἱὸν εὐγενῆ καὶ ἐλεύθερον, τῆς δεξιᾶς λαβόμενος, οὕτως ἐξήγαγεν. Εἶδες δύο διαθηκῶν ἕνα νομοθέτην; Οὐκοῦν λοιπὸν ἐπειδὴ τῶν ἀγώνων ἀπηλλάγημεν, καὶ ἀπὸ τῆς Καινῆς δείξω σοι τοῦτο, ἵνα εἰδῇς τὴν συμμφωνίαν τῶν διαθηκῶν.

Εἶδες τὴν προφητείαν διὰ τῶν ρημάτων; μάθε τὴν προφητείαν καὶ διὰ τῶν τύπων, εἰ καὶ διὰ τοῦτο πάλιν ἀσαφές ἐστιν, τί ποτέ ἐστι διὰ τύπου προφητεία, καὶ τί ποτέ ἐστι διὰ λόγου προφητεία· οὐκοῦν ἐν βραχεῖ καὶ τοῦτο ποιήσω σαφές. Ἡ προφητεία ἡ διὰ τοῦ τύπου ἡ διὰ πραγμάτων ἐστὶ προφητεία, ἡ δὲ ἄλλη προφητεία ἡ διὰ τῶν ρημάτων ἐστὶ προφητεία· τοὺς μὲν γὰρ συνετωτέρους διὰ τῶν λόγων ἔπειθε, τοὺς δὲ ἀναισθητοτέρους καὶ διὰ τῆς τῶν πραγμάτων ὄψεως ἐπληροφόρει. Ἐπειδὴ γὰρ πρᾶγμα ἔμελλεν ἐκβήσεσθαι μέγα καὶ ὁ Θεὸς σάρκα ἔμελλεν ἀναλαμβάνειν· ἐπειδὴ ἡ γῆ οὐρανὸς ἔμελλεν ἔσεσθαι καὶ ἡ ἡμετέρα φύσις πρὸς τὴν τῶν ἀγγέλων εὐγένειαν ἀνάγεσθαι· ἐπειδὴ ὑπερέβαινεν ἐλπίδα καὶ προσδοκίαν ὁ λόγος τῶν μελλόντων ἐκβήσεσθαι ἀγαθῶν, ἵνα μὴ τὸ καινὸν καὶ παράδοξον ἀθρόως φανὲν θορυβήσῃ τοὺς τότε ὁρῶντας καὶ ἀκούοντας, ἄνωθεν προετύπωσε διὰ πραγμάτων καὶ διὰ ρημάτων ἐθίζων ἡμῶν τὴν ἀκοὴν καὶ τὴν ὄψιν καὶ τὸ μέλλον ἐκβήσεσθαι παρασκευάζων. Τοῦτο δὲ ἦν ὅπερ ἐλέγομεν, τί ἐστιν ἡ διὰ τύπου προφητεία καὶ τί ἐστιν ἡ διὰ λόγου προφητεία· ἡ μὲν διὰ πραγμάτων, ἡ

τὴ διαθήκη ποὺ συνῆψα μὲ τοὺς πατέρες σας», πρόσθεσε καὶ τὸ χρόνο· «κατὰ τὴν ἡμέρα ποὺ τοὺς ἔπιασα τὸ χέρι γιὰ νὰ τοὺς ὁδηγήσω ἔξω ἀπὸ τὴ χώρα τῆς Αἰγύπτου».

Εἶδες πόσο ξεκαθάρισε τὸ πρᾶγμα προσδιορίζοντας τὸ χρόνο; Οὔτε καὶ ὁ Ἰουδαῖος πλέον ἔχει ἀντίρρηση· θυμήσου τὸ χρόνο καὶ πάρε τὴ νομοθεσία· «κατὰ τὴν ἡμέρα ποὺ τοὺς ἔπιασα τὸ χέρι». Γιατί ὅμως λέγει καὶ τὸν τρόπο τῆς ἐξόδου τους, «ὅταν ἔπιασα τὸ χέρι τους γιὰ νὰ τοὺς ὁδηγήσω ἔξω ἀπὸ τὴ χώρα τῆς Αἰγύπτου»; Γιὰ νὰ δείξει πατρικὴ φιλοστοργία, δὲν τοὺς ἐλευθέρωσε σὰν δούλους, ἀλλ' ὅπως ὁ πατέρας παίρνει τὸ παιδί του, ἔτσι τοὺς ἀπάλλαξε, ὄχι προστάσσοντάς τον σὰν δοῦλο νὰ βαδίζει ἀπὸ πίσω, ἀλλὰ σὰν υἱὸ εὐγενὴ καὶ ἐλεύθερο τὸν ἔπιασε ἀπὸ τὸ χέρι καὶ τὸν ἔβγαλε ἀπὸ ἐκεῖ. Εἶδες ὅτι ἕνας εἶναι ὁ νομοθέτης καὶ τῶν δύο διαθηκῶν; Λοιπόν, ἀφοῦ ἀπαλλαχτήκαμε ἀπὸ τοὺς ἀγῶνες μὲ τοὺς Ἰουδαίους, θὰ σοῦ δείξω αὐτὸ καὶ ἀπὸ τὴν Καινὴ Διαθήκη, γιὰ νὰ μάθεις τὴ συμφωνία τῶν διαθηκῶν.

Εἶδες τὴν προφητεία μὲ τὰ λόγια; μάθε τὴν προφητεία καὶ μὲ τοὺς τύπους, ἂν καὶ αὐτὸ πάλι εἶναι ἀσαφές, τί εἶναι δηλαδὴ προφητεία μὲ τὸν τύπο, καὶ τί εἶναι προφητεία μὲ τὸ λόγο. Λοιπὸν κι αὐτὸ μὲ συντομία θὰ σᾶς τὸ κάνω σαφές. Ἡ προφητεία μὲ τὸν τύπο εἶναι ἡ προφητεία μὲ τὰ πράγματα, ἐνῶ ἡ ἄλλη προφητεία μὲ τὰ λόγια εἶναι ἡ λεγόμενη προφητεία· γιατὶ τοὺς πιὸ συνετοὺς τοὺς ἔπειθε μὲ τοὺς λόγους, ἐνῶ τοὺς πιὸ ἀναίσθητους τοὺς πληροφοροῦσε μὲ τὴ θέα τῶν πραγμάτων. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ συμβεῖ κάτι τὸ μεγάλο καὶ ὁ Θεὸς ἐπρόκειτο νὰ λάβει σάρκα, ἐπειδὴ ἡ γῆ ἐπρόκειτο νὰ γίνει οὐρανὸς καὶ ἡ φύση μας νὰ ὑψωθεῖ πρὸς τὴν εὐγένεια τῶν ἀγγέλων, ἐπειδὴ τὰ ἀγαθὰ ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν ξεπερνοῦσαν κάθε ἐλπίδα καὶ προσδοκία, γιὰ νὰ μὴ θορυβήσει τὸ πρωτοφανὲς καὶ παράδοξο μὲ τὴν αἰφνίδια ἐμφάνισή του τοὺς τότε θεατὲς καὶ ἀκροατές, ἀπὸ τὴν ἀρχὴ τὸ προτύπωσε μὲ πράγματα καὶ λόγια, συνηθίζοντας τὴν ἀκοὴ καὶ τὰ μάτια μας καὶ προετοιμάζοντας ἐκεῖνο ποὺ ἐπρόκειτο νὰ συμβεῖ. Αὐτὸ ἀκριβῶς εἶναι ἐκεῖνο ποὺ λέγαμε, τί εἶναι προφητεία μὲ τὸν τύπο, καὶ τί εἶναι προφητεία μὲ τὸ λόγο· ἡ μία δίνεται μὲ τὰ πράγματα

δὲ διὰ ρημάτων. Εἴπω σοι διὰ πράγματος προφητείαν καὶ διὰ ρήματος εἰς αὐτόν· «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτόν». Τοῦτο διὰ ρήματος προφητεία. Ὅτε γὰρ τὸν Ἰσαὰκ ἀνήνεγκεν ὁ Ἀβραάμ, τότε πρόβατον ἰδὼν ἐκ-κρεμάμενον ἐκ τῶν κεράτων, πρὸς τὴν θυσίαν ἤγαγεν ἔργῳ, καθάπερ ἐν τύπῳ προαναφωνῶν ἡμῖν τὸ σωτήριον πάθος.

5. Ὅπερ οὖν ἔλεγον, βούλει σοι δείξω τὰς δύο διαθήκας ταύτας διὰ τῶν ἔργων; Ὥσπερ εἶδες τὸ πρόβατον ἐν τῷ ρήματι, μάνθανε καὶ ἐν τῷ πράγματι. «Λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι» οὐ γὰρ ἦσαν· εἰ γὰρ ἦσαν ὑπὸ νόμον, οὐκ ἂν ἦσαν ὑπὸ νόμον. Τάχα αἴνιγμά ἐστι τὸ λεγόμενον. Ὁ γὰρ νόμος τῷ Χριστῷ παρέπεμπε τοὺς προσέχοντας· ὁ τὸν διδάσκαλον ἀτιμάζων, ἀγνοεῖ καὶ τὸν παιδαγωγόν. Διό, φησί, «λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε, ὅτι ὁ Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας, ἅτινά ἐστιν ἀλληγορούμενα». Εἶδες διὰ τοῦ πράγματος προφητείαν; Τὸ γὰρ γυναῖκας ἔχειν οὐ ρῆμα, ἀλλὰ πρᾶγμα· καὶ δούλην καὶ ἐλευθέραν ἔδειξα σοι διὰ τῶν ρημάτων, ὅτι δύο διαθηκῶν εἷς ἐστι νομοθέτης· μάνθανε καὶ διὰ τῶν τύπων τὸ αὐτὸ τοῦτο. Ἀβραὰμ δύο γυναῖκας ἔσχεν· αὗται δὲ εἰσι δύο διαθῆκαι, καὶ εἷς νομοθέτης· ὥσπερ ἐκεῖ πρόβατον καὶ πρόβατον, τὸ μὲν ἐν ρήματι, τὸ δὲ ἐν πράγματι, πολλὴ δὲ καὶ τῶν ἔργων καὶ τῶν λόγων ἡ συμφωνία· οὕτω καὶ ἐνταῦθα διαθῆκαι δύο, καὶ ταύτας ὁ μὲν Ἱερεμίας διὰ ρήματος προεῖπεν, ὁ δὲ Ἀβραὰμ διὰ τῶν ἔργων ἐτύπωσεν ἐν τῷ δύο γυναῖκας ἔχειν. Ὥσπερ γὰρ εἷς ἀνὴρ καὶ δύο γυναῖκες, οὕτως εἷς νομοθέτης καὶ δύο διαθῆκαι.

Ἀλλ' ὅπερ ἔλεγον καὶ δι' ὃ πάντα ταῦτα κεκίνηται, οὐδὲ γὰρ χρὴ τῆς ὑποθέσεως ἐκπεσεῖν· «ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Ναί· ἀλλά, δι' ὃ ταῦτα πάντα ἐκινήσαμεν, τίνος ἕνεκεν αὐτοῖς παλαιὸν

20 Ἡσ. 53,7 22 Γαλ. 4,22-23
21 Γαλ. 4,21 23 Ματθ. 5,28

καὶ ἡ ἄλλη μὲ τὰ λόγια. Νὰ σοῦ πῶ καὶ προφητεία γι' αὐτὸν μὲ πράγμα καὶ μὲ λόγο; «Σὰν πρόβατο ὁδηγήθηκε στὴ σφαγὴ καὶ σὰν ἀρνὶ μπροστὰ σ' ἐκεῖνον ποὺ τὸν κουρεύει»[20]. Αὐτὸ εἶναι προφητεία μὲ λόγο. Γιατί, ὅταν ὁ Ἀβραὰμ πρόσφερνε θυσία τὸν Ἰσαάκ, τότε εἶδε τὸ πρόβατο πιασμένο ἀπὸ τὰ κέρατα καὶ τὸ πρόσφερε θυσία πραγματική, προλέγοντάς μας ὑπὸ μορφὴ τύπου τὸ σωτήριο πάθος τοῦ Χριστοῦ.

5. Ὅπως λοιπὸν ἔλεγα, θέλεις νὰ σοῦ δείξω τὶς δύο αὐτὲς διαθῆκες μὲ τὰ ἔργα; Ὅπως ἀκριβῶς εἶδες τὸ πρόβατο μὲ τὸ λόγο, μάθε αὐτὸ καὶ μὲ τὰ πράγματα. «Πέστε μου σεῖς ποὺ θέλετε νὰ εἶστε ὑπὸ τὴν ἐξουσία τοῦ νόμου»[21]. Σωστὰ εἶπε, «ποὺ θέλετε νὰ εἶστε»· γιατὶ δὲν ἦταν· ἐὰν πραγματικὰ ἦταν ὑπὸ τὴν ἐξουσία τοῦ νόμου, δὲν θὰ ἦταν κάτω ἀπὸ τὴν ἐξουσία τοῦ νόμου. Γιατὶ ὁ νόμος ὁδηγοῦσε τοὺς προσεκτικοὺς στὸ Χριστό· ἐκεῖνος ποὺ περιφρονεῖ τὸ δάσκαλο, δὲν γνωρίζει καὶ τὸν παιδαγωγό. Γι' αὐτό, λέγει, «πέστε μου σεῖς ποὺ θέλετε νὰ εἶστε κάτω ἀπὸ τὸ νόμο, δὲν ἀκοῦτε τὸ νόμο ποὺ λέγει, ὅτι ὁ Ἀβραὰμ εἶχε δύο υἱούς, ἕνα ἀπὸ τὴ δούλη του καὶ ἕναν ἀπὸ τὴν ἐλεύθερη, πράγματα ποὺ ἔχουν ἀλληγορικὴ σημασία»[22]. Εἶδες προφητεία μὲ τὸ πράγμα; Γιατὶ τὸ νὰ ἔχει γυναῖκες δὲν εἶναι λόγος, ἀλλὰ πράγμα· σοῦ ἔδειξε μὲ τὰ λόγια καὶ δούλη καὶ ἐλεύθερη, ὅτι δηλαδὴ ἕνας εἶναι ὁ νομοθέτης τῶν δύο διαθηκῶν· μάθε τώρα τὸ ἴδιο μὲ τοὺς τύπους. Ὁ Ἀβραὰμ εἶχε δύο γυναῖκες· αὐτὲς εἶναι οἱ δύο διαθῆκες, τῶν ὁποίων ἕνας εἶναι ὁ νομοθέτης· ὅπως ἀκριβῶς ἐκεῖ ὑπάρχει πρόβατο καὶ πρόβατο, τὸ ἕνα μὲ τὰ λόγια καὶ τὸ ἄλλο μὲ τὸ πράγμα, καὶ ὑπάρχει μεγάλη συμφωνία καὶ τῶν ἔργων καὶ τῶν λόγων, ἔτσι καὶ ἐδῶ οἱ διαθῆκες εἶναι δύο, τὶς ὁποῖες ὁ Ἰερεμίας προεῖπε μὲ τὸ λόγο, ἐνῶ ὁ Ἀβραὰμ τὶς προετύπωσε μὲ τὰ ἔργα μὲ τὸ νὰ ἔχει δύο γυναῖκες. Γιατί, ὅπως ἀκριβῶς ἦταν ἕνας ἄνδρας καὶ δύο γυναῖκες, ἔτσι εἶναι ἕνας νομοθέτης καὶ δύο διαθῆκες.

Ἀλλὰ δὲν πρέπει ν' ἀπομακρυνθοῦμε ἀπὸ τὸ θέμα γιὰ τὸ ὁποῖο μιλούσαμε καὶ γιὰ τὸ ὁποῖο λέχθηκαν ἐνδιάμεσα ὅλα αὐτά. «Ἐκεῖνος ποὺ εἶδε γυναίκα μὲ ἐπιθυμία γι' αὐτήν, ἤδη μοίχευσε αὐτὴν μέσα στὴν καρδιά του»[23], Ναί, ἀλλὰ γιὰ ποιό λόγο τοὺς δια-

ἀναγινώσκει νόμον; Λέγει γὰρ αὐτοῖς· «ἀκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις». Συνεῖδεν ὅτι δύσκολόν ἐστὶ τὸ ἐπίταγμα, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ῥᾳθυμίαν τῶν ἀκουόντων. Πολλὰ γὰρ καὶ φύσει εὔκολα ὄντα δυσκατόρθωτα γίνεται, ὅταν ῥᾳθυμῶμεν· ὥσπερ οὖν καὶ δύσκολα ὄντα, κοῦφα καὶ ῥᾷστα γίνεται σπουδαζόντων ἡμῶν. Οὐ γὰρ ἐν τῇ φύσει τῶν πραγμάτων ἡ δυσκολία, ἀλλ' ἐν τῇ προαιρέσει τῶν μετιόντων. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς δῆλον ἐντεῦθεν· τὸ μέλι φύσιν ἔχειν γλυκεῖαν καὶ ἡδίστην, ἀλλὰ νοσοῦσι καὶ πικρόν ἐστι καὶ ἀηδές, ἀλλ' οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀρρωστίαν ἐκείνων· οὕτω καὶ ὁ νόμος ἂν δοκῇ φορτικὸς εἶναι, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥᾳθυμίαν. Οὐ πολύς μοι πόνος δεῖξαι εὔκολον ὄντα, ἵνα κατορθωθῇ· τὸ γὰρ δύσκολον αὐτὸν ποιοῦν τὸ ἕτερον ἦν εἰπεῖν. Νῦν μὲν γὰρ λέγει, 'φύγε τὴν ὄψιν τῆς γυναικός, ἀπόστηθι τῆς ἀσελγείας'· τὸ δὲ χαλεπὸν τὸ ἐναντίον ἦν εἰπεῖν· 'καταμάνθανε τὰς γυναῖκας, περιεργάζου τὰ κάλλη τὰ ἀλλότρια, καὶ οὕτω τῆς ἐπιθυμίας κράτει. Τοῦτο δὴ δύσκολον ἦν· τὸ δὲ εἰπεῖν αὐτόν, 'φύγε τὴν κάμινον, ἀπόστηθι τοῦ πυρός, μὴ προσεγγίσῃς τῇ φλογί, ἵνα μείνῃς ἀσινής', πολλὴν ἔχει τὴν εὐκολίαν· κατὰ φύσιν γάρ ἐστι τὸ ἐπίταγμα.

«Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις». Τίνος οὖν ἕνεκεν ἡμᾶς ὑπομιμνήσκει τοῦ παλαιοῦ νόμου, ἕτερον μέλλων εἰσάγειν; Ἵνα ἀπὸ τῆς συγκρίσεως μάθῃς, ὅτι οὐκ ἔστι μάχη τούτου κἀκείνου· ὅταν γὰρ σύγκρισις ᾖ, τότε φανερωτέρα ἡ κρίσις γίνεται. Ἐπειδὴ γὰρ ἔμελλον ἐγκαλεῖν τινες, ὅτι ἀντινομοθετῶν ταῦτα λέγει, 'ἰδού', φησίν, 'ἑκατέρους παράλληλα τίθεμαι τοὺς νόμους· δοκίμασον καὶ μάθε τὴν συμφωνίαν'· οὐ τούτου δὲ μόνον, ἀλλ' ἵνα δείξῃ καὶ εὔκολον ὄντα καὶ εὐκαίρως εἰσαγόμενον. Διὰ τοῦτό φησιν, «ἠκούσατε, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις»· τοσοῦτον χρόνον ἐμελετήσατε τὸν παλαιὸν νόμον. Ὥσπερ διδάσκαλος

βάζει παλιὸ νόμο, ἐξ αἰτίας τοῦ ὁποίου κι ἐμεῖς εἴπαμε ἐνδιάμεσα ὅλα αὐτά; Γιατὶ τοὺς λέγει· «ἀκούσατε ὅτι λέχθηκε στοὺς παλιούς, δὲ θὰ μοιχεύσεις». Γνώριζε ὅτι εἶναι δύσκολο τὸ πρόσταγμα, ὄχι ἀπὸ τὴ φύση του, ἀλλ' ἐξ αἰτίας τῆς ραθυμίας τῶν ἀκροατῶν. Γιατὶ πολλά, ποὺ ἀπὸ τὴ φύση τους εἶναι εὔκολα, γίνονται δυσκολοκατόρθωτα, ὅταν εἴμαστε ἀδιάφοροι· ὅπως πάλι καὶ πράγματα ποὺ εἶναι δύσκολα, γίνονται ἐλαφρὰ καὶ εὔκολα, ὅταν ἐπιδιδόμαστε σ' αὐτὰ μ' ὅλη μας τὴν προθυμία. Γιατὶ ἡ δυσκολία δὲν βρίσκεται στὴ φύση τῶν πραγμάτων, ἀλλὰ στὴν προαίρεση ἐκείνων ποὺ τὰ διαπράττουν. Καὶ ὅτι αὐτὸ εἶναι ἀληθινὸ γίνεται φανερὸ ἀπὸ τὸ ἑξῆς· τὸ μέλι ἔχει φύση γλυκειὰ καὶ εὐχάριστη, ἀλλὰ στοὺς ἀσθενεῖς εἶναι καὶ πικρὸ καὶ ἀηδιαστικό, ὄχι ὅμως ἀπὸ τὴ φύση του, ἀλλ' ἐξ αἰτίας τῆς ἀσθένειας ἐκείνων· ἔτσι καὶ ὁ νόμος ἂν φαίνεται ὅτι εἶναι βαρύς, αὐτὸ προέρχεται ὄχι ἀπὸ τὴ φύση του, ἀλλ' ἀπὸ τὴ ραθυμία μας. Δὲν θὰ χρειασθεῖ πολὺ κόπος γιὰ νὰ σᾶς δείξω ὅτι εἶναι εὔκολο νὰ κατορθωθεῖ· γιατὶ αὐτὸ ποὺ θὰ τὸν ἔκανε δύσκολο θὰ ἦταν ἐὰν ἔλεγε τὸ ἀντίθετο. Γιατὶ τώρα λέγει, 'ἀπόφυγε τὴ θέα τῆς γυναίκας, ἀπομακρύνσου ἀπὸ τὴν ἀσέλγεια'· τὸ φοβερὸ ὅμως θὰ ἦταν νὰ πεῖ τὸ ἀντίθετο· 'ἐπιδίωκε νὰ βλέπεις τὶς γυναῖκες, περιεργάζου τὰ ξένα κάλλη, καὶ ἐνεργώντας ἔτσι συγκράτα τὴν ἐπιθυμία'. Αὐτὸ λοιπὸν θὰ ἦταν τὸ δύσκολο· ἐνῶ τὸ νὰ πεῖ αὐτός, 'φύγε τὸ καμίνι, ἀπομακρύνσου ἀπὸ τὴ φωτιά, μὴ πλησιάσεις τὴ φλόγα, γιὰ νὰ μείνεις ἀβλαβής', αὐτὸ ἔχει μεγάλη εὐκολία· γιατὶ τὸ πρόσταγμα εἶναι σύμφωνο μὲ τὴ φύση.

«Ἀκούσατε ὅτι λέχθηκε στοὺς παλιούς, μὴ μοιχεύσεις». Γιὰ ποιό λόγο λοιπὸν μᾶς ὑπενθυμίζει τὸν παλιὸ νόμο, ἐνῶ πρόκειται νὰ δώσει ἄλλο νόμο; Γιὰ νὰ μάθεις ἀπὸ τὴ σύγκριση, ὅτι δὲν ὑπάρχει διαμάχη μεταξὺ αὐτοῦ καὶ ἐκείνου· γιατί, ὅταν ὑπάρχει σύγκριση, τότε γίνεται πιὸ φανερὴ ἡ κρίση. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο μερικοὶ νὰ κατηγοροῦν καὶ νὰ λένε ὅτι αὐτὰ τὰ λέγει νομοθετώντας ἀντίθετα, 'νά, λέγει, σᾶς δίνω τοὺς νόμους παράλληλους· δοκίμασε καὶ μάθε τὴ συμφωνία'· καὶ ὄχι μόνο αὐτό, ἀλλὰ γιὰ νὰ δείξει ὅτι καὶ εὔκολος εἶναι καὶ δίνεται σὲ κατάλληλη στιγμή. Γι' αὐτὸ λέγει, «ἀκούσατε ὅτι λέχθηκε στοὺς παλιούς, μὴ μοιχεύσεις»· τόσο χρόνο μελετήσατε τὸν παλιὸ νόμο. Σὰν τὸν δάσκαλο

πρὸς παιδίον λέγων ὀκνηρὸν τοῖς πάλαι βουλόμενον ἐνδιατρίβειν ἔτι μαθήμασιν, ἐπὶ τὰ ὑψηλότερα ἀναγαγεῖν θέλων λέγει, 'ἐννόησον πόσον χρόνον τὸ μάθημα τοῦτο κατέσχες'· οὕτω καὶ ὁ Χριστὸς ἀναμιμνήσκων, ὅτι πολὺν χρόνον ἐμελέτησαν καὶ κατέσχον τὸν παλαιὸν νόμον, καὶ καιρὸς λοιπὸν πρὸς τὸν ὑψηλότερον ἀνελθεῖν, εἰς τὴν ποτε αὐτοὺς νομοθεσίαν τῶν πατέρων ἀνήγαγε λέγων, «ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις». Ἐκεῖνο τοῖς ἀρχαίοις ἐρρέθη, «ἐγὼ δὲ λέγω ὑμῖν». Εἰ μὲν γὰρ τοῖς ἀρχαίοις ἔλεγεν, εἰκότως ἤσχαλλες, ὅτε ἀτελέστερον ὑμῶν ἡ φύσις διέκειτο· ὅτε δὲ ἐπέδωκεν ἡ φύσις, ὅτε τελειοτέρα γέγονε καὶ διδαγμάτων τελειοτέρων λοιπὸν καιρός. Διὰ τοῦτο καὶ ἀρχόμενος τῆς νομοθεσίας, ἵνα μή τις τὴν ἐπίτασιν ὁρῶν τῆς φιλοσοφίας ὀκνῇ καὶ ἀναδύηται, φησίν, «ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν».

Πλείονά με ἀπαιτεῖς τὸν πόνον; διὰ τί; Οὐχὶ τῆς αὐτῆς κοινωνῶ φύσεως ἐκείνοις, οὐχὶ ἄνθρωπός εἰμι καθάπερ ἐκεῖνοι; Ἵνα μὴ ταῦτα λέγωσι, τίνος ἕνεκεν ἐπέτεινεν ἡμῖν τοὺς πόνους; τίνος ἕνεκεν μείζονα ἔθηκε τὰ σκάμματα; Προανεῖλε τὴν ἀντίθεσιν, εἰπὼν τὴν βασιλείαν τῶν οὐρανῶν· μείζονα, φησί, φέρω τὰ ἔπαθλα· εἰπὼν τοὺς πόνους, εἰπὼν τοὺς ἀγῶνας, εἰπὼν τὴν ἐπίτασιν τῆς νομοθεσίας, ἐμνημόνευσε καὶ τῶν ἐπάθλων. Οὐ γὰρ τὴν Παλαιστίνην ὑμῖν δέδωκα, φησίν, οὐδὲ τὴν γῆν ῥέουσαν γάλα καὶ μέλι, ἀλλ' αὐτὸν ὑμῖν κομίζω τὸν οὐρανόν. Οὐκ ἐν τῷ μισθῷ δὲ τῶν κατορθωμάτων πλεονεκτοῦμεν μόνον, ἀλλὰ καὶ ἐν παραβάσει τῶν ἁμαρτημάτων μείζονα τὴν κόλασιν ὑπομένομεν. Ὥσπερ γὰρ οἱ πρὸ τοῦ νόμου πραοτέραν διδόασι τιμωρίαν τῶν ἐν τῷ νόμῳ, «ὅσοι», γάρ, φησίν, «ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται», τουτέστιν, οὐκ ἔχουσι τὸν νόμον κατήγορον, ἀλλ' ἀπὸ τῆς φύσεως αὐτῆς οἴσω τὴν ψῆφον, φησί, μεταξὺ τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων· οὕτω τῶν ἐν τῷ νόμῳ πταισάντων οἱ ἐπὶ τῆς χάριτος

24. Ματθ. 5,20.
25. Ρωμ. 2,12.

ἐκεῖνο, ποὺ λέγει σὲ ὀκνηρὸ παιδὶ ποὺ θέλει ἀκόμα ν' ἀσχολεῖται μὲ τὰ παλιὰ μαθήματα, θέλοντας νὰ τὸ ὁδηγήσει στὰ ψηλότερα, 'σκέψου πόσο χρόνο ἀσχολήθηκες μὲ τὸ μάθημα αὐτό'· ἔτσι καὶ ὁ Χριστὸς ὑπενθυμίζοντας, ὅτι πολὺ χρόνο μελέτησαν καὶ κράτησαν τὸν παλαιὸ νόμο, καὶ ὅτι εἶναι καιρὸς πιὰ ν' ἀνεβοῦν ψηλότερα, μετέφερε τὴ σκέψη τους στὴ νομοθεσία τῶν πατέρων τους, λέγοντας, «ἀκούσατε ὅτι λέχθηκε στοὺς παλιούς, μὴ μοιχεύσεις». Ἐκεῖνο λέχθηκε στοὺς παλιούς, «ἐγὼ ὅμως λέγω σὲ σᾶς». Γιατί, ἐὰν ἔλεγε στοὺς παλιούς, πολὺ σωστὰ θὰ δυσανασχετοῦσες, γιατὶ τότε ἡ ἀνθρώπινη φύση ἦταν ἀτελέστερη· ὅταν ὅμως σημείωσε πρόοδο ἡ ἀνθρώπινη φύση, ὅταν ἔγινε τελειότερη, τότε πιὰ ἦταν καιρὸς καὶ γιὰ τελειότερα διδάγματα. Γι' αὐτὸ καὶ ἀρχίζοντας τὴ νομοθεσία, γιὰ νὰ μὴ δείχνει κανεὶς ὀκνηρία καὶ τὴν ἀποφεύγει, βλέποντας τὸ ὑπερβολικὸ μέγεθος τῆς φιλοσοφίας, λέγει, «ἐὰν δὲν ξεπεράσει ἡ ἀρετή σας πολὺ περισσότερο τὴν ἀρετὴ τῶν γραμματέων καὶ Φαρισαίων δὲν θὰ μπεῖτε στὴ βασιλεία τῶν οὐρανῶν»[24].

Μοῦ ζητᾶς περισσότερο κόπο; γιατί; Δὲν ἔχω κι ἐγὼ τὴν ἴδια φύση μὲ ἐκείνους, δὲν εἶμαι ἄνθρωπος ὅπως ἀκριβῶς ἐκεῖνοι; Γιὰ νὰ μὴ λένε αὐτά, γιὰ ποιό λόγο αὔξησε τοὺς κόπους μας; γιὰ ποιό λόγο ἔθεσε μεγαλύτερα ἀγωνίσματα, προανέτρεψε τὴν ἀντίρρηση, προβάλλοντας τὴ βασιλεία τῶν οὐρανῶν. Μεγαλύτερα, λέγει, ἔπαθλα φέρνω. Ἀφοῦ εἶπε τοὺς κόπους, ἀφοῦ εἶπε τοὺς ἀγῶνες, ἀφοῦ ἀνέφερε τὸ μέγεθος τῆς νομοθεσίας, μνημόνευσε καὶ τὰ ἔπαθλα. Γιατί, λέγει, δὲν σᾶς δίνω τὴν Παλαιστίνη, οὔτε τὴ γῆ ποὺ τρέχει γάλα καὶ μέλι, ἀλλὰ σᾶς φέρνω τὸν ἴδιο τὸν οὐρανό. Καὶ δὲν ὑπερτεροῦμε μόνο στὸ μισθὸ τῶν κατορθωμάτων, ἀλλὰ καὶ ὑπομένομε μεγαλύτερη τιμωρία γιὰ τ' ἁμαρτήματά μας παραβαίνοντας τὸ νόμο. Γιατί, ὅπως ἀκριβῶς οἱ πρὶν ἀπὸ τὸ νόμο τιμωροῦνταν ἐλαφρότερα ἀπὸ ἐκείνους ποὺ ἁμάρτανα ἀφοῦ εἶχε δοθεῖ ὁ νόμος, γιατὶ λέγει, «ὅσοι ἁμάρτησαν πρὶν δοθεῖ ὁ νόμος, θὰ τιμωρηθοῦν καὶ χωρὶς τὸ νόμο»[25], δηλαδὴ δὲν θὰ ἔχουν κατήγορο τὸ νόμο, ἀλλὰ θὰ βγάλω, λέγει, τὴν ἀπόφασή μου ἀπὸ τὴν ἴδια τὴ φύση, βάσει τῶν λογισμῶν ποὺ θὰ κατηγοροῦν ἢ θὰ ἀπολογοῦνται· ἔτσι κι ἐκεῖνοι ποὺ ἁμαρτάνουν τώρα ποὺ ἰσχύει ἡ χάρη θὰ ὑποστοῦν πιὸ ἀνυπόφορη τιμωρία ἀπὸ ἐκείνους ποὺ ἁμάρτησαν ὅταν ἴσχυε ὁ

ἁμαρτάνοντες ἀφορητοτέραν ὑποστήσονται τὴν κόλασιν. Καὶ τούτων τὴν διαφορὰν οὕτως ἔδειξεν ὁ Παῦλος εἰπών, «ἀθετήσας τις νόμον τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας;».

Ὁρᾷς ἐπὶ τῆς χάριτος μείζονα τὴν τιμωρίαν, ὥσπερ οὖν καὶ τὰ ἔπαθλα μείζονα; Ἀλλ' ἐπειδὴ τῶν μυστηρίων ὑμᾶς ἀνέμνησα τῶν φρικωδεστάτων καὶ πνευματικῶν, παρακαλῶ καὶ ἀντιβολῶ καὶ δέομαι καὶ μετὰ πάσης ἀξιῶ σπουδῆς, ὥστε πᾶσαν ἁμαρτίαν ἀποθεμένους οὕτω προσιέναι τῇ φρικτῇ ταύτῃ τραπέζῃ. «Εἰρήνη» γάρ, φησί, «διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον». Ὁ δὲ τὸν Κύριον οὐκ ὢν ἄξιος ἰδεῖν, οὐδὲ τῆς κοινωνίας ἄξιός ἐστι τοῦ σώματος τοῦ δεσποτικοῦ. Διὰ τοῦτό φησιν ὁ Παῦλος, «ἕκαστος δὲ δοκιμαζέτω ἑαυτὸν καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω. Οὐκ ἀπεκάλυψε τὸ ἕλκος, οὐκ εἰς κοινὸν θέατρον ἤγαγε τὴν κατηγορίαν, οὐ περιέστησε μάρτυρας τῶν πλημμελημάτων· ἔνδον ἐν τῷ συνειδότι μηδενὸς παρόντος πλὴν τοῦ πάντα ὁρῶντος Θεοῦ, ποιοῦ τὴν κρίσιν καὶ τῶν ἡμαρτημένων τὴν ἐξέτασιν, καὶ πάντα τὸν βίον ἀναλογιζόμενος ὑπὸ τοῦ νοῦ τὸ κριτήριον ἄγε τὰ ἁμαρτήματα· διόρθου τὰ πλημμελήματα, καὶ οὕτω μετὰ καθαροῦ τοῦ συνειδότος τῆς ἱερᾶς ἅπτου τραπέζης καὶ τῆς ἁγίας μέτεχε θυσίας.

Ταῦτα ἔχοντες ἐν νῷ καὶ τῶν περὶ ἀκολασίας ἡμῖν εἰρημένων μεμνημένοι καὶ ὅση κεῖται τιμωρία τοῖς ἁπλῶς καὶ ἀκολάστως ὁρῶσι τὰς τῶν γυναικῶν ὄψεις καὶ πρὸ τῆς γεέννης τοῦ Θεοῦ τὸν φόβον καὶ τὴν ἀγάπην πρὸ ὀφθαλμῶν ἔχοντες, πανταχόθεν ἑαυτοὺς καθαίροντες, οὕτω καὶ προσίωμεν τοῖς ἱεροῖς μυστηρίοις, ἵνα μὴ εἰς κρῖμα καὶ κατάκριμα, ἀλλ' εἰς σωτηρίαν καὶ ὑγίειαν ψυχῆς, εἰς παρρησίαν διηνεκῆ τῆς σωτηρίας ταύτης ἀπολάβωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

26. Ἑβρ. 10,28–29.
27. Ἑβρ. 12,14.
28. Α' Κορ. 11,28.

νόμος. Καὶ αὐτῶν τὴ διαφορὰ τὴν ἔδειξε ὁ Παῦλος λέγοντας τὰ ἑξῆς· «ὅταν κάποιος παρέβαινε τὸ νόμο τοῦ Μωϋσῆ πέθαινε χωρὶς εὐσπλαχνία μὲ τὴ μαρτυρία δύο ἢ τριῶν μαρτύρων· πόση χειρότερη τιμωρία νομίζετε ὅτι θ' ἀξιωθεῖ ἐκεῖνος ποὺ περιφρόνησε τὸν Υἱὸ τοῦ Θεοῦ καὶ θεώρησε κοινὸ τὸ αἷμα τῆς διαθήκης καὶ πρόσβαλε τὸ Πνεῦμα τῆς χάριτος;»[26].

Βλέπεις ὅτι εἶναι μεγαλύτερη ἡ τιμωρία μετὰ τὴ χορήγηση τῆς χάριτος, ὅπως βέβαια καὶ μεγαλύτερα τὰ ἔπαθλα; Ἀλλ' ἐπειδὴ σᾶς ὑπενθύμισα τὰ φρικώδη καὶ πνευματικὰ μυστήρια, σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω καὶ τὸ ἐπιθυμῶ πάρα πολὺ καὶ ζητῶ μὲ κάθε ἀξίωση, ν' ἀποβάλετε κάθε ἁμαρτία καὶ ἔτσι νὰ πλησιάζετε στὴ φρικτὴ αὐτὴ τράπεζα. Γιατὶ λέγει, «ἐπιδιώκετε τὴν εἰρήνη μὲ ὅλους καὶ τὸν ἁγιασμό, χωρὶς τὸν ὁποῖο κανένας δὲ θὰ δεῖ τὸν Κύριο»[27]. Κι ἐκεῖνος ποὺ δὲν εἶναι ἄξιος νὰ δεῖ τὸν Κύριο, δὲν εἶναι ἄξιος οὔτε τῆς κοινωνίας τοῦ σώματος τοῦ Κυρίου. Γι' αὐτὸ λέγει ὁ Παῦλος, «ὁ καθένας ἂς ἐξετάζει τὸν ἑαυτό του καὶ ἔτσι ἂς τρώει ἀπὸ τὸν ἄρτο καὶ νὰ πίνει ἀπὸ τὸ ποτήρι»[28]. Δὲν φανέρωσε τὴν πληγή, δὲν παρουσίασε τὴν κατηγορία μπροστὰ σὲ πλῆθος ἀνθρώπων, δὲν παρουσίασε μάρτυρες τῶν πλημμελημάτων· μέσα στὴ συνείδηση, χωρὶς νὰ εἶναι κανένας παρὼν ἐκτὸς ἀπὸ τὸ Θεὸ ποὺ βλέπει τὰ πάντα, κρίνε καὶ ἐξέτασε τ' ἁμαρτήματά σου, καὶ σκεπτόμενος ὅλη τὴ ζωή σου, ὁδήγησε τὰ ἁμαρτήματά σου μπροστὰ στὸ δικαστήριο τοῦ νοῦ· διόρθωσε τὰ πλημμελήματά σου καὶ ἔτσι μὲ καθαρὴ συνείδηση πλησίασε τὴν ἱερὴ τράπεζα καὶ πάρε μέρος στὴν ἅγια θυσία.

Ἔχοντας αὐτὰ στὸ νοῦ μας καὶ ἐνθυμούμενοι τὰ ὅσα σᾶς εἶπα γιὰ τὴν ἀκολασία, καὶ πόση τιμωρία ἐπιφυλάσσεται γιὰ ἐκείνους ποὺ ἁπλῶς βλέπουν μὲ ἀκόλαστα μάτια τὶς γυναῖκες, καὶ ἔχοντας πρὶν ἀπὸ τὴ γέεννα μπροστὰ στὰ μάτια μας τὸ φόβο τοῦ Θεοῦ καὶ τὴν ἀγάπη, καθαρίζοντας ἀπὸ παντοῦ τοὺς ἑαυτούς μας, ἔτσι νὰ πλησιάζομε στὰ ἱερὰ μυστήρια, γιὰ νὰ τὰ λάβομε ὄχι πρὸς τιμωρία καὶ καταδίκη μας, ἀλλὰ πρὸς σωτηρία καὶ ὑγεία τῆς ψυχῆς μας καὶ γιὰ νὰ ἔχομε διαρκὴ τὴν παρρησία τῆς σωτηρίας αὐτῆς, μὲ τὴ χάρη τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΕΒΔΟΜΗ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΚΑΙ ΠΕΡΙ ΚΑΤΑΝΥΞΕΩΣ

Καὶ ὅτι ταχὺς ὁ Θεὸς εἰς σωτηρίαν καὶ βραδὺς εἰς τιμωρίαν· ἐν ᾧ καὶ περὶ τῆς Ραὰβ παράδοξος ἱστορία

1. Πάντοτε μὲν ὁ θεῖος Ἀπόστολος θείᾳ καὶ οὐρανίῳ κέχρηται γλώττῃ καὶ μετὰ πολλῆς ἐπιστήμης τὸν εὐαγγελικὸν ὑφαίνει λόγον, οὐκ ἐξ οἰκείας γνώμης ἁπλῶς φθεγγόμενος ἀλλ' ἐκ τῆς βασιλικῆς αὐτοῦ αὐθεντίας προφέρων τὰ δόγματα· ἐξαιρέτως δὲ ταύτῃ κέχρηται τῇ ἐπιστήμῃ, ὅταν τὸν τῆς μετανοίας εἰσάγῃ λόγον τοῖς ἁμαρτάνουσι· περὶ δὲ αὐτοῦ τοῦ κεφαλαίου πάντας ὑμᾶς ὑπομνήσω. Ἠκούσατε τοίνυν, ἵνα ἐκ μέρους ἅψωμαι τῶν εἰρημένων, ὡς ἀρτίως διαλεγόμενος τοῖς Κορινθίοις ἔλεγεν ὁ γενναῖος ἐκεῖνος καὶ θαυμάσιος ἀνήρ· «μήπως ἐλθὼν πολλοὺς πενθήσω τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων». Ἄνθρωπος μὲν ἦν τῇ φύσει ὁ μέγας οὗτος διδάσκαλος, Θεοῦ δ' ὑπηρέτης τὴν πρόθεσιν· διὰ τοῦτο ὥσπερ οὐρανίῳ κέχρηται γλώττῃ καὶ ὡς ἐξ αὐτῶν τῶν οὐρανῶν φθεγγόμενος, οὕτω καὶ τοῖς ἁμαρτάνουσιν ἀπειλεῖ καὶ τοῖς μετανοοῦσιν ἱλασμὸν ἐπαγγέλλεται. Ὅταν δὲ ταῦτα εἴπω, οὐ τῇ Παύλου γλώττῃ τὴν αὐθεντίαν ἐπιγράφω, ἀλλ' ἐπὶ τὴν τοῦ Θεοῦ χάριν

---

1. Β' Κορ. 12,21.



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΕΒΔΟΜΗ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΚΑΙ ΚΑΤΑΝΥΞΕΩΣ

καὶ ὅτι ὁ Θεὸς εἶναι γρήγορος γιὰ σωτηρία καὶ ἀργὸς γιὰ τιμωρία· ἐπίσης γίνεται λόγος καὶ γιὰ τὴν παράδοξη ἱστορία τῆς Ραὰβ

1. Πάντοτε ὁ θεῖος Ἀπόστολος χρησιμοποιεῖ θεία καὶ οὐράνια γλώσσα καὶ μὲ μεγάλη σοφία ὑφαίνει τὸν εὐαγγελικὸ λόγο· δὲν διατυπώνει ἁπλῶς τὴ δική του γνώμη, ἀλλὰ διακηρύσσει τὶς ἀλήθειες ἀπὸ τὴ βασιλική του αὐθεντία· ἐντελῶς ξεχωριστὰ χρησιμοποιεῖ αὐτὴ τὴ σοφία του, ὅταν ὁμιλεῖ πρὸς ἐκείνους ποὺ ἁμαρτάνουν γιὰ μετάνοια, καὶ ἀκριβῶς αὐτὸ τὸ σπουδαῖο θέμα θὰ σᾶς ὑπενθυμίσω τώρα. Ἀκούσατε λοιπόν, γιὰ νὰ μιλήσω κάπως σχετικὰ μὲ τὰ λεχθέντα, ὅτι ὁ γενναῖος ἐκεῖνος καὶ θαυμαστὸς ἄνδρας μιλώντας τελευταῖα στοὺς Κορινθίους ἔλεγε· «μήπως ἐρχόμενος ἐκεῖ πενθήσω γιὰ πολλοὺς ἀπὸ ἐκείνους ποὺ ἁμάρτησαν προηγουμένως καὶ δὲν μετανόησαν»[1]. Ἄνθρωπος ἦταν ὡς πρὸς τὴ φύση ὁ μεγάλος αὐτὸς δάσκαλος, ἀλλ' ὑπηρέτης τοῦ Θεοῦ ὡς πρὸς τὴν πρόθεση· γι' αὐτὸ ὅπως ἀκριβῶς χρησιμοποιεῖ οὐράνια γλώσσα καὶ ὁμιλεῖ σὰν νὰ προέρχονται τὰ λόγια του ἀπὸ τὸν οὐρανό, ἔτσι καὶ ἀπειλεῖ ἐκείνους ποὺ ἁμαρτάνουν καὶ ὑπόσχεται συγχώρεση σ' ἐκείνους ποὺ μετανοοῦν. Κι ὅταν λέγω αὐτὰ δὲν ἀποδίδω τὴν αὐθεντία στὴ γλώσσα τοῦ Παύλου, ἀλλὰ τὸ πᾶν ἀποδίδω στὴ χάρη

τὸ πᾶν ἀναφέρω, περὶ οὗ νῦν αὐτὸς ἔλεγεν· «εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ». Ὑποτίθεται τοίνυν τοῖς ἁμαρτάνουσι φάρμακον εὐεργεσίας καὶ μετάνοιαν εἰς σωτηρίαν. Συνέδραμε δὲ σήμερον τῇ ἀποστολικῇ ἀναγνώσει καὶ ἡ εὐαγγελικὴ τοῦ Σωτῆρος αὐθεντία, ἁμαρτιῶν ἄφεσιν ἀφθόνως χαριζομένη. Τὸν γὰρ παραλυτικὸν ὁ Σωτὴρ ἰώμενος ἔλεγεν, ὡς ἀρτίως ἀκηκόατε· «τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου αἱ πολλαί»· ἄφεσις δὲ ἁμαρτιῶν πηγὴ σωτηρίας καὶ ἔπαθλον μετανοίας· ἰατρεῖον γάρ ἐστιν ἀναιρετικὸν τῆς ἁμαρτίας ἡ μετάνοια· δῶρόν ἐστιν οὐράνιον, δύναμις θαυμαστή, χάριτι νικῶσα τὴν τῶν νόμων ἀκολουθίαν. Διὰ τοῦτο οὐ πόρνον ἀποσείεται, οὐ μοιχὸν ἀποσοβεῖ, οὐ μέθυσον ἀποστρέφεται, οὐκ εἰδωλολάτρην βδελύσσεται, οὐ λοίδορον ἀπελαύνει, οὐ βλάσφημον ἀποδιώκει, οὐκ ἀλαζόνα, ἀλλὰ πάντας μεταποιεῖ· χωνευτήριον γάρ ἐστι τῆς ἁμαρτίας ἡ μετάνοια.

Ἀναγκαῖον δὲ πρῶτον γνωρίσαι τοῦ Θεοῦ τὸν σκοπόν, οὐκ ἐξ ἡμετέρων ἐννοιῶν ἐπιβάλλοντας ταύτῃ τῇ θεωρίᾳ, ἀλλ᾽ ἐξ αὐτῶν τῶν θείων Γραφῶν μεμαρτυρημένην ἀποδεικνύντας τὴν ἀλήθειαν. Σκοπὸς τῷ Θεῷ μακροθυμεῖν τοῖς ἁμαρτάνουσι διπλοῦς ἐστιν εἰς σωτηρίαν ἵλεως· μνηστευόμενος αὐτοῖς τὴν ἐκ μετανοίας σωτηρίαν, καὶ τοῖς ἐξ αὐτῶν ἀπογόνοις τοῖς εἰς ἀρετὴν ἐπιδιδόναι μέλλουσι ταμιευόμενος τὴν εὐεργεσίαν. Καὶ ἵνα πάλιν ἀναλάβω τὸν λόγον, ὁ Θεὸς μακροθυμεῖ, ἵνα καὶ ὁ ἁμαρτάνων μετανοήσῃ καὶ τοῖς ἐξ αὐτοῦ τικτομένοις μὴ ἀποκλείσῃ τὴν σωτηρίαν. Κἂν γὰρ αὐτὸς ὁ ἁμαρτάνων ἀμετανόητα πταίῃ, φείδεται πολλάκις τῆς ῥίζης, ἵνα φυλάξῃ τοὺς καρπούς· πολλάκις μὲν οὖν καὶ αὐτὴν μεταβάλλει τὴν ῥίζαν, ὡς ἔφθην εἰπών· ἀλλ᾽ ἐπειδὰν εἰς παντελῆ κακίαν ἐκείνη πέσῃ, ὁ Θεὸς ὑπερτίθεται χρησίμως τὴν τιμωρίαν, ἀναμένων τῶν μετανοούντων τὴν σωτηρίαν· καὶ ὅπως, ἄκουε. Θάρρα ὁ πατὴρ Ἀβραὰμ εἰδώλων ἦν προσκυνητής, ἀλλ᾽ οὐ δέδωκεν ἐνταῦθα τῆς ἀσεβείας τὴν δίκην· καὶ εἰκότως. Εἰ γὰρ προλα-

2. Β' Κορ. 13,3.
3. Μαρκ. 2,5.

τοῦ Θεοῦ, γιὰ τὸν ὁποῖο αὐτὸς ἔλεγε τώρα· «ἐφόσον ζητεῖτε ἀπόδειξη γιὰ τὸ Χριστὸ ποὺ μιλάει μέσα ἀπὸ μένα»[2]. Ὑποδεικνύει λοιπὸν σ' ἐκείνους ποὺ ἁμαρτάνουν φάρμακο εὐεργετικὸ καὶ μετάνοια γιὰ σωτηρία. Καὶ ἦρθε σήμερα νὰ βοηθήσει τὸ ἀποστολικὸ ἀνάγνωσμα καὶ ἡ εὐαγγελικὴ αὐθεντία τοῦ Σωτήρα, χαρίζοντας ἄφθονη τὴν ἄφεση ἁμαρτιῶν. Γιατὶ θεραπεύοντας ὁ Σωτήρας τὸν παραλυτικὸ ἔλεγε, ὅπως ἀκούσατε προηγουμένως· «τέκνο μου, συγχωροῦνται οἱ ἁμαρτίες σου οἱ πολλές»[3]· ἡ ἄφεση τῶν ἁμαρτιῶν εἶναι πηγὴ σωτηρίας καὶ ἔπαθλο μετανοίας· γιατὶ ἡ μετάνοια εἶναι θεραπευτκὸ ἰατρεῖο τῆς ἁμαρτίας· εἶναι δῶρο οὐράνιο, δύναμη θαυμαστή, χάρη ποὺ νικᾶ τὶς συνέπειες τῶν νόμων. Γι' αὐτὸ δὲν ἀπορρίπτει τὸν πόρνο, δὲν διώχνει τὸ μοιχό, δὲν ἀποστρέφεται τὸν μέθυσο, δὲν συχαίνεται τὸν εἰδωλολάτρη, δὲν ἀπομακρύνει τὸν κακόλογο, δὲν διώχνει τὸν βλάσφημο, οὔτε τὸν ἀλαζόνα, ἀλλ' ὅλους τοὺς μεταβάλλει· γιατὶ ἡ μετάνοια εἶναι χωνευτήρι τῆς ἁμαρτίας.

Πρέπει λοιπὸν πρῶτα νὰ γνωρίσομε τὸ σκοπὸ τοῦ Θεοῦ ἀναπτύσσοντας τὸ θέμα μας αὐτὸ ὄχι μὲ δικούς μας συλλογισμούς, ἀλλ' ἀποδεικνύοντας τὴν ἀλήθεια ἐπιβεβαιωμένη ἀπὸ τὶς ἴδιες τὶς θεῖες Γραφές. Ὁ σκοπὸς τοῦ Θεοῦ, ποὺ δείχνει μακροθυμία γιὰ τοὺς ἁμαρτωλούς, εἶναι διπλὸς μὲ στόχο τὴ σωτηρία· ἐπιδιώκει τὴ σωτηρία αὐτῶν ἀφοῦ πρῶτα μετανοήσουν, καὶ ἐπιφυλάσσει τὴν εὐεργεσία γιὰ τοὺς ἀπογόνους τους ποὺ πρόκειται νὰ ζήσουν ἐνάρετα. Καὶ γιὰ νὰ ἐπαναλάβω τὸ λόγο, ὁ Θεὸς μακροθυμεῖ, ὥστε καὶ ἐκεῖνος ποὺ ἁμαρτάνει νὰ μετανοήσει, καὶ νὰ μὴ ἀποκλείσει τὴ σωτηρία τῶν τέκνων τους. Γιατί, κι ἂν ἀκόμη αὐτὸς ποὺ ἁμαρτάνει δὲν πρόκειται νὰ μετανοήσει, εὐσπλαχνίζεται πολλὲς φορὲς τὴ ρίζα, γιὰ νὰ φυλάξει τοὺς καρπούς· πολλὲς φορὲς μάλιστα ὅπως εἶπα προηγουμένως, μεταβάλλει καὶ τὴν ἴδια τὴν ρίζα· ὅταν ὅμως ἐκείνη περιπέσει σὲ πλήρη κακία, ὁ Θεὸς ἀναβάλλει πρὸς ὠφέλεια τὴν τιμωρία, περιμένοντας τὴ σωτήρία ἐκείνων ποὺ μετανοοῦν· καὶ ἄκουε πῶς. Ὁ πατέρας τοῦ Ἀβραὰμ Θάρα ἦταν προσκυνητὴς τῶν εἰδώλων, ἀλλὰ δὲν τιμώρησε ἐδῶ τὴν ἀσέβειά του καὶ πολὺ σωστά. Γιατί, ἐὰν προλάβαινε ὁ Θεὸς καὶ ἔκοβε τὴ ρίζα, ἀπὸ

βὼν ὁ Θεὸς ἀπέτεμε τὴν ρίζαν, πόθεν ὁ τοσοῦτος καρπὸς τῆς πίστεως ἀνεδίδοτο; Τί τοῦ Ἠσαῦ μοχθηρότερον; Σκόπει μοι καὶ ἑτέρας φιλανθρωπίας ὑπόθεσιν. Τί τῆς κακίας ἐκείνης ἀναιδέστερον; οὐ πόρνος καὶ βέβηλος, ὥς φησιν ὁ Ἀπόστολος; οὐ μητρολοίας καὶ πατρολοίας; Οὐκ ἀδελφοῦ φονεὺς ὅσον εἰ πρόθεσιν; οὐχ ὑπὸ τοῦ Θεοῦ μισούμενος; ἡ Γραφὴ μαρτυρεῖ λέγουσα· «τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα». Εἰ τοίνυν πόρνος καὶ ἀδελφοκτόνος καὶ βέβηλος καὶ μεμισημένος, διὰ τί μὴ ἀφανίζεται; διὰ τί μὴ ἐκκόπτεται; διὰ τί παραχρῆμα τὴν προσήκουσαν τιμωρίαν οὐ δέχεται; Διὰ τί; καλὸν ὡς ἀληθῶς καὶ τὴν αἰτίαν εἰπεῖν. Εἰ ἐξεκόπη, μέγιστον καρπὸν δικαιοσύνης ὁ κόσμος ἀπώλεσεν ἄν· καὶ ὁποῖον, ἄκουε. «Ἠσαῦ ἐγέννησε τὸν Ραγουήλ, Ραγουὴλ τὸν Ζαρά, Ζαρὰ τὸν Ἰώβ». Ὁρᾷς πηλίκον ὑπομονῆς ἄνθος ἠφανίζετο, εἰ προλαβὼν ὁ Θεὸς δίκην ἀπήτησε τὴν ρίζαν;

2. Καθ' ὅλων οὖν τῶν πραγμάτων ταύτην ἐκλάμβανε τὴν θεωρίαν. Διὰ τοῦτο μακροθυμεῖ τοῖς Αἰγυπτίοις ἀνύποιστα βλασφημοῦσι, διὰ τὰς νῦν ἀνθούσας Ἐκκλησίας ἐν Αἰγύπτῳ, διὰ τὰ μοναστήρια καὶ τοὺς ἀγγελικὸν ἐπανῃρημένους βίον. Καὶ γάρ, ὥς φασιν οἱ τῶν νόμων τῶν κοινῶν ἔμπειροι, καὶ ὡς οἱ Ρωμαίων παρακελεύονται νόμοι, τὴν κυοφοροῦσαν, εἴ ποτε περιπέσοι πταίσματι θανάτου δίκην ἐπάγοντι, μὴ πρότερον ἀναιρεῖσθαι, πρὶν ἂν τέκῃ τὸ κυοφορούμενον· καὶ μάλα εἰκότως· οὐ γὰρ ἐδικαίωσαν οἱ καλῶς τεθεικότες τοὺς νόμους συναφανισθῆναι τὸ ἀναμάρτητον τῇ ἁμαρτησάσῃ. Εἰ δὲ οἱ ἀνθρώπινοι νόμοι φείδονται τῶν μηδὲν ἡμαρτηκότων, ὁ Θεὸς οὐ πολλῷ μᾶλλον εἰκότως φυλάξει τὴν ρίζαν, τοῖς καρποῖς ταμιευόμενος τὴν ἐκ τῆς μετανοίας εὐεργεσίαν; Λάβε μοι λοιπὸν καὶ ἐπ' αὐτῶν τῶν ἁμαρτανόντων τὴν ἐκ μετανοίας εὐεργεσίαν· καὶ γὰρ καὶ ἐπὶ τούτων ὁ αὐτὸς τῆς φιλανθρωπίας ἀποδίδοται λόγος. Εἰ προελάμβανεν ἡ δίκη τὴν διόρθωσιν, ὁ κόσμος παντελῶς ἀπώλλυτο καὶ διεφθείρετο· εἰ ὀξὺς ἦν πρὸς τιμωρίαν ὁ Θεός, οὐκ ἂν ἐκτήσατο Παῦλον ἡ Ἐκκλησία, οὐκ ἐδέχετο τὸν

---

4. Ἑβρ. 12,16.
5. Ρωμ. 9,13.
6. Γεν. κεφ. 36.

ποῦ θὰ βλάσταινε ὁ τόσο μεγάλος καρπὸς τῆς πίστεως; Τί ὑπάρχει πιὸ μοχθηρὸ ἀπὸ τὸν Ἠσαῦ; Πρόσεχε, παρακαλῶ, καὶ ἀφορμὴ ἄλλης φιλανθρωπίας. Τί ὑπάρχει ἀναιδέστερο ἀπὸ τὴν κακία ἐκείνη; δὲν ἦταν πόρνος καὶ βέβηλος, ὅπως λέγει ὁ Ἀπόστολος[4]; δὲν ἦταν μητροκτόνος καὶ πατροκτόνος; δὲν φόνευσε μὲ τὴν πρόθεσή του τὸν ἀδελφό του; δὲν μισοῦνταν ἀπὸ τὸ Θεό; Τὸ βεβαιώνει ἡ Γραφὴ λέγοντας· «τὸν Ἰακὼβ τὸν ἀγάπησα, ἐνῶ τὸν Ἠσαῦ τὸν μίσησα»[5]. Ἐὰν λοιπὸν ἦταν πόρνος καὶ ἀδελφοκτόνος καὶ βέβηλος καὶ μισημένος, γιατί δὲν ἀφανίζεται; γιατί δὲν ἐξολοθρεύεται; γιατί δὲν δέχεται ἀμέσως τὴν κατάλληλη τιμωρία; Γιατί; Καλὸ εἶναι νὰ ποῦμε καὶ τὴν αἰτία. Ἐὰν ἐξολοθρευόταν, θὰ ἔχανε ὁ κόσμος μέγιστο καρπὸ δικαιοσύνης καὶ ἄκουε ποιόν. «Ὁ Ἠσαῦ γέννησε τὸν Ραγουήλ, ὁ Ραγουὴλ τὸν Ζαρά, ὁ Ζαρὰ τὸν Ἰώβ»[6]. Βλέπεις πόσο μεγάλο ἄνθος ὑπομονῆς θὰ ἐξαφανιζόταν, ἐὰν ἐπενέβαινε ὁ Θεὸς καὶ τιμωροῦσε τὴ ρίζα;

2. Σ' ὅλα τὰ πράγματα λοιπὸν ν' ἀποδέχεσαι αὐτὴ τὴ θεωρία. Γι' αὐτὸ δείχνει μακροθυμία πρὸς τοὺς Αἰγυπτίους ποὺ ἦταν βλάσφημοι ἀφάνταστα, γιὰ χάρη τῶν ἐκκλησιῶν ποὺ ἀνθοῦν τώρα στὴν Αἴγυπτο, γιὰ χάρη τῶν μοναστηριῶν καὶ ἐκείνων ποὺ προτίμησαν τὸν ἀγγελικὸ βίο. Γιατί, ὅπως λένε οἱ γνῶστες τῶν κοινῶν νόμων καὶ ὅπως προστάζουν οἱ νόμοι τῶν Ρωμαίων, τὴν ἔγκυο γυναίκα, ἂν κάποτε πέσει σὲ παράπτωμα ποὺ τιμωρεῖται μὲ θάνατο, νὰ μὴ θανατώνεται προηγουμένως, προτοῦ γεννήσει αὐτὸ ποὺ κυοφορεῖ· καὶ πολὺ σωστά· γιατὶ δὲν ἔκριναν δίκαιο, ἐκεῖνοι ποὺ νομοθέτησαν ὀρθὰ τοὺς νόμους, νὰ ἐξαφανισθεῖ μαζὶ μὲ τὴν ἁμαρτωλὴ τὸ ἀναμάρτητο. Ἐὰν οἱ ἀνθρώπινοι νόμοι δείχνουν εὐσπλαχνία γιὰ ἐκείνους ποὺ δὲν ἔπραξαν κανένα ἁμάρτημα, δὲ εἶναι πολὺ περισσότερο εὔλογο νὰ φυλάξει ὁ Θεὸς τὴ ρίζα, ἐπιφυλάσσοντας τὴν εὐεργεσία ἀπὸ τὴ μετάνοια γιὰ καρπούς; Θεώρησε λοιπὸν σὲ παρακαλῶ τὴν εὐεργεσία ἀπὸ τὴ μετάνοια καὶ γιὰ ἐκείνους ποὺ ἁμαρτάνουν· γιατὶ καὶ γι' αὐτοὺς ἰσχύει ὁ ἴδιος λόγος φιλανθρωπίας. Ἂν προλάβαινε ἡ τιμωρία τὴ διόρθωση, ὁ κόσμος θὰ χανόταν καὶ θὰ καταστραφόταν ἐντελῶς· ἂν ἦταν ταχὺς ὁ Θεὸς γιὰ τιμωρία, δὲν θ' ἀποκτοῦσε ἡ Ἐκκλησία τὸν Παῦλο, δὲν θὰ κέρδιζε

τοιοῦτον καὶ τηλικοῦτον. Διὰ τοῦτο οὖν ὑπερέθετο βλασφημοῦντα, ἵνα δείξῃ μετανοοῦντα. Ἡ τοῦ Θεοῦ μακροθυμία τὸν διώκτην ἐποίησε κήρυκα· ἡ τοῦ Θεοῦ μακροθυμία πάντας ἡμᾶς ἠλέησε, πάντας μετάβαλε, πάντας μετέστρεψεν. Ἐὰν ἴδῃς τόν ποτε μέθυσον, νηστευτήν, ἐὰν ἴδῃς τόν ποτε βλάσφημον, θεολόγον, ἐὰν ἴδῃς τόν ποτε αἰσχραῖς ᾠδαῖς τὸ στόμα μολύναντα, νῦν τοῖς θείοις ὕμνοις τὴν ψυχὴν καθαίροντα, θαύμαζε τὴν μακροθυμίαν τοῦ Θεοῦ καὶ ἐπαίνει τὴν μετάνοιαν καὶ ἐκ τῆς ἀλλοιώσεως λέγε ἀναλαβών· «αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου». Ἀγαθὸς μὲν ὁ Θεὸς πρὸς πάντας, ἐξαιρέτως δὲ τὴν ἑαυτοῦ μακροθυμίαν ἐνδείκνυται πρὸς τοὺς ἁμαρτάνοντας. Καὶ εἰ βούλει ξένον ἐπακοῦσαι λόγον, ξένον μὲν ὅσον εἰς συνήθειαν, ἀληθινὸν δὲ ὅσον εἰς εὐσέβειαν, ἄκουσον.

Βαρὺς ὁ Θεὸς πανταχοῦ φαίνεται τοῖς δικαίοις, χρηστὸς δὲ τοῖς ἁμαρτωλοῖς καὶ ταχὺς εἰς φιλανθρωπίαν· τὸν ἁμαρτάνοντα καὶ πεσόντα διανίστησι καί φησι πρὸς αὐτόν· «μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει;»· καί· «ἱνατὶ ἀπέστρεψεν ἀποστροφὴν ἀναιδῆ ἡ ἀσύνετος θυγάτηρ Ἰούδα;»· καὶ πάλιν· «ἐπιστράφητε πρός με καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς». Καὶ ἑτέρωθι δὲ ὅρκῳ βεβαιοῖ τὴν ἐκ μετανοίας σωτηρίαν διὰ πολλὴν φιλανθρωπίαν. «Ζῶ γὰρ ἐγώ, λέγει Κύριος· οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Πρὸς δὲ τὸν δίκαιον λέγει· «ἐὰν ποιήσῃ ἄνθρωπος πᾶσαν δικαιοσύνην καὶ πᾶσαν ἀλήθειαν καὶ στραφεὶς ἁμάρτῃ, οὐ μὴ μνησθῶ τῆς δικαιοσύνης αὐτοῦ, ἀλλ' ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται». Ὦ πολλῆς ἀκριβείας τῆς πρὸς τὸν δίκαιον· ὢ πολλῆς δαψιλείας τῆς πρὸς τὸν ἁμαρτάνοντα. Οὕτω δὲ ποικίλως καὶ διαφόρους μηχανᾶται, οὐκ αὐτὸς μεταβαλλόμενος, ἀλλὰ χρησίμως μερίζων τῆς ἀγαθότητος αὐτοῦ τὰς οἰκονομίας· καὶ ὅπως, ἄκουε. Τὸν ἁμαρτωλὸν καὶ ἐμμένοντα ταῖς ἁμαρτίαις, ἐὰν φοβήσῃ, εἰς ἀπόγνωσιν αὐτὸν καὶ ἀπαγόρευσιν τῆς

---

7. Ψαλμ. 76,11.
8. Ἱερ. 8,4.
9. Ἱερ. 8,5.
10. Ζαχ. 1,3.
11. Ἰεζ. 33,11.
12. Ἰεζ. 18,24.

αὐτὸν τὸν τέτοιο καὶ τόσο μεγάλο ἄνδρα. Γι' αὐτὸ λοιπὸν παρέβλεπε τὶς βλασφημίες του, γιὰ νὰ μᾶς τὸν δείξει μετανοοῦντα. Ἡ μακροθυμία τοῦ Θεοῦ ἔκαμε τὸν διώκτη κήρυκα· ἡ μακροθυμία τοῦ Θεοῦ μετέβαλε τὸν λύκο σὲ ποιμένα· ἡ μακροθυμία τοῦ Θεοῦ ἔκαμε τὸν τελώνη εὐαγγελιστή· ἡ μακροθυμία τοῦ Θεοῦ ἐλέησε ὅλους ἐμᾶς, μᾶς μετέβαλε ὅλους, μᾶς μετέστρεψε ὅλους. Ἂν δεῖς τὸν κάποτε μέθυσο, νὰ νηστεύει, ἂν δεῖς τὸν κάποτε βλάσφημο, θεολόγο, ἂν δεῖς ἐκεῖνον ποὺ κάποτε μόλυνε τὸ στόμα του μὲ αἰσχρὰ ἄσματα, τώρα νὰ καθαρίζει τὴν ψυχή του μὲ θείους ὕμνους, θαύμαζε τὴ μακρθυμία τοῦ Θεοῦ καὶ ἐξύμνα τὴ μετάνοια, καὶ ὁρμώμενος ἀπὸ τὴ μεταβολὴ αὐτή, λέγε· «αὐτὴ ἡ μεταβολὴ εἶναι ἔργο τῆς δυνάμεως τοῦ Ὑψίστου»[7]. Ὁ Θεὸς εἶναι ἀγαθὸς πρὸς ὅλους, ἰδιαίτερα ὅμως δείχνει τὴ μακροθυμία του πρὸς ἐκείνους ποὺ ἁμαρτάνουν. Καὶ ἂν θέλεις ν' ἀκούσεις παράξενο λόγο, παράξενο ὡς πρὸς τὸ ἀσυνήθιστο, ἀληθινὸ ὅμως ὡς πρὸς τὴν εὐσέβεια, ἄκουσε.

Ὁ Θεὸς παντοῦ φαίνεται βαρὺς καὶ γιὰ τοὺς δίκαιους, ἀλλὰ καλὸς γιὰ τοὺς ἁμαρτωλοὺς καὶ ταχὺς γιὰ φιλανθρωπία· ἐκεῖνον ποὺ ἁμάρτησε καὶ ἔπεσε τὸν σηκώνει, καὶ λέγει πρὸς αὐτόν· «μήπως ἐκεῖνος ποὺ πέφτει δὲ σηκώνεται; ἢ ἐκεῖνος ποὺ λοξοδρομεῖ δὲν ἐπιστρέφει;»[8]· καί· «γιατί ἀπέστρεψε μὲ ἀναίδεια τὸ πρόσωπό της ἀπὸ μένα ἡ ἀσύνετη θυγατέρα τοῦ Ἰούδα;»[9]· καὶ πάλι· «ἐπιστρέψτε πρὸς ἐμένα καὶ θὰ ἐπιστρέψω καὶ ἐγὼ πρὸς ἐσᾶς»[10]. Καὶ ἀλλοῦ ἐπίσης μὲ ὅρκο βεβαιώνει ὅτι θὰ σωθοῦν ἐξ αἰτίας τῆς φιλανθρωπίας του ὅσοι μετανοοῦν. «Γιατὶ ζῶ ἐγώ, λέγει ὁ Κύριος· δὲ θέλω τὸ θάνατο τοῦ ἁμαρτωλοῦ, ὥστε νὰ μετανοήσει καὶ νὰ ζήσει»[1]. Ἐνῶ πρὸς τὸν δίκαιο λέγει· «ἂν ὁ ἄνθρωπος ἐκτελέσει κάθε πράξη ἀρετῆς καὶ κάθε ἀλήθεια, ἀλλὰ ἁμαρτήσει μετά, δὲ θὰ θυμηθῶ τὴν ἀρετή του, ἀλλὰ θὰ πεθάνει μέσα στὴν ἁμαρτία του»[12]. Πώ, πώ, πόση ἀκριβολογία γιὰ τὸ δίκαιο· πὼ πὼ πόση μεγαλοδωρία πρὸς τὸν ἁμαρτωλό! Τόσους ποικίλους καὶ διάφορους τρόπους ἐπινοεῖ, χωρὶς αὐτὸς ν' ἀλλάζει, ἀλλὰ μοιράζοντας χρήσιμα τὴ μεγάλη ἀγαθότητά του· καὶ ἄκου πῶς. Τὸν ἁμαρτωλὸ κι ἐκεῖνον ποὺ ἐπιμένει στὶς ἁμαρτίες, ἂν τὸν φοβήσει, τὸν ὁδηγεῖ

ἐλπίδος φέρει· τὸν δὲ δίκαιον ἐὰν μακαρίσῃ, χαυνοῖ τῆς ἀρετῆς αὐτοῦ τὸν τόνον, καὶ ὡς ἤδη μακαρισθέντα, ἀμελεῖν αὐτὸν τῆς σπουδῆς παρασκευάζει. Διὰ τοῦτο τὸ μὲν ἁμαρτωλὸν ἐλεεῖ, τὸν δὲ δίκαιον φοβεῖ· «φοβερὸς γὰρ ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ». «Χρηστὸς Κύριος τοῖς σύμπασι». «Φοβερός», φησίν, «ἐστὶν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ»· καὶ τίνες ἂν εἶεν, ἀλλ' ἢ οἱ ἅγιοι; Ὁ Θεὸς γάρ, φησὶν ὁ Δαυΐδ, «ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περικύκλω αὐτοῦ». Ἐὰν ἴδῃ πεσόντα, ἐκτείνει χεῖρα φιλανθρωπίας· ἐὰν ἴδῃ ἑστῶτα, ἐπάγει φόβον· καὶ τοῦτο δικαιοσύνης καὶ δικαιοκρισίας. Τὸν μὲν γὰρ δίκαιον τῷ φόβῳ στηρίζει, τὸν δὲ ἁμαρτωλὸν τῇ φιλανθρωπίᾳ διεγείρει.

Καὶ θέλεις αὐτοῦ γνῶναι τὴν εὔκαιρον ἀγαθότητα καὶ τὴν εὔχρηστον καὶ ἁρμόζουσαν ἡμῖν ἀποτομίαν; Πρόσεχε ἀκριβῶς, μή σε διαφύγῃ τῆς θεωρίας τὸ μέγεθος· ἡ ἁμαρτωλὸς ἐκείνη γυνὴ ἡ μεμαρτυρημένη ἐπὶ πάσῃ ἁμαρτίᾳ καὶ ἀνομίᾳ, ἡ τοσαῦτα ἁμαρτήσασα, καὶ τοσούτοις ἁμαρτιῶν ἔργοις ἐνεχομένη, διψήσασα τὴν ἐκ μετανοίας σωτηρίαν ὑπεισῆλθε τῷ συμποσίῳ τῶν ἁγίων· καλῶ δὲ συμπόσιον ἁγίων, ἐπειδὴ παρῆν ὁ Ἅγιος τῶν ἁγίων. Τοῦ γὰρ Σωτῆρος κατακεκλιμένου ἐν τῷ οἴκῳ Σίμωνος τοῦ Φαρισαίου, ὑπεισῆλθεν ἡ γυνὴ ἡ ἁμαρτωλὸς ἐκείνη, καὶ τῶν ποδῶν ἥπτετο τοῦ Σωτῆρος, καὶ τοῖς δάκρυσιν ἀπέπλυνεν αὐτοῦ τοὺς πόδας, καὶ ταῖς θριξὶν ἐξέματε· καὶ τὴν τοσούτοις κεχωσμένην ἁμαρτήμασι διανίστησιν ὁ φιλάνθρωπος, λέγων· «ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι». Οὐ γὰρ πρόκειταί μοι νῦν ἐξετάσαι πᾶσαν τὴν ἱστορίαν, ἀλλὰ μόνην παραγαγεῖν τὴν μαρτυρίαν. Ὅρα τοίνυν τὴν δαψίλειαν· «οὗ χάριν λέγω σοι, ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι αἱ πολλαί, ὅτι πολὺ ἠγάπησε». Τοσούτων οὖν ἁμαρτημάτων ἀμνηστίαν ἐκομίσατο ἡ ἁμαρτωλὸς γυνή. Καὶ Μαρία δέ, ἡ ἀδελφὴ Μωϋσέως, διὰ μικρὸν γογγυσμὸν λέπρᾳ καταδικάζεται. Τοῖς ἁμαρτάνουσι λέγει· «ἐὰν

---

13. Ψαλμ. 88,8.
14. Ψαλμ. 144,9.
15. Ψαλμ. 88,8.
16. Ματθ. 26,6.
17. Λουκᾶ 7,47.
18. Λουκᾶ 7,47.
19. Ἀριθμ. 12,10.

στὴν ἀπόγνωση καὶ τὴ στέρηση τῆς ἐλπίδας, ἐνῶ τὸν δίκαιο ἂν τὸν μακαρίσει χαλαρώνει τὸν τόνο τῆς ἀρετῆς του, καὶ ἐπειδὴ μακαρίσθηκε ἤδη, τὸν κάνει ἀδιάφορο στὴν προθυμία πρὸς τὴν ἀρετή. Γι' αὐτὸ τὸν ἁμαρτωλὸ τὸν ἐλεεῖ, ἐνῶ τὸν δίκαιο τὸν φοβίζει· γιατί, λέγει, «εἶναι φοβερὸς πρὸς ὅλους ἐκείνους ποὺ τὸν περιβάλλουν»[13]· καί, «εἶναι ἀγαθὸς ὁ Κύριος πρὸς ὅλους»[14]· «εἶναι φοβερός», λέγει, «πρὸς ὅλους ἐκείνους ποὺ τὸν περιβάλλουν»· καὶ ποιοὶ θὰ μποροῦσαν νὰ εἶναι αὐτοί, παρὰ οἱ ἅγιοι; Γιατὶ ὁ Θεός, λέγει ὁ Δαυΐδ, «ποὺ δοξάζεται μέσα στὴ σκέψη τῶν ἁγίων, εἶναι μεγάλος καὶ φοβερὸς πρὸς ὅλους ἐκείνους ποὺ τὸν περιβάλλουν»[15]. Ἂν δεῖ πεσμένο, ἁπλώνει χέρι φιλανθρωπίας· ἂν δεῖ ὄρθιο, τὸν φοβίζει· κι αὐτὸ εἶναι ἀποτέλεσμα τῆς δικαιοσύνης καὶ τῆς δίκαιας κρίσης του. Γιατὶ τὸν δίκαιο τὸν στηρίζει μὲ τὸ φόβο, ἐνῶ τὸν ἁμαρτωλὸ τὸν διεγείρει μὲ τὴ φιλανθρωπία του.

Καὶ θέλεις νὰ γνωρίσεις τὴν σὲ κάθε κατάλληλη στιγμὴ ἀγαθότητά του καθὼς καὶ τὴ χρήσιμη καὶ ταιριαστὴ σ' ἐμᾶς αὐστηρότητά του; Πρόσεχε μὲ ἀκρίβεια, γιὰ νὰ μὴ σὲ διαφύγει τὸ μέγεθος τοῦ πράγματος. Ἡ ἁμαρτωλὴ ἐκείνη γυναίκα ποὺ ἦταν ἐπιβεβαιωμένη κάθε ἁμαρτία καὶ ἀνομία της, ποὺ διέπραξε τόσα ἁμαρτήματα καὶ ἦταν ἔνοχη γιὰ τόσες ἁμαρτωλὲς πράξεις, ἀφοῦ δίψασε τὴ σωτηρία ποὺ χαρίζει ἡ μετάνοια, εἰσῆλθε στὸ συμπόσιο τῶν ἁγίων· καὶ τὸ ὀνομάζω συμπόσιο τῶν ἁγίων, ἐπειδὴ ἦταν παρὼν ἐκεῖ ὁ Ἅγιος τῶν ἁγίων. Γιατί, ἐνῶ ὁ Σωτήρας βρισκόταν στὸ σπίτι τοῦ Σίμωνα τοῦ Φαρισαίου, μπῆκε ἡ ἁμαρτωλὴ ἐκείνη γυναίκα, ἔπαισε στὰ πόδια τοῦ Σωτήρα, τὰ ἔπλυνε μὲ τὰ δάκρυά της καὶ τὰ σκούπισε μὲ τὶς τρίχες τῆς κεφαλῆς της[16] καὶ τότε, ἐκείνη ποὺ ἦταν χωμένη μέσα σὲ τόσα ἁμαρτήματα, τὴ σηκώνει ὁ φιλάνθρωπος, λέγοντας· «συγχωροῦνται οἱ ἁμαρτίες της»[17]. Δὲν πρόκειται βέβαια νὰ ἐξετάσω τώρα ὅλη τὴν ἱστορία, ἀλλ' ἁπλῶς ν' ἀναφέρω τὴ μαρτυρία. Πρόσεχε λοιπὸν τὴν πλούσια χάρη του. «Γι' αὐτὸ σοῦ λέγω, συγχωροῦνται οἱ ἁμαρτίες της οἱ πολλές, γιατὶ ἔδειξε μεγάλη ἀγάπη»[18]. Τόσων πολλῶν λοιπὸν ἁμαρτημάτων συγχώρηση ἐπέτυχε ἡ ἁμαρτωλὴ γυναίκα. Ἀλλὰ καὶ ἡ Μαρία, ἡ ἀδελφὴ τοῦ Μωϋσῆ, ἐξ αἰτίας μικροῦ γογγυσμοῦ τιμωρεῖται μὲ λέπρα[19]. Σ'

ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς κόκκινον, ὡς χιόνα λευκανῶ»· καὶ μεταβάλλει τὸ σκότος εἰς φῶς, τῇ μεταβολῇ τῆς μετανοίας, καὶ τοσαύτην κακῶν ἀφθονίαν διαλύει τῇ φωνῇ τῆς ἀγαθότητος· πρὸς δὲ τὸν ἐν δικαιοσύνῃ βαδίζοντά φησιν· «ὃς ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, 'μωρέ', ἔνοχός ἐστι τῇ γεέννῃ τοῦ πυρός». Ἑνὶ ῥήματι τοσαύτην ἐπέθηκεν ἀκρίβειαν, καὶ τοσούτοις ἁμαρτήμασι τοσαύτην μετρεῖ τὴν ἀφθονίαν.

Καὶ ἕτερόν μοι σκόπησον θαυμαστόν. Ἐπειδὴ τὰ ἁμαρτήματα ὡς ὀφλήματα ἀναγράφεται, τοῖς μὲν ἁμαρτωλοῖς καὶ τὸ κεφάλαιον συγχωρεῖ μετανοοῦσι, παρὰ δὲ τῶν δικαίων καὶ τόκους ἀπαιτεῖ. Προσῆλθεν αὐτῷ χρεωφειλέτης πολλῶν ταλάντων, καὶ ὡς μετανοίᾳ καὶ τῇ πολλῇ ἱκεσίᾳ ἐδυσώπησε τὴν δίκην καὶ εἶπε, «Κύριε, μακροθύμησον ἐπ' ἐμοὶ καὶ πάντα ἀποδώσω», οὐκ ἀνέμεινε τὴν ἀπόδοσιν ὁ φιλάνθρωπος, ἀλλὰ τὴν ἐξομολόγησιν λύσιν ἐποίησε τοῦ ὀφλήματος· τῷ ὀφειλέτῃ τῶν μυρίων ταλάντων πάντα συνεχώρησε καὶ αὐτὸ τὸ κεφάλαιον. Παρὰ δὲ τῶν δικαίων ἐπαγγέλλεται καὶ τόκους ἀπαιτεῖν· «διὰ τί γὰρ οὐκ ἐδώκατε τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, κἀγὼ ἐλθὼν σὺν τόκοις ἀπήτησα;». Ταῦτα λέγω, οὐχ ὡς τοῦ Θεοῦ πρὸς τοὺς δικαίους ἀπεχθῶς διακειμένου (οὐδὲν γὰρ τῷ Θεῷ τοῦ δικαίου ποθεινότερον), ἀλλ', ὡς ἔφθην εἰπών, παραμυθεῖται τὸν ἁμαρτωλόν, ἵνα διεγείρῃ· φοβεῖ καὶ τὸν δίκαιον, ἵνα στηρίξῃ· καὶ τοῖς μὲν τὰ πολλὰ συγχωρεῖ πλημμελήματα ὡς ἐχθροῖς καὶ πεφυσιωμένοις, τοῖς δὲ καὶ περὶ τῶν τυχόντων ἀκριβολογεῖται, μηδὲν αὐτοῖς ἐλλιπὲς εἶναι βουλόμενος εἰς ἀκρότητα. Ὃ γάρ ἐστιν ἐν τῷ κόσμῳ τούτῳ πλούσιος, τοῦτο τῷ Θεῷ δίκαιος, καὶ ὃ ἐστιν ἐν τῷ κόσμῳ πένης, τοῦτο τῷ Θεῷ ἁμαρτωλός· οὐδὲν πτωχότερον τοῦ ἁμαρτάνοντος, καὶ οὐδὲν πλουσιώτερον τοῦ δικαιοπραγοῦντος. Διὰ τοῦτο περὶ μὲν τῶν ἐν εὐσεβείᾳ καὶ εὐθηνίᾳ διαγόντων φησὶν ὁ Παῦλος, «εὐχαριστῶ τῷ Θεῷ, ὅτι ἐν παντὶ

---

20. Ἡσ. 1,18.
21. Ματθ. 5,22.
22. Ματθ. 18,26.
23. Λουκᾶ 19,23 καὶ Ματθ. 25,27.

ἐκείνους ποὺ ἁμαρτάνουν λέγει· «ἐὰν οἱ ἁμαρτίες σας εἶναι κόκκινες, θὰ τὶς κάνω λευκὲς σὰν τὸ χιόνι»[20]· μεταβάλλει τὸ σκοτάδι σὲ φῶς μὲ τὴ μεταβολὴ τῆς μετάνοιας, καὶ διαλύει τόση ἀφθονία κακῶν μὲ τὴ φωνὴ τῆς ἀγαθότητάς του· ἐνῶ πρὸς ἐκεῖνον ποὺ βαδίζει ἐνάρετα λέγει· «ἐκεῖνος ποὺ θὰ πεῖ στὸν ἀδελφό του, 'μωρέ', εἶναι ἔνοχος γιὰ τὴ γέεννα τοῦ πυρός»[21]. Σ' ἕνα λόγο πρόσθεσε τόση αὐστηρότητα, καὶ σὲ τόσα ἁμαρτήματα χαρίζει τόσο πλούσια τὴ χάρη του.

Καὶ πρόσεξε, σὲ παρακαλῶ, καὶ ἄλλο ἀξιοθαύμαστο. Ἐπειδὴ τ' ἁμαρτήματα θεωροῦνται σὰν χρέη, στοὺς ἁμαρτωλοὺς ποὺ μετανοοῦν χαρίζει καὶ τὸ κεφάλαιο, ἐνῶ ἀπὸ τοὺς δίκαιους ἀπαιτεῖ καὶ τοὺς τόκους. Ἦρθε σ' αὐτὸν κάποιος ποὺ τοῦ ὄφειλε πολλὰ τάλαντα, κι' ἐπειδὴ τὸν παρακάλεσε μὲ μετάνοια καὶ πολλὲς ἱκεσίες, νὰ τὸν ἀπαλλάξει ἀπὸ τὴν καταδίκη καὶ εἶπε, «Κύριε, δεῖξε μου μακροθυμία καὶ θὰ σοῦ τὰ ἐπιστρέψω ὅλα»[22], δὲν περίμενε ὁ φιλάνθρωπος τὴν ἀπόδοση, ἀλλὰ θεώρησε τὴν ἐξομολόγηση ἐξόφληση τοῦ χρέους· στὸν ὀφειλέτη τῶν μυρίων ταλάντων τὰ συγχώρησε ὅλα καὶ τὸ ἴδιο τὸ κεφάλαιο, ἐνῶ ἀπὸ τοὺς δίκαιους λέγει ὅτι ἀπαιτεῖ καὶ τοὺς τόκους· «γιατί δὲν δώσατε τὰ χρήματά μου στοὺς τραπεζίτες, ὥστε ἐρχόμενος ἐγώ, νὰ τὰ ζητοῦσα καὶ μὲ τοὺς τόκους;»[23]. Αὐτὰ τὰ λέγω ὄχι γιατὶ ὁ Θεὸς διάκειται ἐχθρικὰ πρὸς τοὺς δίκαιους (γιατὶ τίποτε δὲν ὑπάρχει πιὸ ἀγαπητὸ στὸ Θεὸ ἀπὸ τὸν δίκαιο), ἀλλά, ὅπως εἶπα προηγουμένως, παρηγορεῖ τὸν ἁμαρτωλὸ γιὰ νὰ τὸν σηκώσει ἀπὸ τὴν πτώση του, καὶ φοβίζει τὸν δίκαιο, γιὰ νὰ τὸν στηρίξει· καὶ τοὺς ἁμαρτωλοὺς τοὺς συγχωρεῖ τὰ πολλὰ ἁμαρτήματα, παρὰ τὴν ἐχθρικὴ καὶ ἀλλαζονικὴ στάση τους ἀπέναντί του, ἐνῶ τοὺς δίκαιους τοὺς κρίνει μὲ μεγάλη αὐστηρότητα, θέλοντας νὰ μὴ παρουσιάζει καμιὰ ἔλλειψη ἡ ἀρετή τους. Γιατί, ὅ,τι εἶναι γιὰ τὸν κόσμο αὐτὸ ὁ πλούσιος, αὐτὸ εἶναι γιὰ τὸ Θεὸ ὁ δίκαιος, καὶ ὅ,τι εἶναι γιὰ τὸν κόσμο ὁ φτωχός, αὐτὸ εἶναι γιὰ τὸ Θεὸ ὁ ἁμαρτωλός· δὲν ὑπάρχει τίποτε πιὸ φτωχὸ ἀπὸ τὸν ἁμαρτωλό, καὶ τίποτε πιὸ πλούσιο ἀπὸ τὸν δίκαιο. Γι' αὐτὸ λέγει ὁ Παῦλος γιὰ ἐκείνους ποὺ ζοῦν μὲ εὐσέβεια καὶ ἀρετή· «εὐχαριστῶ τὸ Θεό, γιατὶ μὲ τὴ χάρη του γίνατε πλούσιοι σ' ὅλα, σὲ κάθε λόγο

ἐπλουτίσθητε ἐν αὐτῷ, ὅτι ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει», περὶ δὲ τῶν ἀσεβούντων ὁ μακάριος Ἱερεμίας λέγει· «ἴσως πτωχοί εἰσι, δια τοῦτο οὐκ ἠδύναντο ἀκούειν λόγον Κυρίου».

Ὁρᾷς ὅπως πτωχοὺς καλεῖ τοὺς ἀπεσχοινισμένους τῆς εὐσεβείας; Ὡς πτωχοὺς τοίνυν τοὺς ἁμαρτάνοντας ἐλεεῖ, καὶ ὡς πλουσίους τοὺς δικαιοπραγοῦντας ἀπαιτεῖ, τοῖς μὲν διὰ τὴν πενίαν χαριζόμενος, τοῖς δὲ διὰ τὸν τῆς εὐσεβείας πλοῦτον μετὰ πολλῆς ἀκριβείας τοὺς λόγους εἰσπραττόμενος. Ὃ δὲ ποιεῖ ἐπὶ δικαίων καὶ ἁμαρτωλῶν, τοῦτο ποιεῖ καὶ ἐπὶ πλουσίων καὶ πενήτων· καὶ ὥσπερ τὸν ἁμαρτάνοντα ἐγείρει διὰ φιλανθρωπίαν, τὸν δὲ δίκαιον φοβεῖ διὰ τῆς ἀποτομίας, οὕτω καὶ ἐν τοῖς κοσμικοῖς πράγμασιν διατίθησι τὴν ἑαυτοῦ οἰκονομίαν. Ἐὰν ἴδῃ δυνατοὺς ἀξιώμασιν ὑπερλάμποντας, βασιλεῖς, ἄρχοντας, πάντας τοὺς ἐν πλούτῳ διαπρέποντας, τούτους διαλέγεται μετὰ φόβου καὶ ἐπιτίθησι χρησίμως τῇ δυναστείᾳ τὸν φόβον· «καὶ νῦν, βασιλεῖς, σύνετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν· δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ»· ὅτι «βασιλεύς ἐστι τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων». Ὅπου ἀρχὴ δυναστείας, ἐπιτίθησι τὸν φόβον τῆς αὐτοῦ βασιλείας· ὅπου ταπείνωσις εὐτελείας, προσφέρει τὸ φάρμακον τῆς ἑαυτοῦ φιλανθρωπίας. Ὁ γὰρ Θεὸς οὗτος μέγας βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων· οὗτος αὐτός, πάλιν ὑποβαίνων τῆς ἑαυτοῦ ἀξίας, εὑρίσκεται κατὰ τὴν ἁγίαν Γραφὴν πατὴρ ὀρφανῶν καὶ κριτὴς τῶν χηρῶν, βασιλέων βασιλεύς, ἀρχόντων ἄρχων, κυριευόντων Κύριος.

Ὁρᾷς πολλὴν ἀφθονίαν φιλανθρωπίας; ὁρᾷς χρήσιμον τὸν φόβον τῆς εὐσεβείας καὶ τῆς ἐξουσίας; Ὅπου μὲν γὰρ εἶδεν ἀρκοῦσαν τὴν ἐξουσίαν εἰς παραμυθίαν, ἐπέθηκε τὸν φόβον εἰς ὠφέλειαν, ὅπου δὲ εἶδε παραλελυμένην τῇ εὐτελείᾳ τὴν ὀρφανίαν καὶ τὴν πτωχείαν τῇ ἀτονίᾳ τῆς χηρείας, προσήγαγε τὴν φιλανθρωπίαν εἰς

---

24. Α' Κορ. 1,4–5.
25. Ἱερ. 5,4.
26. Ψαλμ. 2,10.
27. Α' Τιμ. 6,15.
28. Ψαλμ. 67,6.

καὶ κάθε γνώση»[24]. Γιὰ ἐκείνους πάλι ποὺ ἀσεβοῦν λέγει ὁ μακάριος Ἰερεμίας· «ἴσως εἶναι φτωχοί, καὶ γι' αὐτὸ δὲν μποροῦσαν ν' ἀκοῦν τὸ λόγο τοῦ Κυρίου»[25].

Βλέπεις πῶς ὀνομάζει φτωχοὺς ἐκείνους ποὺ ἀπομακρύνθηκαν ἀπὸ τὴν εὐσέβεια; Ἐκείνους λοιπὸν ποὺ ἁμαρτάνουν, σὰν φτωχοὶ ποὺ εἶναι, τοὺς ἐλεεῖ, ἐνῶ ἔχει ἀπαιτήσεις ἀπὸ ἐκείνους ποὺ κάνουν ἐνάρετη ζωή, σὰν πλούσιοι ποὺ εἶναι· στοὺς πρώτους χαρίζει ἐξ αἰτίας τῆς φτώχειας τους, ἐνῶ στοὺς ἄλλους ἐξ αἰτίας τοῦ πλούτου τῆς εὐσέβειάς τους εἰσπράττει μὲ πολλὴ ἀκρίβεια τοὺς λόγους. Καὶ ἐκεῖνο ποὺ κάμνει στὴν περίπτωση τῶν δικαίων καὶ τῶν ἁμαρτωλῶν, αὐτὸ κάμνει καὶ στὴν περίπτωση τῶν πλουσίων καὶ τῶν φτωχῶν· καὶ ὅπως ἀκριβῶς ἀπὸ φιλανθρωπία σηκώνει τὸν ἁμαρτωλὸ ἀπὸ τὴν πτώση του, ἐνῶ τὸν δίκαιο τὸν φοβίζει μὲ τὴν αὐστηρότητά του, ἔτσι καὶ στὰ κοσμικὰ πράγματα παρέχει τὴν οἰκονομία του. Ἂν δεῖ ἐξουσιαστὲς νὰ λάμπουν μὲ τὰ ἀξιώματά τους, βασιλεῖς δηλαδὴ καὶ ἄρχοντες καὶ ὅλους ἐκείνους ποὺ διαπρέπουν μὲ τὸν πλοῦτο τους, πρὸς αὐτοὺς ὁμιλεῖ μὲ λόγια φοβερὰ καὶ βάζει πρὸς ὠφέλεια τὸν φόβο στὴν ἐξουσία· «καὶ τώρα, βασιλεῖς, δεῖξτε σύνεση, γνωρίστε τὸ καλὸ ὅλοι ἐσεῖς ποὺ κρίνετε στὴ γῆ· δουλέψτε στὸν Κύριο μὲ φόβο καὶ νιῶστε μὲ τρόμο ἀγαλλίαση γι' αὐτόν»[26]· «γιατὶ εἶναι ὁ βασιλιὰς τῶν βασιλιάδων καὶ Κύριος ἐκείνων ποὺ ἐξουσιάζουν»[27]. Ὅπου ὑπάρχει ἀρχὴ ἐξουσίας, θέτει τὸ φόβο τῆς βασιλείας του· ὅπου ταπείνωση τοῦ φτωχοῦ, προσφέρει τὸ φάρμακο τῆς φιλανθρωπίας του. Γιατὶ ὁ Θεός, αὐτὸς εἶναι ὁ μέγας βασιλιὰς τῶν βασιλιάδων καὶ ὁ Κύριος τῶν ἐξουσιαστῶν· αὐτὸς ὁ ἴδιος, ὑποβιβάζοντας πάλι τὴν ἀξία του, βρίσκεται νὰ εἶναι, κατὰ τὴν ἁγία Γραφή, «πατέρας τῶν ὀρφανῶν καὶ κριτὴς τῶν χηρῶν»[28], βασιλιὰς τῶν βασιλιάδων, ἄρχοντας τῶν ἀρχόντων, Κύριος τῶν ἐξουσιαστῶν.

Βλέπεις τὴ μεγάλη ἀφθονία τῆς φιλανθρωπίας του; Βλέπεις ποὺ ὁ φόβος εἶναι χρήσιμος γιὰ τοὺς εὐσεβεῖς καὶ τοὺς ἐξουσιαστές; Γιατὶ ὅπου εἶδε τὴν ἐξουσία νὰ ἐπαρκεῖ γιὰ παρηγοριὰ πρόσθεσε τὸ φόβο πρὸς ὠφέλεια, ὅπου πάλι εἶδε τὴν ὀρφάνια παραλυμένη ἀπὸ τὴν εὐτέλεια καὶ τὴ φτώχεια τῆς χηρείας ἀπὸ τὴν ἀδυ-

παραμυθίαν· «ἐγὼ πατὴρ τῶν ὀρφανῶν». Δύο ποιεῖ, καὶ τὴν φιλανθρωπίαν δείκνυσι, καὶ τὴ δυναστείαν κολάζει. Καλεῖ ἑαυτὸν πατέρα τῶν ὀρφανῶν, ἵνα καὶ τοὺς ἐν συμφορᾷ παραμυθήσηται καὶ τοὺς ἐν δυναστείᾳ καταπλήξῃ, ὥστε μὴ ἐπηρεάζειν ὀρφανοῖς τε καὶ χήραις· ἐπειδὴ ὁ θάνατος ἐγύμνωσε τὸν μὲν τοῦ πατρός, τὴν δὲ ἐστέρησε τοῦ ἀνδρός, καὶ οὓς διέφθειρεν ὁ τῆς φύσεως νόμος, ἀνεκαίνισεν ὁ τῆς φιλανθρωπίας ὅρος· καὶ ἡ αὐτὴ χάρις τῇ μὲν ἔδωκε τὸν κριτήν, τῷ δὲ ὀρφανῷ πατέρα, τὸν βασιλέα τῶν ἁγίων. Ὥστε, φησί, ὦ ἄδικε, ἐὰν χήραις ἐπηρεάζῃς, τὸν τῶν χηρῶν προνοητὴν παροξύνεις· ἐὰν ὀρφανοὺς ἀδικῇς, υἱοὺς ἀδικεῖς Θεοῦ. Ἐγώ εἰμι ὁ πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν· τίς δὲ οὕτω τολμηρὸς πρὸς ἀσέβειαν, ὥστε υἱοὺς ἀδικεῖν Θεοῦ καὶ ταῖς ὑπὸ τοῦ Θεοῦ προνοουμέναις χήραις ἐπηρεάζειν; Ὁρᾷς πῶς χρησίμως κατασκευάζει τὰ φάρμακα τῆς εὐσεβείας, καὶ τοὺς μὲν φοβεῖ, τοὺς δὲ ἐλεεῖ, οὐκ αὐτὸς μεριζόμενος, πρὸς δὲ τὰς γνώμας τῶν ἀνθρώπων ἁρμοζόμενος;

Προσάγωμεν τοίνυν ἑαυτοῖς, ἀδελφοί, φάρμακον εἰς σωτηρίαν τὴν μετάνοιαν· μᾶλλον δὲ δεξώμεθα παρὰ τοῦ Θεοῦ τὴν μετάνοιαν ἰατρεύουσαν ἡμᾶς. Οὐ γὰρ ἡμεῖς αὐτῷ ταύτην προσάγομεν, ἀλλ' αὐτὸς ἡμῖν ταύτην ἐχορήγησεν. Ὁρᾷς αὐτοῦ τὴν ἀκρίβειαν τὴν ἐν τῷ νόμῳ; ὁρᾷς τὴν φιλανθρωπίαν αὐτοῦ τὴν ἐν τῇ χάριτι; Ὅταν δὲ εἴπω τὴν ἀκρίβειαν τὴν ἐν τῷ νόμῳ, οὐ διαβάλλω κρίσιν, ἀλλὰ τῆς εὐαγγελικῆς χάριτος κηρύττω τὴν φιλανθρωπίαν· ὅτι ὁ μὲν νόμος ἀπαραιτήτως ἐκόλαζε τοὺς ἁμαρτάνοντας, ἡ δὲ χάρις μετὰ πολλῆς μακροθυμίας ὑπερτίθεται τὴν τιμωρίαν, ἵνα ἐπαγάγῃ τὴν διόρθωσιν. Δεξώμεθα τοίνυν μετάνοιαν, ἀδελφοί, φάρμακον εἰς σωτηρίαν, δεξώμεθα φάρμακον ἐξαλεῖφον ἡμῶν τὰ πταίσματα. Μετάνοια δέ ἐστιν, οὐχ ἡ λόγῳ κηρυττομένη, ἀλλ' ἡ πράγμασι βεβαιουμένη· μετάνοια ἡ ἐξ αὐτῆς τῆς καρδίας ἐξαλείφουσα τὸν ῥύπος τῆς ἀσε-

ναμία, πρόσθεσε πρὸς παρηγοριὰ τὴ φιλανθρωπία· «ἐγὼ εἶμαι πατέρας τῶν ὀρφανῶν». Δύο πράγματα κάμνει· καὶ τὴ φιλανθρωπία του δείχνει, καὶ τὴν ἐξουσία τὴν τιμωρεῖ. Ὀνομάζει τὸν ἑαυτό του πατέρα τῶν ὀρφανῶν, ὥστε καὶ ἐκείνους ποὺ βρίσκονται σὲ συμφορὰ νὰ τοὺς παρηγορήσει, καὶ ἐκείνους ποὺ ἀσκοῦν τὴν ἐξουσία νὰ τοὺς φοβίσει, ὥστε νὰ μὴ ἀδικοῦν τοὺς ὀρφανοὺς καὶ τὶς χῆρες. Ἐπειδὴ ὁ θάνατος στέρησε τὸν πατέρα ἀπὸ τὸν ὀρφανὸ καὶ ἀπὸ τὴ χήρα τὸν ἄνδρα, ἐκείνους ποὺ τοὺς ἔβλαψε ὁ νόμος τῆς φύσεως, τοὺς ἐνίσχυσε ἡ δύναμη τῆς φιλανθρωπίας· καὶ ἡ ἴδια χάρη σ' ἐκείνη ἔδωσε τὸν κριτή, ἐνῶ στὸ ὀρφανὸ τὸν πατέρα, τὸν βασιλιὰ τῶν ἁγίων. Ὥστε, ἄδικε, λέγει, ἂν ἀδικεῖς τὶς χῆρες, παροργίζεις ἐκεῖνον ποὺ προνοεῖ γιὰ τὶς χῆρες· ἂν ἀδικεῖς τοὺς ὀρφανούς, ἀδικεῖς τοὺς υἱοὺς τοῦ Θεοῦ. Ἐγὼ εἶμαι ὁ πατέρας τῶν ὀρφανῶν καὶ κριτὴς τῶν χηρῶν· καὶ ποιός εἶναι τόσο τολμηρὸς πρὸς ἀσέβεια, ὥστε ν' ἀδικεῖ τοὺς υἱοὺς τοῦ Θεοῦ καὶ νὰ βλάπτει τὶς χῆρες γιὰ τὶς ὁποῖες προνοεῖ ὁ Θεός; Βλέπεις πῶς προσφέρει πρὸς ὠφέλεια τὰ φάρμακα τῆς εὐσέβειας, καὶ ἄλλους τοὺς φοβίζει, ἄλλους τοὺς ἐλεεῖ, χωρὶς ὁ ἴδιος νὰ διαιρεῖται, ἀλλὰ προσαρμοζόμενος στὶς γνῶμες τῶν ἀνθρώπων;

Ἂς προσφέρομε λοιπόν, ἀδελφοί, στοὺς ἑαυτούς μας τὴ μετάνοια σὰν φάρμακο γιὰ σωτηρία· ἢ καλύτερα ἂς δεχθοῦμε ἀπὸ τὸ Θεὸ τὴ μετάνοια ποὺ μᾶς γιατρεύει. Γιατὶ δὲν προσφέρομε ἐμεῖς αὐτὴν σ' αὐτόν, ἀλλ' αὐτὸς χορήγησε αὐτὴν σ' ἐμᾶς. Βλέπεις τὴν αὐστηρότητά του στὴν ἐφαρμογὴ τῶν ἐντολῶν τοῦ νόμου; βλέπεις τὴ φιλανθρωπία του στὴν ἐποχὴ τῆς χάριτος; Ὅταν λέγω γιὰ τὴν αὐστηρότητα ποὺ ἔδειχνε κατὰ τὴν ἐποχὴ τοῦ νόμου, δὲν κατηγορῶ τὴν κρίση του, ἀλλὰ διακηρύσσω τὴ φιλανθρωπία τῆς χάριτος τοῦ Εὐαγγελίου· ὅτι δηλαδὴ ὁ νόμος τιμωροῦσε ἀναγκαστικὰ ἐκείνους ποὺ ἁμάρταναν, ἐνῶ ἡ χάρη μὲ πολλὴ μακροθυμία μεταθέτει τὴν τιμωρία, γιὰ νὰ προσφέρει τὴ διόρθωση. Ἂς δεχθοῦμε λοιπόν, ἀδελφοί, τὴ μετάνοια σὰν φάρμακο πρὸς σωτηρία, ἂς τὴ δεχθοῦμε σὰν φάρμακο ποὺ ἐξαλείφει τὰ πταίσματά μας. Καὶ μετάνοια εἶναι ὄχι ἐκείνη ποὺ διακηρύσσεται μὲ λόγια, ἀλλ' ἐκείνη ποὺ διαβεβαιώνεται ἀπὸ τὰ ἴδια τὰ πράγματα· μετάνοια εἶναι ἐκείνη

βείας· «λούσασθε» γάρ, φησί, «καθαροὶ γίνεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν καρδιῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου». Τί βούλεται τὸ περιττὸν τῆς λέξεως; Τὸ γὰρ «ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν καρδιῶν ὑμῶν» οὐχ ἱκανὸν μηνῦσαι τὸ πᾶν; Διὰ τί οὖν, «ἀπέναντι τῶν ὀφθαλμῶν μου»; Ἐπειδὴ ἄλλως ὁρῶσιν ὀφθαλμοὶ ἀνθρώπων, καὶ ἄλλως ὁρᾷ ὀφθαλμὸς τοῦ Θεοῦ. «Ἄνθρωπος» γὰρ «εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν». Μὴ σχήμασι, φησί, νοθεύσητε τὴν μετάνοιαν, ἀλλ' ἀπέναντι τῶν ὀφθαλμῶν μου, τῶν τὰ κρυπτὰ ἐρευνώντων, δείξατε τοὺς καρποὺς τῆς μετανοίας.

4. Δεῖ δὲ ἡμᾶς καθαιρομένους ἀπὸ τῶν ἁμαρτιῶν πρὸ ὀφθαλμῶν ἔχειν αὐτὰ τὰ ἁμαρτήματα· κἂν ὁ Θεὸς διὰ φιλανθρωπίαν συγχωρήσῃ σοι τὴν ἁμαρτίαν, ἀλλὰ σὺ πρὸς τὴν ἀσφάλειαν τῆς ἑαυτοῦ ψυχῆς πρὸ ὀφθαλμῶν ἔχε τὴν ἁμαρτίαν. Ἡ γὰρ μνήμη τῶν προλαβόντων ἐποχὴ γίνεται τῶν μελλόντων· καὶ ὁ ἐπὶ τοῖς προτέροις δακνόμενος, περὶ τὰ δεύτερα ἀσφαλεστέραν τὴν γνώμην δείκνυσι. Διὰ τοῦτο καὶ ὁ Δαυΐδ, «καὶ ἡ ἁμαρτία μου», φησίν, «ἐνώπιόν μού ἐστι διὰ παντός», ἵνα πρὸ ὀφθαλμῶν ἔχων τὰ προλαβόντα, μὴ περιπέσῃ τοῖς μέλλουσιν. Ὅτι δὲ ταύτην παρ' ἡμῶν ὁ Θεὸς ἀπαιτεῖ τὴν κατάστασιν, ἄκουσον αὐτοῦ λέγοντος· «ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθήσομαι· σὺ δὲ μνήσθητι, καὶ κριθῶμεν, λέγει Κύριος· λέγε σὺ πρῶτον τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς». Οὐκ ἀναμένει ὁ Θεὸς χρόνον τὸν ἀπὸ τῆς μετανοίας· εἶπες τὴν ἁμαρτίαν σου, ἐδικαιώθης· μετενόησας, ἠλεήθης. Οὐ χρόνος ἀπολογεῖται, ἀλλ' ὁ τρόπος τοῦ μετανοοῦντος τὴν ἁμαρτίαν σβέννυσιν· ἔστι καὶ χρόνῳ πολλῷ παρεδρεύσαντα μὴ τυχεῖν σωτηρίας, καὶ ἐν ὀλίγῳ χρόνῳ γνησίως ἐξομολογησάμενον ἀποδύσασθαι τὴν ἁμαρτίαν. Πολὺν ἀνάλωσε χρόνον ὁ μακάριος Σαμουὴλ ἀξιῶν περὶ τοῦ Σαούλ, καὶ πολλὰς νύκτας διήνυσεν ἀγρυπνῶν περὶ τῆς τοῦ ἁμαρτήσαντος σωτηρίας· ὁ δὲ Θεὸς τὸν χρόνον παραπεμ-

---

29. Ἠσ. 1,16.
30. Α' Βασ. 16,7.
31. Ψαλμ. 50,5.
32. Ἠσ. 43,25.

ποὺ ἐξαλείφει τὸν ρύπο τῆς ἁμαρτίας ἀπὸ τὴν καρδιά· γιατὶ λέγει· «λουσθῆτε· γίνατε καθαροί· ἀπομακρύνατε τὶς πονηρίες ἀπὸ τὶς καρδιές σας κι' ἀπὸ τὰ μάτια μου μπροστά»[29]. Τί θέλει νὰ πεῖ μὲ τὶ περιττὲς λέξεις ποὺ ἀναφέρει; τὸ «ἀφαιρέστε τὶς πονηρίες ἀπὸ τὶς καρδιές σας», δηλαδὴ δὲν ἦταν ἀρκετὸ νὰ δηλώσει τὸ πᾶν; Γιατί λοιπὸν προσθέτει «μπροστὰ ἀπὸ τὰ μάτια μου»; Ἐπειδὴ διαφορετικὰ βλέπουν τὰ μάτια τῶν ἀνθρώπων καὶ διαφορετικὰ ὁ ὀφθαλμὸς τοῦ Θεοῦ. Γιατί, «ὁ ἄνθρωπος βλέπει στὸ πρόσωπο, ἐνῶ ὁ Θεὸς στὴν καρδιά»[30]. Μὴ νοθέψετε, λέγει, τὴ μετάνοια μὲ προσχήματα, ἀλλὰ δεῖξτε τοὺς καρποὺς τῆς μετάνοιας ἀπέναντι στὰ μάτια μου, ποὺ ἐρευνοῦν τὰ κρυφά.

4. Πρέπει λοιπὸν ἐμεῖς, γιὰ νὰ καθαρισθοῦμε ἀπὰ τὶς ἁμαρτίες μας, νὰ ἔχομε μπροστὰ στὰ μάτια μας αὐτὰ τὰ ἁμαρτήματα· κι ἂν ἀκόμα ὁ Θεὸς ἀπὸ φιλανθρωπία συγχωρήσει τὴν ἁμαρτία σου, σὺ ὅμως γιὰ ασφάλεια τῆς ψυχῆς σου ἔχε τὴν ἁμαρτία μπροστὰ στὰ μάτια σου. Γιατὶ ἡ ἀνάμνηση τῶν ἁμαρτιῶν ποὺ διαπράχθηκαν γίνεται αἰτία ἀποφυγῆς ἄλλων μελλοντικῶν ἁμαρτιῶν· καὶ ἐκεῖνος ποὺ ὑποφέρει γιὰ τὰ προηγούμενα ἁμαρτήματα, δείχνει τὴ γνώμη του πιὸ ἀσφαλὴ γιὰ τὰ ἑπόμενα. Γι' αὐτὸ καὶ ὁ Δαυῒδ λέγει, «ἡ ἁμαρτία μου βρίσκεται μπροστά μου πάντοτε»[31], ὥστε, ἔχοντας μπροστὰ στὰ μάτια του ἐκεῖνα ποὺ διαπράχθηκαν, νὰ μὴ περιπέσει σὲ μελλοντικά. Καὶ τὸ ὅτι ὁ Θεὸς ἀπαιτεῖ ἀπὸ μᾶς αὐτὴ τὴν κατάσταση, ἄκουσε τὸν ἴδιο ποὺ λέγει· «ἐγὼ εἶμαι ἐκεῖνος ποὺ ἐξαλείφω τὶς ἁμαρτίες σου καὶ δὲ θὰ τὶς θυμηθῶ· σὺ ὅμως νὰ τὶς θυμᾶσαι, καὶ θὰ λογαριασθοῦμε, λέγει ὁ Κύριος· λέγε σὺ πρῶτα τὶς ἁμαρτίες σου, γιὰ νὰ δικαιωθεῖς»[32]. Δὲν περιμένει ὁ Θεὸς νὰ περάσει χρόνος ἀπὸ τὴ μετάνοια· εἶπες τὴν ἁμαρτία σου, δικαιώθηκες· μετανόησες, ἐλεήθηκες. Δὲν ἀπομακρύνει τὴν ἁμαρτία ὁ χρόνος, ἀλλ' ὁ τρόπος ἐκείνου ποὺ μετανοεῖ σβήνει τὴν ἁμαρτία· εἶναι δυνατὸ νὰ περάσει πολὺς χρόνος καὶ νὰ μὴ ἐπιτύχει κάποιος τὴ σωτηρία, καὶ ἄλλος πάλι μέσα σὲ λίγο χρόνο, ἀφοῦ ἐξομολογηθεῖ εἰλικρινά, ν' ἀπαλλαχθεῖ ἀπὸ τὴν ἁμαρτία. Ὁ μακάριος Σαμουὴλ ἀφιέρωσε πολὺ χρόνο παρακαλώντας γιὰ τὸν Σαοὺλ καὶ πέρασε πολλὲς νύχτες ξάγρυπνος γιὰ τὴ σωτηρία ἐκείνου τοῦ ἁμαρτωλοῦ·

πόμενος (οὐ γὰρ συνέδραμε τῇ ἱκεσίᾳ τοῦ προφήτου ἡ μετάνοια τοῦ ἁμαρτήσαντος), λέγει πρὸς τὸν ἑαυτοῦ προφήτην· «ἕως πότε σὺ πενθεῖς περὶ Σαούλ, κἀγὼ ἀπῶσμαι αὐτόν;». Τὸ «ἕως πότε», τὸν χρόνον δείκνυσι καὶ τὴν παραμονὴν τοῦ ἱκετεύοντος· καὶ ἀπεπέμψατο ὁ Θεὸς τὸν χρόνον τῆς ἱκεσίας τοῦ προφήτου· οὐ γὰρ συνέδραμε τῇ πρεσβείᾳ τοῦ δικαίου ἡ μετάνοια τοῦ βασιλέως. Τῷ δέ γε μακαρίῳ Δαυΐδ, δεξαμένῳ τὸν ἔλεγχον τῆς ἁμαρτίας διὰ τοῦ ἁγίου Ναθὰν τοῦ προφήτου καὶ εὐθέως πρὸς τὴν ἀπειλὴν ἐπιδειξαμένῳ τὴν γνησίαν ἐπιστροφὴν καὶ εἰπόντι, «ἥμαρτον τῷ Κυρίῳ», εὐθέως ῥῆμα ἓν ἐν μιᾷ ῥοπῇ προενεχθὲν γνησίως ὁλόκληρον ἤνεγκε τῷ μετανοήσαντι τὴν σωτηρίαν· εὐθὺς γὰρ ἡ διόρθωσις κατέλαβε τὴν ἀπόφασιν. Φησὶ γοῦν πρὸς αὐτὸν ὁ Ναθάν· «καὶ Κύριος ἀφῆκε τὴν ἁμαρτίαν σου».

Ὅρα δέ μοι τὸν Θεὸν βραδὺν εἰς τιμωρίαν καὶ ταχὺν εἰς σωτηρίαν· καί μοι πρῶτον ἐννόησον, ὅπως τὸν ἔλεγχον ὁ φιλάνθρωπος μετὰ πολλοὺς προσήγαγε χρόνους. Ἥμαρτεν ὁ Δαυΐδ· ἐκυοφόρησεν ἡ γυνή, καὶ οὐδεὶς ἔλεγχος τῇ ἁμαρτίᾳ παρηκολούθησεν, ἀλλὰ μετὰ τὸ ἀποτεχθῆναι τὸ βρέφος τὸ ἐκ τῆς ἁμαρτίας, ἀποστέλλεται ὁ ἰατρὸς τῆς ἁμαρτίας. Διὰ τί δὲ ἁμαρτήσαντα εὐθέως οὐ διωρθώσατο; Ἐπειδὴ οἶδεν ἐν ταῖς ἀκμαῖς τῶν ἁμαρτημάτων τυφλώττουσαν τὴν ψυχὴν τῶν ἁμαρτανόντων, διότι ἐκκεκώφωται τὰ ὦτα τῶν βεβαπτισμένων ἐν τῷ βάθει τῆς ἁμαρτίας. Ὑπερτίθεται οὖν φλεγμαίνοντι τῷ πάθει προσάγειν τὴν βοήθειαν, καὶ μετὰ τοσοῦτον χρόνον ὁ ἔλεγχος προσέρχεται· καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ ἡ μετάνοια καὶ ἡ ἄφεσις. «Καὶ Κύριος ἀφῆκε τὴν ἁμαρτίαν σου». Ὢ τῆς οἰκονομίας τοῦ ἀπειλήσαντος. Ὁρᾷς ὅτι ὀξὺς εἰς σωτηρίαν; Τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ποιεῖ, βραδύνων μὲν πρὸς καθαίρεσιν, ταχύνων δὲ πρὸς ἀντίληψιν. Οἷόν τι λέγω· ἐφ' ἡμῶν τῶν ἀνθρώπων διὰ πολλῶν χρόνων τὰ κτίσματα κατασκευάζεται καὶ ἐν πολλῷ χρόνῳ κτίζομεν οἶκον· καὶ τῆς μὲν οἰκοδομῆς πολὺς ὁ χρό-

---

33. Α' Βασ. 16,1.
34. Β' Βασ. 12,13.

καὶ ὁ Θεός, ἀφήνοντας τὸ χρόνο νὰ περνᾶ (γιατὶ δὲν βοήθησε τὴν ἱκεσία τοῦ προφήτη ἡ μετάνοια τοῦ ἁμαρτωλοῦ), λέγει στὸν προφήτη του· «μέχρι πότε σὺ θὰ πενθεῖς γιὰ τὸν Σαούλ, κι ἐγὼ νὰ τὸν ἔχω μακριὰ ἀπὸ μένα;»[33]. Τὸ «μέχρι πότε», δείχνει τὸ χρόνο καὶ τὴν ἐπιμονὴ ἐκείνου ποὺ ἱκέτευε· ὁ Θεὸς ὅμως ἀπέρριψε τὸ χρόνο τῆς ἱκεσίας τοῦ προφητη· γιατὶ δὲν βοήθησε τὴ μεσολάβηση τοῦ δικαίου ἡ μετάνοια τοῦ βασιλιᾶ. Στὴν περίπτωση ὅμως τοῦ μακάριου Δαυΐδ, ποὺ δέχθηκε τὸν ἔλεγχο τοῦ προφήτη Νάθαν γιὰ τὴν ἁμαρτία του καὶ μετὰ τὴν ἀπειλὴ ἔδειξε ἀμέσως εἰλικρινῆ μετάνοια καὶ εἶπε, «ἁμάρτησα στὸν Κύριό μου»[34], ἀμέσως ἕνας λόγος εἰλικρινής, ποὺ λέχθηκε μέσα σὲ μιὰ στιγμή, πρόσφερε ὅλη τὴ σωτηρία σ' ἐκεῖνον ποὺ μετανόησε· ἀμέσως δηλαδὴ ἡ διόρθωση ἀκολούθησε τὴν ἀπόφαση. Γιατὶ λέγει πρὸς αὐτὸν ὁ Νάθαν· «καὶ ὁ Κύριος συγχώρησε τὴν ἁμαρτία σου».

Καὶ πρόσεχε, σὲ παρακαλῶ, τὸ Θεὸ ποὺ εἶναι βραδὺς γιὰ τιμωρία καὶ γρήγορος γιὰ σωτηρία· καὶ πρῶτα σκέψου, ὅτι ὁ φιλάνθρωπος ἔκαμε τὸν ἔλεγχο μετὰ ἀπὸ πολλὰ χρόνια. Ἁμάρτησε ὁ Δαυΐδ, ἔμεινε ἔγκυος ἡ γυναίκα καὶ κανένας ἔλεγχος δὲν ἀκολούθησε τὴν ἁμαρτία, ἀλλά, ἀφοῦ γεννήθηκε τὸ βρέφος ποὺ συνελήφθηκε ἀπὸ τὴν ἁμαρτία ἐκείνη, τότε στέλνεται ὁ γιατρὸς τῆς ἁμαρτίας . Καὶ γιατί δὲν τὸν διόρθωσε ἀμέσως μετὰ τὴ διάπραξη τῆς ἁμαρτίας; Ἐπειδὴ γνωρίζει ὅτι ἡ ψυχὴ ἐκείνων ποὺ ἁμαρτάνουν εἶναι τυφλὴ τὴν ὥρα ποὺ διαπράττονται τὰ ἁμαρτήματα, γιατὶ ἔχουν κουφαθεῖ τ' αὐτιὰ ἐκείνων ποὺ εἶναι βυθισμένοι στὸ βάθος τῆς ἁμαρτίας. Ἀναβάλλει λοιπὸν νὰ προσφέρει τὴ βοήθειά του ὅταν τὸ πάθος βρίσκεται στὴν ἔξαψή του καὶ ὁ ἔλεχος γίνεται μετὰ ἀπὸ τόσο χρόνο· καὶ τότε μέσα σὲ μιὰ στιγμὴ δίνεται ἡ μετάνοια καὶ ἡ ἄφεση. «Καὶ ὁ Κύριος συγχώρησε τὴν ἁματία σου». Πὼ πὼ μέγεθος οἰκονομίας ἐκείνου ποὺ ἀπείλησε. Βλέπεις ὅτι εἶναι ταχὺς πρὸς σωτηρία; Τὸ ἴδιο κάμνει καὶ στοὺς ἄλλους· ἀργεῖ βέβαια νὰ ἐξαλείψει τὴν ἁμαρτία, ἀλλὰ ἐπιταχύνει τὴ βοήθειά του. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· ἀπὸ ἐμᾶς τοὺς ἀνθρώπους τὰ κτίρια χτίζονται σὲ διάρκεια πολλῶν χρόνων καὶ σὲ πολὺ χρόνο χτίζομε ἕναν οἶκο· καὶ γιὰ τὴν οἰκοδομὴ βέβαια ἀπαιτεῖται πολὺς

νος, τῆς δὲ καθαιρέσεως ὀλίγος. Ἐπὶ δὲ τοῦ Θεοῦ τὸ ἀνάπαλιν ὅταν κτίζῃ, ταχέως κτίζει· ὅταν καταστρέφῃ, βραδέως καταστρέφει. Ταχὺς ὁ Θεὸς κτίζων, βραδὺς καταστρέφων· ἐπειδὴ Θεῷ τὰ δύο πρέποντα· καὶ γὰρ ἐκεῖνο, δυνάμεως, καὶ τοῦτο, ἀγαθότητος· δι' ὑπερβολὴν δυνάμεως ταχύς, διὰ πολλὴν ἀγαθότητα βραδύς· ἔλεγχος δὲ τῶν ῥημάτων, ἡ πεῖρα τῶν πραγμάτων. Ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, τὰ μεγέθη τῶν ὀρέων, τὰς πεδιάδας, τὰς φάραγγας, τὰς νάπας, τὰς ὕλας, τὰ βλαστήματα, πηγάς, ποταμούς, παράδεισον, πᾶσαν τὴν ὁρωμένην ποικιλίαν, τὴν θάλατταν ταύτην τὴν μεγάλην καὶ εὐρύχωρον, τὰς νήσους, τὰς παραλίους χώρας καὶ τὰς μεσογείους· πάντα τὸν ὁρώμενον τοῦτον κόσμον καὶ τὸ ἐν αὐτῷ κάλλος, ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ Θεός· τὰ ἐν αὐτῷ ζῶα τὰ λογικὰ καὶ τὰ ἄλογα καὶ πᾶσαν τὴν ὁρωμένην διακόσμησιν ἐν ἓξ ἡμέραις ποιεῖ.

Οὗτος οὖν ὁ ταχὺς εἰς τὸ κτίζειν, ὅτε ἐβουλεύσατο μίαν πόλιν καθελεῖν, εὑρέθη βραδὺς δι' ἀγαθότητα. Θέλει καθελεῖν τὴν Ἱεριχὼ καί φησι πρὸς τὸν Ἰσραήλ· «κυκλώσατε αὐτὴν ἐπὶ ἑπτὰ ἡμέρας, καὶ τῇ ἑβδόμῃ ἡμέρᾳ πεσεῖται τὸ τεῖχος». Τὸν κόσμον ὅλον ἐν ἓξ ἡμέραις κατασκευάζεις καὶ μίαν πόλιν ἐν ἑπτὰ ἡμέραις λύεις; τί γὰρ ἐμποδίζει σου τῇ δυναστείᾳ; διὰ τί γὰρ μὴ ἀθρόον καθαιρεῖς; οὐ περὶ σοῦ ὁ προφήτης βοᾷ λέγων, «ἐὰν ἀνοίξῃς τὸν οὐρανόν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυρός»; οὐ τὰ ἔργα τῆς δυνάμεώς σου διηγούμενος, φησὶν ὁ Δαυΐδ, «οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν»; Ὄρη δύνῃ μεθιστᾶν καὶ εἰς θάλασσαν ἐμβάλλειν, καὶ μίαν πόλιν οὐ θέλεις καθελεῖν ἀντιλέγουσαν, ἀλλ' ἑπτὰ ἡμέρας δίδως τῇ καθαιρέσει; διὰ τί; Οὐχ ἡ δύναμις, φησίν, ἀτονεῖ, ἀλλ' ἡ φιλανθρωπία μακροθυμεῖ. Δίδωμι ἑπτὰ ἡμέρας, ὡς τῇ Νινευῒ τρεῖς ἡμέρας· ἴσως δέξεται κήρυγμα μετανοίας καὶ σωθήσεται. Καὶ τίς ὁ κηρύττων αὐτοῖς τὴν μετάνοιαν; Πολέ-

---

35. Ἰησ. Ναυῆ 6,3–8.
36. Ἠσ. 64,1–2.
37. Ψαλμ. 45,3.

χρόνος, ἐνῶ γιὰ τὸ γκρέμισμα λίγος. Στὴν περίπτωστη ὅμως τοῦ Θεοῦ γίνεται τὸ ἀντίθετο· ὅταν χτίζει, χτίζει γρήγορα, ἐνῶ ὅταν καταστρέφει, καταστρέφει ἀργά. Εἶναι ταχὺς ὁ Θεὸς στὸ κτίσιμο καὶ ἀργὸς στὴν καταστροφή, ἐπειδὴ καὶ τὰ δυὸ αὐτὰ πρέπουν στὸ Θεό· γιατὶ τὸ πρῶτο δείχνει τὴ δύναμή του, ἐνῶ τὸ ἄλλο τὴν ἀγαθότητά του· ἐξ αἰτίας τῆς ὑπερβολικῆς δυνάμεώς του εἶναι γρήγορος, ἐνῶ ἐξ αἰτίας τῆς ἀγαθότητός του εἶναι ἀργός, καὶ τὰ λόγια αὐτὰ ἀποδεικνύονται ἀπὸ τὰ ἴδια τὰ πράγματα. Σὲ ἕξι ἡμέρες δημιούργησε ὁ Θεὸς τὸν οὐρανὸ καὶ τὴ γῆ, τὰ μεγάλα ὄρη, τὶς πεδιάδες, τὶς πηγές, τὰ ποτάμια, τὸν παράδεισο, ὅλη τὴν ποικιλία ποὺ βλέπομε, τὴ θάλασσα αὐτὴ τὴ μεγάλη καὶ εὐρύχωρη, τὰ νησιά, τὶς παράλιες χῶρες καὶ τὶς μεσόγειες· ὅλον αὐτὸν τὸν κόσμο ποὺ βλέπομε καὶ τὸ κάλλος αὐτοῦ, ὁ Θεὸς τὰ δημιούργησε σὲ ἕξι ἡμέρες· ἐπίσης τὰ λογικὰ ζῶα αὐτοῦ τοῦ κόσμου καὶ τὰ ἄλογα καθὼς καὶ ὅλη τὴ διακόσμηση ποὺ βλέπομε τὰ δημιουργεῖ σὲ ἕξι ἡμέρες.

Αὐτὸς λοιπὸν ὁ ταχὺς στὸ κτίσιμο, ὅταν θέλησε νὰ καταστρέψει μία πόλη, βρέθηκε, ἐξ αἰτίας τῆς ἀγαθότητός του, βραδύς. Θέλει νὰ καταστρέψει τὴν Ἰεριχὼ καὶ λέγει πρὸς τὸν Ἰσραήλ· «περικυκλῶστε την ἐπὶ ἑπτὰ ἡμέρες καὶ τὴν ἕβδομη ἡμέρα θὰ πέσει τὸ τεῖχος»[35]. Τὸν κόσμο ὅλον τὸν δημιουργεῖς σὲ ἕξι ἡμέρες καὶ τὴν πόλη τὴν καταλύεις σὲ ἑπτὰ ἡμέρες; Τί λοιπὸν ἐμποδίζει τὴ δύναμή σου; γιατί δὲν τὴν καταστρέφεις μέσα σὲ μιὰ στιγμή; Δὲν βροντοφωνάζει γιὰ σένα ὁ προφήτης λέγοντας, «ἂν ἀνοίξεις τὸν οὐρανό, θὰ κυριεύσει τρόμος τὰ ὄρη καὶ θὰ λειώσουν σὰν τὸ κερὶ ποὺ λειώνει μπροστὰ στὴ φωτιά»[36]; δὲν λέγει ὁ Δαυῒδ διηγούμενος τὰ ἔργα σου, «δὲ θὰ φοβηθοῦμε ὅταν ταράσσεται ἡ γῆ καὶ μετατοπίζονται τὰ ὄρη στὰ βάθη τῶν θαλασσῶν»[37]; Ἔχεις τὴ δύναμη νὰ μεταθέτεις ὄρη καὶ νὰ τὰ θέτεις μέσα στὴ θάλασσα καὶ δὲ θέλεις μιὰ πόλη ποὺ ἀντιτίθεται νὰ τὴν καταστρέψεις, ἀλλ' ἀναβάλλεις ἑπτὰ ἡμέρες γιὰ τὴν καταστροφή της; γιατί; Ὄχι, λέγει, ὅτι ἀτονεῖ ἡ δύναμή μου, ἀλλὰ μακροθυμεῖ ἡ φιλανθρωπία μου. Δίνω προθεσμία ἑπτὰ ἡμέρες, ὅπως στὴ Νινευῒ τρεῖς ἡμέρες· ἴσως δεχθεῖ τὸ κήρυγμα μετάνοιας καὶ σωθεῖ. Καὶ ποιός εἶναι αὐτὸς ποὺ κηρύττει

μιοι τὴν πόλιν περιετειχίσαντο· ὁ στρατηγὸς ἐκύκλου τὰ τείχη· πολὺς ὁ φόβος, πολὺ ὁ θόρυβος· ποίαν οὖν αὐτοῖς ὁδὸν τῆς μετανοίας ἀνέωξας; Μὴ γὰρ προφήτην ἀπέστειλας; μὴ γὰρ εὐαγγελιστὴν διεπέμψω, μὴ γὰρ ἦν τις αὐτοῖς ὑποτιθέμενος τὸ συμφέρον; Ναί, φησίν, εἶχον ἔνδον διδάσκαλον τῆς μετανοίας τὴν θαυμαστὴν ἐκείνην Ραάβ, ἣν ἔσωσα διὰ μετανοίας. Τοῦ αὐτοῦ ἦν φυράματος, ἀλλ' ἐπειδὴ ἐξ αὐτοῦ οὐκ ἦν τοῦ φρονήματος, οὐκ ἐκοινώνησε τῇ ἁμαρτίᾳ ἡ μὴ κοινωνήσασα τῇ ἀπιστίᾳ.

5. *Καὶ ὅρα μοι τὸ ξένον τῆς φιλανθρωπίας κήρυγμα· ὁ λέγων ἐν τῷ νόμῳ, «οὐ μοιχεύσεις», οὐ πορνεύσεις, μεταβαλὼν τὸ ρῆμα διὰ φιλανθρωπίαν, βοᾷ διὰ τοῦ μακαρίου Ἰησοῦ, «Ραὰβ ἡ πόρνη ζήτω». Ἰησοῦς ἐκεῖνος ὁ Ναυῆ υἱὸς ὁ λέγων, «ἡ πόρνη ζήτω», εἰκὼν ἦν τοῦ Κυρίου Ἰησοῦ τοῦ λέγοντος, «πόρναι καὶ τελῶναι προάξουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Εἰ ζῆν ὀφείλει, διὰ τί πόρνη; εἰ πόρνη, διὰ τί ζήτω; Λέγω, φησί, τὴν προτέραν κατάστασιν, ἵνα θαυμάσῃς τὴν δευτέραν μετάστασιν. Καὶ τί ἐποίησε, φησίν, ἡ Ραὰβ σωτηρίας πρόξενον; ὅτι ἐδέξατο τοὺς κατασκόπους μετὰ εἰρήνης; Τοῦτο καὶ πανδοχεύτρια ποιεῖ. Ἀλλ' οὐκ ἀπὸ τῆς λέξεως μόνης καρποῦται τὴν σωτηρίαν, ἀλλὰ προηγουμένως ἀπὸ τῆς πίστεως καὶ τῆς πρὸς Θεὸν διαθέσεως. Καὶ ἵνα μάθῃς τὴν ὑπερβολὴν τῆς ἐν αὐτῇ πίστεως, ἄκουε αὐτῆς τῆς Γραφῆς διηγουμένης τὰ μεμαρτυρημένα αὐτῇ κατορθώματα. Ἦν ἐν πορνείῳ, ὥσπερ μαργαρίτης ἐν βορβόρῳ συμπεφυρμένος, χρυσὸς ἐν πηλῷ διερριμμένος, ἄνθος εὐσεβείας ἀκάνθαις κεχωσμένον, εὐσεβὴς ψυχὴ ἐν ἀσεβείας χώρῳ κατεκέκλειστο. Καί μοι πρόσεχε τὸν νοῦν ἀκριβῶς. Ἐδέξατο τοὺς κατασκόπους καὶ ὃν προέδωκεν Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, τοῦτον ἐκήρυξεν ἡ Ραὰβ ἐν τῷ πορνείῳ. Οἷον τί λέγω, ὁ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ; Ὅτε τὸ ὄρος ἐπεπλήρωτο νεφέλης καὶ γνόφου καὶ σαλπίγγων καὶ ἀστραπῶν καὶ τῶν ἄλλων φοβήτρων, ἤκουσε παρὰ τοῦ Θεοῦ ἐκ μέσου τοῦ πυρός· «ἄκουε Ἰσραήλ· Κύ-*

---

38. Ἐξ. 20,14.
39. Ἰησ. Ναυῆ 6,7.
40. Ματθ. 21,31.

μετάνοια σ' αὐτούς; Ἐχθροὶ πολιόρκησαν τὴν πόλη, ὁ στρατηγὸς περικύκλωσε τὰ τείχη· ὁ φόβος εἶναι πολύς, ὁ θόρυβος πολύς· ποιά λοιπὸν ὁδὸ μετάνοιας ἄνοιξες σ' αὐτούς; μήπως τοὺς ἔστειλες προφήτη; μήπως τοὺς ἔστειλες εὐαγγελιστή, μήπως ὑπῆρχε ἀνάμεσά της κάποιος γιὰ νὰ τοὺς ὑποδείξει τὸ συμφέρον τους; Ναί, λέγει, εἶχαν μέσα δάσκαλο τῆς μετάνοιας τὴ θαυμαστὴ ἐκείνη Ραάβ, ποὺ τὴν ἔσωσα ἀφοῦ ἔδειξε μετάνοια. Ἦταν ἀπὸ τὸν ἴδιο φύραμα, ἀλλ' ἐπειδὴ δὲν εἶχε τὸ ἴδιο φρόνημα, δὲν ἔγινε κοινωνὸς τῆς ἁμαρτίας ἐκείνη ποὺ δὲν συμμετέσχε στὴν ἀπιστία.

5. Καὶ πρόσεχε, σὲ παρακαλῶ, τὸ παράξενο κήρυγμα τῆς φιλανθρωπίας· ἐκεῖνος ποὺ λέγει στὸ νόμο, «δὲ θὰ μοιχεύσεις»[38], δὲ θὰ πορνεύσεις, ἀλλάσσοντας τὴν ἐντολὴ ἀπὸ φιλανθρωπία, βροντοφωνάζει μὲ τὸν μακάριο Ἰησοῦ, «ἡ Ραὰβ ἡ πόρνη ἂς ζήσει»[39]. Ὁ Ἰησοῦς ἐκεῖνος ὁ υἱὸς τοῦ Ναυῆ ποὺ λέγει, «ἡ πόρνη ἂς ζήσει», ἦταν εἰκόνα τοῦ Ἰησοῦ τοῦ Κυρίου ποὺ λέγει, «πόρνες καὶ τελῶνες θὰ μποῦν πρὶν ἀπὸ σᾶς στὴ βασιλεία τῶν οὐρανῶν»[40]. Ἂν πρέπει νὰ ζεῖ, γιατί εἶναι πόρνη; Ἂν εἶναι πόρνη, γιατί νὰ ζεῖ; Λέγω, λέγει, τὴν προηγούμενη κατάσταση, γιὰ νὰ θαυμάσεις τὴν στὴ συνέχεια ἀλλαγή της. Καὶ τί ἔκαμε, λέγει, ἡ Ραὰβ ποὺ τῆς χάρισε τὴ σωτηρία; τὸ ὅτι δέχθηκε μὲ εἰρήνη τοὺς κατασκόπους; Αὐτὸ τὸ κάμνει καὶ ἡ ξενοδόχος. Ὅμως δὲν καρποῦται τὴ σωτηρία μόνο ἀπὸ τὸ λόγο ποὺ εἶπε, ἀλλὰ προηγουμένως ἀπὸ τὴν πίστη καὶ ἀπὸ τὴ διάθεση πρὸς τὸ Θεό. Καὶ γιὰ νὰ μάθεις τὴν ὑπερβολικὴ πίστη της, ἄκουε τὴν ἴδια τὴ Γραφὴ ποὺ διηγεῖται τὰ ἐπιβεβαιωμένα γι' αὐτὴν κατορθώματα. Ἦταν σὲ πορνεῖο σὰν μαργαριτάρι ἀναμιγμένο μέσα στὸ βοῦρκο, σὰν χρυσὸς πεταγμένος στὴ λάσπη, σὰν ἄνθος εὐσέβειας χωμένο μέσα στὰ ἀγκάθια, ψυχὴ εὐσεβὴς ποὺ ἔχει κλεισθεῖ σὲ χῶρο τῆς ἀσέβειας. Καὶ πρόσεχε, σὲ παρακαλῶ, μὲ ὅλη τὴ δύναμή σου. Δέχθηκε τοὺς κατασκόπους καὶ ἐκεῖνον ποὺ πρόδωσε ὁ Ἰσραὴλ στὴν ἔρημο, αὐτὸν τὸν κήρυξε ἡ Ραὰβ μέσα στὸ πορνεῖο. Ποιό εἶναι αὐτὸ ποὺ λέγω ὅτι ἔκαμε ὁ Ἰσραὴλ στὴν ἔρημο; Ὅταν τὸ ὄρος εἶχε σκεπασθεῖ ἀπὸ νεφέλη καὶ σκοτάδι καὶ ἀντιχοῦσαν σάλπιγγες καὶ ἀστραπὲς καὶ συνέβαιναν τὰ ἄλλα φοβερά, ἄκουσε ἀπὸ τὸ Θεὸ μέσα ἀπὸ τὴ φωτιά· «ἄκουε Ἰσ-

ριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν»· «οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι»· «ἐγὼ ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω, καὶ πλὴν ἐμοῦ Θεὸς οὐκ ἔστι»· ταῦτα ἀκούων ὁ Ἰσραήλ, μόσχον ἐχώνευσε καὶ Θεὸν ἠθέτησεν· ἠγνόησε τὸν Δεσπότην, ἀπέγνω τὸν εὐεργέτην καὶ λέγει τῷ Ἀαρών· «ποίησον ἡμῖν θεούς». Εἰ θεούς, διὰ τί «ποίησον»; πῶς θεοὶ τὰ γινόμενα; Οὕτως ἡ κακία τυφλώττουσα, αὐτὴ ἑαυτῇ μάχεται καὶ ἑαυτὴν ἀφανίζει. Εἷς ἐγένετο μόσχος καὶ βοᾷ ὁ ἀχάριστος Ἰσραήλ· «οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου».

«Οὗτοι οἱ θεοί»· ἕνα βλέπει μόσχον, ἓν τὸ γινόμενον εἴδωλον, διὰ τί οὖν, «οὗτοι οἱ θεοί»; Ἵνα δείξῃ, ὅτι οὐχ ὃ βλέπει μόνον προσκυνεῖ, ἀλλὰ πολυθεΐαν φαντάζεται· τὴν γνώμην ἑρμηνεύει, οὐ τὸ φαινόμενον κρίνει. Ἵνα δὲ εἰς τὸ προκείμενον ἐπανέλθωμεν πάλιν, ἃ ἤκουσεν Ἰσραήλ, ὁ τοσούτοις περιστοιχιζόμενος θαύμασι καὶ τοσούτῳ νόμῳ παιδαγωγούμενος καὶ ἠρνήσατο, ταῦτα ἡ Ῥαὰβ ἀποκεκλεισμένη ἐν τῷ πορνείῳ κηρύττει· λέγει γὰρ τοῖς κατασκόποις· «ἔγνωμεν ὅσα ἐποίησεν ὁ Θεὸς ἡμῶν τοῖς Αἰγυπτίοις». Ὁ Ἰουδαῖος λέγει, «οὗτοι οἱ θεοί σου οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου», καὶ ἡ πόρνη, οὐ θεοῖς, ἀλλὰ Θεῷ ἐπιγράφει τὴν σωτηρίαν. «Ἔγνωμεν ὅσα ὁ Θεὸς ὑμῶν ἐποίησε τοῖς Αἰγυπτίοις ἐν τῇ ἐρήμῳ, καὶ ἠκούσαμεν, καὶ ἐτάκη ἡμῶν ἡ καρδίᾳ, καὶ ἰσχὺς ἐν ἡμῖν οὐκ ἔστιν. Ἔγνωμεν ὅσα ὁ Θεὸς ὑμῶν ἐποίησε». Βλέπεις πῶς ἀναλαμβάνει τοῦ νομοθέτου τὸ ῥῆμα διὰ πίστεως; «Καὶ οἶδα, ὅτι ὁ Θεὸς ὑμῶν ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐν τῇ γῇ κάτω, καὶ πλὴν αὐτοῦ Θεὸς οὐκ ἔστιν».

Εἰκὼν τῆς Ἐκκλησίας ἡ Ῥαὰβ τῆς ποτε πεφυρμένης τῇ πορνείᾳ τῶν δαιμόνων, δεχομένης δὲ νῦν τοὺς τοῦ Χριστοῦ κατασκόπους, οὐ τοὺς παρὰ Ἰησοῦ τοῦ Ναυῆ, ἀλλὰ τοὺς ἀποστόλους τοὺς παρὰ Ἰησοῦ τοῦ ἀληθινοῦ Σωτῆρος ἀπεσταλμένους. «Ἔγνων», φησίν, «ὅτι ὁ Θεὸς ὑμῶν ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐν τῇ γῇ κάτω,

41. Δευτ. 6,4.
42. Ἐξ. 20,4.
43. Δευτ. 4,39.
44. Ἐξ. 32,1.
45. Ἐξ. 32,4.
46. Ἰησ. Ναυῆ 2,9.
47. Ἐξ. 32,4.

ραήλ· Κύριος ὁ Θεός σου, ἕνας Κύριος εἶναι»[41]· «δὲν θὰ ὑπάρχουν ἄλλοι θεοὶ γιὰ σένα»[42]· «ἐγὼ εἶμαι ἐπάνω στὸν οὐρανὸ καὶ κάτω στὴ γῆ καὶ δὲν ὑπάρχει ἄλλος Θεὸς ἐκτὸς ἀπὸ μένα»[43]· καὶ ἐνῶ ἄκουε αὐτὰ ὁ Ἰσραὴλ κατασκεύασε μοσχάρι καὶ ἀπαρνήθηκε τὸ Θεό· ἀγνόησε τὸν Κύριο, ἀπέρριψε τὸν εὐεργέτη καὶ λέγει στὸν Ἀαρών· «κατασκεύασέ μας θεούς»[44]. Ἐὰν θέλεις θεούς, γιατί λέτε, «κατασκεύασε»; πῶς εἶναι θεοὶ τὰ κατασκευασμένα; Τόσο πολὺ τυφλώνει ἡ κακία, ἡ ἴδια μάχεται τὸν ἑαυτό της καὶ καταστρέφει τὸν ἑαυτό της. Ἕνα μοσχάρι κατασκευάσθηκε καὶ φωνάζει ὁ ἀχάριστος Ἰσραήλ· «αὐτοὶ εἶναι οἱ θεοί σου, Ἰσραήλ, ποὺ σὲ ἔβγαλαν ἀπὸ τὴ γῆ τῆς Αἰγύπτου»[45].

«Αὐτοὶ εἶναι οἱ θεοί σου»· ἕνα μοσχάρι βλέπει, ἕνα εἶναι τὸ κατασκευασμένο εἴδωλο, γιατί λοιπὸν λέγει, «αὐτοὶ εἶναι οἱ θεοί σου»; Γιὰ νὰ δείξει, ὅτι δὲν προσκυνεῖ μόνο ἐκεῖνο ποὺ βλέπει ἀλλὰ φαντάζεται πολυθεΐα· ἑρμηνεύει τὴ γνώμη του, δὲν κρίνει αὐτὸ ποὺ βλέπει. Καὶ γιὰ νὰ ἐπιστρέψομε πάλι στὸ ἐξεταζόμενο θέμα μας, ἐκεῖνα ποὺ ἄκουσε ὁ Ἰσραήλ, ἐκεῖνος ποὺ περιστοιχιζόταν ἀπὸ τόσα θαύματα καὶ διαπαιδαγωγοῦνταν ἀπὸ τέτοιο νόμο, καὶ τὰ ἀρνήθηκε, αὐτὰ τὰ κηρύττει ἡ Ραὰβ κλεισμένη μέσα στὸ πορνεῖο· γιατὶ λέγει στοὺς κατασκόπους· «μάθαμε τὰ ὅσα ἔκαμε ὁ Θεός σας στοὺς Αἰγυπτίους»[46]. Ὁ Ἰουδαῖος λέγει, «αὐτοὶ εἶναι οἱ θεοί σου ποὺ σ' ἔβγαλαν ἀπὸ τὴ γῆ τῆς Αἰγύπτου»[47], καὶ ἡ πόρνη δὲν ἀποδίδει τὴ σωτηρία στοὺς θεούς, ἀλλὰ στὸ Θεό. «Μάθαμε τὰ ὅσα ἔκαμε ὁ Θεός σας στοὺς Αἰγυπτίους στὴν ἔρημο καὶ τὰ ἀκούσαμε καὶ ἔλειωσε ἡ καρδία μας καὶ δὲν μᾶς ἔμεινε δύναμη». «Μάθαμε τὰ ὅσα ἔκαμε ὁ Θεός σας». Βλέπεις πῶς μὲ τὴν πίστη παίρνει στὸ στόμα της τὸ λόγο τοῦ νομοθέτη; «Καὶ γνωρίζω, ὅτι ὁ Θεός σας βρίσκεται ἐπάνω στὸν οὐρανὸ καὶ κάτω στὴ γῆ καὶ δὲν ὑπάρχει αἴτιος ἐκτὸς ἀπὸ αὐτόν».

Ἡ Ραὰβ εἶναι εἰκόνα τῆς Ἐκκλησίας ποὺ κάποτε ἦταν ἀναμιγμένη μέσα στὴν πορνεία τῶν δαιμόνων, καὶ ποὺ τώρα δέχεται τοὺς κατασκόπους τοῦ Χριστοῦ, ὄχι ἐκείνους ποὺ εἶχαν σταλεῖ ἀπὸ τὸν Ἰησοῦ τοῦ Ναυῆ, ἀλλὰ τοὺς ἀποστόλους, ποὺ στάλθηκαν ἀπὸ τὸν Ἰησοῦ τὸν ἀληθινὸ Σωτήρα. «Ἔμαθα», λέγει, «ὅτι ὁ Θεός σας

καὶ πλὴν αὐτοῦ Θεὸς οὐκ ἔστι». Ταῦτα παρέλαβον οἱ Ἰουδαῖοι, καὶ οὐκ ἐφύλαξαν· ταῦτα ἤκουσεν ἡ Ἐκκλησία, καὶ διετήρησεν. Ἀξία τοίνυν ἐπαίνου παντὸς Ραάβ, ἡ εἰκὼν τῆς Ἐκκλησίας. Διὰ τοῦτο καὶ ὁ γενναῖος Παῦλος, καταμαθὼν αὐτῆς τὸ ἀξίωμα τῆς πίστεως, καὶ οὐκ ἀδόκιμον ἡγησάμενος διὰ τὴν προτέραν κατάστασιν, ἀλλὰ δόκιμον διὰ τὴν ἔνθεον μεταβολήν, συναριθμεῖ αὐτὴν τοῖς ἁγίοις πᾶσι, καὶ εἰρηκώς, «πίστει Ἄβελ θυσίαν προσήνεγκε· πίστει Ἀβραάμ» τὸ καὶ τὸ ἐποίησε· πίστει Νῶε κιβωτὸν εἰργάσατο· πίστει Μωϋσῆς τὰ καὶ τὰ ἐποίησε καὶ κατώρθωσε, καὶ πολλῶν ἐφεξῆς μνησθεὶς ἁγίων, τὸ τελευταῖον ἐπήγαγε· «πίστει Ραὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα». Καὶ ὅρα πῶς μετὰ πολλῆς σοφίας ἐκέρασε τὴν ἑαυτῆς εὐγνωμοσύνην. Ὅτε γὰρ ἀπεστάλησαν παρὰ τοῦ βασιλέως ζητοῦντες τοὺς κατασκόπους, λέγουσιν αὐτῇ, «εἰ εἰσῆλθον πρὸς σὲ ἄνδρες;». Ἡ δὲ πρὸς αὐτούς· ναί, φησίν, εἰσῆλθον. Πρῶτον οἰκοδομεῖ τὴν ἀλήθειαν, καὶ οὕτως ἐπάγει τὸ ψεῦδος. Οὐδέποτε γὰρ καθ' αὐτὸ τὸ ψεῦδος πιστεύεται, ἐὰν μὴ προλαβὸν ἐνδείξηται τὴν ἀλήθειαν· διὰ τοῦτο οἱ πιθανῶς ψευδόμενοι πρῶτον λέγουσι τἀληθῆ καὶ πᾶσιν ὡμολογημένα, καὶ τότε ἐπάγουσι τὰ ψευδῆ καὶ ἀμφιβαλλόμενα.

Εἰσῆλθον πρὸς σὲ κατάσκοποι; Λέγει, «ναί»· εἰ γὰρ εἶπεν ἐξ ἀρχῆς, 'οὔ', προεκαλεῖτο εἰς ἔρευναν τοὺς ἐπελθόντας· ἀλλά, καὶ εἰσῆλθον, φησί, καὶ ἐξῆλθον τῇδε τῇ ὁδῷ, καταδιώξατε καὶ καταλήψεσθε αὐτούς. Ὢ καλοῦ ψεύδους· ὢ καλοῦ δόλου οὐ προδιδόντος τὰ θεῖα, ἀλλὰ φυλάττοντος τὴν εὐσέβειαν. Εἰ τοίνυν τὴν Ραὰβ ἐκείνην ἡ μετάνοια σωτηρίας τοσαύτης ἠξίωσε καὶ διὰ στόματος ἁγίων κηρύττεται, Ἰησοῦ μὲν τοῦ Ναυῆ βοῶντος ἐν τῇ ἐρήμῳ, «ζήτω Ραὰβ ἡ πόρνη» Παύλου δὲ λέγοντος, «πίστει Ραὰβ ἡ πόρνη οὐ συν-

---

49. Ἰησ. Ναυῆ 2,11.
49. Ἑβρ. 11,4.
50. Ἑβρ. 11,31.
51. Ἰησ. Ναυῆ 2,3-4.

βρίσκεται στὸν οὐρανὸ ἐπάνω καὶ στὴ κάτω, καὶ δὲν ὑπάρχει ἄλλος Θεὸς ἐκτὸς ἀπὸ αὐτόν»[48]. Αὐτὰ τὰ παρέλαβαν οἱ Ἰουδαῖοι καὶ δὲν τὰ φύλαξαν· αὐτὰ τὰ ἄκουσε ἡ Ἐκκλησία καὶ τὰ διατήρησε. Εἶναι λοιπὸν ἄξια ἐπαίνου ἡ Ραάβ, ἡ εἰκόνα τῆς Ἐκκλησίας. Γι' αὐτὸ ὁ γενναῖος Παῦλος, γνωρίζοντας πάρα πολὺ καλὰ τὴ δύναμη τῆς πίστεώς της καὶ μὴ θεωρώντας την ἀπόβλητη ἐξ αἰτίας τῆς προηγούμενης καταστάσεώς της, ἀλλὰ ἄξια ἐξ αἰτίας τῆς μεταβολῆς της, τὴν συγκαταλέγει μεταξὺ ὅλων τῶν ἁγίων καί, ἀφοῦ εἶπε, «μὲ πίστη ὁ Ἄβελ πρόσφερε θυσία, μὲ πίστη ὁ Ἀβραὰμ»[49] ἔκαμε αὐτὸ καὶ αὐτό, μὲ πίστη ὁ Νῶε κατασκεύασε τὴν κιβωτό, μὲ πίστη ὁ Μωϋσῆς ἔκαμε αὐτὰ καὶ αὐτὰ τὰ κατορθώματα, καὶ ἀφοῦ ἔφερε στὴ συνέχεια στὴ μνήμη του πολλοὺς ἁγίους, στὸ τέλος πρόσθεσε· «μὲ πίστη ἡ Ραὰβ ἡ πόρνη δὲν χάθηκε μαζὶ μ' ἐκείνους ποὺ ἔδειξαν ἀπείθεια, γιατὶ δέχθηκε τοὺς κατασκόπους καὶ τοὺς ὁδήγησε νὰ φύγουν ἀπὸ ἄλλο δρόμο»[50]. Καὶ πρόσεχε πῶς μὲ πολλὴ σοφία ἀνέμειξε τὴν εὐγνωμοσύνη της. Γιατί, ὅταν στάλθηκαν ἄνθρωποι τοῦ βασιλιᾶ ζητώντας τοὺς κατασκόπους, λέγουν πρὸς αὐτήν· «μήπως μπῆκαν ἐδῶ μέσα ἄνδρες;»[51]. Καὶ αὐτὴ ἀπαντᾶ πρὸς αὐτούς· «ναί», λέγει, μπῆκαν. Πρῶτα προβάλλει τὴν ἀλήθεια καὶ στὴ συνέχεια προσθέτει τὸ ψεῦδος. Γιατὶ ποτὲ τὸ ψέμα δὲν γίνεται πιστευτὸ ἀπὸ μόνο του, ἐὰν δὲν δείξει ἀπὸ πρὶν τὴν ἀλήθεια· γι' αὐτὸ καὶ ἐκεῖνοι ποὺ θέλουν νὰ πείσουν μὲ ψέματά τους πρῶτα λένε ἐκεῖνα ποὺ εἶναι ἀληθινὰ καὶ ἀπ' ὅλους πιστευτά, καὶ μετὰ προσθέτουν τὰ ψευδῆ καὶ ἀμφιβαλλόμενα.

Μπῆκαν ἐδῶ μέσα κατάσκοποι; Λέγει, «ναί»· γιατὶ ἂν ἔλεγε ἀπὸ τὴν ἀρχή, 'ὄχι', θὰ προκαλοῦσε ἐκείνους ποὺ τὴν ἐπισκέφθηκαν νὰ ἐρευνήσουν· ἀλλά, λέγει, καὶ μπῆκαν καὶ ἔφυγαν ἀπὸ αὐτὸ τὸ δρόμο, καταδιῶξτε τους καὶ θὰ τοὺς συλλάβετε. Πὼ πὼ ψέμα καλό· πὼ πὼ δόλος καλὸς ποὺ δὲν προδίδει τὰ θεῖα, ἀλλὰ προφυλάσσει τὴν εὐσέβεια. Ἂν λοιπὸν τὴ Ραὰβ ἐκείνη τὴν ἀξίωσε ἡ μετάνοια νὰ ἐπιτύχει τέτοια σωτηρία καὶ διακηρύσσεται ἀπὸ τὰ στόματα τῶν ἁγίων, ἀπὸ τὸν Ἰησοῦ τοῦ Ναυῆ ποὺ βροντοφωνάζει μέσα στὴν ἔρημο, «ἂς ζήσει ἡ Ραὰβ ἡ πόρνη», καὶ ἀπὸ τὸν Παῦλο ποὺ λέγει, «μὲ πίστη ἡ Ραὰβ ἡ πόρνη δὲν χάθηκε μαζὶ μὲ ἐκείνους

απώλετο τοῖς ἀπειθήσασι», πόσῳ μᾶλλον ἡμεῖς, ἐὰν προσάγωμεν τὴν μετάνοιαν, δεξόμεθα τὴν σωτηρίαν; Μετανοίας νῦν ὁ παρὼν καιρός· πολὺς γὰρ ὁ φόβος τῶν ἐπικειμένων ἡμῖν ἁμαρτημάτων, ἂν μὴ προλάβοι τὴν τιμωρίαν ἡ μετάνοια. «Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει»· σβέσωμεν τὴν πυρκαϊὰν τῶν ἁμαρτημάτων, οὐχ ὕδασι πολλοῖς, ἀλλὰ μικροῖς δάκρυσι. Πολὺ τὸ πῦρ τῆς ἁμαρτίας, καὶ ὀλίγῳ δακρύῳ σβέννυται· τὸ γὰρ δάκρυον σβέννυσι πυρκαϊὰν ἁμαρτημάτων καὶ ἀποπλύνει δυσωδίαν ἁμαρτίας. Μαρτυρεῖ Δαυῒδ ὁ μακάριος λέγων, καὶ δεικνύων τὴν δύναμιν τῶν δακρύων ὅσον ἰσχύει· «λούσω» γάρ, φησί, «καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω». Καὶ μὴν εἰ τὴν ἀφθονίαν ἐβούλετο δεῖξαι τῶν δακρύων, ἤρκει τὸ εἰπεῖν, «ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω». Διὰ τί οὖν προέταξε τό, «λούσω»; Ἵνα δείξῃ ὅτι λουτρόν ἐστι καὶ καθάρσιον ἁμαρτημάτων τὰ δάκρυα.

6. Πάντων τῶν κακῶν αἴτια τὰ ἁμαρτήματα. Διὰ τὰ ἁμαρτήματα λῦπαι, διὰ τὰ ἁμαρτήματα ταραχαί, διὰ τὰ ἁμαρτήματα πόλεμοι, διὰ τὰ ἁμαρτήματα νόσοι, καὶ πάντα ὅσα ἡμῖν προσπίπτει δυσίατα πάθη. Ὥσπερ οὖν οἱ ἄριστοι τῶν ἰατρῶν οὐ τὰ φαινόμενα πάθη ἐξετάζουσιν, ἀλλὰ τὴν αἰτίαν τῶν φαινομένων ἐπιζητοῦσιν, οὕτω καὶ ὁ Σωτὴρ βουλόμενος δεῖξαι πάντων τῶν κακῶν τῶν ἐν ἀνθρώποις αἰτίαν τὴν ἁμαρτίαν, φησὶ τῷ παραλελυμένῳ τὸ σῶμα· ἐπειδὴ εἶδεν αὐτὸν ὁ ἰατρὸς τῶν ψυχῶν πρότερον τὴν ψυχὴν παραλυθέντα καὶ τότε τὸ σῶμα, λέγει πρὸς αὐτόν· «ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται». Οὐκοῦν καὶ τῆς προλαβούσης ἀρρωστίας αἴτιον ἡ ἁμαρτία· τοῦτο καὶ ζημίας αἴτιον· τοῦτο καὶ λύπης, τοῦτο καὶ συμφορᾶς ἁπάσης ὑπόθεσις γίνεται. Πλὴν θαυμάζω ἐκεῖνο, πῶς τὴν λύπην ἀπ' ἀρχῆς τῷ ἀνθρώπῳ δοὺς ὁ Θεὸς διὰ τὴν ἁμαρτίαν τῇ ἀποφάσει τὴν ἀπόφασιν λύει, καὶ τῇ καταδίκῃ τὴν καταδίκην ἐκβάλλει· καὶ ὅπως, ἄκουε. Ἐδόθη λύπη διὰ τὴν ἁμαρτίαν, καὶ διὰ λύπης λύεται ἁμαρτία. Πρόσεχε

52. Ψαλμ. 94,2.
53. Ψαλμ. 6,7.
54. Ἰω. 5,14.

πού ἔδειξαν ἀπείθεια», πόσο μᾶλλον ἐμεῖς θὰ ἐπιτύχομε τὴ σωτηρία ἂν προσφέρομε τὴ μετάνοια; Ὁ τωρινὸς καιρὸς εἶναι καιρὸς μετάνοιας· γιατὶ εἶναι μεγάλος ὁ φόβος γιὰ τὰ ἁμαρτήματα ποὺ διαπράξαμε, ἂν δὲν προλάβει ἡ μετάνοια τὴν τιμωρία. «Ἂς προλάβομε νὰ δοῦμε τὸ πρόσωπό του μὲ ἐξομολόγηση»[52]· ἂς σβήσομε τὴν πυρκαϊὰ τῶν ἁμαρτημάτων, ὄχι μὲ πολὺ νερό, ἀλλὰ μὲ λίγα δάκρυα. Εἶναι μεγάλη ἡ φωτιὰ τῆς ἁμαρτίας καὶ σβήνεται μὲ λίγα δάκρυα· γιατὶ τὸ δάκρυ σβήνει τὴν πυρκαϊὰ τῶν ἁμαρτημάτων καὶ καθαρίζει τὴ δυσωδία τῆς ἁμαρτίας. Τὸ ἐπιβεβαιώνει ὁ μακάριος Δαυῒδ λέγοντας καὶ δείχνοντας πόσα κατορθώνει ἡ δύναμη τῶν δακρύων· γιατὶ λέγει, «θὰ λούσω τὴν κλίνη μου κάθε νύχτα, μὲ δάκρυα θὰ βρέξω τὸ στρῶμα μου»[53]. Καὶ βέβαια, ἂν ἤθελε νὰ δείξει τὴν ἀφθονία τῶν δακρύων, θὰ ἦταν ἀρκετὸ νὰ πεῖ, «μὲ τὰ δάκρυά μου θὰ βρέξω τὸ στρῶμα μου». Γιατί λοιπὸν εἶπε πρὶν ἀπ' αὐτὸ τὸ «θὰ λούσω»; Γιὰ νὰ δείξει ὅτι τὰ δάκρυα εἶναι λουτρὸ καὶ καθάρσιο τῶν ἁμαρτημάτων.

6. Ὅλων τῶν κακῶν αἰτία εἶναι τὰ ἁμαρτήματα. Ἐξ αἰτίας τῶν ἁμαρτημάτων δημιουργοῦνται λύπες, ἐξ αἰτίας τῶν ἁμαρτημάτων ταραχές, ἐξ αἰτίας τῶν ἁμαρτημάτων πόλεμοι, ἐξ αἰτίας τῶν ἁμαρτημάτων νόσοι καὶ ὅλα τὰ δυσκολοθεράπευτα ἐκεῖνα πάθη ποὺ μᾶς βρίσκουν. Ὅπως ἀκριβῶς λοιπὸν οἱ ἄριστοι γιατροὶ δὲν ἐξετάζουν τὰ πάθη ποὺ φαίνονται, ἀλλὰ ψάχνουν νὰ βροῦν τὴν αἰτία ποὺ προκαλεῖ αὐτά, ἔτσι καὶ ὁ Σωτήρας, θέλοντας νὰ δείξει πὼς αἰτία ὅλων τῶν κακῶν ποὺ συμβαίνουν στοὺς ἀνθρώπους εἶναι ἡ ἁμαρτία, λέγει σ' ἐκεῖνον ποὺ εἶχε τὸ παράλυτο σῶμα, ποὺ ἐπειδὴ εἶδε ὁ γιατρὸς τῶν ψυχῶν πὼς πρῶτα εἶχε παραλύσει ἡ ψυχή του καὶ μετὰ τὸ σῶμα, λέγει πρὸς αὐτόν· «νά, θεραπεύθηκες· μὴ ἁμαρτάνεις πιά, γιὰ νὰ μὴ σοῦ συμβεῖ τίποτε τὸ χειρότερο»[54]. Ἡ ἁμαρτία λοιπὸν ἦταν αἰτία καὶ τῆς προηγούμενης ἀρρώστιας, αὐτὴ ἦταν ἡ αἰτία τῆς βλάβης, αὐτὴ καὶ τῆς λύπης, αὐτὴ γίνεται ἀφορμὴ καὶ ὅλης τῆς συμφορᾶς. Πλὴν ὅμως θαυμάζω ἐκεῖνο, πῶς ὁ Θεός, ποὺ ἔδωσε ἀπὸ τὴν ἀρχὴ στὸν ἄνθρωπο τὴ λύπη ἐξ αἰτίας τῆς ἁμαρτίας, καταργεῖ μὲ τὴν ἀπόφασή του τὴν ἀπόφαση ἐκείνη καὶ μὲ τὴν καταδίκη αὐτὴ ἀπομακρύνει τὴν καταδίκη ἐκείνη· καὶ ἄκουε

ἀκριβῶς· τῇ γυναικὶ ἀπειλῶν ὁ Θεὸς καὶ διὰ τὴν παράβασιν τὴν τιμωρίαν ἐπάγων, φησὶ πρὸς αὐτήν, «ἐν λύπαις τέξῃ τέκνα», καὶ ἔδειξε καρπὸν τῆς ἁμαρτίας, τὴν λύπην· ἀλλ', ὢ τοῦ μεγαλοδώρου! ὃ ἔδωκεν εἰς τιμωρίαν, μετέβαλεν εἰς σωτηρίαν. Ἁμαρτία λύπην ἐγέννησε· λύπη τὴν ἁμαρτίαν ἀνάλωσε· καὶ ὥσπερ σκώληξ ἀπὸ τοῦ ξύλου τικτόμενος, αὐτὸ δαπανᾷ τὸ ξύλον, οὕτω καὶ ἡ λύπη τεχθεῖσα ἀπὸ τῆς ἁμαρτίας, ἀναλίσκει τὴν ἁμαρτίαν, διὰ τῆς μετανοίας προσαγομένη. Διὰ τοῦτό φησιν ὁ Παῦλος· «ἡ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργάζεται».

Καλὴ ἡ λύπη τοῖς γνησίως μετανοοῦσι· πρέπει τοῖς ἁμαρτάνουσι τὸ ὑπὲρ τῆς ἁμαρτίας πένθος· «μακάριοι» γὰρ «οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται». Πένθησον τὴν ἁμαρτίαν, ἵνα μὴ θρηνήσῃς τὴν τιμωρίαν· ἀπολόγησαι τῷ κριτῇ, πρὶν ἔλθῃς εἰς τὸ κριτήριον. Ἢ οὐκ οἶδας, ὅτι πάντες οἱ βουλόμενοι δυσωπῆσαι τὸν κριτήν, οὐκ ἐν αὐτῇ τῇ ἐτάσει τῆς δίκης θεραπεύουσιν, ἀλλὰ πρὶν εἰσελθεῖν εἰς τὸ κριτήριον, ἢ διὰ φίλων, ἢ διὰ προστατῶν, ἢ δι' ἑτέρου τρόπου τινὸς τὸν δικαστὴν θεραπεύουσιν; Οὐκοῦν καὶ ἐπὶ τοῦ Θεοῦ ἐν τῷ καιρῷ τοῦ βήματος οὐκ ἔστι πεῖσαι τὸν δικαστήν· πρὸ δὲ τοῦ καιροῦ τῆς κρίσεως δυνατὸν δυσωπῆσαι τὸν κριτήν. Διόπερ ἔλεγεν ὁ Δαυῒδ· «προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει». Ἐκεῖ τὸν μέγαν κριτὴν οὐ παραλογίζεται ῥητόρων τέχνη· οὐ δυσωπεῖ δυναστεία· ἀξιώματι οὐ πείθεται· πρόσωπον οὐκ αἰσχύνεται· χρήμασιν οὐ διαφθείρεται, ἀλλὰ φοβερά ἐστι καὶ ἀδυσώπητος ἡ δικαιοκρισία.

Ἐνταῦθα οὖν τὸν κριτὴν δυσωπήσωμεν καὶ παρακαλέσωμεν· ἐνταῦθα παντὶ σθένει καθικετεύσωμεν, ἀλλ' οὐ χρήμασι· μᾶλλον δέ, εἰ χρὴ τἀληθῆ λέγειν, πείθεται καὶ χρήμασιν ὁ φιλάνθρωπος, οὐκ αὐτὸς δεχόμενος, ἀλλὰ διὰ τῶν πενήτων. Δὸς πενομένῳ

55. Γεν. 3,16.
56. Β' Κορ. 7,10.
57. Ματθ. 5,5.
58. Ψαλμ. 94,2.

πῶς. Δόθηκε λύπη ἐξ αἰτίας τῆς ἁμαρτίας, καὶ μὲ τὴ λύπη ἐξαλείφεται ἡ ἁμαρτία. Συγκέντρωσε ὅλη τὴν προσοχή σου· ἀπειλώντας ὁ Θεὸς τὴ γυναίκα καὶ προσθέτοντας τὴν τιμωρία ἐξ αἰτίας τῆς παραβάσεως, λέγει πρὸς αὐτήν, «μὲ λύπες θὰ γεννᾶς τέκνα»[55], καὶ ἔδειξε τὴν λύπη καρπὸ τῆς ἁμαρτίας. Ἀλλά, πόσο μεγαλόδωρος εἶναι! Ἐκεῖνο ποὺ ἔδωσε γιὰ τιμωρία, τὸ μετέτρεψε σὲ σωτηρία. Ἡ ἁμαρτία γέννησε τὴ λύπη· ἡ λύπη ἐξάλειψε τὴν ἁμαρτία· καὶ ὅπως ἀκριβῶς τὸ σκουλήκι ποὺ γεννιέται ἀπὸ τὸ ξύλο, τὸ ἴδιο τρώει τὸ ξύλο, ἔτσι καὶ ἡ λύπη ποὺ τὴ γέννησε ἡ ἁμαρτία, ἐξαλείφει τὴν ἁμαρτία, προσφερόμενη μὲ τὴ μετάνοια. Γι' αὐτὸ λέγει ὁ Παῦλος· «ἡ κατὰ Θεὸν λύπη παρέχει μετάνοια ποὺ χαρίζει σωτηρία, γιὰ τὴν ὁποία δὲν μετανοιώνει κανείς»[56].

Ἡ λύπη εἶναι καλὴ γιὰ ἐκείνους ποὺ μετανοοῦν εἰλικρινά· πρέπει τὸ πένθος γιὰ τὴν ἁμαρτία σ' ἐκείνους ποὺ ἁμαρτάνουν· γιατὶ λέγει, μακάριοι εἶναι ἐκεῖνοι ποὺ πενθοῦν γιὰ τὶς ἁμαρτίες τους, γιατὶ αὐτοὶ θὰ παρηγορηθοῦν»[57]. Πένθησε τὴν ἁμαρτία, γιὰ νὰ μὴ θρηνήσεις τὴν τιμωρία· ἀπολογήσου στὸν κριτὴ προτοῦ πᾶς στὸ κριτήριο. Ἢ δὲν γνωρίζεις, ὅτι ὅλοι ἐκεῖνοι ποὺ θέλουν νὰ κερδίσουν τὸν κριτή, δὲν τὸν παρακαλοῦν κατὰ τὴν ὥρα τῆς δίκης, ἀλλὰ πρὶν μποῦν στὸ δικαστήριο, ἢ μὲ φίλους ἢ μὲ προστάτες ἢ μὲ κάποιον ἄλλο τρόπο παρακαλοῦν τὸν δικαστή; Λοιπόν καὶ στὴν περίπτωση τοῦ Θεοῦ, δὲν εἶναι δυνατὸ νὰ πείσεις τὸν δικαστὴ ὅταν θὰ βρίσκεται ἐπάνω στὸ βῆμα τοῦ δικαστηρίου, ἐνῶ εἶναι δυνατὸ νὰ παρακαλέσεις τὸν κριτὴ πρὶν ἀπὸ τὸν καιρὸ τῆς κρίσεως. Γι' αὐτὸ ἔλεγε ὁ Δαυΐδ· «ἂς προλάβομε νὰ τὸν συναντήσομε μὲ ἐξομολόγηση»[58]. Ἐκεῖ τὸν μεγάλο κριτὴ δὲν τὸν ἐξαπατᾶ ἡ τέχνη τῶν ρητόρων· δὲν τὸν ἐξευμενίζει ἡ ἐξουσία· δὲν πείθεται ἀπὸ τὸ ἀξίωμα· δὲν ντρέπεται πρόσωπο· δὲν διαφθείρεται μὲ χρήματα, ἀλλ' εἶναι φοβερὴ καὶ σκληρὴ ἡ δίκαιη κρίση του.

Ἐδῶ λοιπὸν ἂς ἱκετεύσομε τὸν κριτὴ καὶ ἂς τὸν παρακαλέσομε· ἐδῶ ἂς τὸν ἱκετεύσομε μὲ ὅλη τὴ θέρμη καὶ τὴ δύναμή μας, ἀλλ' ὄχι μὲ χρήματα· ἢ καλύτερα, ἂν πρέπει νὰ ποῦμε τὴν ἀλήθεια, πείθεται ὁ φιλάνθρωπος καὶ μὲ χρήματα, ποὺ ὅμως δὲν τὰ δέχεται αὐτός, ἀλλὰ μέσω τῶν φτωχῶν. Δῶσε στὸν πεινασμένο χρήματα

χρήματα καὶ τὸν κριτὴν ἐδυσώπησας. Ταῦτα δὲ λέγω οἰκειούμενος ὑμᾶς, ἐπειδὴ μετάνοια ἐκτὸς ἐλεημοσύνης νεκρά ἐστι καὶ ἄπτερος· οὐ δύναται μετάνοια πτερωθῆναι, μὴ ἔχουσα πτερὸν ἐλεημοσύνης. Διὰ τοῦτο τῷ καλῶς μετανοήσαντι Κορνηλίῳ πτερὸν ἐγένετο τῆς εὐσεβείας ἡ ἐλεημοσύνη· «οἱ ἐλεημοσύναι σου» γάρ, φησί, «καὶ αἱ προσευχαί σου εἰς οὐρανὸν ἀνέβησαν». Ὡς εἰ μὴ εἶχε πτερὸν τὴν ἐλεημοσύνην ἡ μετάνοια, οὐκ ἂν εἰς οὐρανὸν ἐχώρησεν. Ἀνέῳκται οὖν σήμερον ἐμπορεῖον ἐλεημοσύνης· ὁρῶμεν τοὺς ἐν ἀγορᾷ περιφερομένους, ὁρῶμεν τοὺς βοῶντας, ὁρῶμεν τοὺς δακρύοντας, ὁρῶμεν τοὺς στένοντας· πανήγυρις ἡμῖν πρόκειται θαυμαστή, πανηγύρεως δὲ οὐδὲν ἕτερόν ἐστιν ἐπάγγελμα, καὶ τῷ ἐμπόρῳ οὐδὲν ἕτερόν ἐστι φρόνημα, ἢ τὰ ἐν τοῖς ὠνίοις ὀλίγου μὲν ἀγοράσαι πολλοῦ δὲ πωλῆσαι. Οὐχ οὗτος τῶν ἐμπόρων ἑκάστου ὁ σκοπός; μὴ δι' ἕτερόν τι ἐπιβάλλεταί τις τῇ ἐμπορίᾳ, ἢ ἵνα τὰ μικροῦ ἐωνημένα μεγάλου διαπωλήσῃ καὶ ἄρῃ πολυπλασιαζομένην αὐτῷ τὴν ἐμπορίαν;

Τοιαύτην οὖν πανήγυριν προέθηκεν ἡμῖν ὁ Θεός· ὀλίγου τὰς δικαιοσύνας ἀγόρασον, ἵνα πολλοῦ μεταπωλήσῃς ἐν τῷ μέλλοντι· εἴ γε δεῖ μετάπρασιν εἰπεῖν τὴν ἀνταπόδοσιν. Ἐνταῦθα δι' ὀλίγων ἀγοράζεται δικαιοσύνη, δι' εὐτελοῦς κλάσματος ἄρτου, δι' εὐτελοῦς ἱματίου, διὰ ποτηρίου ψυχροῦ· «ὃς ποτίσῃ ποτήριον ψυχρῷ, ἀμὴν λέγω ὑμῖν», φησὶν ὁ τῆς πνευματικῆς ἐμπορίας διδάσκαλος, «οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ». Ποτήριον ψυχροῦ ἔμμισθον, ἱμάτια καὶ χρήματα διδόμενα δι' εὐεργεσίαν οὐκ ἔμμισθα; Τοὐναντίον μὲν οὖν καὶ πολύμισθα. Διὰ τί οὖν ποτήριον ἐμνημόνευσε ψυχροῦ; Ἀδάπανον εἶπεν ἐλεημοσύνην· τῷ γὰρ ψυχρῷ οὔτε ξύλον ἀναλίσκεις, οὔτε ἕτερόν τι προσδαπανᾷς. Εἰ δ' ὅπου ἀδάπανος ἡ δόσις, τοσαύτη τῆς εὐεργεσίας ἡ χάρις, ἔνθα ἱματίων ἀφθονία, χρημάτων χορηγία, τῶν ἄλλων ἀγαθῶν ἡ περιουσία, πόσον ἀπεκδέχεσθαι χρὴ μισθὸν παρὰ τοῦ δικαίου κριτοῦ; Ἐν ὅσῳ οὖν πρόκειται αἱ

---

59. Πράξ. 10,4.
60. Ματθ. 10,42.

καὶ κέρδισες τὸν κριτή. Καὶ αὐτὰ τὰ λέγω ἀπὸ ἀγάπη γιὰ σᾶς, ἐπειδὴ ἡ μετάνοια χωρὶς ἐλεημοσύνη εἶναι νεκρὴ καὶ χωρὶς φτερά. Δὲν μπορεῖ ἡ μετάνοια νὰ πετάξει μὴ ἔχοντας τὰ φτερὰ τῆς ἐλεημοσύνης. Γι' αὐτὸ στὸν Κορνήλιο ποὺ ἐπέδειξε εἰλικρινὴ μετάνοια ἡ ἐλεημοσύνη ἔγινε φτερὰ τῆς εὐσέβειας· γιατὶ λέγει, «οἱ ἐλεημοσύνες σου καὶ οἱ προσευχές σου ἀνέβηκαν στὸν οὐρανό»[59]. Γιατί, ἂν ἡ μετάνοια δὲν εἶχε φτερὰ τὴν ἐλεημοσύνη, δὲν θὰ ἀνέβαινε στὸν οὐρανό. Ἀνοίχθηκε λοιπὸν σήμερα τὸ ἐμπορεῖο τῆς ἐλεημοσύνης· γιατὶ βλέπομε τοὺς αἰχμαλώτους καὶ τοὺς φτωχούς· βλέπομε ἐκείνους ποὺ περιφέρονται στὴν ἀγορά, βλέπομε ἐκείνους ποὺ φωνάζουν, βλέπομε τοὺς δακρυσμένους, βλέπομε ἐκείνους ποὺ στενάζουν. Πανηγύρι θαυμαστὸ βρίσκεται μπροστά μας καὶ κανένας ἄλλος δὲν εἶναι ὁ σκοπὸς τοῦ πανηγυριοῦ, ὅπως καὶ καμιὰ ἄλλη δὲν εἶναι ἡ ἐπιδίωξη τοῦ ἐμπόρου, παρὰ ν' ἀγοράσει φθηνὰ τὰ ἐμπορεύματα καὶ νὰ τὰ πουλήσει ἀκριβά. Δὲν εἶναι αὐτὸς ὁ σκοπὸς τοῦ κάθε ἐμπόρου; μήπως γιὰ κάτι ἄλλο ἐπιδίδεται κανεὶς στὸ ἐμπόριο, καὶ ὄχι γιὰ νὰ πωλήσει ἀκριβὰ τὰ ἐμπορεύματα ποὺ τὰ ἀγόρασε φθηνὰ καὶ νὰ πολλαπλασιάσει ἔτσι τὸ ἐμπόρευμά του;

Τέτοιο λοιπὸν πανηγύρι τοποθέτησε ὁ Θεὸς μπροστά μας· ἀγόρασε τὶς ἀρετὲς φθηνά, γιὰ νὰ τὶς μεταπωλήσεις στὸ μέλλον ἀκριβά, ἂν βέβαια μποροῦμε νὰ ὀνομάσομε μεταπώληση τὴν ἀνταπόδοση. Ἐδῶ μὲ λίγα ἀγοράζεται ἡ ἀρετή, μὲ ἕνα ἀσήμαντο κομμάτι ψωμιοῦ, μὲ ἕνα εὐτελὲς ροῦχο, μὲ ἕνα ποτήρι κρύο νερό· «ὅποιος θὰ δώσει ἕνα ποτήρι κρύο νερό, σᾶς βεβαιώνω», λέγει ὁ δάσκαλος τῆς πνευματικῆς ἐμπορίας «δὲν θὰ χάσει τὸ μισθό του»[60]. Ποτήρι κρύου νεροῦ δίνει μισθό, ροῦχα καὶ χρήματα ποὺ δίνονται καὶ εὐεργεσία δὲν δίνουν μισθό; Ἀντίθετα βέβαια δίνουν καὶ μάλιστα πολὺ μισθό. Γιατί λοιπὸν μίλησε γιὰ ποτήρι κρύου νεροῦ; Μίλησε γιὰ ἐλεημοσύνη χωρὶς ἔξοδα· γιατὶ γιὰ τὸ κρύο νερὸ οὔτε ξύλο ξοδεύεις οὔτε τίποτε ἄλλο δαπανᾶς ἐπὶ πλέον. Ἂν ὅπου ἡ δόση εἶναι ἀνέξοδη, εἶναι τόσο μεγάλη ἡ χάρη τῆς εὐεργεσίας, ὅπου δίνονται μὲ ἀφθονία ροῦχα, χορηγοῦνται χρήματα καὶ μὲ ἀφθονία τὰ ἄλλα ἀγαθά, πόσο μισθὸ πρέπει νὰ περιμένει κανεὶς νὰ λάβει ἀπὸ τὸν δίκαιο κριτή; Ὅσο λοιπὸν βρίσκονται μποστά μας

ἀρεταὶ ὀλίγου πωλούμεναι, παρὰ τοῦ μεγαλοδώρου λάβωμεν, ἁρπάσωμεν, ἀγοράσωμεν. «Οἱ διψῶντες», φησί, «πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε». Ἐν ὅσῳ πρόκειται ἡ πανήγυρις, ἀγοράσωμεν ἐλεημοσύνας, μᾶλλον δὲ διὰ τῆς ἐλεημοσύνης ἀγοράσωμεν τὴν σωτηρίαν. Χριστὸν ἐνδύεις, πτωχὸν ἐνδύων.

Ταῦτα, φησίν, οἶδα καλῶς καὶ ἀκριβῶς· ταῦτα προμεμάθηκα, οὐ σὺ πρῶτος ἐδίδαξας· οὐ παρὰ σοῦ τοῦτο πρῶτον ἀκηκόαμεν· οὐ ξένα κηρύττεις, ἀλλ' ἃ πολλάκις ἡμᾶς πολλοὶ τῶν παρόντων ἐδίδαξαν. Οἶδα καὶ αὐτός, οἶδα, ὅτι ταῦτα καὶ τὰ τοιαῦτα πολλάκις μεμαθήκατε, ἀλλ' εἴθε πολλάκις μαθόντες, κἂν ὀλίγον τὸ καλὸν εἰργαζώμεθα. Ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. Θεῷ δανείσωμεν τὴν ἐλεημοσύνην, ἵνα παρ' αὐτοῦ λάβωμεν φιλανθρωπίας ἀντίδοσιν. Ἀλλ' ὢ τοῦ σοφωτάτου ῥήματος! «Ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ». Διὰ τί οὖν εἶπεν, 'ὁ ἐλεῶν πτωχὸν δίδωσι Θεῷ', ἀλλά, «δανείζει»; Οἶδεν ἡ Γραφὴ τὴν ἡμετέραν πλεονεξίαν· προσέσχεν ὅτι ἡ ἀπληστία ἡμῶν πρὸς πλεονεξίαν βλέπουσα τὸν πλεονασμὸν ζητεῖ. Καὶ διὰ τοῦτο οὐκ εἶπεν ἁπλῶς, 'ὁ ἐλεῶν πτωχὸν δίδωσι Θεῷ', ἵνα μὴ ἁπλῆν τὴν ἀντιμισθίαν νομίσῃς, ἀλλ' «ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ». Εἰ δανείζεται Θεὸς παρ' ἡμῶν, ἄρα χρεώστης ἡμῶν ἐστι. Τί οὖν θέλεις αὐτὸν ἔχειν, κριτὴν ἢ χρεώστην; Ὁ χρεώστης αἰδεῖται τὸν δανείσαντα· ὁ κριτὴς οὐ δυσωπεῖται τὸν δανειζόμενον.

7. Ἀναγκαῖον δὲ καὶ καθ' ἕτερον τρόπον ἰδεῖν, τίνος ἕνεκεν ὁ Θεὸς εἶπεν, ὅτι ἐμοὶ δανείζει ὁ διδοὺς πτωχῷ. Ἐπειδὴ εἶδεν ἡμῶν τὴν πλεονεξίαν ῥέπουσαν εἰς πλεονασμόν, ὡς ἔφθην εἰπών, καὶ μηδαμοῦ τὸν χρήματα ἔχοντα δανείζειν θέλοντα ἄνευ ἀσφαλείας· ἀπαιτεῖ γὰρ ὁ δανείζων ἢ ὑποθήκην ἢ ἐνέχυρα ἢ τὸν ἀντιφωνοῦντα, καὶ διὰ τῶν τριῶν τούτων ἀσφαλειῶν ἐμπιστεύει τὰ ἑαυτοῦ χρήματα, ἢ ἐγγύας δεχόμενος, ὡς ἔφθην εἰπών, ἢ ὑποθήκην πραγμάτων ἢ ἐνέχυρα. Ἐπειδὴ οὖν εἶδεν ὁ Θεός, ὅτι ἐκτὸς τούτων οὐ-

61. Ἡσ. 55,1.
62. Παρ. 19,17.

οἱ ἀρετὲς ποὺ πωλοῦνται ἔναντι λίγων, ἂς τὶς λάβομε ἀπὸ τὸν μεγαλόδωρο, ἂς τὶς ἁρπάξομε, ἂς τὶς ἀγοράσομε. «Ὅσοι διψᾶτε», λέγει, «πηγαίνετε πρὸς τὸ νερὸ καὶ ὅσοι δὲν ἔχετε χρήματα, πηγαίνετε καὶ ἀγοράσετε»[61]. Ὅσο καιρὸ βρίσκεται μπροστά μας τὸ πανηγύρι, ἂς ἀγοράσομε ἐλεημοσύνες, ἢ καλύτερα μὲ τὴν ἐλεημοσύνη ἂς ἀγοράσομε τὴ σωτηρία. Τὸν Χριστὸ ντύνεις, ντύνοντας φτωχό. Αὐτά, λέγει, τὰ γνωρίζω πολὺ καλὰ καὶ μὲ ἀκρίβεια, αὐτὰ τὰ ἔχω μάθει ἀπὸ πρίν, δὲν μοῦ τὰ δίδαξες σύ· δὲν τὸ ἀκούσαμε ἀπὸ σένα· δὲν μᾶς κηρύττεις πρωτάκουσα πράγματα, ἀλλ' ἐκεῖνα ποὺ πολλὲς φορὲς μᾶς τὰ δίδαξαν πολλοὶ ἀπὸ τοὺς παρόντες. Τὸ γνωρίζω καὶ ἐγὼ ὁ ἴδιος, τὸ γνωρίζω πολὺ καλά, ὅτι αὐτὰ καὶ τὰ παρόμοια τὰ ἔχετε ἀκούσει πολλὲς φορές, ἀλλὰ μακάρι, ἀκούοντάς τα πολλὲς φορές, ἔστω καὶ λίγο ἂς κάμνομε τὸ καλό. Ἐκεῖνος ποὺ ἐλεεῖ φτωχὸ δανείζει στὸ Θεό. Ἂς δανείσομε τὴν ἐλεημοσύνη, γιὰ νὰ λάβομε ἀπ' αὐτὸν σὰν ἀνταπόδωση τὴ φιλανθρωπία. Ἀλλὰ πὼ πὼ λόγια σοφώτατα! «Ἐκεῖνος ποὺ ἐλεεῖ φτωχὸ δανείζει στὸ Θεό»[62]. Γιατί λοιπὸν δὲν εἶπε, «ἐκεῖνος ποὺ ἐλεεῖ» 'δίνει' «στὸ Θεό», ἀλλὰ «δανείζει»; Γνωρίζει ἡ Γραφὴ τὴν πλεονεξία μας· πρόσεξε ὅτι ἡ ἀπληστία μας, ἀποβλέποντας πρὸς τὴν πλεονεξία, ἐπιδιώκει ὅλο καὶ περισσότερα. Καὶ γι' αὐτὸ δὲν εἶπε ἁπλῶς, 'ἐκεῖνος ποὺ ἐλεεῖ φτωχὸ δίνει στὸ Θεό', γιὰ νὰ μὴ νομίσεις ὅτι πρόκειται γιὰ ἁπλὴ ἀνταπόδοση, ἀλλ' «ἐκεῖνος ποὺ ἐλεεῖ φτωχὸ δανείζει στὸ Θεό». Ἐὰν δανείζεται ὁ Θεὸς ἀπὸ μᾶς, ἑπομένως εἶναι χρεώστης μας. Τί λοιπὸν θέλεις νὰ ἔχεις αὐτόν, κριτὴ ἢ χρεώστη; Ὁ χρεώστης ντρέπεται τὸν δανειστή του, ἐνῶ ὁ κριτὴς δὲν δέχεται τὰ παρακάλια τοῦ δανειζόμενου.

7. Πρέπει ὅμως νὰ ἐξετάσομε αὐτὸ καὶ ἀπὸ ἄλλη σκοπιά, γιὰ ποιό λόγο δηλαδὴ εἶπε ὁ Θεός, ὅτι 'δανείζει σ' ἐμένα ἐκεῖνος ποὺ δίνει στὸ φτωχό'. Ἐπειδὴ γνωρίζει, ὅπως προανάφερα, ὅτι ἡ πλεονεξία μας θέλει ὅλο καὶ πιὸ πολλὰ καὶ σὲ καμιὰ περίπτωση ἐκεῖνος ποὺ ἔχει χρήματα δὲν θέλει νὰ δανείζει χωρὶς ἀσφάλεια, γιατὶ ἀπαιτεῖ ἐκεῖνος ποὺ δανείζει ἢ ὑποθήκη ἢ ἐνέχυρα ἢ ἐγγυητή· καὶ μὲ τὶς τρεῖς αὐτὲς ἀσφάλειες ἐμπιστεύεται τὰ χρήματά του, ἢ δεχόμενος ἐγγυητή, ὅπως προανέφερα, ἢ ὑποθήκη πραγμάτων ἢ ἐνέχυρα. Ἐπειδὴ λοιπὸν γνωρίζει ὁ Θεός, ὅτι κανένας, ἐκτὸς ἀπὸ αὐ-

δεὶς δανείζει, οὐδὲ εἰς φιλανθρωπίαν βλέπει, ἀλλ' εἰς μόνον τὸ κέρδος ὁρᾷ, πάντων δὲ τούτων ἔρημος ὁ πτωχός, οὐχ ὑποθήκην ἔχων· οὐ κέκτηται γὰρ οὐδέν· οὐκ ἐνέχυρα φέρων· γεγύμνωται γάρ· οὐ τὸν ἀντιφωνοῦντα παρέχων· ἀπιστεῖται γὰρ διὰ τὴν ἀπορίαν· ὡς οὖν εἶδεν αὐτὸν διακινδυνεύοντα τῇ ἀπορίᾳ, καὶ τὸν ἔχοντα χρήματα κινδυνεύοντα διὰ τὴν ἀπανθρωπίαν, μέσον ἑαυτὸν παρενέθηκεν, ἐχέγγυον μὲν τῷ πένητι, ἐνέχυρον δὲ τῷ δανείζοντι. Ἀπιστεῖς τούτῳ, φησί, διὰ τὴν ἀπορίαν, ἐμοὶ πίστευσον διὰ τὴν ἀφθονίαν. Εἶδε τὸν πτωχόν, καὶ ἠλέησεν· εἶδε τὸν πτωχόν, καὶ οὐ παρεῖδεν, ἀλλ' ἑαυτὸν ἔδωκεν ἐνέχυρον τῷ μηδὲ ἔχοντι, καὶ τῷ ἀπόρῳ παρέστη διὰ πολλὴν ἀγαθότητα, ἐπαληθεύοντος τοῦ μακαρίου Δαυῒδ τῇ φιλανθρωπίᾳ ταύτῃ, καὶ λέγοντος, «ὅτι, παρέστη ἐκ δεξιῶν πένητος».

«Ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ». Θάρσει, φησίν, ἐμοὶ δανείζεις. Καὶ τί τοσοῦτον κερδαίνω σοὶ δανείζων; Μάλιστα μὲν οὖν παρανομώτατον παρὰ Θεοῦ λόγον ἀπαιτεῖν· πλὴν ἵνα συγκαταβῶ σου τῇ ἀνομίᾳ καὶ λύσω τῇ φιλανθρωπίᾳ τὴν ἀποτομίαν, ἀντεξετάσωμεν πρὸς ταῦτα. Δανείζων τοῖς ἄλλοις τί κερδαίνεις; τί παρ' αὐτῶν εἰς πλεονασμὸν ἐπιζητεῖς; οὐχ ἑκατοστήν, ἐὰν τὴν ἔννομον ζητήσῃς; Ἐὰν δὲ πλεονάσῃς τὴν ἀπληστίαν, διπλῆν καὶ τριπλῆν καρπώσῃ τὴν ἀδικίαν. Ἐγὼ δέ σου νικῶ τὴν πλεονεξίαν· ὑπερβαίνω σου τὴν ὄρεξιν τῆς ἀπληστίας· καλύπτω τῇ ἐμῇ ἀφθονίᾳ τὴν σὴν ἀμετρίαν. Σὺ ἑκατοστὴν ζητεῖς, ἐγὼ δὲ ἑκατονταπλασίονα δίδωμί σοι. Εἶτα δανείζῃ, Κύριε· καὶ δανείζῃ παρ' ἐμοῦ ἐνταῦθα τὴν εἰς τὸν πτωχὸν ἐλεημοσύνην, ἵνα πότε μοι ταῦτα ἀποδῷς; Ἀπαιτῶ τὰ σύμφωνα, στηρίξαι βουλόμενος τὸ συνάλλαγμα. Δός μοι τῆς ἀντιδόσεως τὸν καιρόν, ὅρισον τῆς ἀπολήψεως τὴν προθεσμίαν. Μάλιστα μὲν οὖν τοῦτο περιττόν· «πιστὸς γὰρ Κύριος ἐν πᾶσι τοῖς λό-

63. Ψαλμ. 108,31.
64. Παρ. 19,17.

τὲς τὶς περιπτώσεις, δὲ δανείζει οὔτε προσέχει τὴ φιλανθρωπία ἀλλὰ βλέπει μόνο τὸ κέρδος, ὅμως ὁ φτωχὸς εἶναι γυμνὸς ἀπὸ ὅλα αὐτά, μὴ ἔχοντας ὑποθήκη, γιατὶ δὲν ἔχει τίποτε, οὔτε ἐνέχυρα ἔχει νὰ παρουσιάσει, γιατὶ εἶναι γυμνός, οὔτε τὸν ἐγγυητὴ νὰ παρουσιάσει, γιατὶ δὲν γίνεται πιστευτὸς ἐξ αἰτίας τῆς φτώχειας του· ἐπειδὴ λοιπὸν εἶδε αὐτὸν νὰ κινδυνεύει λόγω τῆς φτώχειας του καὶ ἐκεῖνον ποὺ ἔχει χρήματα νὰ κινδυνεύει ἐξ αἰτίας τῆς ἀπανθρωπιᾶς του, τοποθέτησε τὸν ἑαυτό του ἀνάμεσά τους, ἐγγυητὴ γιὰ τὸ φτωχὸ καὶ ἐνέχυρο γιὰ τὸν δανειστή. Δὲν ἔχεις, λέγει ἐμπιστοσύνη σ' αὐτὸν ἐξ αἰτίας τῆς φτώχειας του, πίστεψε σὲ μένα ἐξ αἰτίας τῆς ἀφθονίας μου. Εἶδε τὸν φτωχὸ καὶ τὸν ἐλέησε· εἶδε τὸν φτωχὸ καὶ δὲν τὸν παρέβλεψε, ἀλλ' ἔδωσε ἐνέχυρο τὸν ἑαυτό του σ' ἐκεῖνον ποὺ δὲν ἔχει τίποτε, καὶ στάθηκε κοντὰ στὸ φτωχὸ ἐξ αἰτίας τῆς μεγάλης ἀγαθότητάς του, καὶ αὐτὴ τὴ φιλανθρωπία τὴν ἐπαληθεύει ὁ μακάριος Δαυῒδ λέγοντας, «γιατὶ στάθηκε στὰ δεξιὰ τοῦ φτωχοῦ»[63].

«Ἐκεῖνος ποὺ ἐλεεῖ φτωχὸ δανείζει στὸ Θεό»[64]. Ἔχε θάρρος, λέγει· σ' ἐμένα δανείζεις. Καὶ ποιό εἶναι αὐτὸ τὸ τόσο μεγάλο ποὺ κερδίζω δανείζοντας σὲ σένα; Βέβαια εἶναι σὲ πολὺ μεγάλο βαθμὸ παράνομο νὰ ζητᾶς λόγο ἀπὸ τὸ Θεό· πλὴν ὅμως γιὰ νὰ δείξω κάποια συγκατάβασση στὴν ἀνομία σου καὶ νὰ σταματήσω τὴ σκληρότητα μὲ τὴ φιλανθρωπία, ἂς ἐξετάσουμε τοὺς ἄλλους δανεισμοὺς πρὸς αὐτόν. Δανείζοντας στοὺς ἄλλους τί κερδίζεις; τί ζητᾶς ἀπ' αὐτοὺς σὰν ἐπὶ πλέον; δὲν ζητᾶς ἕνα στὰ ἑκατό, ἂν ζητήσεις τὸ νόμιμο; Ἂν ὅμως αὐξήσεις τὴν πλεονεξία σου, θὰ διαπράξεις διπλὴ καὶ τριπλὴ ἀδικία. Ἀλλ' ἐγὼ νικῶ τὴν πλεονεξία σου· ξεπερνῶ τὴν ὄρεξη τῆς ἀπληστίας σου· καλύπτω μὲ τὴν ἀφθονία μου τὴν δική σου ἀμετρία. Σὺ ζητᾶς ἕνα στὰ ἑκατό, ἐγὼ ὅμως σοῦ δίνω ἑκατονταπλάσια. Μά, Κύριε, δανείζεσαι ἀπὸ μένα τὴν ἐλεημοσύνη ποὺ δίνω ἐδῶ στὸ φτωχό, γιὰ νὰ μοῦ τὴν ἀνταποδώσεις κάποτε; Ἀπαιτῶ τὰ συμφωνηθέντα, θέλοντας νὰ στηρίξω τὴ συναλλαγή. Πές μου τὸν καιρὸ ποὺ θὰ μοῦ τὰ ἀνταπαδώσεις, ὅρισε τὴν προθεσμία ποὺ θὰ τὰ λάβω. Καὶ βέβαια αὐτὸ εἶναι πε-

γοις αὐτοῦ». Ἐπειδὴ δὲ ἔθος καὶ σκοπὸς τῷ δανειζομένῳ εὐγνωμόνως, χρόνους μετρεῖν καὶ ἡμέρας ὁρίζειν, ἄκουε πότε καὶ ποῦ σοι τὴν ὀφειλὴν ἀποδίδωσιν ὁ διὰ τοῦ πτωχοῦ δανεισάμενος. «Ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ καὶ στήσῃ τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων, καὶ ἐρεῖ τοῖς ἐκ δεξιῶν»· ἐνταῦθα πρόσεχε πῶς ὁ χρεώστης εὐγνώμων περὶ τὸν δανείσαντα, πῶς ὁ δανεισάμενος μετὰ πολλῆς χάριτος ἀποδίδωσι· «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου». Ὑπὲρ τίνων; «Ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ ἐνεδύσατέ με· ἐν φυλακῇ, καὶ ἤλθετε πρός με· ἀσθενὴς ἤμην, καὶ ἐπεσκέψασθέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με».

Εἶτα οἱ καλῶς ἐν καιρῷ διακονήσαντες, εἰς τὴν οἰκείαν ἀσθένειαν ἀφορῶντες καὶ εἰς τὴν ἀξίαν τοῦ δανεισαμένου, λέγουσι· «Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτίσαμεν;», εἰς ὃν οἱ ὀφθαλμοὶ πάντων ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν ἀφθονίᾳ; Ὢ τῆς πολλῆς ἀγαθότητος! κρύπτει τὴν ἀξίαν διὰ φιλανθρωπίαν· «ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν»· ὢ τῆς πολλῆς ἀγαθότητος, ὢ τῆς ἀμέτρου χρηστότητος! Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, καὶ ἀνοίγων τὰς χεῖρας, καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας. «Ἐπείνων», φησί, «καὶ ἐδώκατέ μοι φαγεῖν»· οὐ τῆς ἀξίας ἐλαττουμένης, ἀλλὰ τῆς φιλανθρωπίας τοὺς πτωχοὺς ἐγγυωμένης. «Ἐδίψησα, καὶ ἐποτίσατέ με». Τίς ὁ ταῦτα λέγων; Ὁ λίμναις καὶ ποταμοῖς καὶ πηγαῖς τῶν ὑδάτων τὴν φύσιν ἐγχέων· ὁ διὰ τῶν εὐαγγελίων φάσκων, ὅτι «ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος»· ὁ εἰπών, «εἴ τις διψᾷ, ἐρχέσθω πρὸς μέ, καὶ πινέτω».

---

65. Ψαλμ. 144,13.
66. Ματθ. 25,11 ἑἑ.
66. Ψαλμ. 144,15.
67. Ψαλμ. 144,16.
69. Ἰω. 7,38.
70. Ἰω. 7,37.

ριττό· «γιατὶ ὁ Κύριος εἶναι ἀξιόπιστος σ' ὅλους τοὺς λόγους του»[65]. Ἐπειδὴ ὅμως ἀποτελεῖ συνήθεια καὶ ἐπιδίωξη ἐκείνου ποὺ δανείζεται μὲ εὐγνωμοσύνη νὰ μετράει τοὺς χρόνους καὶ νὰ ὁρίζει τὶς ἡμέρες, ἄκου πότε καὶ ποῦ θὰ σοῦ ἀνταποδώσει τὴν ὀφειλὴ ἐκεῖνος ποὺ δανείστηκε ἀπὸ σένα μέσω τοῦ φτωχοῦ. «Ὅταν θὰ καθίσει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπάνω στὸ θρόνο τῆς δόξας του καὶ θὰ τοποθετήσει τὰ πρόβατα στὰ δεξιά του καὶ τὰ ἐρίφια στὰ ἀριστέρα του καὶ θὰ πεῖ σ' ἐκείνους ποὺ βρίσκονται στὰ δεξιά του»· ἐδῶ πρόσεχε πῶς ὁ χρεώστης φαίνεται εὐγνώμονας πρὸς τὸν δανειστή, καὶ πῶς ἐκεῖνος ποὺ δανείσθηκε ἀποδίδει τὰ ὀφειλόμενα μὲ μεγάλη χάρη· «ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατέρα μου, καὶ κληρονομῆστε τὴ βασιλεία ποὺ ἑτοιμάστηκε γιὰ σᾶς ἀπὸ τὴν ἀρχὴ τοῦ κόσμου». Γιὰ ποιό λόγο; «Γιατί πείνασα καὶ μοῦ δώσατε νὰ φάγω· δίψασα καὶ μὲ ποτίσατε· γυμνὸς ἤμουν καὶ μὲ ντύσατε· φυλακισμένος ἤμουν καὶ ἤρθατε καὶ μὲ εἴδατε· ἄρρωστος ἤμουν καὶ μὲ ἐπισκεφθήκατε· ξένος ἤμουν καὶ μὲ φιλοξενήσατε»[66]

Στὴ συνέχεια, ἐκεῖνοι ποὺ τὸν ὑπηρέτησαν σωστά, ἀναλογιζόμενοι τὴν ἀδυναμία τους καθὼς καὶ τὴν ἀξία ἐκείνου ποὺ δανείστηκε, λέγουν· «Κύριε, πότε σὲ εἴδαμε πεινασμένο καὶ σὲ θρέψαμε; ἢ διψασμένο καὶ σὲ ποτίσαμε;», ἐσένα πρὸς τὸν ὁποῖο ἔχουν στραμμένη τὴν ἐλπίδα τους τὰ μάτια ὅλων καὶ σὺ τοὺς δίνεις τὴν τροφή τους μὲ ἀφθονία[67]; Πὼ πὼ ὑπερβολικὸ μέγεθος ἀγαθότητας! Κρύβει τὴν ἀξία του ἀπὸ φιλανθρωπία· «γιατὶ πείνασα καὶ μοῦ δώσατε νὰ φάγω»· πὼ πὼ μέγεθος ἀγαθότητας, πὼ πὼ ἀμέτρητη καλωσύνη! Ἐκεῖνος ποὺ δίνει τροφὴ σὲ κάθε σάρκα καὶ ἀνοίγει τὰ χέρια του καὶ γεμίζει κάθε ζῶο μὲ εὐχαρίστηση [68], «πείνασα», λέγει, «καὶ μοῦ δώσατε νὰ φάγω»· καὶ δὲν μειώνεται μ' αὐτὸ ἡ ἀξία του, ἀλλὰ γίνεται ἡ φιλανθρωπία του ἐγγύηση γιὰ τοὺς φτωχούς. «Δίψασα καὶ μὲ ποτίσατε». Ποιός εἶναι αὐτὸς ποὺ λέγει αὐτά; Ἐκεῖνος ποὺ γεμίζει τὴ φύση μὲ λίμνες καὶ ποταμοὺς καὶ πηγὲς ὑδάτων· ἐκεῖνος ποὺ μέσω τῶν εὐαγγελίων λέγει, «ἐκεῖνος ποὺ πιστεύει σ' ἐμένα, ὅπως εἶπε ἡ Γραφή, ποτάμια ζωντανοῦ ὕδατος θὰ ρεύσουν ἀπὸ τὴν κοιλιά του»[69]· ἐκεῖνος ποὺ εἶπε, «ἂν κάποιος διψάει, ἃς ἔρθει πρὸς ἐμένα καὶ ἃς πίνει»[70]. Ἀλλά, λέγει, «γυμνὸς

Ἀλλά, «γυμνὸς ἤμην», φησί, «καὶ ἐνεδύσατέ με». Ἐνεδύσαμεν τὸν ἐνδύοντα τὸν οὐρανὸν ἐν νεφέλαις, τὸν ἐνδύοντα τὴν Ἐκκλησίαν ἅπασαν καὶ τὴν οἰκουμένην· «ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε». «Ἐν φυλακῇ ἤμην»· ἐν φυλακῇ σὺ ὁ ἐξάγων πεπεδημένους; Ἑρμήνευσον ἃ λαλεῖς· ἡ γὰρ ἀξία ἀρνεῖται τὰ λεγόμενα. Πότε σε εἴδομεν ἐν ἐνδείᾳ τοσαύτῃ; πότε ταῦτα πεποιήκαμεν; «Ἐφ' ὅσον», φησίν, «ἑνὶ τούτων τῶν ἐλαχίστων πεποιήκατε, ἐμοὶ ἐποιήσατε». Μὴ οὐκ ἀληθὴς ὁ λόγος, ὅτι, «ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ»;

Καὶ ὅρα τὸ θαυμαστόν· οὐδὲν ἕτερον ὑπέμνησεν ἔργον ἀρετῆς ἢ τοῦτο· καίτοι ἐδύνατο εἰπεῖν· 'δεῦτε οἱ εὐλογημένοι, ὅτι ἐσωφρονήσατε, ὅτι ἐπαρθενεύσατε, ὅτι ἀγγελικὴν πολιτείαν ἀνελάβετε'· ἀλλὰ σιωπᾷ ταῦτα, οὐχ ὅτι ἀνάξια μνήμης, ἀλλ' ὡς δεύτερα φιλανθρωπίας. Ἀλλ' ὥσπερ τούτοις τοῖς ἐκ δεξιῶν διὰ τὴν φιλανθρωπίαν ἔδειξε δεδωρημένην τὴν βασιλείαν, οὕτω καὶ τοῖς ἐξ ἀριστερῶν διὰ τὴν ἀκαρπίαν ἠπείλησε τὴν τιμωρίαν· «πορεύεσθε οἱ κατηραμένοι εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ». Διὰ τί; ὑπὲρ τίνος; «Ὅτι ἐπείνων, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν». Οὐκ εἶπεν 'ὅτι ἐπορνεύσατε, ὅτι ἐμοιχεύσατε, ὅτι ἐκλέψατε, ὅτι ἐψευδομαρτυρήσατε, ὅτι ἐπιωρκήσατε'· κακὰ μὲν ὁμολογουμένως καὶ ταῦτα, ἀλλὰ τῆς ἀπανθρωπίας κατώτερα καὶ τῆς ἀνελεημοσύνης. Διὰ τί δέ, ὦ Κύριε, οὐκ ἄλλων ὁδῶν φέρεις μνήμην; Οὐ κρίνω, φησί, τὴν ἁμαρτίαν, ἀλλὰ τὴν ἀπανθρωπίαν· οὐ κρίνω τοὺς ἁμαρτήσαντας, ἀλλὰ τοὺς μὴ μετανοήσαντας· ὑπὲρ ἀπανθρωπίας ὑμᾶς καταδικάζω, ὅτι ἔχοντες τοσοῦτον καὶ τηλικοῦτον φάρμακον σωτηρίας, τὴν ἐλεημοσύνην, ἐν ᾗ ἐξηλείφετο πάντα τὰ ἁμαρτήματα, παρήκατε τοσαύτην εὐεργεσίαν. Ὀνειδίζω τοίνυν τὴν ἀπανθρωπίαν ὡς ῥίζαν κακίας καὶ πάσης

71. Γαλ. 3,27.
72. Ματθ. 25,40.
73. Ματθ. 25,41.

ἤμουν καὶ μὲ ντύσατε». Ντύσαμε ἐκεῖνον ποὺ ντύνει τὸν οὐρανὸ μὲ νεφέλες, ποὺ ντύνει ὅλη τὴν Ἐκκλησία καὶ τὴν οἰκουμένη. Γιατί, «ὅσοι βαπτισθήκατε στὸ ὄνομα τοῦ Χριστοῦ, ντυθήκατε τὸν Χριστό»[71]. «Στὴ φυλακὴ ἤμουν»· στὴ φυκλακὴ ἐσὺ ποὺ ἐλευθερώνεις τοὺς φυλακισμένους; Ἐξήγησε αὐτὰ ποὺ λές· γιατὶ ἡ ἀξία σου ἀπορρίπτει τὰ λεγόμενά σου. Πότε σὲ εἴδαμε σὲ τόση μεγάλη ἀνάγκη; πότε τὰ κάναμε αὐτά; «Ἐφόσον», λέγει, «τὸ κάνατε αὐτὸ σὲ ἕναν ἀπὸ αὐτοὺς τοὺς ἀσήμαντους, τὸ κάνατε σ' ἐμένα»[72]. Μήπως δὲν εἶναι ἀληθὴς ὁ λόγος, ὅτι «ἐκεῖνος ποὺ ἐλεεῖ φτωχὸ δανείζει στὸ Θεό»;

Καὶ πρόσεχε τὸ ἀξιοθαύμαστο· κανένα ἄλλο ἔργο ἀρετῆς δὲν ὑπεθύμισε, παρὰ αὐτό· ἂν καὶ μποροῦσε νὰ πεῖ· 'ἐλᾶτε οἱ εὐλογημένοι, γιατὶ δείξατε σωφροσύνη, γιατὶ ἀσκήσατε τὴν παρθενία, γιατὶ ζήσατε μὲ ἀγγελικὸ τρόπο ζωῆς'· ἀλλὰ τὰ ἀποσιωπᾶ αὐτά, ὄχι γιατὶ εἶναι ἀνάξια μνήμης, ἀλλὰ γιατὶ εἶναι κατώτερα τῆς φιλανθρωπίας. Ἀλλ' ὅπως ἀκριβῶς σ' αὐτοὺς ποὺ βρίσκονται στὰ δεξιὰ παρουσίασε ὅτι τοὺς ἔχει δωρηθεῖ ἡ βασλεία ἐξ αἰτίας τῆς φιλανθρωπίας τους, ἔτσι καὶ σ' ἐκείνους ποὺ βρίσκονται στ' ἀριστερὰ ἀπείλησε τὴν τιμωρία ἐξ αἰτίας τῆς ἐλλείψεως καρπῶν· «πηγαίνετε οἱ καταραμένοι στὸ σκοτάδι τὸ ἐξώτερο, ποὺ ἔχει ἑτοιμαστεῖ γιὰ τὸ διάβολο καὶ τοὺς ἀγγέλους του»[73]. Γιατί; γιὰ ποιό λόγο; «Γιατὶ πεινοῦσα καὶ δὲν μοῦ δώσατε νὰ φάγω». Δὲν εἶπε, 'γιατὶ πορνεύσατε, γιατὶ μοιχεύσατε, γιατὶ κλέψατε, γιατὶ ψευδομαρτυρήσατε, γιατὶ ἐπιορκήσατε'· εἶναι βέβαια ὁμολογουμένως κακὰ κι αὐτά, ἀλλ' εἶναι κατώτερα ἀπὸ τὴν ἀπανθρωπιὰ καὶ τὴν ἀνελεημοσύνη. Καὶ γιατί, Κύριε, δὲν ὑπενθυμίζεις ἄλλους δρόμους; Δὲν κρίνω, λέγει, τὴν ἁμαρτία, ἀλλὰ τὴν ἀπανθρωπιά· δὲν κρίνω ἐκείνους ποὺ ἁμάρτησαν, ἀλλ' ἐκείνους ποὺ δὲν μετανόησαν· σᾶς καταδικάζω γιὰ τὴν ἀπανθρωπιά σας, γιατί, ἂν καὶ εἴχατε τόσο μεγάλο καὶ τέτοιου εἴδους φάρμακο σωτηρίας, τὴν ἐλεημοσύνη, μὲ τὴν ὁποία ἔσβηναν ὅλα τὰ ἁμαρτήματα, παραβλέψατε μιὰ τόση μεγάλη εὐεργεσία. Κατηγορῶ λοιπὸν τὴν ἀπανθρωπιὰ

ἀσεβείας· ἐπαινῶ τὴν φιλανθρωπίαν ὡς ρίζαν πάντων τῶν ἀγαθῶν, καὶ ἀπειλῶ τοῖς μὲν πῦρ αἰώνιον, τοῖς δὲ βασιλείαν οὐρανῶν ἐπαγγέλλομαι. Καλαί σου, ὦ Δέσποτα, καὶ αἱ ἐπαγγελίαι· καλή σου καὶ ἡ προσδοκωμένη βασιλεία, καὶ ἡ γέεννα πάλιν ἀπειλουμένη· ἡ μὲν προτρεπομένη, ἡ δὲ ἐκφοβοῦσα· προτρέπεται γὰρ καλῶς ἡ βασιλεία, φοβεῖ δὲ χρησίμως ἡ γέεννα. Ἀπειλεῖ γὰρ γέενναν ὁ Θεός, οὐχ ἵνα εἰς γέενναν ἐμβάλῃ, ἀλλ' ἵνα γεέννης ἀπαλλάξῃ. Εἰ γὰρ ἐβούλετο κολάσαι, οὐκ ἂν προηπείλησεν, ἵνα ἀσφαλισάμενοι φύγωμεν τὰ ἀπειλούμενα. Ἀπειλεῖ τὴν τιμωρίαν, ἵνα φύγωμεν τὴν πεῖραν τῆς τιμωρίας· φοβεῖ τῷ λόγῳ, ἵνα μὴ κολάσῃ τῷ ἔργῳ.

Δανείσωμεν τοίνυν τῷ Θεῷ τὴν φιλανθρωπίαν, δανείσωμεν, ἵνα εὕρωμεν αὐτὸν χρεώστην, ὡς ἔφθην εἰπών, καὶ μὴ δικαστήν· αἰδεῖται γὰρ ὁ χρεώστης τὸν δανείσαντα, αἰδεῖται αὐτὸν καὶ δυσωπεῖται. Ἐὰν ἀπέλθῃ δανειστὴς εἰς θύραν χρεώστου, ἐὰν μὲν ᾖ ἄπορος, φεύγει· ἐὰν δὲ εὔπορος, μετὰ παρρησίας δέχεται αὐτόν. Ὅρα δέ μοι καὶ ἕτερον θαῦμα τοῦ δικαίου κριτοῦ ἐκ τῶν ἀνθρωπίνων παρατιθέμενον· ἐάν τινι ἐν πενίᾳ καθεστῶτι δανείσῃς, προέλθῃ δὲ εἰς εὐθηνίαν ὁ δανεισάμενος καὶ δύνηταί σοι λοιπὸν ἀποδοῦναι τὸ χρέος, λανθάνει τοὺς πολλοὺς καὶ ἀποδίδωσιν, ἵνα μὴ αἰσχύνηται ἐπὶ τῇ προτέρᾳ καταστάσει· καὶ χάριτας μὲν ὁμολογεῖ, κρύπτει δὲ τὴν εὐεργεσίαν, τὴν προτέραν ἔνδειαν αἰσχυνόμενος. Ὁ δὲ Θεὸς οὐχ οὕτω ποιεῖ, ἀλλ' ἐν κρυπτῷ δανειζόμενος, παρρησίᾳ τὸ χρέος ἀποδίδωσιν. Ὅτε μὲν γὰρ λαμβάνει, διὰ λανθανούσης ἐλεημοσύνης, ὅτε δὲ ἀποδίδωσιν, ἐπ' ὄψεσι πάσης τῆς δημιουργίας ἀποδίδωσιν. Ἀλλ' ἐρεῖ τις ἴσως· 'Διὰ τί δὲ ὅλως ὥσπερ ἐμοὶ τῷ πλουσίῳ δέδωκεν, οὐχὶ καὶ τῷ πένητι παραπλησίως δέδωκεν;' Ἐδύνατο μὲν καὶ σοὶ δοῦναι ὁμοίως, καὶ τῷ πένητι, ἀλλ' οὐκ ἠθέλησεν

σὰν ρίζα τῆς κακίας καὶ κάθε ἀσέβειας· ἐπαινῶ τὴ φιλανθρωπία σὰν ρίζα ὅλων τῶν ἀγαθῶν καὶ ἀπειλῶ τοὺς πρώτους μὲ αἰώνιο πῦρ, ἐνῶ στοὺς δεύτερους ὑπόσχομαι τὴ βασιλεία τῶν οὐρανῶν. Εἶναι καλές, Κύριε, καὶ οἱ ὑποσχέσεις, εἶναι καλὴ καὶ ἡ ἀναμενόμενη βασιλεία καθὼς ἐπίσης καὶ ἡ γέεννα ἡ ἀπείλουμενη, γιατὶ ἡ βασιλεία προτρέπει, ἐνῶ ἡ γέεννα φοβίζει· προτρέπει δηλαδὴ ἡ βασιλεία πρὸς τὸ καλό, ἐνῶ ἡ γέεννα φοβίζει πρὸς ὠφέλεια. Γιατὶ μᾶς ἀπειλεῖ ὁ Θεὸς μὲ τὴ γέεννα, ὄχι γιὰ νὰ μᾶς ρίξει στὴ γέεννα, ἀλλὰ γιὰ νὰ μᾶς ἀπαλλάξει ἀπὸ τὴ γέεννα. Γιατί, ἂν ἤθελε νὰ μᾶς τιμωρήσει, δὲν θὰ μᾶς ἀπειλοῦσε ἀπὸ πρίν, ὥστε ν' ἀσφαλίσουμε τὸν ἑαυτό μας καὶ ν' ἀποφύγουμε τὰ ἀπειλούμενα. Ἀπειλεῖ μὲ τιμωρία, γιὰ νὰ ἀποφύγουμε νὰ τιμωρηθοῦμε· φοβίζει μὲ τὸ λόγο, γιὰ νὰ μὴ τιμωρήσει πραγματικά.

Ἂς δανείσομε λοιπὸν στὸ Θεὸ τὴ φιλανθρωπία, ἂς τοῦ τὴ δανείσομε, γιὰ νὰ τὸν βροῦμε ὀφειλέτη, ὅπως σᾶς εἶπα προηγουμένως, καὶ ὄχι δικαστή· γιατὶ ὁ ὀφειλέτης ντρέπεται τὸ δανειστή, τὸν ντρέπεται καὶ δέχεται τὶς παρακλήσεις του. Ἂν πάει ὁ δανειστὴς στὴν πόρτα τοῦ ὀφειλέτη, ἂν δὲν εἶναι πλούσιος, φεύγει, ἐνῶ ἂν εἶναι πλούσιος, μὲ θάρρος τὸν δέχεται. Καὶ πρόσεχε, σὲ παρακαλῶ, καὶ ἄλλη ἐνέργεια τοῦ δίκαιου κριτῆ ἄξια θαυμασμοῦ παρμένη μέσα ἀπὸ τὰ ἀνθρώπινα. Ἂν δανείσεις σὲ κάποιον ποὺ εἶναι φτωχός, ἀλλ' ὕστερα ἀποκτήσει πλοῦτο αὐτὸς ποὺ δανείστηκε καὶ μπορεῖ πιὰ νὰ σοῦ ἐπιστρέψει τὸ χρέος, ἔρχεται κρυφὰ ἀπὸ ὅλους καὶ σοῦ τὸ ἐπιστρέφει, γιὰ νὰ μὴ ντρέπεται γιὰ τὴν προηγούμενη κατάστασή του· καὶ ἐκφράζει βέβαια τὴ εὐγνωμοσύνη του, κρύβει ὅμως τὴν εὐεργεσία, νιώθοντας ντροπὴ γιὰ τὴν προηγούμενη φτώχεια του. Ὁ Θεὸς ὅμως δὲν ἐνεργεῖ ἔτσι, ἀλλά, ἐνῶ δανείζεται στὰ κρυφά, ἐπιστρέφει τὸ χρέος φανερά. Ὅταν δηλαδὴ παίρνει, τὰ παίρνει κατὰ τρόπο κρυφὸ μὲ τὴν ἐλεημοσύνη, ἐνῶ ὅταν ἐπιστρέφει τὸ χρέος, τὸ ἐπιστρέφει μπροστὰ στὰ μάτια ὅλης τῆς δημιουργίας. Ἀλλὰ θὰ πεῖ κάποιος ἴσως· γιατί, ὅπως ἀκριβῶς ἔδωσε σ' ἐμένα τὸν πλούσιο, δὲν ἔδωσε κατὰ παραπλήσιο τρόπο καὶ στὸ φτωχό; Μποροῦσε κατὰ τὸν ἴδιο τρόπο νὰ δώσει καὶ σὲ σένα

οὔτε σοῦ ἄκαρπον εἶναι τὸν πλοῦτον, οὔτε ἐκείνου ἄμισθον τὴν πενίαν. Σοὶ τῷ πλουτοῦντι δέδωκε πλουτεῖν ἐλεημοσύνῃ καὶ σκορπίζειν ἐν δικαιοσύνῃ· «ἐσκόρπισε» γάρ· «ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα». Ὁρᾷς, ὅτι ὁ πλούσιος ἐκ τῆς ἐλεημοσύνης θησαυρίζει δικαιοσύνην αἰώνιον; Ὅρα πάλιν καὶ τὸν πένητα· ἐπειδὴ οὐκ ἔχει πλοῦτον, ᾧ ἐργάσηται δικαιοσύνην, ἔχει πενίαν, ἐξ ἧς καρποῦται ὑπομνὴν αἰώνιον· «ἡ γὰρ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τὸν αἰῶνα»· ἐν Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

74. Ψαλμ. 119,9.
75. Ψαλμ. 9,19.

καὶ στὸ φτωχό, ἀλλὰ δὲ θέλησε οὔτε ὁ δικός σου πλοῦτος νὰ εἶναι ἄκαρπος, οὔτε ἡ φτώχεια ἐκείνων ἄμισθη. Σὲ σένα τὸν πλούσιο ἔδωσε τὸν πλοῦτο γιὰ ἐλεημοσύνη καὶ νὰ τὸν σκορπίζεις μὲ δικαιοσύνη· γιατὶ λέγει, «σκόρπισε, ἔδωσε στοὺς φτωχούς· ἡ δικαιοσύνη του μένει στὸν αἰώνα»[74]. Βλέπεις ὅτι ὁ πλούσιος θησαυρίζει δικαιοσύνη αἰώνια ἀπὸ τὴν ἐλεημοσύνη; Πρόσεχε πάλι καὶ τὸ φτωχό· ἐπειδὴ δὲν ἔχει πλοῦτο, γιὰ νὰ ἀσκήσει δικαιοσύνη, ἔχει τὴ φτώχεια, μὲ τὴν ὁποία καρποῦται ὑπομονὴ αἰώνια· γιατὶ «ἡ ὑπομονὴ τῶν φτωχῶν δὲν θὰ χαθεῖ στὸν αἰώνα»[75], στὸ ὄνομα τοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΟΓΔΟΗ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

1. Εἰ καὶ χθὲς ὑμῶν ἀπελείφθην, ἀλλ' οὐχ ἑκών, ἀλλ' ἀναγκασθείς· ἀπελείφθην δὲ σώματι, οὐ γνώμῃ· ἀπελείφθην ἀπουσίᾳ σαρκός, οὐ διαθέσει διανοίας. Καὶ γὰρ περιεπλεκόμην καὶ πρὸς ὃ ἐδυνάμην, ἅπαντας ὑμᾶς καὶ ἐπὶ τῆς διανοίας ἔφερον. Πάλιν, ἀδελφοί, τὴν πρόσκαιρον ταύτην νόσον παρέντες, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν· ἔτι γὰρ τὰ λείψανα τῆς ἀρρωστίας ἔχων ἔδραμον πρὸς τὴν ὑμετέραν ἀγάπην. Οἱ μὲν γὰρ ἀρρωστοῦντες λουτρὰ καὶ βαλανεῖα (μετὰ τὴν ἀρρωστίαν) ζητοῦσιν, ἐγὼ δὲ τὰ ποθούμενα ὑμῶν πρόσωπα ἄξιον ἡγησάμην θεάσασθαι καὶ τὴν ὀφειλομένην ἐπιθυμίαν τῆς ἀκροάσεως ἀποπληρῶσαι, τὸ πέλαγος τοῦτο τὸ μέγα καὶ ἅλμην οὐκ ἔχον, τὴν θάλατταν ταύτην τὴν κυμάτων ἀπηλλαγμένην. Ἦλθον ὑμῶν τὴν ἄρουραν τὴν κεκαθαρμένην ἰδεῖν. Τίς γὰρ τοιοῦτος λιμήν, οἷος ἡ Ἐκκλησία; τίς τοιοῦτος παράδεισος, ὡς ἡ σύνοδος ἡ ὑμετέρα; Οὐκ ἔστιν ἐνταῦθα ὄφις ἐπιβουλεύων, ἀλλ' ὁ Χριστὸς μυσταγωγῶν· οὐκ ἔστιν Εὔα ὑποσκελίζουσα, ἀλλ' ἡ Ἐκκλησία ὀρθοῦσα· οὐκ ἔστιν ἐνταῦθα φύλλα δένδρων, ἀλλ' ὁ καρπὸς τοῦ Πνεύματος· οὐκ ἔστιν ἐνταῦθα φραγμὸς ἀκανθῶν, ἀλλ' ἄμπελος εὐθηνοῦσα. Ἐὰν δὲ ἄκανθαν εὕρω, εἰς ἐλαίαν μεταφέρω· οὐ γὰρ ἀπορίᾳ φύσεως τὰ ἐνταῦθα, ἀλλ' ἐλευθερίᾳ προ-



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΟΓΔΟΗ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

1. Ἂν καὶ χθὲς ἔλειψα ἀπὸ κοντά σας, αὐτὸ ἔγινε ὄχι μὲ τὴ θέλησή μου, ἀλλὰ ἀπὸ ἀνάγκη· ἔλειψα ἀπὸ κοντά σας μὲ τὸ σῶμα, ὄχι καὶ μὲ τὴ σκέψη· ἔλειψα ἀπὸ κοντά σας μὲ τὸ σῶμα, ὄχι μὲ τὴ διάθεση τῆς ψυχῆς. Γιατὶ πραγματικὰ σᾶς ἀγκάλιαζα, ὅσο μποροῦσα, ὅλους σας καὶ σᾶς ἔφερνα στὴ σκέψη μου. Πάλι, ἀδελφοί, ἀφοῦ πέρασα τὴν πρόσκαιρη αὐτὴ ἀρρώστια, φρόντισα μὲ μεγαλύτερο ζῆλο νὰ δῶ τὸ πρόσωπό σας, καὶ ἔχοντας ἀκόμα τὰ κατάλοιπα τῆς ἀρρώστιας ἔτρεξα πρὸς τὴν ἀγάπη σας. Γιατὶ ἐκεῖνοι ποὺ ἀρρωσταίνουν ζητοῦν (μετὰ τὴν ἀρρώστια τους) λουτρὰ καὶ μπάνια, ἐνῶ ἐγὼ θεώρησα ἄξιο νὰ δῶ τὰ ποθητὰ πρόσωπά σας καὶ νὰ ἱκανοποιήσω τὴν ἐπιθυμία τῆς ἀκροάσεως ποὺ ὀφείλει νὰ ἔχει αὐτὸ τὸ πέλαγος τὸ μεγάλο, ποὺ δὲν ἔχει ἁλμύρα, αὐτὴ ἡ θάλασσα ἡ ἀπαλλαγμένη ἀπὸ κύματα. Ἦρθα νὰ δῶ τὴ γῆ σας τὴν καθαρή. Γιατί ποιό λιμάνι εἶναι τέτοιο σὰν τὴν Ἐκκλησία; ποιός παράδεισος εἶναι τέτοιος, ὅπως ἡ δική μας ἡ συγκέντρωση; Δὲν ὑπάρχει ἐδῶ τὸ ἐπίβουλο φίδι, ἀλλ' ὁ Χριστὸς ποὺ μυσταγωγεῖ· δὲν ὑπάρχει ἡ Εὔα ποὺ ὁδηγεῖ μὲ δόλο στὴν πτώση, ἀλλ' ἡ Ἐκκλησία ποὺ ἀνορθώνει τοὺς πεσμένους· δὲν ὑπάρχουν ἐδῶ φύλλα δέντρων, ἀλλ' ὁ καρπὸς τοῦ Πνεύματος· δὲν ὑπάρχει ἐδῶ φράχτης μὲ ἀγκάθια, ἀλλ' ἀμπέλι μὲ πλούσιο καρπό. Ἂν πάλι βρῶ ἀγκάθι, τὸ μεταβάλλω σὲ ἐλιά· γιατὶ στὰ ἐδῶ δὲν ὑπάρχει ἡ ἀδυναμία τῆς φύσεως,

αιρέσεως τετίμηται· ἐὰν δὲ λύκον εὕρω, πρόβατον ποιῶ, οὐ τὴν φύσιν μεταβάλλων, ἀλλὰ τὴν προαίρεσιν μεταφέρων.

Διὰ τοῦτο οὐκ ἂν ἁμάρτοι τις τῆς κιβωτοῦ τὴν Ἐκκλησίαν μείζονα προσειπών. Ἡ μὲν γὰρ κιβωτὸς παρελάμβανε τὰ ζῶα καὶ ἐφύλαττε ζῶα, ἡ δὲ Ἐκκλησία παραλαμβάνει τὰ ζῶα καὶ μεταβάλλει. Οἷόν τι λέγω . Εἰσῆλθεν ἐκεῖ ἱέραξ, καὶ ἐξῆλθε ἱέραξ· εἰσῆλθε λύκος, καὶ ἐξῆλθε λύκος· εἰσῆλθέ τις ἱέραξ ἐνταῦθα, καὶ ἐξέρχεται περιστερά· εἰσέρχεται λύκος, καὶ ἐξέρχεται πρόβατον· εἰσέρχεται ὄφις, καὶ ἐξέρχεται ἀρνίον, οὐ τῆς φύσεως μεταβαλλομένης, ἀλλα τῆς κακίας ἐλαυνομένης. Διὰ τοῦτο συνεχῶς τὸν περὶ μετανοίας κινῶ λόγον. Ἡ γὰρ μετάνοια, δεινὴ καὶ φοβερὰ τῷ ἁμαρτωλῷ, φάρμακον τῶν πλημμελημάτων, δαπάνημα τῶν παρανομιῶν, ἀνάλωμα τῶν δακρύων, παρρησία πρὸς τὸν Θεόν, ὅπλον κατὰ τοῦ διαβόλου, μάχαιρα ἀποτέμνουσα αὐτοῦ τὴν κεφαλήν, σωτηρίας ἐλπίς, ἀπογνώσεως ἀναίρεσις· αὕτη τὸν οὐρανὸν ἀνοίγει, αὕτη εἰς τὸν παράδεισον εἰσάγει, αὕτη τοῦ διαβόλου περιγίνεται (διὰ δὴ τοῦτο συνεχῶς τὸν περὶ τούτου κινῶ λόγον), ὥσπερ καὶ τὸ θαρρεῖν ποιεῖ ὑποσκελίζεσθαι. Ἁμαρτωλὸς εἶ; μὴ ἀπογνῷς· οὐ παύομαι συνεχῶς ταῦτα ἐπαλείφων τὰ φάρμακα· καὶ γὰρ οἶδα ἡλίκον ὅπλον ἐστὶ κατὰ τοῦ διαβόλου τὸ μὴ ἀπογινώσκειν ὑμᾶς. Ἂν ἔχῃς ἁμαρτήματα μὴ ἀπογνῷς· οὐ παύομαι ταῦτα συνεχῶς λέγων· κἂν καθ' ἡμέραν ἁμαρτάνῃς, καθ' ἡμέραν μετανόει· καὶ ὅπερ ἐν ταῖς παλαιαῖς ποιοῦμεν οἰκίαις, ὅταν σαθρωθῶσιν, ὑπεξαιρούμεθα τὰ σεσαθρωμένα καὶ καινὰ ἐπισκευάζομεν, καὶ οὐδέποτε συνεχοῦς ἐπιμελείας ἐπιλανθανόμεθα, τοῦτο καὶ ἐν ἡμῖν ποιῶμεν. Εἰ ἐπαλαιώθης σήμερον ἀπὸ τῆς ἁμαρτίας, ἀνακαίνισον σεαυτὸν ἀπὸ τῆς μετανοίας.

Καὶ ἔνι, φησί, μετανοήσαντα σωθῆναι; Καὶ πάνυ ἔνι. Πάντα τὸν βίον ἐν ἁμαρτίαις διέτριψα καὶ ἐὰν μετανοήσω σώζομαι; Πάνυ. Πόθεν δῆλον; Ἀπὸ τῆς τοῦ Δεσπότου σου φιλανθρωπίας. Μὴ γὰρ

ἀλλ' εἶναι τιμημένα μὲ τὴν ἐλευθερία τῆς προαιρέσεως. Ἂν βρῶ λύκο, τὸν κάμνω πρόβατο, ἀλλάσσοντας ὄχι τὴ φύση, ἀλλὰ μεταβάλλοντας τὴν προαίρεση.

Γι' αὐτὸ δὲ θὰ σφάλλει κανεὶς ἂν ὀνομάσει τὴν Ἐκκλησία ἀνώτερη ἀπὸ τὴν κιβωτό. Γιατὶ ἡ κιβωτὸς δεχόταν τὰ ζῶα καὶ τὰ διατηροῦσε ζῶα, ἐνῶ ἡ Ἐκκλησία παίρνει τὰ ζῶα καὶ τὰ μεταβάλλει. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Μπῆκε ἐκεῖ μέσα γεράκι καὶ βγῆκε γεράκι· μπῆκε λύκος καὶ βγῆκε λύκος· μπῆκε κάποιος ἐδῶ μέσα γεράκι καὶ βγαίνει περιστέρι· μπαίνει λύκος καὶ βγαίνει πρόβατο· μπαίνει φίδι καὶ βγαίνει ἀρνί, χωρὶς ν' ἀλλάσσει ἡ φύση του, ἀλλὰ ἀπομακρύνοντας ἀπὸ μέσα του τὴν κακία. Γι' αὐτὸ συνέχεια μιλάω γιὰ τὴ μετάνοια. Γιατὶ ἡ μετάνοια, ποὺ εἶναι τρομερὴ καὶ φοβερὴ στὸν ἁμαρτωλό, εἶναι φάρμακο τῶν πλημμελημάτων, ἐξαφάνιση τῶν παρανομιῶν, ἐξάλειψη τῶν δακρύων, παρρησία πρὸς τὸ Θεό, ὅπλο κατὰ τοῦ διαβόλου, μάχαιρα ποὺ κατακόβει τὸ κεφάλι αὐτοῦ, ἐλπίδα σωτηρίας, ἐξάλειψη τῆς ἀπογνώσεως· αὐτὴ ἀνοίγει τὸν οὐρανό, αὐτὴ ὁδηγεῖ μέσα στὸν παράδεισο, αὐτὴ κατανικᾶ τὸ διάβολο (γι' αὐτὸ βέβαια καὶ μιλάω συνέχεια γι' αὐτήν), ὅπως ἀκριβῶς καὶ τὸ νὰ περιορίζομε τὸ θάρρος μας στὸν ἑαυτό μας μᾶς ὁδηγεῖ στὴν πτώση. Εἶσαι ἁμαρτωλός; μὴ χάσεις τὴν ἐλπίδα σου· δὲν παύω νὰ παρέχω συνέχεια αὐτὰ τὰ φάρμακα· γιατὶ γνωρίζω πόσο μεγάλο ὅπλο εἶναι κατὰ τοῦ διαβόλου τὸ νὰ μὴ κυριευόμαστε ἀπὸ ἀπελπισία. Ἂν ἔχεις ἁμαρτήματα μὴ χάσεις τὴν ἐλπίδα σου· δὲν παύω νὰ τὰ λέγω αὐτὰ συνέχεια· κι ἂν ἀκόμη κάθε μέρα ἁμαρτάνεις, κάθε μέρα μετανόει· καὶ ἐκεῖνο ποὺ κάμνομε στὰ παλιὰ σπίτια, ὅταν γίνουν ἑτοιμόρροπα, καθαρίζομε δηλαδὴ τὰ ἐρείπια καὶ χτίζομε καινούρια καὶ δὲν σταματοῦμε τὴ συνεχὴ φροντίδα μας γι' αὐτά, αὐτὸ νὰ κάμνομε καὶ στὸν ἑαυτό μας. Ἂν παλαιώθηκες σήμερα ἀπὸ τὴν ἁμαρτία, ἀνακαίνισε τὸν ἑαυτό σου μὲ τὴ μετάνοια.

Καὶ εἶναι δυνατό, λέγει, νὰ μετανοήσει κανεὶς καὶ νὰ σωθεῖ; Καὶ βέβαια εἶναι δυνατό. Ὅλη τὴ ζωή μου τὴν πέρασα μέσα στὶς ἁμαρτίες καὶ σώζομαι ἐὰν μετανοήσω; Ἀσφαλῶς ναί. Ἀπὸ ποῦ εἶναι φανερό; Ἀπὸ τὴ φιλανθρωπία τοῦ Κυρίου σου. Μήπως δηλαδὴ

τῇ μετανοίᾳ σου θαρρῶ; μὴ γὰρ ἡ μετάνοιά σου ἰσχύει τοσαῦτα κακὰ ἀποσμήξασθαι; Εἰ ἡ μετάνοια μόνη ἦν, εἰκότως ἐφόβου· ἐπειδὴ δὲ τῇ μετανοίᾳ κεράννυται Θεοῦ φιλανθρωπία, θάρρει· Θεοῦ γὰρ φιλανθρωπίας μέτρον οὐκ ἔστιν, οὐδὲ λόγῳ ἑρμηνευθῆναι δύναται αὐτοῦ ἡ ἀγαθότης. Ἡ μὲν γὰρ σὴ κακία μέτρον ἔχει, τὸ δὲ φάρμακον μέτρον οὐκ ἔχει· ἡ σὴ κακία οἵα ἐὰν ᾖ, ἀνθρωπίνη ἐστὶ κακία, ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία ἄφατος· καὶ θάρρει, ὅτι περιγίνεταί σου τῆς κακίας. Ἐννόησον σπινθῆρα εἰς πέλαγος ἐμπεσόντα· μὴ δύναται στῆναι ἢ φανῆναι; Ὅσον σπινθὴρ πρὸς πέλαγος, τοσοῦτον κακία πρὸς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· μᾶλλον δὲ οὐδὲ τοσοῦτον, ἀλλὰ πολλῷ πλέον. Τὸ μὲν γὰρ πέλαγος, κἂν μέγα ᾖ, μέτρον ἔχει, ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία ἀπεριόριστος.

Ταῦτα λέγω, οὐχ ἵνα ὑμᾶς ῥᾳθυμοτέρους ἐργάσωμαι, ἀλλ' ἵνα σπουδαιοτέρους καταστήσω. Παρῄνεσα πολλάκις εἰς θέατρον μὴ ἀναβαίνειν· ἤκουσας, οὐ ἐπείσθης· ἀνέβης εἰς τὸ θέατρον, παρήκουσάς μου τοῦ λόγου· μὴ αἰσχυνθῇς πάλιν εἰσελθεῖν καὶ ἀκοῦσαι. Ἤκουσα καὶ οὐκ ἐτήρησα, πῶς δύναμαι πάλιν εἰσελθεῖν; Τέως αὐτὸ τοῦτο οἶδας, ὅτι οὐκ ἐτήρησας· τέως αἰσχύνῃ, τέως ἐρυθριᾷς, τέως μηδενός σε ἐλέγχοντος τὸν χαλινὸν περιφέρεις, τέως τὸν λόγον μου ἔχεις ἐρριζωμένον, τέως μὴ φαινομένου ἡ διδασκαλία μου καθαίρει σε. Οὐκ ἐτήρησας, κατέγνως σεαυτοῦ; Εἰς τὸ ἥμισυ ἐτήρησας, κἂν μὴ τηρήσῃς, εἴπῃς δέ, 'οὐκ ἐτήρησα'· ὁ γὰρ καταγνοὺς ἑαυτοῦ ἐπὶ τῷ μὴ τηρῆσαι, ἐπὶ τὸ τηρῆσαι σπουδάζει. Ἐθεώρησας; εἰργάσω παρανομίαν; αἰχμάλωτος ἐγένου τῆς πόρνης; κατέβης ἀπὸ τοῦ θεάτρου; πάλιν ἐμνήσθης; ᾐσχύνθης; Πρόσελθε. Ἐλυπήθης; παρακάλεσον τὸν Θεόν· ἀνέστης μέχρι τούτου. Οὐαί μοι, ἤκουσα καὶ οὐκ ἐτήρησα· πῶς εἰσέλθω εἰς τὴν ἐκκλησίαν; πῶς πάλιν ἀκούσω; Μᾶλλον εἴσελθε, ἐπειδὴ οὐκ ἐτήρησας, ἵνα πάλιν ἀκούσας τηρήσῃς. Φάρμακον ἐὰν ἐπιθῇ σοι ὁ ἰατρὸς καὶ μὴ καθαρίσῃ

στηρίζω τὸ θάρρος μου στὴ μετάνοιά σου; μήπως ἡ μετάνοιά σου μπορεῖ νὰ καθαρίσει τόσα πολλὰ κακά; Ἂν ἦταν μόνη ἡ μετάνοια, τότε σωστὰ νὰ φοβόσουν· ἐπειδὴ ὅμως μὲ τὴ μετάνοια ἀναμιγνύεται καὶ ἡ φιλανθωπία τοῦ Θεοῦ, ἔχε θάρρος· γιατὶ μέτρο στὴ φιλανθρωπία τοῦ Θεοῦ δὲν ὑπάρχει, οὔτε μπορεῖ νὰ ἑρμηνευθεῖ μὲ λόγια ἡ ἀγαθότητα αὐτοῦ. Ἡ δική σου δηλαδὴ κακία ἔχει μέτρο, τὸ φάρμακο ὅμως δὲν ἔχει μέτρο· ἡ δική σου κακία, ὅποια κι ἂν εἶναι, εἶναι κακία ἀνθρώπινη, ἐνῶ ἡ φιλανθρωπία τοῦ Θεοῦ εἶναι ἀπερίγραπτη· καὶ ἔχει θάρρος ποὺ ὑπερβαίνει τὴν κακία σου. Σκέψου ἕνα σπινθήρα ποὺ ἔπεσε στὸ πέλαγος· μήπως μπορεῖ νὰ μείνει ἐκεῖ ἢ νὰ φανεῖ; Ὅσο εἶναι ὁ σπινθήρας μπροστὰ στὸ πέλαγος, τόσο εἶναι ἡ κακία ἀπέναντι στὴ φιλανθρωπία τοῦ Θεοῦ· ἢ καλύτερα οὔτε τόσο, ἀλλὰ πολὺ περισσότερο. Γιατὶ τὸ πέλαγος, κι ἂν ἀκόμη εἶναι μεγάλο, ἔχει ὅρια, ἐνῶ ἡ φιλανθρωπία τοῦ Θεοῦ εἶναι ἀπεριόριστη.

Αὐτὰ τὰ λέγω ὄχι γιὰ νὰ σᾶς κάνω πιὸ ἀδιάφορους, ἀλλὰ γιὰ νὰ σᾶς κάνω πιὸ πρόθυμους. Σᾶς συμβούλεψα πολλὲς φορὲς νὰ μὴ πηγαίνετε στὸ θέατρο· ἄκουσες τὴ συμβουλὴ καὶ δὲν πείσθηκες· πῆγες στὸ θέατρο, παράκουσες τὸ λόγο μου· μὴ ντραπεῖς πάλι νὰ μπεῖς ἐδῶ καὶ ν' ἀκούσεις. Ἄκουσα τὴ συμβουλή σου καὶ δὲν τὴν τήρησα· πῶς μπορῶ πάλι νὰ μπῶ ἐδῶ μέσα; Τώρα ὅμως τὸ κατάλαβες αὐτό, ὅτι δηλαδὴ δὲν τὴν τήρησες· τώρα ντρέπεσαι, τώρα κοκκινίζεις, τώρα χωρὶς νὰ σὲ ἐλέγχει κανείς, φέρνεις τὸ χαλινάρι, τώρα ἔχεις ριζωμένο τὸ λόγο μου μέσα σου, τώρα χωρὶς αὐτὸς νὰ φαίνεται σὲ καθαρίζει ἡ διδασκαλία μου. Δὲν τὸν τήρησες, ἀλλὰ καταδίκασες τὸν ἑαυτό σου; τὸν τήρησες κατὰ τὸ ἥμισυ, κι ἂν ἀκόμη δὲν τὸν τήρησες καὶ πεῖς 'δὲν τὸν τήρησα'· γιατὶ ἐκεῖνος ποὺ καταδικάζει τὸν ἑαυτό του γιὰ τὴ μὴ τηρήση, φροντίζει γιὰ τὴν τήρησή του. Εἶδες; διέπραξες τὴν παρανομία; αἰχμαλωτίσθηκες ἀπὸ τὴν πόρνη; βγῆκες ἀπὸ τὸ θέατρο; πάλι θυμήθηκες τὴ συμβουλή μου, ντράπηκες; Ἔλα ἐδῶ. Λυπήθηκες; παρακάλεσε τὸ Θεό· πέτυχες τὴν ἀνόρθωσή σου μέχρις ἐδῶ. Ἀλλοίμονό μου, ἄκουσα τὴ συμβουλή σου καὶ δὲν τὴν τήρησα· πῶς νὰ μπῶ στὴν ἐκκλησία; πῶς πάλι ν' ἀκούσω τὸ λόγο σου; Μὰ ἀκριβῶς γι' αὐτὸ

σε, ἄλλην ἡμέραν οὐκ ἐπιτίθησιν αὐτὸ πάλιν; Ἔστι τις δρυοτόμος· θελέτω τέμνειν δρῦν, λαμβάνει ἀξίνην, κόπτει τὴν ρίζαν· ἐὰν δῷ μίαν πληγὴν καὶ μὴ πέσῃ τὸ ἄκαρπον δένδρον, οὐ δίδωσιν ἄλλην πληγήν, οὐ τὴν τετάρτην, οὐ τὴν πέμπτην, οὐ τὴν δεκάτην; Οὕτω καὶ σὺ ποίει· δρῦς ἐστιν ἡ πόρνη, ἄκαρπον δένδρον, βαλάνους ἐκφέρουσα χοίρων ἀλόγων τροφήν· ἐν πολλῷ χρόνῳ ἐρριζώθη ἐν τῇ διανοίᾳ σου, ἐν τῇ περιβολῇ τῶν δένδρων κατέβαλέ σου τὸ συνειδός· ὁ λόγος μου ἀξίνη ἐστίν. Ἤκουσας μίαν ἡμέραν· πῶς εἰς μίαν ἡμέραν πίπτει ἡ τοσούτῳ χρόνῳ ἐρριζωμένη; Ἐὰν γὰρ δίς, ἐὰν γὰρ τρίς, ἐὰν γὰρ ἑκατοντάκις, ἐὰν γὰρ μυριάκις, οὐκ ἔστι θαυμαστόν· μόνον ἔκκοψον πρᾶγμα πονηρὸν καὶ ἰσχυρόν, συνήθειαν πονηράν. Μάννα ἤσθιον οἱ Ἰουδαῖοι, καὶ κρόμμυα ἐζήτουν τὰ ἐν Αἰγύπτῳ· «καλῶς ἦν ἡμῖν ἐν Αἰγύπτῳ»· οὕτως αἰσχρὸν πρᾶγμα συνήθεια καὶ κάκιστον. Κἂν γὰρ εἰς δέκα ἡμέρας κατορθώσῃς, ἐὰν γὰρ εἰς εἴκοσιν, ἐὰν γὰρ εἰς τριάκοντα, οὐκ ἀγαπῶ, οὐ χάριν ἔχω, οὐ περιπτύσσομαί σε· μόνον μὴ ἀποκάμῃς, ἀλλὰ αἰσχύνου καὶ καταγίνωσκε.

2. Πάλιν διελέχθην περὶ ἀγάπης· ἤκουσας, ἀπῆλθες καὶ ἥρπασας; οὐκ ἐπεδείξω διὰ τῶν ἔργων τὸν λόγον; Μὴ αἰσχυνθῇς πάλιν εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν· αἰσχύνου ἁμαρτάνων, μὴ αἰσχύνου μετανοῶν. Πρόσεχε τί ἐποίησέ σοι ὁ διάβολος. Δύο ταῦτά ἐστιν, ἁμαρτία καὶ μετάνοια· ἁμαρτία τραῦμα, μετάνοια φάρμακον. Ὥσπερ γὰρ ἐν τῷ σώματι τραύματα καὶ φάρμακα, οὕτω καὶ ἐν τῇ ψυχῇ ἁμαρτήματα καὶ μετάνοια· ἀλλ' ἡ ἁμαρτία τὴν αἰσχύνην ἔχει, ἡ δὲ μετάνοια τὴν παρρησίαν κέκτηται. Πρόσεχέ μοι μετὰ ἀκριβείας, παρακαλῶ, ἵνα μὴ τὴν τάξιν συγχέων ἀπολέσῃς τὴν ὠφέλειαν. Ἔστι τραῦμα καὶ φάρμακον, ἁμαρτία καὶ μετάνοια· τὸ τραῦμα ἡ ἁμαρτία, τὸ φάρμακον ἡ μετάνοια· ἐν τῷ τραύματι σηπεδών, ἐν τῷ φαρμάκῳ καθαρισμὸς σηπεδόνος· ἐν τῇ ἁμαρτίᾳ σηπεδών,

---

1. Ἀριθμ. 11,18.

ἔλα, ἐπειδὴ δὲν τὸν τήρησες, γιὰ νὰ τὸν ἀκούσεις πάλι καὶ νὰ τὸν τηρήσεις. Ἂν ὁ γιατρὸς σοῦ βάλει φάρμακα καὶ δὲν σὲ καθαρίσει, δὲν ξαναβάζει πάλι αὐτὸ ἄλλη ἡμέρα; Ὑπάρχει κάποιος ξυλοκόπος καὶ θέλει νὰ κόψει μία δρῦ· παίρνει τὴν ἀξίνα καὶ κόβει τὴ ρίζα· ἐὰν τῆς δώσει ἕνα χτύπημα καὶ δὲν πέσει τὸ ἄκαρπο δένδρο, δὲν τοῦ δίνει ἄλλο χτύπημα, δὲν τοῦ δίνει τέταρτο, δὲν τοῦ δίνει πέμπτο, δὲν τοῦ δίνει δέκατο χτύπημα; Τὸ ἴδιο καὶ σὺ κάμνε· δρῦς εἶναι ἡ πόρνη, ἄκαρπο δένδρο, ποὺ παράγει βελανίδια γιὰ τροφὴ τῶν ἄλογων χοίρων· γιὰ πολὺ χρόνο ριζώθηκε μέσα στὸ νοῦ σου, μὲ τὴν ἐνδυμασία τῶν δένδρων κυρίεψε τὸ νοῦ σου· πῶς πέφτει σὲ μιὰ μέρα ἐκείνη ποὺ εἶναι ριζωμένη τόσο χρόνο; Δὲν εἶναι θαυμαστὸ ἂν τὸν ἄκουσες δυὸ φορές, ἂν τὸν ἄκουσες τρεῖς, ἂν ἑκατό, ἂν ἀμέτρητες φορές· μόνο κόψε τὸ πονηρὸ καὶ ἰσχυρὸ πράγμα, τὴν κακὴ συνήθεια. Μάννα ἔτρωγαν οἱ Ἰουδαῖοι καὶ ζητοῦσαν τὰ κρομμύδια ποὺ ἔτρωγαν στὴ Αἴγυπτο. «Καλὰ ἤμασταν στὴν Αἴγυπτο»[1]· τόσο πολὺ αἰσχρὸ καὶ κάκιστο πράγμα εἶναι ἡ συνήθεια. Γιατὶ κι ἂν ἀκόμη τὸ κατορθώσεις σὲ δέκα μέρες, κι ἂν σὲ εἴκοσι, κι ἂν σὲ τριάντα, δὲν σ' ἀγαπῶ, δὲν εἶμαι ἱκανοποιημένος, δὲν σὲ ἀγκαλιάζω· μόνο μὴ ἀποκάμεις, ἀλλὰ νὰ ντρέπεσαι καὶ νὰ καταδικάζεις τὸν ἑαυτό σου.

2. Πάλι, σᾶς μίλησα περὶ ἀγάπης· ἄκουσες τὸ λόγο μου, ἔφυγες καὶ ἅρπαξες; Δὲν ἔδειξες μὲ τὰ ἔργα τὸ λόγο; Μὴ ντραπεῖς νὰ μπεῖς πάλι στὴν ἐκκλησία· νὰ ντρέπεσαι ν' ἁμαρτάνεις, νὰ μὴ ντρέπεσαι νὰ μετανοεῖς. Πρόσεχε τί σοῦ ἔκαμε ὁ διάβολος. Δύο εἶναι αὐτά· ἁμαρτία καὶ μετάνοια· ἡ ἁμαρτία εἶναι τραῦμα, ἡ μετάνοια φάρμακο. Ὅπως ἀκριβῶς δηλαδὴ γιὰ τὸ σῶμα ὑπάρχουν τραύματα καὶ φάρμακα, ἔτσι καὶ γιὰ τὴν ψυχὴ ὑπάρχουν ἁμαρτήματα καὶ μετάνοια, ἀλλὰ ἡ ἁμαρτία ἔχει τὴ ντροπή, ἐνῶ ἡ μετάνοια ἔχει τὴν παρρησία. Συγκέντρωσε, σὲ παρακαλῶ, ὅλη τὴν προσοχή σου στὰ λεγόμενα, ὥστε νὰ μὴ συμβεῖ, συγχέοντας τὴ σειρά τους, νὰ χάσεις τὴν ὠφέλεια. Ὑπάρχει τραῦμα καὶ φάρμακο, ἁμαρτία καὶ μετάνοια· τὸ τραῦμα εἶναι ἡ ἁμαρτία, τὸ φάρμακο ἡ μετάνοια· τὸ τραῦμα προκαλεῖ τὸ σάπισμα, τὸ φάρμακο καθαρίζει τὸ σάπισμα· ἡ ἁμαρτία προκαλεῖ τὸ σάπισμα, ἡ ἁμαρτία τὴ ντρο-

ἐν τῇ ἁμαρτία ὄνειδος, ἐν τῇ ἁμαρτίᾳ γέλως· ἐν τῇ μετανοίᾳ παρρησία, ἐν τῇ μετανοίᾳ ἐλευθερία, ἐν τῇ μετανοίᾳ καθαρισμὸς ἁμαρτήματος. Πρόσεχε μετὰ ἀκριβείας. Τῇ ἁμαρτίᾳ αἰσχύνη ἕπεται, τῇ μετανοίᾳ παρρησία ἀκολουθεῖ. Προσέσχες ᾧ λέγω; Τὴν τάξιν ὁ σατανᾶς ἀντέστρεψε καὶ ἔδωκε τὴν παρρησίαν τῇ ἁμαρτίᾳ καὶ τὴν αἰσχύνην τῇ μετανοίᾳ. Οὐκ ἀφίσταμαι ἕως ἑσπέρας, ἕως οὗ αὐτὸ λύσω· δεῖ με τὴν ὑπόσχεσιν πληρῶσαι· ἀμήχανόν με ἀποστῆναι. Ἔστι τραῦμα καὶ φάρμακον· τὸ τραῦμα τὴν σηπεδόνα ἔχει, τὸ φάρμακον τὸν καθαρισμὸν τῆς σηπεδόνος κέκτηται. Μὴ ἐν τῷ φαρμάκῳ σηπεδών; μὴ ἐν τῷ τραύματι ἴασις; Οὐκ ἔχει ταῦτα τὴν οἰκείαν τάξιν κἀκεῖνα τὴν οἰκείαν; μὴ δύναται μεταβῆναι τοῦτο πρὸς ἐκεῖνο, ἢ ἐκεῖνο πρὸς τοῦτο; Οὐδαμῶς.

Ἔλθωμεν λοιπὸν ἐπὶ τῆς ψυχῆς τῶν ἁμαρτημάτων. Ἡ ἁμαρτία τὴν αἰσχύνην ἔχει, ἡ ἁμαρτία τὸ ὄνειδος ἔχει, καὶ τὴν ἀτιμίαν συγκεκληρωμένην· ἡ μετάνοια τὴν παρρησίαν ἔχει, ἡ μετάνοια τὴν νηστείαν ἔχει, ἡ μετάνοια τὴν δικαιοσύνην κέκτηται. «Λέγε γὰρ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς» καί, «δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ». Εἰδὼς οὖν ὁ σατανᾶς, ὅτι ἡ μὲν ἁμαρτία ἔχει τὴν αἰσχύνην, πρᾶγμα ἱκανῶς ἀποκροῦσαι τὸν ἁμαρτάνοντα δυνάμενον, ἡ δὲ μετάνοια ἔχει τὴν παρρησίαν, πρᾶγμα ἱκανὸν ἐπισπάσασθαι τὸν μετανοοῦντα, ἐνήλλαξε τὴν τάξιν καὶ ἔδωκε τὴν αἰσχύνην τῇ μετανοίᾳ καὶ τὴν παρρησίαν τῇ ἁμαρτίᾳ. Πόθεν τοῦτο; Ἐγὼ λέγω. Ἁλίσκεταί τις ὑπὸ ἐπιθυμίας χαλεπῆς πρὸς πάνδημον πόρνην· ἀκολουθεῖ τῇ πόρνῃ ὡς αἰχμάλωτος· εἰσέρχεται εἰς τὸ καταγώγιον· οὐκ αἰχυνόμενος, οὐκ ἐρυθριῶν συμπλέκεται τῇ πόρνῃ, πράττει τὴν ἁμαρτίαν· οὐδαμοῦ αἰσχύνη αὐτῷ, οὐδαμοῦ ἐρυθριᾷ· ἐξέρχεται ἐκεῖθεν μετὰ τὸ τέλος τῆς ἁμαρτίας, καὶ ἵνα μετανοήσῃ αἰσχύνεται. Ἄθλιε, ὅτε περιεπλέκου τῇ πόρνῃ, οὐκ ᾐσχύνου, ἀλλ' ὅτε ἦλθες μετανοῆσαι, τότε αἰσχύνῃ; Αἰσχύνεται, εἰπέ; εἰς τί ὅτε ἐπόρνευσεν οὐκ ᾐσχύνετο; Τὸ πρᾶγμα πράττει καὶ οὐκ αἰσχύνεται, καὶ τὸ ρῆμα ἐρυθριᾷ; Διαβόλου δέ ἐστι κακουργία αὕτη. Ἐν τῇ

2. Ἡσ. 43,26.
3. Παρ. 18,17.

πή, ἡ ἁμαρτία τὸ γέλωτα, ἐνῶ ἡ μετάνοια παρέχει παρρησία, ἡ μετάνοια παρέχει ἐλευθερία, ἡ μετάνοια καθαρίζει τὸ ἁμάρτημα. Πρόσεχε μὲ ἀκρίβεια. Τὴν ἁμαρτία τὴν ἀκολουθεῖ ἡ ντροπή, ἐνῶ τὴ μετάνοια τὴν ἀκολουθεῖ ἡ παρρησία. Πρόσεξες αὐτὸ ποὺ λέγω; Τὴν τάξη τὴν ἀντέστρεψε ὁ σατανᾶς καὶ ἔδωσε τὴν παρρησία στὴν ἁμαρτία καὶ τὴ ντροπὴ στὴ μετάνοια. Δὲ θὰ σταματήσω ὢς τὸ βράδυ, μέχρι ποὺ νὰ τὸ ἐξηγήσω αὐτό. Πρέπει νὰ ἐκπληρώσω τὴν ὑπόσχεσή μου· εἶναι ἀδύνατο νὰ σταματήσω. Ὑπάρχει τραῦμα καὶ φάρμακο· τὸ τραῦμα προκαλεῖ τὸ σάπισμα, ἐνῶ τὸ φάρμακο καθαρίζει τὸ σάπισμα. Μήπως τὸ φάρμακο προξενεῖ τὴ σαπίλα; μήπως τὸ τραῦμα παρέχει τὴ θεραπεία; Δὲν ἔχουν αὐτὰ τὴ δική τους τάξη καὶ ἐκεῖνα τὴ δική τους; Μήπως μπορεῖ αὐτὸ νὰ μετατεθεῖ πρὸς ἐκεῖνο ἢ ἐκεῖνο πρὸς αὐτό; Καθόλου.

Ἂς ἔρθομε λοιπὸν στὰ ἁμαρτήματα τῆς ψυχῆς. Ἡ ἁμαρτία ἔχει τὴ ντροπή, ἡ ἁμαρτία ἔχει τὸ χλευασμὸ καὶ τὴν ἀτιμία στενὰ συνδεδεμένη μαζί της· ἡ μετάνοια ἔχει τὴν παρρησία, ἡ μετάνοια ἔχει τὴ νηστεία, ἡ μετάνοια ἔχει τὴ δικαιοσύνη. Γιατὶ λέγει, «λέγε σὺ πρῶτος τὶς ἀνομίες σου, γιὰ νὰ δικαιωθεῖς»[2]· καί, «δίκαιος εἶναι ἐκεῖνος ποὺ κατηγορεῖ πρῶτος τὸν ἑαυτό του»[3]. Γνωρίζοντας λοιπὸν ὁ σατανᾶς, ὅτι ἡ ἁμαρτία ἔχει τὴ ντροπή, πράγμα ποὺ μπορεῖ σὲ μεγάλο βαθμὸ ν' ἀπομακρύνει ἐκεῖνον ποὺ ἁμαρτάνει, ἐνῶ ἡ μετάνοια ἔχει τὴν παρρησία, πράγμα ποὺ εἶναι ἱκανὸ νὰ προσελκύσει ἐκεῖνον ποὺ μετανοεῖ, ἀντέστρεψε τὴ θέση καὶ ἔδωσε στὴ μετάνοια τὴν ντροπὴ καὶ τὴν παρρησία στὴν ἁμαρτία. Ἀπὸ ποῦ γίνεται αὐτὸ φανερό; Ἐγὼ θὰ σᾶς τὸ πῶ. Κυριεύεται κάποιος ἀπὸ φοβερὴ ἐπιθυμία γιὰ κοινὴ πόρνη· ἀκολουθεῖ τὴν πόρνη σὰν αἰχμάλωτος· μπαίνει στὸ πορνεῖο· χωρὶς ντροπή, χωρὶς νὰ κοκκινίζει πέφτει στὴν ἀγκαλιὰ τῆς πόρνης, διαπράττει τὴν ἁμαρτία· δὲν αἰσθάνεται ἴχνος ντροπῆς, δὲν κοκκινίζει καθόλου. Βγαίνει ἀπὸ ἐκεῖ μετὰ τὸ τέλος τῆς ἁμαρτίας καὶ ντρέπεται γιὰ νὰ μετανοήσει. Ἄθλιε, ὅταν ἀγκάλιαζες τὴν πόρνη δὲν ντρεπόσουν, ἀλλ' ὅταν ἦρθες νὰ μετανοήσεις, τότε ντρέπεσαι; Μὰ πές μου, ντρέπεται; Γιατί δὲν ντρεπόταν ὅταν διέπραξε τὴν πορνεία; Κάμνει τὴν πράξη καὶ δὲν ντρέπεται, καὶ κοκκινίζει νὰ τὴν πεῖ; Αὐτὴ εἶναι κακουργία

ἁμαρτίᾳ οὐκ ἀφίησιν αὐτὸν αἰσχύνεσθαι, ἀλλὰ δημοσιεύεσθαι· οἶδε γάρ, ὅτι ἐὰν αἰσχυνθῇ, φεύγει τὴν ἁμαρτίαν· ἐν τῇ μετανοίᾳ ποιεῖ αὐτὸν αἰσχύνεσθαι, οἶδε γὰρ ὅτι αἰσχυνόμενος οὐ μετανοεῖ. Δύο κακὰ ποιεῖ, καὶ εἰς τὴν ἁμαρτίαν ἕλκει, καὶ τὴν μετάνοιαν ἐπέχει. Τί αἰσχύνῃ λοιπόν; Ὅτε ἐπόρνευες οὐκ ᾐσχύνου, ὅτε τὸ φάρμακον ἐπιτίθῃς, αἰσχύνῃ; ὅτε ἀπαλλάττεις ἑαυτὸν ἁμαρτίας, αἰσχύνῃ; Τότε ὤφειλες αἰσχύνεσθαι, τότε ἔδει σε αἰσχύνεσθαι, ὅτε ἡμάρτανες. Ὅτε ἐγίνου ἁμαρτωλὸς οὐκ ᾐσχύνου, ὅτε γίνῃ δίκαιος, αἰσχύνῃ; «Λέγε τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς». Ὢ φιλανθρωπία Δεσπότου! Οὐκ εἶπεν, 'ἵνα μὴ κολασθῇς', ἀλλ' «ἵνα δικαιωθῇς»· οὐκ ἤρκει αὐτῷ, ὅτι οὐ κολάζεις αὐτόν, ἔτι καὶ δίκαιον ποιεῖς; Καὶ πάνυ. Ἀλλὰ πρόσεχε μετὰ ἀκριβείας τῷ λόγῳ. Δίκαιον αὐτὸν ποιῶ. Καὶ ποῦ τοῦτο ἐποίησεν; Ἐπὶ τοῦ λῃστοῦ, ἵνα εἴπῃ μόνον ἐκεῖνο, «οὐδὲ φοβῇ σὺ τὸν Θεόν;», τῷ ἑταίρῳ αὐτοῦ. «Καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν». Λέγει πρὸς αὐτὸν ὁ Σωτήρ· «σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ». Οὐκ εἶπεν, 'ἀπαλλάττω σε κολάσεως καὶ τιμωρίας', ἀλλ' εἰς τὸν παράδεισον εἰσάγει αὐτὸν δίκαιον.

Εἶδες ἀπὸ ἐξομολογήσεως δίκαιον γενόμενον; Πολὺ φιλάνθρωπός ἐστιν ὁ Θεός· Υἱοῦ οὐκ ἐφείσατο, ἵνα δούλου φείσηται· παρέδωκε τὸν Μονογενῆ, ἵνα ἀγοράσῃ δούλους ἀγνώμονας· τὸ αἷμα τοῦ Υἱοῦ αὐτοῦ τιμὴν κατέβαλεν. Ὢ φιλανθρωπία Δεσπότου! Καὶ μή μοι λέγε πάλιν· 'ἥμαρτον πολλά, καὶ πῶς δυνήσομαι σωθῆναι;'. Σὺ οὐ δύνασαι, ὁ Δεσπότης σου δύναται, καὶ οὕτως ὡς ἐξαλεῖψαι τὰ ἁμαρτήματα. Πρόσεχε μετὰ ἀκριβείας τῷ λόγῳ· οὕτως ἐξαλείφει τὰ ἁμαρτήματα, ὡς μήτε ἴχνος αὐτῶν μεῖναι. Ἐπὶ μὲν γὰρ τῶν σωμάτων οὐκ ἔνι τοῦτο, ἀλλὰ κἂν μυριάκις σπουδάσῃ ὁ ἰατρός, κἂν φάρμακα ἐπιθῇ τῷ τραύματι, τὸ μὲν τραῦμα ἠφάνισεν, ἀλλὰ πολλάκις ἐπλήγη τις εἰς τὴν ὄψιν, καὶ τὸ μὲν τραῦμα διώρθωσεν, ἡ

---

4. Ἡσ. 43,26.
5. Λουκᾶ 23,40–43.

τοῦ διαβόλου. Ὅταν κάμνει τὴν ἁμαρτία δὲν τὸν ἀφήνει νὰ ντρέπεῖ, ἀλλὰ τὴν κάμνει φανερά· γιατὶ γνωρίζει, πὼς ἂν ντραπεῖ, ἀποφεύγει τὴν ἁμαρτία· γιὰ τὴ μετάνοια ὅμως τὸν κάμνει νὰ ντρέπεται, γιατὶ γνωρίζει πὼς ἀπὸ ντροπὴ δὲν μετανοεῖ. Δυὸ κακὰ κάμνει· καὶ στὴν ἁμαρτία τὸν σύρει, καὶ ἀπὸ τὴν μετάνοια τὸν απομακρύνει. Τί ντρέπεσαι τώρα; Ὅταν πόρνευες δὲν ντρεπόσουν, ὅταν παίρνεις τὸ φάρμακο ντρέπεσαι; ὅταν ἀπαλλάσσεις τὸν ἑαυτό σου ἀπὸ τὴν ἁμαρτία ντρέπεσαι; Τότε ὄφειλες νὰ ντρέπεσαι, τότε ἔπρεπε νὰ ντρέπεσαι, ὅταν ἁμάρτανες. Ὅταν γινόσουν ἁμαρτωλὸς δὲν ντρεπόσουν· ὅταν γίνεσαι δίκαιος ντρέπεσαι; «Λέγε πρῶτος τὶς ἀνομίες σου γιὰ νὰ δικαιωθεῖς»[4]. Πὼ πὼ φιλανθρωπία Κυρίου! Δὲν εἶπε, 'γιὰ νὰ τιμωρηθεῖς', ἀλλὰ «γιὰ νὰ δικαιωθεῖς». Δὲν τοῦ ἀρκοῦσε, τὸ ὅτι δὲν τὸν τιμωρεῖς, ἀλλὰ τὸν κάμνεις ἀκόμα καὶ δίκαιο; Καὶ βέβαια. Ἀλλὰ συγκέντρωσε ὅλη τὴν προσοχή σου στὸ λόγο. Κάμνω αὐτὸν δίκαιο. Καὶ ποῦ τὸ ἔκαμε αὐτό; Στὴν περίπτωση τοῦ ληστῆ, λέγοντας στὸν ἄλλο ληστὴ μόνο ἐκεῖνο, «δὲν φοβᾶσαι σὺ τὸ Θεό; Καὶ ἐμεῖς βέβαια δίκαια τιμωρούμαστε· γιατὶ ἀπολαμβάνομε ἄξια ἐκείνων ποὺ κάναμε». Λέγει πρὸς αὐτὸν ὁ Σωτήρας· «σήμερα θὰ εἶσαι μαζί μου στὸν παράδεισο»[5]. Δὲν εἶπε 'σ' ἀπαλλάσσω ἀπὸ τὴν κόλαση καὶ τὴν τιμωρία', ἀλλὰ τὸν ὁδηγεῖ μέσα στὸν παράδεισο δίκαιο.

Εἶδες ποὺ ἔγινε δίκαιος ἀπὸ τὴν ἐξομολόγηση; Πολὺ φιλάνθρωπος εἶναι ὁ Θεός· δὲν λυπήθηκε τὸν Υἱό του, γιὰ νὰ λυπηθεῖ τὸν δοῦλο. Παρέδωσε τὸν Μονογενῆ του, γιὰ ν' ἀγοράσει δούλους ἀχάριστους· κατέβαλε γιὰ ἀντίτιμο τὸ αἷμα τοῦ Υἱοῦ του. Πὼ πὼ φιλανθρωπία Κυρίου. Καὶ μὴ μοῦ λὲς πάλι· 'ἔκαμα πολλὲς ἁμαρτίες, καὶ πῶς θὰ μπορέσω νὰ σωθῶ;' Σὺ δὲν μπορεῖς, ἀλλὰ μπορεῖ ὁ Κύριός σου, καὶ τόσο, ὥστε νὰ ἐξαλείψει τὰ ἁμαρτήματά σου. Συγκέντρωσε ὅλη τὴν προσοχή σου στὸ λόγο· ἔτσι ἐξαλείφει τὰ ἁμαρτήματα, ὥστε οὔτε ἴχνος νὰ μὴ μείνει. Στὴν περίπτωση βέβαια τῶν σωμάτων δὲν εἶναι δυνατὸ αὐτό, ἀλλά, κι ἂν ἀκόμη καταβάλει ἀμέτρητες προσπάθειες ὁ γιατρός, κι ἂν ἀκόμη βάλει φάρμακα στὸ τραῦμα, τὸ τραῦμα βέβαια τὸ θεράπευσε, ἀλλὰ πολλὲς φορὲς πληγώθηκε κάποιος στὸ πρόσωπό του, καὶ τότε τὸ τραῦμα

δὲ οὐλὴ ἐναπέμεινεν, ἔλεγχον τοῦ τραύματος περιφέρουσα τὴν ἀμορφίαν τῆς ὄψεως· καὶ φιλονεικεῖ μυρία ὁ ἰατρὸς ἐξαλεῖψαι καὶ τὴν οὐλήν, οὐ δύναται δέ· ἀντιπίπτει γὰρ αὐτῷ ἡ ἀσθένεια τῆς φύσεως, καὶ τὸ ἀνίσχυρον τῆς τέχνης, καὶ τὸ εὐτελὲς τῶν φαρμάκων. Ὁ δὲ Θεὸς ὅταν ἐξαλείφῃ τὰ ἁμαρτήματα, οὐδὲ οὐλὴν ἀφίησιν, οὐδὲ ἴχνος συγχωρεῖ μεῖναι, ἀλλὰ μετὰ τῆς ὑγιείας καὶ τὴν εὐμορφίαν χαρίζεται, μετὰ τῆς ἀπαλλαγῆς τῆς κολάσεως καὶ δικαιοσύνην δίδωσι καὶ ποιεῖ τὸν ἡμαρτηκότα ἴσον εἶναι τῷ μὴ ἡμαρτηκότι. Ἀναιρεῖ γὰρ τὸ ἁμάρτημα καὶ ποιεῖ αὐτὸ μηδὲ εἶναι μηδὲ γεγονέναι· οὕτω καθόλου αὐτὸ ἀναιρεῖ· οὐκ οὐλή, οὐκ ἴχνος, οὐκ ἔλεγχος, οὐ δεῖγμα.

3. Καὶ πόθεν δῆλον τοῦτο; Ὧν γὰρ ἐγὼ λέγω, καὶ τὰς ἀποδείξεις ὀφείλω παρασχέσθαι, ὥστε μὴ ἀποφαίνεσθαι μόνον, ἀλλ' ἀποδεικνύναι ἀπὸ τῶν Γραφῶν, ἵνα ἀσφαλὴς μείνῃ ἡ πληροφορία. Εἰσάγω οὖν ὑμῖν ἀνθρώπους τετραυματισμένους, δῆμον ὁλόκληρον, ἑλκῶν γέμοντας, σηπεδόνος, σκωλήκων, ὅλον τραῦμα ὄντας, ὅλον ἕλκος, καὶ οὕτω δυναμένους θεραπευθῆναι, ὡς μὴ μεῖναι οὐλήν, ὡς μὴ μεῖναι ἴχνος, ὡς μὴ μεῖναι δεῖγμα· οὐχ ἓν ἔχοντας τραῦμα, οὐ δύο, οὐ τρία, οὐ τέσσαρα, ἀλλ' ἀπὸ ποδῶν ἕως κεφαλῆς τραῦμα ὄντας. Πρόσεχε μετὰ ἀκριβειάς τῷ λόγῳ· κοινὸς γὰρ ὁ λόγος οὗτος ἡμῶν καὶ σωτήριος. Φάρμακα κατασκευάζω τῶν ἰατρῶν βελτίονα, οἷα οὔτε βασιλεῖς κατασκευάσαι δύνανται. Βασιλεὺς τί δύναται; Δεσμωτηρίου ἐκβαλεῖν, γεέννης δὲ ἐλευθερῶσαι οὐ δύναται· χρήματα χαρίσασθαι, ψυχὴν δὲ σῶσαι οὐ δύναται. Ἀλλὰ τῇ χειρὶ τῆς μετανοίας ὑμᾶς ἐγχειρίζω, ἵνα μάθητε αὐτῆς τὴν δύναμιν, ἵνα μάθητε αὐτῆς τὴν ἰσχύν, ἵνα μάθητε ὅτι οὐ περιγίνεται αὐτῆς ἁμάρτημα, οὐδὲ ἔστι παρανομία ἰσχύουσα περιγενέσθαι αὐτῆς τῆς δυνάμεως. Τέως εἰσάγω οὐχ ἕνα, οὐ δύο, οὐ τρεῖς, ἀλλὰ χιλιάδας πολλὰς ἡλκωμένας, τετραυματισμένας, μυρίων ἁμαρτημά-

τὸ θεράπευσε, ἡ οὐλὴ ὅμως ἔμεινε, δείχνοντας μὲ τὴν ἀσχήμια τοῦ προσώπου τὸ τραῦμα· καὶ καταβάλλει ἀμέτρητες προσπάθειες ὁ γιατρὸς νὰ ἐξαλείψει καὶ τὴν οὐλή, ἀλλ' ὅμως δὲν μπορεῖ· γιατὶ προβάλλεται σὰν ἐμπόδιο ἡ ἀδυναμία τῆς φύσεως, τὸ ἀνίσχυρο τῆς τέχνης καὶ τὸ εὐτελὲς τῶν φαρμάκων. Ὁ Θεὸς ὅμως ὅταν ἐξαλείφει τὰ ἁμαρτήματα, οὔτε οὐλὴ ἀφήνει, οὔτε ἴχνος ἐπιτρέπει νὰ μείνει, ἀλλὰ μαζὶ μὲ τὴν ὑγεία χαρίζει καὶ τὴν ὀμορφιά, μαζὶ μὲ τὴν ἀπαλλαγὴ τῆς τιμωρίας δίνει καὶ τὴ δικαιοσύνη καὶ κάμνει ἐκεῖνον ποὺ ἔχει ἁμαρτήσει ἴσον μὲ ἐκεῖνον ποὺ δὲν ἔχει ἁμαρτήσει. Γιατὶ ἐξαλείφει τὸ ἁμάρτημα καὶ τὸ κάμνει οὔτε κὰν νὰ ὑπάρχει καὶ σὰν νὰ μὴ ἔγινε· τόσο πολὺ τέλεια τὸ ἐξαλείφει, χωρὶς νὰ μένει οὔτε οὐλή, οὔτε ἴχνος, οὔτε σημάδι ἀποδεικτικό, οὔτε δεῖγμα.

3. Καὶ ἀπὸ ποῦ εἶναι αὐτὸ φανερό; Γιατί, αὐτὰ ποὺ λέγω ἐγὼ ὀφείλω νὰ παρουσιάζω καὶ τὶς ἀποδείξεις, ὥστε νὰ μὴ τὰ λέγω μόνο, ἀλλὰ καὶ νὰ τὰ ἀποδεικνύω ἀπὸ τὶς Γραφές, γιὰ νὰ μείνουν ἀσφαλῆ τὰ λεγόμενα. Σᾶς παρουσιάζω λοιπὸν ἀνθρώπους πληγωμένους, λαὸ ὁλόκληρο, γεμάτους ἀπὸ ἕλκη, σαπίλα, σκουλήκια, ποὺ ὅλοι τους εἶναι ἕνα τραῦμα, ἕνα ἕλκος, καὶ ποὺ μποροῦν νὰ θεραπευθοῦν ἔτσι, ὥστε νὰ μὴ μείνει οὐλή, νὰ μὴ μείνει ἴχνος, νὰ μὴ μείνει δεῖγμα· ποὺ δὲν ἔχουν ἕνα τραῦμα, οὔτε δύο οὔτε τρία, οὔτε τέσσερα, ἀλλ' εἶναι ἕνα τραῦμα ἀπὸ τὰ πόδια ὡς τὸ κεφάλι. Συγκέντρωσε ὅλη τὴν προσοχή σου στὸ λόγο· γιατὶ αὐτὸς ὁ λόγος μου εἶναι κοινὸς καὶ σωτήριος. Φάρμακα κατασκευάζω καλύτερα ἀπὸ τὰ τῶν ἰατρῶν, τέτοια ποὺ οὔτε βασιλεῖς δὲν μποροῦν νὰ κατασκευάσουν. Τί μπορεῖ νὰ κάμει ὁ βασιλιάς; Νὰ βγάλει βέβαια ἀπὸ τὴ φυλακή, δὲν μπορεῖ ὅμως νὰ ἐλευθερώσει ἀπὸ τὴ γέεννα· νὰ χαρίσει χρήματα, δὲν μπορεῖ ὅμως νὰ σώσει ψυχή. Ἀλλ' ἐγὼ σᾶς παραδίνω στὸ χέρι τῆς μετάνοιας, γιὰ νὰ μάθετε τὴ δύναμή της, γιὰ νὰ μάθετε τὴν ἰσχύ της, γιὰ νὰ μάθετε ὅτι δεν τὴν νικᾶ τὸ ἁμάρτημα, οὔτε ὑπάρχει παρανομία ποὺ νὰ μπορεῖ νὰ νικήσει τὴ δύναμή της. Πρῶτα σᾶς παρουσιάζω ὄχι ἕνα, οὔτε δύο, οὔτε τρεῖς, ἀλλὰ πολλὲς χιλιάδες γεμάτες ἀπὸ ἕλκη καὶ τραύματα καὶ ἀμέτρητα ἁμαρτήματα, ποὺ μποροῦν νὰ σωθοῦν μὲ τὴ μετά-

των γεμούσας, ἀπὸ τῆς μετανοίας δυναμένας σωθῆναι, ὡς μηδὲ ἴχνος, μηδὲ οὐλὴν ἔχειν τῶν ἑλκῶν τῶν προτέρων.

Ἀλλὰ προσέχετε μετὰ ἀκριβείας τῷ λόγῳ, καὶ μὴ προσέχετε μόνον, ἀλλὰ καὶ τῇ μνήμῃ παραδίδοτε τὰ λεγόμενα, ἵνα καὶ τοὺς ἀπολειφθέντας συμβιβάσητε, καὶ οὕτω τῇ ὠφελείᾳ τῶν εἰρημένων ἐρήμους ὄντας σπουδαιοτέρους καταστήσητε. Παρέστω τοίνυν Ἠσαΐας ὁ τῶν Σεραφὶμ θεωρός, ὁ τὸ μυστικὸν μέλος ἀκούσας ἐκεῖνο, ὁ μυρία περὶ τοῦ Χριστοῦ προειπών· ἐρωτήσωμεν τί φησιν· «ὅρασις ἣν εἶδεν Ἠσαΐας κατὰ τῆς Ἰουδαίας καὶ κατὰ τῆς Ἰερουσαλήμ». Εἰπὲ τὴν ὅρασιν ἣν εἶδες· «ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν». Ἄλλα ἐπηγγείλω, καὶ ἄλλα λέγεις. Ποῖα ἄλλα ἐπηγγειλάμην; Ἀρχόμενος λέγεις· «ὅρασις κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἰερουσαλήμ», καὶ ἀφεὶς τὴν Ἰουδαίαν καὶ τὴν Ἰερουσαλήμ, οὐρανῷ προσδιαλέγῃ, καὶ ἐπὶ τὴν γῆν ἐκκλίνας τὸν λόγον, ἀφῆκας τοὺς λογικοὺς ἀνθρώπους, καὶ τοῖς ἀλόγοις στοιχείοις διαλέγῃ; Ἐπειδὴ τῶν ἀλόγων ἀλογώτεροι οἱ λογικοὶ ἐγένοντο· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἐπειδὴ μέλλων ὁ Μωϋσῆς εἰσάγειν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ἀφορῶν τὰ μέλλοντα ἔσεσθαι, ὅτι τὰ παραδεδομένα ἔμελλον παριδεῖν. «Ἄκουε, οὐρανέ», φησί, «καὶ προσεχέτω, γῆ, ῥήματα ἐκ στόματός μου». Διαμαρτύρομαι ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ Μωϋσῆς φησιν, ὅτι ἐὰν εἰσέλθετε εἰς τὴν γῆν ἐπαγγελίας καὶ ἐγκαταλείπητε Κύριον τὸν Θεόν, ἔχετε διασκεδασθῆναι εἰς πάντα τὰ ἔθνη.

Ἦλθεν Ἠσαΐας, ἔμελλεν ἡ ἀπειλὴ εἰς ἔργον ἐκφέρεσθαι· οὐκ ἠδύνατο Μωϋσέα κελέσαι τὸν ἀποθανόντα καὶ τοὺς τότε ἀκούσαντας καὶ τελευτήσαντας, καὶ καλεῖ τὰ στοιχεῖα, ἅπερ διεμαρτύρετο Μωϋσῆς. Ἰδοὺ ἐξεβλήθητε τῆς ἐπαγγελίας, ὦ Ἰουδαῖοι· ἰδοὺ ἐγκαταλελοίπατε τὸν Θεόν· πῶς σε καλέσω, Μωϋσῆ; ἀπέθανες γὰρ καὶ ἐτελεύτησας. Πῶς καλέσω τὸν Ἀαρών; κἀκεῖνος τελευτῇ παρεδόθη. Οὐκ ἔχεις πῶς καλέσαι ἄνθρωπον; Κάλεσον τὰ στοιχεῖα. Διὰ

νοια, ὥστε νὰ μὴ ἔχουν οὔτε ἴχνος, οὔτε οὐλὴ τῶν προηγουμένων πληγῶν.

Ἀλλὰ ἀκοῦτε μὲ ὅλη σας τὴν προσοχὴ τὰ λόγια μου καὶ μὴ προσέχετε μόνο, ἀλλὰ καὶ παραδίνετε στὴ μνήμη τὰ λεγόμενα, ὥστε καὶ νὰ τὰ μεταβιβάσετε καὶ σ' ἐκείνους ποὺ δὲν ἦρθαν ἐδῶ, καὶ ἔτσι νὰ κάμετε πιὸ πρόθυμους ἐκείνους ποὺ στεροῦνται τὴν ὠφέλεια τῶν ὅσων ἔχουν λεχθεῖ. Ἂς ἔρθει λοιπὸν ὁ Ἠσαΐας ὁ θεωρὸς τῶν Σεραφίμ, ἐκεῖνος ποὺ ἄκουσε ἐκεῖνο τὸ μυστικὸ μέλος, ἐκεῖνος ποὺ προεῖπε ἄπειρα γιὰ τὸ Χριστό· ἂς τὸν ἐρωτήσομε τί λέγει· «ὅραμα ποὺ εἶδε ὁ Ἠσαΐας ἐναντίον τῆς Ἰουδαίας καὶ ἐναντίον τῆς Ἰερουσαλήμ»[6]. Πὲς τὸ ὅραμα ποὺ εἶδες· «ἄκουε, οὐρανέ, καὶ ἀκρουάσου μὲ προσοχή, γῆ, γιατὶ ὁ Κύριος μίλησε»[7]. Ἄλλα ὑποσχέθηκες καὶ ἄλλα λέγεις. Ποιά ἄλλα ὑποσχέθηκα; Ἀρχίζοντας λέγεις· «ὅραμα ἐναντίον τῆς Ἰουδαίας καὶ ἐναντίον τῆς Ἰερουσαλήμ», καὶ ἀφήνοντας τὴν Ἰουδαία καὶ τὴν Ἰερουσαλήμ, μιλᾶς μὲ τὸν οὐρανό, καί, ἀπευθύνοντας τὸ λόγο πρὸς τὴ γῆ, ἄφησες τοὺς λογικοὺς ἀνθρώπους καὶ συνομιλεῖς μὲ τὰ ἄλογα στοιχεῖα; Ἐπειδὴ οἱ λογικοὶ ἔγιναν πιὸ ἄλογοι ἀπὸ τὰ ἄλογα· καὶ ὄχι μόνο γι' αὐτό, ἀλλ' ἐπειδή, προβλέποντας ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ γίνουν, ὅταν ἐπρόκειτο ὁ Μωϋσῆς νὰ τοὺς ὁδηγήσει στὴ γῆ τῆς ἐπαγγελίας, εἶπε ὅτι ἐπρόκειτο νὰ περιφρονήσουν τὰ ὅσα τοὺς εἶχε παραδώσει. «Ἄκουε, οὐρανέ», λέγει, «καὶ πρόσεχε, γῆ, τὰ λόγια τοῦ στόματός μου»[8]. Σᾶς καθιστῶ μάρτυρα τὸν οὐρανὸ καὶ τὴ γῆ, λέγει ὁ Μωϋσῆς, ὅτι, ἂν μπῆτε στὴ γῆ τῆς ἐπαγγελίας καὶ ἐγκατελείψετε τὸν Κύριο τὸ Θεό, θὰ διασκορπισθεῖτε σ' ὅλα τὰ ἔθνη.

Ἦρθε ὁ Ἠσαΐας· ἐπρόκειτο ἡ ἀπειλὴ νὰ πραγματοποιηθεῖ· δὲν μποροῦσε νὰ καλέσει τὸν Μωϋσῆ, ποὺ εἶχε πεθάνει, καὶ ἐκείνους ποὺ τὰ ἄκουσαν τότε καὶ πέθαναν, καὶ καλεῖ τὰ στοιχεῖα, ποὺ ὅρισε σὰν μάρτυρες ὁ Μωϋσῆς. Νά, διωχθήκατε, Ἰουδαῖοι, ἀπὸ τὴ γῆ τῆς ἐπαγγελίας· νὰ ἐγκαταλείψατε τὸ Θεό· πῶς νὰ σὲ καλέσω, Μωϋσῆ, μάρτυρα; Γιατὶ πέθανες καὶ δὲ βρίσκεσαι στὴ ζωή. Πῶς νὰ καλέσω τὸν Ἀαρών; Καὶ ἐκεῖνος παραδόθηκε στὸ θάνατο. Δὲν μπορεῖς νὰ καλέσεις μάρτυρα ἄνθρωπο; Κάλεσε τὰ στοιχεῖα. Γιατὶ

6. Ἠσ. 1,1. 7. Ἠσ. 1,2. 8. Δευτ. 32,1.

γὰρ τοῦτο κἀγὼ ζῶν οὐχὶ τὸν Ἀαρὼν μόνον, καὶ τόνδε καὶ τόνδε διεμαρτυράμην ἐπειδήπερ ἔμελλον τελευτᾶν, ἀλλὰ καὶ τὰ στοιχεῖα τὰ μένοντα διαμαρτύρομαι ὑμῖν, τὸν οὐρανὸν καὶ τὴν γῆν. Λέγει οὖν ὁ Ἠσαΐας· «ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ». Ὑμᾶς γὰρ ἐνετείλατο Μωϋσῆς καλέσαι σήμερον. Οὐ διὰ τοῦτο δὲ μόνον αὐτὰ καλεῖ τὰ στοιχεῖα, ἀλλ' ἐπειδὴ διελέχθη τοῖς Ἰουδαίοις. «Ἄκουε, οὐρανέ», σὺ γὰρ τὸ μάννα κατήνεγκας· «ἐνωτίζου, ἡ γῆ», σὺ γὰρ τὴν ὀρτυγομήτραν ἔδωκας. «Ἄκουε, οὐρανέ, ἄκουε»· σὺ γὰρ τὸ μάννα κατήνεγκας, σὺ γὰρ ὑπὲρ τὴν φύσιν ἐπεδείξω· ἄνω ἧς, καὶ ἄλωνα ἐμιμήσω. «Ἐνωτίζου, γῆ»· σὺ γὰρ κάτω ἧς, καὶ τράπεζαν ἐσχεδιασμένην κατεσκεύασας. Ἤργει ἡ φύσις, καὶ εἰργάζετο ἡ χάρις· οὐδὲ βοῶν ἐργασία, καὶ ὁ στάχυς παρεσκευασμένος· οὐ μαγείρων χεῖρες, οὐκ ἐπίταγμα, ἀλλ' ἦν τὸ μάννα πάντα γινόμενον, πηγὴ ἡγιασμένη· ἡ φύσις τῆς οἰκείας ἀσθενείας ἐπελάθετο. Πῶς τὰ ἱμάτια αὐτῶν οὐ κατετρίβη; πῶς τὰ ὑποδήματα αὐτῶν οὐκ ἐπαλαιώθησαν; Πάντα ἐγένοντο πρὸς τὴν τούτων διακονίαν.

«Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ». Μετὰ τῶν ὑπομνημάτων καὶ τῶν εὐεργεσιῶν ἐκείνων, ὑβρίζεται ὁ Δεσπότης. Τίνι ἐντύχω; ἢ ὑμῖν; «Ἄνθρωπον οὐκ ἔχω τὸν ακούοντα. Ἰδοὺ ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐλάλησα, καὶ οὐκ ἦν ὁ ἀκουσόμενος». Τοῖς ἀλόγοις διαλέγομαι, ἐπειδὴ οἱ λογικοὶ εἰς ἀλόγων εὐτέλειαν κατηνέχθησαν. Διὰ τοῦτο καὶ ἄλλος προφήτης βλέπει τὸν βασιλέα μαινόμενον, τὸ εἴδωλον θεραπευόμενον, τὸν Θεὸν ὑβριζόμενον, τοὺς ἄλλους ἅπαντας κατεπτηχότας, καὶ λέγει· «ἄκουσον, θυσιαστήριον, ἄκουσόν μου». Λίθῳ διαλέγῃ; Ναί· ἐπειδὴ λίθου ἀναισθητότερος ὁ βασιλεύς. «Ἄκουσόν μου, θυσιαστήριον, ἄκουσον· τάδε λέγει Κύριος». Καὶ εὐθέως διεσχίσθη τὸ θυσιαστήριον· καὶ ὁ λίθος ἤκουσεν, ὁ λίθος ἐρράγη καὶ ἐξέχεε τὴν θυσίαν. Πῶς οὐκ ἤκουσεν ὁ ἄνθρωπος; Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἁρπάσαι τὸν προφήτην· καὶ τί ποιεῖ ὁ Θεός; Ἐξήρανεν αὐτοῦ τὴν χεῖρα. Βλέπε τί ἐποίησε, βλέπε φιλανθρωπίαν Δεσπότου, καὶ ἁμαρτίαν δούλου. Διὰ τί ἐξ ἀρχῆς οὐκ ἐξή-

---

9. Γ' Βασ. 13,2.

γι' αὐτὸ κι ἐγὼ ὅταν ζοῦσα δὲν ὅρισα σὰν μάρτυρα μόνο τὸν Ἀαρὼν καὶ αὐτὸν καὶ ἐκεῖνον, ἐπειδὴ ἐπρόκειτο νὰ πεθάνουν, ἀλλὰ σᾶς ὁρίζω σὰν μάρτυρα καὶ τὰ στοιχεῖα ποὺ μένουν, τὸν οὐρανὸ καὶ τὴ γῆ. Λέγει λοιπὸν ὁ Ἠσαΐας· «ἄκουε, οὐρανέ, καὶ ἀκροάσου προσεκτικά, γῆ». Γιατὶ σᾶς ἔδωσε ἐντολὴ ὁ Μωϋσῆς νὰ καλέσω σήμερα μάρτυρες. Καὶ δὲν καλεῖ μάρτυρες μόνο γι' αὐτὸ τὰ στοιχεῖα, ἀλλ' ἐπειδὴ ὁ λόγος του ἀπευθυνόταν πρὸς τοὺς Ἰουδαίους. «Ἄκουε, οὐρανέ», γιατὶ σὺ ἔρριξες τὸ μάννα· «ἀκροάσου, γῆ», γιατὶ σὺ ἔδωσες τὰ ὀρτύκια. «Ἄκουε, οὐρανέ, ἄκουε»· γιατὶ σὺ ἔρριξες τὸ μάννα, γιατὶ σὺ παρουσίασες πράγματα μεγαλύτερα ἀπὸ τὴ φύση· ἐπάνω ἦσουν καὶ μιμήθηκες ἁλώνι. «Ἀκροάσου, γῆ, προσεκτικά»· γιατὶ σὺ ἦσουν κάτω καὶ παρουσίασες τραπέζι καλοσχεδιασμένο. Ἀργοῦσε ἡ φύση καὶ ἐργαζόταν ἡ χάρη· χωρὶς τὴν ἐργασία τῶν βοδιῶν, καὶ τὰ στάχυα ὡρίμασαν· χωρὶς χέρια μαγείρων, χωρὶς προσταγή, καὶ τὸ μάννα πάντοτε ρίχνονταν σὰν ἀπὸ πηγὴ ἁγιασμένη· ἡ φύση ξέχασε τὴν ἀδυναμία της. Πῶς τὰ ροῦχα τους δὲν κατατρίφθηκαν; πῶς τὰ ὑποδήματά τους δὲν πάλιωσαν; Ὅλα γίνονταν γιὰ νὰ ὑπηρετηθοῦν αὐτοί.

«Ἄκουε, οὐρανέ, καὶ ἀκροάσου, γῆ, προσεκτικά». Μετὰ ἀπὸ τὶς ὑπομνήσεις καὶ τὶς εὐεργεσίες ἐκεῖνες βρίζεται ὁ Κύριος. Σὲ ποιόν ν' ἀπευθύνω τὸ λόγο μου παρὰ σὲ σᾶς; «Δὲν ἔχω ἄνθρωπο νὰ μ' ἀκούει. Νά, ἦρθα καὶ δὲν ὑπῆρχε ἄνθρωπος· μίλησα καὶ δὲν ὑπῆρχε κάποιος νὰ μ' ἀκούσει». Συνομιλῶ μὲ τὰ ἄλογα, ἐπειδὴ οἱ λογικοὶ κατέβηκαν στὴν εὐτέλεια τῶν ἀλόγων. Γι' αὐτὸ καὶ ἄλλος προφήτης βλέπει τὸ βασιλιὰ ὀργισμένο, τὸ εἴδωλο νὰ λατρεύεται, τὸ Θεὸ νὰ περιφρονεῖται, ὅλους τοὺς ἄλλους συνεσταλμένους καὶ τρομαγμένους καὶ λέγει· «ἄκουσε, θυσιαστήριο, ἄκουσέ με». Μὲ τὸν λίθο συνομιλεῖς; Ναί, γιατὶ ὁ βασιλιὰς εἶναι πιὸ ἀναίσθητος ἀπὸ τὸν λίθο. «Ἄκουσέ με, θυσιαστήριο, ἄκουσέ με· αὐτὰ λέγει ὁ Κύριος»[9]. Καὶ ἀμέσως σχίσθηκε τὸ θυσιαστήριο, ἄκουσε ὁ λίθος, σχίσθηκε ὁ λίθος καὶ ἄφησε νὰ ξεχυθεῖ ἡ θυσία. Πῶς δὲν ἄκουσε ὁ ἄνθρωπος; Ἅπλωσε τὸ χέρι του ν' ἁρπάξει τὸν προφήτη· καὶ τί κάμνει ὁ Θεός; Ξήρανε τὸ χέρι του. Πρόσεχε τί ἔκαμε, πρόσεχε φιλανθρωπία Κυρίου καὶ ἁμαρτία δούλου. Γιατί δὲν ξήρανε τὸ

ρανεν αὐτοῦ τὴν χεῖρα; Ἵνα τῷ πάθει τοῦ λίθου σωφρονέστερος γένηται. Εἰ γὰρ μὴ ἐσχίσθη ὁ λίθος, ἐφειδόμην σου· ἐπειδὴ δὲ διεσχίσθη ὁ λίθος καὶ σὺ οὐ διωρθώθης, ἐπὶ σὲ φέρω τὴν ὀργήν. Ἐξέτεινε τὴν χεῖρα ἁρπάσαι τὸν προφήτην, καὶ ἐξηράνθη ἡ χείρ. Εἱστήκει τὸ τρόπαιον· δορυφόροι τοσοῦτοι καὶ στρατηγοὶ καὶ βοήθεια πολλή, καὶ τὴν χεῖρα αὐτοῦ συστεῖλαι οὐκ ἠδύναντο· ἀλλ' εἱστήκει ἡ χεὶρ φωνὴν ἀφιεῖσα, στηλιτεύουσα τῆς ἀσεβείας τὴν ἧτταν, καὶ εὐσεβείας τὸ τρόπαιον, τοῦ Θεοῦ φιλανθρωπίαν, κἀκείνου τὴν ἀπόνοιαν. Καὶ συστεῖλαι αὐτὴν οὐκ ἠδύναντο.

4. Ἀλλ' ἵνα μὴ λόγον ἐκ λόγου ὑφαίνοντες τῆς ὑποθέσεως ἐπιλαθώμεθα, φέρε οὖν ἃ ἐπηγγειλάμεθα δείξωμεν. Τί δὲ ἐπηγγειλάμην; Ὅτι εἰ μυρία τραύματά τις ἔχει, μετανοήσει δὲ καὶ ποιήσει τὸ χρηστόν, οὕτως αὐτὰ ἐξαλείφει ὁ Θεός, ὡς μηδὲ οὐλήν, μηδὲ ἴχνος, μηδὲ δεῖγμα φαίνεσθαι τῶν προτέρων ἁμαρτημάτων· ταῦτα ὑποσχόμενος, ταῦτα ἐπιδεῖξαι πειράσομαι. «Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησε». Εἰπέ μοι τί ἐλάλησεν; «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. Ἔγνω βοῦς τὸν κτησάμενον (ἀλόγων ἀλογώτεροι), καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ (ὄνων ὀνωδέστεροι)· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκεν. Οὐαὶ ἔθνος ἁμαρτωλόν». Διὰ τί, φησίν, οὐκ ἔνι σωτηρίας ἐλπίς; «Οὐαί», διὰ τί λέγεις, εἰπέ μοι; Ὅτι οὐκ εὑρίσκω ἴασιν. «Οὐαὶ» διὰ τί λέγεις; Ὅτι ἐπέθηκα φάρμακα καὶ οὐκ εἶξε τὸ ἕλκος· διὰ τοῦτο ἀπεστράφην. Τί οὖν ἔχω ποιῆσαι; Οὐδὲ θεραπεῦσαι κοπιῶ. «Οὐαί». Θρηνοῦσαν γυναῖκα μιμεῖται· καὶ καλῶς ποιεῖ. Παρακαλῶ, προσέχετέ μοι μετὰ ἀκριβείας. «Οὐαί», διὰ τί; Ἐπειδὴ καὶ τὸ αὐτὸ ἐπὶ σωμάτων γίνεται. Ὅταν γὰρ ἴδῃ ὁ ἰατρὸς τὸν νοσοῦντα οὐκ ἔχοντα σωτηρίας ἐλπίδα, δακρύει, καὶ οἱ οἰκεῖοι καὶ προσήκοντες ὀλοφυρόμενοι στενάζουσιν· ἀλλ' ἐκεῖ εἰκῇ καὶ μάτην. Ὅταν γὰρ μέλλῃ τελευτᾶν ὁ τελευτῶν, κἂν ὁ κόσμος ὅλος θρηνήσῃ, οὐκ ἐγερεῖ αὐτόν· ὥστε πένθους ὁ θρῆνος, οὐ διορθώσεως.

10. Ἠσ. 1,2-4.

χέρι του ἀπὸ τὴν ἀρχή; Γιὰ νὰ γίνει πιὸ φρόνιμος μὲ τὸ πάθημα τοῦ λίθου. Γιατί, ἐὰν δὲν σχιζόταν ὁ λίθος, θὰ σὲ εὐσπλαχνιζόμουν· ἐπειδὴ ὅμως σχίσθηκε ὁ λίθος καὶ σὺ δὲν διορθώθηκες, σὲ σένα μεταφέρω τὴν ὀργή μου. Ἅπλωσε τὸ χέρι ν' ἀρπάξει τὸν προφήτη καὶ ξηράθηκε τὸ χέρι του. Τὸ τρόπαιο ἦταν στημένο· τόσοι πολλοὶ σωματοφύλακες καὶ στρατηγοὶ καὶ βοήθεια πολλή, κι ὅμως δὲν μποροῦσαν νὰ λυγίσουν το χέρι του· ἀλλὰ στεκόταν τὸ χέρι ἀφήνοντας φωνὴ μὲ τὴν ὁποία στηλίτευε τὴν ἧττα τῆς ἀσέβειας καὶ ἔδειχνε τὸ τρόπαιο τῆς εὐσέβειας, τὴ φιλανθρωπία τοῦ Θεοῦ, καὶ ἐκείνου τὴν ἀλαζονεία. Καὶ δὲν μποροῦσαν νὰ τὸ λυγίσουν.

4. Ἀλλὰ γιὰ νὰ μὴ ξεχάσομε τὴν ὑπόθεση μεταπηδώντας ἀπὸ τὸν ἕνα λόγο στὸν ἄλλο, ἐμπρὸς λοιπὸν νὰ ἀποδείξομε ἐκεῖνα ποὺ ὑποσχεθήκαμε. Καὶ τί ὑποσχεθήκαμε; Ὅτι, ἐὰν ἔχει κανεὶς ἀμέτρητα τραύματα καὶ μετανοήσει καὶ κάνει τὸ καλό, ἔτσι τὰ ἐξαλείφει ὁ Θεός, ὥστε νὰ μὴ φαίνεται οὔτε οὐλή, οὔτε ἴχνος, οὔτε δεῖγμα τῶν προηγουμένων ἁμαρτημάτων. «Ἄκουε, οὐρανέ, καὶ ἀκροάσου, γῆ, γιατὶ ὁ Κύριος μίλησε». Πές μου τί εἶπε; «Υἱοὺς γέννησα καὶ τοὺς ἀνύψωσα, ἀλλ' αὐτοὶ μὲ ἀρνήθηκαν. Γνώρισε τὸ βόδι τὸν κύριό του (πιὸ ἄλογοι αὐτοὶ ἀπὸ τὰ ἄλογα) καὶ ὁ ὄνος τὴ φάτνη τοῦ κυρίου του (πιὸ ὄνοι ἀπὸ τοὺς ὄνους αὐτοί), ὁ Ἰσραὴλ ὅμως δὲν μὲ γνώρισε καὶ ὁ λαός μου δὲν μὲ κατάλαβε. Ἀλλοίμονό σου, ἔθνος ἁμαρτωλό»[10]. Γιατί, λέγει, δὲν ὑπάρχει ἐλπίδα σωτηρίας; Πές μου, γιατί λές, «ἀλλοίμονο»; Γιατὶ δὲ βρίσκω θεραπεία. Γιατί λές, «ἀλλοίμονο»; Γιατὶ ἔβαλα φάρμακα καὶ δὲν ὑποχώρησε τὸ ἕλκος· γι' αὐτὸ τοὺς ἀποστράφηκα. Τί ἔχω λοιπὸν νὰ κάμω; Κοπιάζω χωρὶς νὰ μπορῶ νὰ τοὺς θεραπεύσω. «Ἀλλοίμονο». Μιμεῖται γυναῖκα ποὺ θρηνεῖ· καὶ καλὰ κάμνει. Παρακαλῶ, ἀκοῦτε με μὲ ὅλη τὴν προσοχή σας. «Ἀλλοίμονο» γιατί; Ἐπειδὴ τὸ ἴδιο γίνεται καὶ στὴν περίπτωση τῶν σωμάτων. Γιατί, ὅταν ὁ γιατρὸς δεῖ τὸν ἄρρωστὸ νὰ μὴ ἔχει ἐλπίδα σωτηρίας, δακρύζει, καὶ οἱ συγγενεῖς καὶ οἱ γνωστοὶ στενάζουν θρηνώντας· ἀλλ' ἐκεῖ ἄσκοπα καὶ στὰ χαμένα. Γιατί, ὅταν εἶναι νὰ πεθάνει ἐκεῖνος ποὺ πεθαίνει, κι ἂν ἀκόμη ὅλος ὁ κόσμος θρηνήσει, δὲ θὰ τὸν σώσει· ὥστε ὁ θρῆνος

Ἐπὶ δὲ τῆς ψυχῆς οὐκ ἔστι τοῦτο, ἀλλ' ἐὰν θρηνήσῃς, πολλάκις ἐγείρεις τὸν νεκρὸν τῇ ψυχῇ. Διὰ τί; Ὅτι τὸ σῶμα μὲν ἀποθανόν, οὐκ ἐγείρεται δυνάμει ἀνθρωπίνῃ, ψυχὴ δὲ ἀποθανοῦσα διορθώσει ἐγείρεται. Βλέπε πόρνον, καὶ θρήνησον· καὶ ἐγερεῖς αὐτὸν πολλάκις. Διὰ τοῦτο καὶ Παῦλος οὐκ ἔγραφε μόνον οὐδὲ παρῄνει, ἀλλὰ καὶ ἐθρήνει μετὰ δακρύων, νουθετῶν ἕνα ἕκαστον.

Ἔστω, νουθετεῖς, τί καὶ δακρύεις; Ἵνα ἐὰν μὴ ἰσχύσῃ ἡ νουθεσία, τὰ δάκρυα βοηθήσῃ. Οὕτω καὶ ὁ προφήτης θρηνεῖ. Ὁ Δεσπότης ἡμῶν ἰδὼν τὴν Ἱερουσαλὴμ πεπτωκυῖαν λέγει· «Ἱερουσαλὴμ ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς σέ». Ἀνακαλεῖται τὴν πόλιν πεπτωκυῖαν, καὶ μιμεῖται ἄνθρωπον θρηνοῦντα. Καὶ ὁ προφήτης· «οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν»· μὴ ἔχει ὑγιὲς τὸ σῶμα. Εἶδες αὐτοὺς ἡλκωμένους; «Σπέρμα πονηρόν, υἱοὶ ἄνομοι». Διὰ τί θρηνεῖς, εἰπέ μοι; «Ἐγκαταλίπετε τὸν Κύριον, καὶ παρωργίσατε τὸν Ἅγιον τοῦ Ἰσραήλ. Τί ἔτι πληγῆτε;». Τί ἔχω ὑμᾶς πλῆξαι; λιμῷ, ἢ λοιμῷ· Πᾶσα τιμωρία ἦλθε, καὶ ἡ κακία ὑμῶν οὐκ ἀνηλώθη· «προστιθέντες ἀνομίας. Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην. Οὐκ ἔνι τραῦμα, οὐ μώλωψ». Καινὰ πράγματα. Πρὸ μικροῦ ἔλεγες «σπέρμα πονηρόν, υἱοὶ ἄνομοι, ἐγκατελίπετε τὸν Κύριον καὶ παρωργίσατε τὸν Ἅγιον τοῦ Ἰσραήλ», καὶ «οὐαὶ ἔθνος ἁμαρτωλόν!». Θρηνεῖς, κόπτῃ, ὀδύρῃ, καταλέγεις τὰ τραύματα, καὶ ἐπανιὼν λέγεις, «οὔτε τραῦμα, οὔτε μώλωψ»; Πρόσεχε· τραῦμα τότε γίνεται, ὅταν τὸ μὲν ἄλλο μέρος τοῦ σώματος ὑγιὲς ᾖ, ἓν δὲ μέρος τοῦ σώματος ἀναίσθητον μένῃ· ἐνταῦθα δὲ λέγει, ὅτι ὅλον τραῦμά ἐστιν. «Οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα», ἀλλὰ ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους.

«Ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις πυρίκαυστοι, τὴν χώραν ὑμῶν

---

11. Ματθ. 23,37.
12. Ἡσ. 1,4.
13. Ἡσ. 1,5.
14. Ἡσ. 1,6.

εἶναι γιὰ πένθος, ὄχι γιὰ διόρθωση. Στὴν περίπτωση ὅμως τῆς ψυχῆς δὲν συμβαίνει τὸ ἴδιο, ἀλλά, ἂν θρηνήσεις, πολλὲς φορὲς σώζεις τὸν ψυχικὸ νεκρό. Γιατί; Γιατὶ τὸ σῶμα ὅταν πεθάνει δὲν ἀνασταίνεται μὲ ἀνθρώπινη δύναμη, ἐνῶ ἡ ψυχὴ ὅταν πεθάνει, ἀνασταίνεται μὲ τὴ διόρθωση. Βλέπεις ἕναν πόρνο· θρήνησε γι' αὐτόν, καὶ πολλὲς φορὲς θὰ τὸν σώσεις. Γι' αὐτὸ καὶ ὁ Παῦλος δὲν ἔγραφε μόνο καὶ συμβούλευε, ἀλλὰ καὶ θρηνοῦσε μὲ δάκρυα, νουθετώντας τὸν καθένα.

Ἔστω, νουθετεῖς· γιατί καὶ δακρύζεις; Μὲ σκοπὸ νὰ βοηθήσουν τὰ δάκρυα ἂν δὲν μπορέσει ἡ νουθεσία. Τὸ ἴδιο καὶ ὁ προφήτης θρηνεῖ. Ὁ Κύριός μας βλέποντας πεσμένη τὴν Ἱερουσαλὴμ λέγει· «Ἱερουσαλήμ, ποὺ φονεύεις τοὺς προφῆτες καὶ λιθοβολεῖς τοὺς ἀπεσταλμένους σὲ σένα»[11]. Φαντάζεται τὴν πόλη πεσμένη καὶ μιμεῖται ἄνθρωπο ποὺ θρηνεῖ. Καὶ ὁ προφήτης· «ἀλλοίμονό σου, ἔθνος ἁμαρτωλό, λαέ, γεμάτε μὲ ἁμαρτίες»[12]· γιατὶ δὲν ἔχει ὑγιὲς τὸ σῶμα του. Τοὺς εἶδες γεμάτους πληγές; «Σπέρμα πονηρό, υἱοὶ παράνομοι». Πές μου, γιατί θρηνεῖς; «Ἐγκαταλείψατε τὸν Κύριο καὶ ἐξοργίσατε τὸν Ἅγιο τοῦ Ἰσραήλ. Γιατί θέλετε ἀκόμη νὰ τιμωρεῖσθε;»[13]. Μὲ τί ἄλλο μπορῶ νὰ σᾶς τιμωρήσω; μὲ πείνα ἢ λοιμώδη ἀσθένεια; Κάθε τιμωρία σᾶς ἐπιβλήθηκε καὶ ἡ κακία σας δὲν σταμάτησε. «Ἀλλὰ προσθέτετε ἀνομίες. Ὅλο τὸ κεφάλι σας πονεῖ καὶ ὅλη ἡ καρδία σας εἶναι μέσα στὴ λύπη. Δὲν ὑπάρχει τραῦμα, δὲν ὑπάρχει μώλωπας»[14]. Παράξενα πράγματα. Πρὶν ἀπὸ λίγο ἔλεγες, «σπέρμα πονηρό, υἱοὶ παράνομοι, ἐγκαταλείψατε τὸν Κύριο καὶ ἐξοργίσατε τὸν Ἅγιο τοῦ Ἰσραήλ», καί, «ἀλλοίμονο, ἔθνος ἁμαρτωλό!». Θρηνεῖς, κόπτεσαι, ὀδύρεσαι, ἀπαριθμεῖς τὰ τραύματα καὶ στὴ συνέχεια λές, «οὔτε τραῦμα, οὔτε μώλωπας»; Πρόσεχε· τραῦμα τότε ὑπάρχει, ὅταν τὸ ἕνα μέρος τοῦ σώματος εἶναι ὑγιές, ἐνῶ τὸ ἄλλο μέρος μένει ἀναίσθητο· ἐδῶ ὅμως λέγει, ὅτι ὅλο τὸ σῶμα εἶναι τραῦμα. «Οὔτε τραῦμα ὑπάρχει, οὔτε μώλωπας, οὔτε πληγὴ φλεγμονώδης», ἀλλὰ ἀπὸ τὰ πόδια μέχρι τὸ κεφάλι δὲν ὑπάρχει μέρος γιὰ μαλακτικό, οὔτε γιὰ λάδι, οὔτε γιὰ ἐπιδέσμους.

«Ἡ γῆ σας ἐρημώθηκε, οἱ πόλεις σας κάηκαν καὶ τὴ χώρα

ἀλλότριοι κατεσθίουσι». Πάντα ταῦτα ἐποίησα, καὶ ὑμεῖς οὐ διωρθώθητε· πάντα ἐποίησα τὰ τῆς τέχνης, ὁ δὲ νοσερὸς μένει νεκρός. «Δεῦτε, ἀκούσατε λόγον Κυρίου, οἱ ἄρχοντες Σοδόμων καὶ Γομόρρας. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν;». Τί οὖν; Σοδομηνοῖς διαλέγεται; Οὐχί, ἀλλὰ Ἰουδαίους Σοδομηνοὺς καλεῖ· ἐπειδὴ γὰρ αὐτῶν τὸν τρόπον ἐμιμήσαντο, καὶ τὸ ὄνομα αὐτοῖς ἐπιτίθησι. «Δεῦτε, ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων καὶ Γομόρρας. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; Λέγει Κύριος. Πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν οὐ βούλομαι. Ἐὰν προσφέρητέ μοι σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμά μοι ἐστί· τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου· νηστείαν καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι. Ὅταν ἐκτείνητε τὰς χεῖρας ὑμῶν πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν». Ἔνι τῆς ὀργῆς ταύτης ἴσον; Ὁ προφήτης τὸν οὐρανὸν καλεῖ, θρηνεῖ, ὀλοφύρεται, ὀδύρεται, λέγει· «οὐκ ἔνι τραῦμα, οὐκ ἔνι μώλωψ»· ὁ Θεὸς ὀργίζεται, οὐ δέχεται θυσίαν, οὐ νεομηνίαν, οὐ σάββατον, οὐ σεμίδαλιν, οὐκ εὐχήν, οὐκ ἔκτασιν χειρῶν.

Εἶδες ἕλκος; εἶδες νόσημα ἀνίατον, οὐχ ἑνός, οὐ δύο, οὐ δέκα, ἀλλὰ χιλιάδων; Τί οὖν μετὰ ταῦτα; «Λούσασθε, καθαροὶ γίνεσθε». Μή ἐστιν ἁμαρτία ἀπόγνωσιν ἔχουσα; Αὐτὸς λέγει ὁ Θεός, οὐκ ἀκούω ὑμῶν· καὶ λέγεις· «λούσασθε»; Εἰς τί ἐκεῖνα λέγεις; Εἰς τί ταῦτα; Χρησίμως ἀμφότερα· ἐκεῖνα, ἵνα φοβήσωμαι, ταῦτα, ἵνα ἐπισπάσωμαι. Εἰ οὐκ ἀκούεις αὐτῶν, οὐκ ἔχουσιν ἐλπίδα σωτηρίας· εἰ οὐκ ἔχουσιν ἐλπίδα σωτηρίας, πῶς λέγεις, «λούσασθε»; Ἀλλὰ πατήρ ἐστι φιλόστοργος, μόνος ἀγαθὸς καὶ σπλαγχνιζόμενος ὑπὲρ πατέρα. Καὶ ἵνα μάθῃς, ὅτι πατήρ ἐστι, λέγει αὐτοῖς· «τί ποιήσω, Ἰούδα;». Οὐκ οἶδας τί ποιήσεις; Οἶδα· ἀλλ' οὐ βούλομαι· ἀπαιτεῖ τῶν ἁμαρτημάτων ἡ φύσις, καὶ κατέχει τῆς φιλανθρωπίας τὸ μέγεθος. Τί σοι ποιήσω; Φείσομαί σου; Ἀλλὰ γίνῃ ῥαθυμότερος. Ἀλλ' ἐπέλθω σοι; Ἀλλ' οὐκ ἀνέχεται ἡ φιλανθρωπία. Τί

15. Ἡσ. 1,7.
16. Ἡσ. 1,10.
17. Ἡσ. 1,13–15.
18. Ἡσ. 1,16.

σας τὴν κατατρώγουν οἱ ξένοι»[15]. Ὅλα αὐτὰ τὰ ἔκαμα καὶ σεῖς δὲ διορθωθήκατε· ὅλα τὰ τῆς τέχνης τὰ ἔκαμα, καὶ ὁ νεκρὸς ἀσθενὴς μένει νεκρός. «Ἐλᾶτε καὶ ἀκοῦστε τὸ λόγο τοῦ Κυρίου, οἱ ἄρχοντες καὶ τῶν Σοδόμων καὶ τῆς Γομόρρας. Τί μοῦ χρειάζεται τὸ πλῆθος τῶν θυσιῶν σας;»[16]. Τί λοιπόν; πρὸς τοὺς κατοίκους τῶν Σοδόμων μιλάει; Ὄχι, ἀλλὰ τοὺς Ἰουδαίους ὀνομάζει Σοδομηνούς· ἐπειδὴ δηλαδὴ μιμήθηκαν τὸν τρόπο ζωῆς αὐτῶν, τοὺς δίνει καὶ τὸ ὄνομα. «Ἐλᾶτε καὶ ἀκοῦστε τὸ λόγο τοῦ Κυρίου, ἄρχοντες τῶν Σοδόμων καὶ τῆς Γομόρρας. Τί μοῦ χρειάζεται τὸ πλῆθος τῶν θυσιῶν σας; Λέγει ὁ Κύριος. Εἶμαι χορτασμένος ἀπὸ τὰ ὁλοκαυτώματα τῶν κριαριῶν καὶ δὲν θέλω τὰ λίπη τῶν ἀρνιῶν. Ἐὰν μοῦ προσφέρετε σεμιγδάλι, ἄσκοπα τὸ κάμνετε· τὸ θυμίαμα τὸ συχαίνομαι· τὶς γιορτές σας τὴν πρώτη κάθε μηνὸς καὶ τὰ σάββατα τὰ μισεῖ ἡ ψυχή μου· νηστεία καὶ ἡμέρα μεγάλη δὲν τὰ ἀνέχομαι. Ὅταν ἁπλώσετε τὰ χέρια σας πρὸς ἐμένα, θὰ στρέψω τὰ μάτια μου ἀπὸ σᾶς»[17]. Ὑπάρχει ἴσο μ' αὐτὴ τὴν ὀργή; Ὁ προφήτης καλεῖ τὸν οὐρανό, θρηνεῖ, κραυγάζει γοερά, ὀδύρεται καὶ λέγει, «δὲν ὑπάρχει τραῦμα, δὲν ὑπάρχει μώλωπας»· ὁ Θεὸς ὀργίζεται, δὲν δέχεται θυσία, οὔτε πρωτομηνιά, οὔτε σάββατο, οὔτε σεμιγδάλι, οὔτε προσευχή, οὔτε ἅπλωμα χεριῶν.

Εἶδες ἕλκος; εἶδες νόσημα ἀθεράπευτο, ὄχι ἑνός, οὔτε δύο, οὔτε δέκα, ἀλλὰ χιλιάδων; Καὶ τί λέγει στὴ συνέχεια; «Λουσθεῖτε, καθαρισθεῖτε»[18]. Μήπως ὑπάρχει ἁμαρτία χωρὶς ἐλπίδα σωτηρίας; Ὁ ἴδιος ὁ Θεὸς τὸ λέγει, καὶ δὲν ἀκούω τί λέτε σεῖς· λές, «λουσθεῖτε». Γιατί τὰ λὲς αὐτά; Γιατί τὰ λέγω αὐτά; Πρὸς ὠφέλεια καὶ τὰ δύο· ἐκεῖνα γιὰ νὰ φοβίσω, ἐνῶ αὐτὰ γιὰ νὰ τοὺς προσελκύσω. Ἂν δὲν ἀκοῦς αὐτούς, δὲν ἔχουν ἐλπίδα σωτηρίας, ἂν δὲν ἔχουν ἐλπίδα σωτηρίας, πῶς λές, «λουσθεῖτε»; Μὰ εἶναι πατέρας φιλόστοργος, ὁ μόνος ἀγαθός, καὶ εὐσπλαχνικὸς πιό πολὺ καὶ ἀπὸ τὸν πατέρα. Καὶ γιὰ νὰ μάθεις, ὅτι εἶναι πατέρας, λέγει πρὸς αὐτούς· «τί νὰ κάμω, Ἰουδαῖοι;». Δὲν γνωρίζεις τί νὰ κάμεις; Γνωρίζω, ἀλλὰ δὲν θέλω· τὸ ἀπαιτεῖ ἡ φύση τῶν ἁμαρτημάτων καὶ μὲ συγκρατεῖ τὸ μέγεθος τῆς φιλανθρωπίας. Τί νὰ σοῦ κάμω; Νὰ σὲ λυπηθῶ; ἀλλὰ θὰ γίνεις πιὸ ἀδιάφορος. Μήπως νὰ σὲ τιμωρήσω;

σοι ποιήσω; ὡς Σόδομα θήσομαί σε, καὶ ὡς Γόμορρα καταστρέψω σε; Ἐστράφη ἡ καρδία μου. Ὁ ἀπαθὴς ἐμπαθῆ ἄνθρωπον μιμεῖται, μᾶλλον δὲ μητέρα φιλόστροφον. Ἐστράφη ἡ καρδία μου· ὅπερ ἂν εἴποι γυνὴ ἐπὶ παιδίου· ἐστράφη ἡ καρδία μου κατὰ τὴν μητέρα. Ἀλλ' οὐκ ἐρκέσθη τῇ προτέρᾳ λέξει, ἀλλ' «ἐταράχθην ἐν τῇ μεταμελείᾳ μου». Θεὸς ταράττεται; Ἄπαγε! μὴ γένοιτο! ἀτάραχον τὸ Θεῖον· ἀλλ' ὅπερ εἶπον, μιμεῖται τὰς λεξεις ἡμῶν. Ἐστράφη ἡ καρδία μου· «λούσασθε, καθαροὶ γίνεσθε». Τί ὑπεσχόμην ὑμῖν; Ὅτι τοὺς ἁμαρτωλούς, καὶ μυρίων γέμοντας ἁμαρτημάτων, καὶ ἡλκωμένους λαβὼν ὁ Θεὸς μετανοοῦντας, οὕτω θεραπεύει, ὡς μὴ ἀφεῖναι αὐτοῖς ἴχνος ἁμαρτημάτων, ὡς μὴ ἀφεῖναι οὐλήν, ὡς μὴ ἀφεῖναι ὑπόμνημα.

«Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν». Καὶ καλὸν τί ἐπιτάττεις; «Κρίνατε ὀρφανὸν καὶ δικαιώσατε χήραν». Οὐδὲ βαρέα τὰ ἐπιτάγματα, ἀλλὰ καὶ ὅσα ἡ φύσις ἐπίσταται, ὅτι καὶ γυναικὶ ὁ ἔλεος συμφέρει. «Καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος»· ποιήσατε μικρόν, καὶ τὸ λοιπὸν ἐγὼ προστίθημι· ὀλίγον μοι δότε, καὶ τὸ ὅλον ἐγὼ χαρίζομαι. «Δεῦτε». Καὶ ποῦ ἀπέλθωμεν; Πρὸς ἐμέ, ὃν παρωξύνατε, ὃν παρωργίσατε, πρὸς ἐμὲ τὸν εἰπόντα, «οὐκ ἀκούω ὑμῶν», ἵνα φοβηθέντες τὴν ἀπειλήν, λύσητε τὴν ὀργήν. Δεῦτε πρὸς τὸν οὐκ ἀκούοντα, ἵνα ἀκούσω. Καὶ τί ποιεῖς; Ὅτι οὐκ ἀφίημι ἴχνος, οὐκ ἀφίημι δεῖγμα, οὐκ ἀφίημι οὐλήν. «Δεῦτε καὶ διαλεχθῶμεν, λέγει Κύριος»· καί φησιν· «ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ». Μήπου οὐλή; μήπου ῥυτὶς καὶ μετὰ τοῦ χρώματος τῆς καθαρότητος; «Καὶ ἐὰν ὦσιν ὡς κόκκινον,

19. Ὠσηὲ 11,8.
20. Ἠσ. 1,16–17.
21. Ἠσ. 1,18.
22. Ἠσ. 1,18.

ἀλλὰ δὲν τὸ ἀνέχεται ἡ φιλανθρωπία μου. Τί νὰ σοῦ κάμω; Νὰ σὲ μεταχειρισθῶ σὰν τὰ Σόδομα καὶ νὰ σὲ καταστρέψω σὰν τὰ Γόμορρα; Συγκλονίσθηκε ἡ καρδιά μου. Ὁ ἀπαθὴς μιμεῖται τὸν ἐμπαθῆ ἄνθρωπο, ἢ καλύτερα τὴ φιλόστοργη μητέρα. Συγκλονίσθηκε ἡ καρδιά μου, πράγμα ποὺ θὰ μποροῦσε νὰ πεῖ ἡ γυναίκα γιὰ τὸ παιδί της· συγκλονίσθηκε ἡ καρδιά μου, ὅπως συμβαίνει μὲ τὴ μητέρα. Ὅμως δὲν ἀρκέσθηκε στὴν προηγούμενη λέξη, ἀλλά, «ταράχθηκα ἐξ αἰτίας τῆς ἀλλαγῆς ἀποφάσεώς μου»[19]. Ὁ Θεὸς ταράσσεται; Μακριὰ μιὰ τέτοια σκέψη! Μὴ γένοιτο! Ἀτάραχο εἶναι τὸ θεῖο· ἀλλά, ὅπως εἶπα, μιμεῖται τὰ λόγια μας. Συγκλονίσθηκε ἡ καρδιά μου· «λουσθεῖτε καὶ καθαρισθεῖτε». Τί σᾶς ὑποσχέθηκα; Ὅτι τοὺς ἁμαρτωλούς, κι ἂν ἀκόμη εἶναι γεμάτοι ἀπὸ ἀμέτρητα ἁμαρτήματα καὶ ἀπὸ πληγές, ἀφοῦ τοὺς λάβει ὁ Θεὸς μετὰ ἀπὸ τὴ μετάνοιά τους, ἔτσι τοὺς θεραπεύει, ὥστε νὰ μὴ μείνει σ' αὐτοὺς ἴχνος ἁμαρτημάτων, νὰ μὴ μείνει οὐλή, νὰ μὴ μείνει κάτι ποὺ νὰ τὰ θυμίζει.

«Λουσθεῖτε, καθαρισθεῖτε, ἀπομακρύνατε τὶς πονηρίες ἀπὸ τὶς ψυχές σας· μάθετε νὰ κάμνετε τὸ καλό»[20]. Καὶ ποιό εἶναι τὸ καλὸ ποὺ προστάζεις; «Προστατέψτε τὸ ὀρφανὸ καὶ δῶστε τὸ δίκιο στὴ χήρα». Δὲν εἶναι βαριὲς οἱ ἐντολές, ἀλλὰ προστάζουν ἐκεῖνα ποὺ τὰ γνωρίζει ἡ φύση τοῦ ἀνθρώπου, ὅτι δηλαδὴ ἡ γυναίκα χρειάζται εὐσπλαχνία. «Καὶ ἐλᾶτε νὰ συνομιλήσουμε, λέγει ὁ Κύριος»[21]. Κάνετε σεῖς τὸ μικρό, καὶ τὸ ὑπόλοιπο τὸ προσθέτω ἐγώ· δῶστε μου λίγο, κι ἐγὼ σᾶς χαρίζω τὸ ὁλόκληρο. «Ἐλᾶτε». Καὶ ποῦ νὰ πᾶμε; Σ' ἐμένα ποὺ μοῦ ἀνάψατε τὸ θυμό, ποὺ μὲ ἐξοργίσατε, σ' ἐμένα ποὺ εἶπα, «δὲν σᾶς ἀκούω», ὥστε, ἀφοῦ φοβηθεῖτε τὴν ἀπειλή, νὰ σταματήσετε τὴν ὀργή. Ἐλᾶτε πρὸς ἐμένα ποὺ δὲν σᾶς ἀκούω, γιὰ νὰ σᾶς ἀκούσω. Καὶ τί κάμνεις; Δὲν ἀφήνω ἴχνος, δὲν ἀφήνω δεῖγμα, δὲν ἀφήνω οὐλή. «Ἐλᾶτε γιὰ νὰ συνομιλήσουμε, λέγει ὁ Κύριος» καὶ συνεχίζει· «ἐὰν εἶναι οἱ ἁμαρτίες σας κόκκινες σὰν προρφύρα, θὰ τὶς κάνω λευκὲς σὰν τὸ χιόνι»[22]. Μήπως κάπου ὑπάρχει οὐλή; μήπως ὑπάρχει ρυτίδα μαζὶ μὲ τὸ χρῶμα τῆς καθαρότητας; «Καὶ ἂν εἶναι σὰν τὸ κόκκινο χρῶμα, σὰν τὸ κάτασπρο μαλλὶ θὰ τὶς λευκάνω». Μήπως ὑπάρχουν κάπου

ὡς ἔριον λευκανῶ». Μήπου μελανίαι; μήπου σπῖλος; Καὶ πῶς γίνετα ταῦτα; Μὴ ἄλλαι αἱ ἐπαγγελίαι; τὸ γὰρ στόμα τοῦ Κυρίου ἐλάλησε ταῦτα. Οὐ μόνον τὸ μέγεθος εἶδες τῶν ἐπαγγελθέντων, ἀλλὰ καὶ τὸ ἀξίωμα τοῦ δεδωρηκότος. Τῷ γὰρ Θεῷ πάντα δυνατὰ τῷ δυναμένῳ ποιῆσαι καθαρὸν ἀπὸ ρύπου.

Τοῦτον τοίνυν ἀκούσαντες καὶ τῆς μετανοίας τὸ φάρμακον εἰδότες, δόξαν αὐτῷ ἀναπέμψωμεν· ὅτι αὐτοῦ ἡ δόξα καὶ τὸ κράτος εἰς τὸν αἰῶνα. Ἀμήν.

μαυράδια; μήπως ὑπάρχει λεκές; Καὶ πῶς γίνονται αὐτά; Μήπως ἄλλες εἶναι οἱ ὑποσχέσεις; τὸ στόμα τοῦ Κυρίου τὰ εἶπε αὐτά. Ὄχι μόνο εἶδες τὸ μέγεθος τῶν ὅσων ὑποσχέθηκε, ἀλλὰ καὶ γνώρισες τὴ δύναμη ἐκείνου ποὺ τὰ δώρησε αὐτά. Γιατὶ ὅλα εἶναι δυνατὰ στὸ Θεὸ ποὺ ἔχει τὴ δύναμη νὰ καθαρίσει ἀπὸ τὸν ρύπο τῆς ἁμαρτίας.

Ἀφοῦ λοιπὸν τὸν ἀκούσαμε καὶ γνωρίζομε καὶ τὸ φάρμακο τῆς μετάνοιας, ἂς ἀναπέμψομε δόξα σ' αὐτόν, γιατὶ σ' αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στὸν αἰώνα. Ἀμήν.



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΕΝΑΤΗ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

Καὶ εἰς τοὺς ἀπολειφθέντας ἐν ταῖς συνάξεσιν, ἐν ᾧ καὶ περὶ τῆς ἱερᾶς τραπέζης καὶ περὶ κρίσεως

1. Ὥσπερ τοῖς σπείρουσιν ὄφελος οὐδέν, ὅταν παρὰ τὴν ὁδὸν ρίπτωσι τὰ σπέρματα, οὕτως οὐδὲ ἡμῖν ὄφελος ἐκ τοῦ ἀκούειν ἡμᾶς Χριστιανούς, ἐὰν μὴ καὶ τοῖς ἔργοις κατάλληλον ἔχωμεν τὴν προσηγορίαν. Καὶ εἰ βούλεσθε, παράξω ὑμῖν ἀξιόπιστον μάρτυρα τὸν ἀδελφόθεον Ἰάκωβον φάσκοντα· «πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν». Ἄρα οὖν πανταχοῦ χρὴ τῆς τῶν ἔργων ἐργασίας· ταύτης γὰρ ἀπούσης, οὔτε ἡ τοῦ Χριστιανοῦ προσηγορία ὠφελῆσαι ἡμᾶς δύναται. Καὶ μὴ θαυμάσῃς. Τί γάρ, εἰπέ μοι, κέρδος ἔχει ὁ στρατιώτης ἐκ τοῦ στρατεύεσθαι αὐτόν, ἐὰν μὴ ἄξιος ᾖ τῆς στρατείας, καὶ πολεμῇ ὑπὲρ τοῦ βασιλέως τρεφόμενος παρ' αὐτοῦ; Τάχα δέ, εἰ καὶ φοβερόν ἐστι τὸ λεγόμενον, ἄμεινον ἦν αὐτὸν μὴ στρατευθῆναι, ἢ στρατευθέντα ἀμελεῖν τῆς τοῦ βασιλέως τιμῆς· πῶς γὰρ οὐ τιμωρηθήσεται ὁ ἐκ τοῦ βασιλέως τρεφόμενος, ὑπὲρ δὲ τοῦ βασιλέως μὴ ἀγωνιζόμενος; Καὶ τί λέγω ὑπὲρ τοῦ βασιλέως; εἴθε κἂν ὑπὲρ τῶν ἑαυτῶν ψυχῶν ἐφροντίζομεν. Καὶ πῶς, φησί, δύναμαι ἐν τῷ κόσμῳ εἶναι καὶ ἐν μέσῳ πραγμάτων, καὶ σώζεσθαι; Τί λέγεις, ἄνθρωπε; Βούλει συντόμως δεῖξαί με μὴ τὸν τόπον εἶναι τὸν σώζοντα, ἀλλὰ τὸν τρόπον καὶ τὴν προαίρεσιν; Ὁ



ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΟΜΙΛΙΑ ΕΝΑΤΗ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

Καὶ πρὸς ἐκείνους ποὺ δὲν πῆγαν στὴ σύναξη. Ἐπίσης γίνεται λόγος γιὰ τὴν ἱερὴ τράπεζα καὶ γιὰ τὴν κρίση

1. Ὅπως ἀκριβῶς δὲν ἔχουν καμιὰ ὠφέλεια οἱ γεωργοὶ ποὺ σπέρνουν τὸ σπόρο στὸ δρόμο, ἔτσι οὔτε κι ἐμεῖς ἔχομε κανένα ὄφελος ἀπὸ τὸ νὰ μᾶς ὀνομάζουν Χριστιανούς, ἂν τὰ ἔργα μας δὲν εἶναι σύμφωνα μὲ τὸ ὄνομά μας. Καὶ ἂν θέλετε θὰ σᾶς παρουσιάσω ἀξιόπιστο μάρτυρα τὸν ἀδελφόθεο Ἰάκωβο ποὺ λέγει· «ἡ πίστη χωρὶς τὰ ἔργα εἶναι νεκρή»[1]. Ἄρα λοιπὸν παντοῦ εἶναι ἀναγκαία καὶ ἡ ἐκτέλεση τῶν ἔργων· γιατὶ ὅταν ἀπουσιάζουν αὐτά, δὲν μπορεῖ νὰ μᾶς ὠφελήσει ἡ ὀνομασία τοῦ Χριστιανοῦ. Καὶ μὴ ἀπορήσεις. Γιατί, πές μου, ποιό κέρδος ἔχει ὁ στρατιώτης ἀπὸ τὴν κατάταξή του στὸ στρατό, ἂν δὲν εἶναι ἄξιος γιὰ τὴν ἐκστρατεία καὶ δὲν πολεμᾶ γιὰ τὸν βασιλιὰ ἀπὸ τὸν ὁποῖο τρέφεται; Ἴσως, ἂν καὶ εἶναι φοβερὸ τὸ λεγόμενο, θὰ ἦταν προτιμότερο νὰ μὴ στρατευθεῖ, παρὰ νὰ στρατευθεῖ καὶ ν' ἀμελεῖ γιὰ τὴν τιμὴ τοῦ βασιλιᾶ· γιατί, πῶς δὲν θὰ τιμωρηθεῖ αὐτὸς ποὺ τρέφεται ἀπὸ τὸ βασιλιά, ἀλλὰ δὲν ἀγωνίζεται γιὰ τὸ βασιλιά; Καὶ τί λέγω γιὰ τὸ βασιλιά; μακάρι νὰ φροντίζαμε ἔστω καὶ γιὰ τὶς ψυχές μας. Καὶ πῶς, λέγει, μπορῶ νὰ ζῶ μέσα στὸν κόσμο καὶ ἀνάμεσα στὰ κοσμικὰ πράγματα καὶ νὰ σωθῶ; Τί λές, ἄνθρωπε; Θέλεις μὲ συντομία νὰ σοῦ δείξω ὅτι δὲν εἶναι ὁ τόπος ποὺ σώζει, ἀλλὰ ὁ σωστὸς τρόπος ζωῆς

---

1. Ἰακ. 2,17.

Ἀδὰμ ἐν παραδείσῳ ὡς ἐν λιμένι τὸ ναυάγιον ὑπέστη· ὁ δὲ Λὼτ ἐν τοῖς Σοδόμοις ὥσπερ ἐν πελάγει διεσώθη· ὁ Ἰὼβ ἐπὶ τῆς κοπρίας ἐδικαιώθη· ὁ δὲ Σαοὺλ ἐν τοῖς ταμείοις ὤν, τῆς βασιλείας καὶ τῆς ἐνταῦθα καὶ τῆς ἐκεῖ ἐξέπεσεν. Οὐκ εστι τοῦτο ἀπολογία, τὸ λέγειν, 'οὐ δύναμαι ἐν τῷ κόσμῳ εἶναι καὶ ἐν μέσῳ πραγμάτων, καὶ σώζεσθαι'. Ἀλλὰ ταῦτα πόθεν; Ὅτι οἱ μὲν ἐν ταῖς προσευχαῖς, οἱ δὲ ἐν ταῖς θείαις συνάξεσιν οὐ συνεχῶς παραγίνεσθε. Ἢ οὐχ ὁρᾶτε τοὺς βουλομένους ἀξιώματα λαβεῖν παρὰ τοῦ ἐπιγείου βασιλέως, πῶς προσεδρεύουσιν, πῶς καὶ ἑτέρους εἰς παράκλησιν κινοῦσιν, ὅπως τοῦ ζητουμένου μὴ ἐκπέσωσι;

Ταῦτα πρὸς τοὺς ἀπολιμπανομένους τῶν θείων συνάξεων εἴρηται, καὶ πρὸς τοὺς ἐν τῇ τῆς φοβερᾶς καὶ μυστικῆς τραπέζης ὥρᾳ εἰς συντυχίας καὶ ματαιολογίας ἀσχολουμένους. Τί ποιεῖς, ἄνθρωπε; οὐχ ὑπέσχου τῷ ἱερεῖ εἰπόντι, «ἄνω σχῶμεν ἡμῶν τὸν νοῦν καὶ τὰς καρδίας», καὶ εἶπας, «ἔχομεν πρὸς τὸν Κύριον»; οὐ φοβῇ, οὐκ ἐρυθριᾷς, κατ' αὐτὴν τὴν φοβερὰν ὥραν ψεύστης εὑρισκόμενος; Βαβαὶ τοῦ θαύματος! Τῆς τραπέζης τῆς μυστικῆς ἐξηρτισμένης, τοῦ ἀμνοῦ τοῦ Θεοῦ ὑπὲρ σοῦ σφαγιαζομένου, τοῦ ἱερέως ὑπὲρ σοῦ ἀγωνιζομένου, πυρὸς πνευματικοῦ ἐκ τῆς ἀχράντου ἀναβλύζοντος τραπέζης, τῶν Χερουβεὶμ παρισταμένων, καὶ τῶν Σεραφεὶμ ἱπταμένων, τῶν ἑξαπτερύγων τὰ πρόσωπα κατακαλυπτόντων, πασῶν τῶν ἀσωμάτων δυνάμεων μετὰ τοῦ ἱερέως ὑπὲρ σοῦ πρεσβευουσῶν, τοῦ πυρὸς τοῦ πνευματικοῦ κατερχομένου, τοῦ αἵματος ἐν τῷ κρατῆρι εἰς σὴν κάθαρσιν ἐκ τῆς ἀχράντου πλευρᾶς κενουμένου, οὐ φοβῇ, οὐκ ἐρυθριᾷς καὶ κατὰ ταύτην τὴν φοβερὰν ὥραν ψεύστης εὑρισκόμενος; Ἑκατὸν ἑξήκοντα ὀκτὼ ὥρας ἐχούσης τῆς ἑβδομάδος, μίαν καὶ μόνην ὥραν ἀφώρισεν ἑαυτῷ ὁ Θεός· καὶ ταύτην εἰς πράγματα βιωτικὰ καὶ εἰς γελοῖα καὶ εἰς συντυχίας ἀναλίσκεις; Μετὰ ποίας λοιπὸν παρρησίας τοῖς μυστηρίοις προσέρχῃ; Μετὰ ποίου συνειδότος μεμολυσμένου; Ἆρα εἰ ἐβάσταζες κόπρον ἐν ταῖς χερσὶ σου, ἐτόλμας προσψαῦσαι τοῦ κρασπέδου τοῦ ἐπιγείου βασιλέως; Οὐδαμῶς.

Μὴ ὅτι ἄρτος ἐστὶν ἴδῃς, μηδ' ὅτι οἶνός ἐστι νομίσῃς· οὐ γὰρ

---

2. Γεν. κεφ. 3. 3. Γεν. κεφ. 19. 4. Ἰὼβ κεφ. 2. 5. Α' Βασ. κεφ. 18.

καὶ ἡ προαίρεση; Ὁ Ἀδὰμ ἔπαθε τὸ ναυάγιο σὰν σὲ λιμάνι μέσα στὸν παράδεισο[2]· ὁ Λὼτ πάλι διασώθηκε σὰν σὲ πέλαγος μέσα στὰ Σόδομα[3]· ὁ Ἰὼβ πέτυχε τὴ δικαίωση ἐπάνω στὴν κοπριά[4], ἐνῶ ὁ Σαούλ, ἂν καὶ ζοῦσε μέσα στοὺς θησαυρούς, ἔχασε καὶ τὴν ἐδῶ βασιλεία καὶ τὴν ἐκεῖ[5]. Δὲν εἶναι αὐτὸ δικαιολογία, τὸ νὰ λές, 'δὲν μπορῶ νὰ ζῶ μέσα στὸν κόσμο καὶ ἀνάμεσα στὰ κοσμικὰ πράγματα καὶ νὰ σωθῶ'. Ἀλλὰ γιατί γίνονται αὐτά; Ἐπειδὴ δὲν ἔρχεσθε πάντοτε ἄλλοι στὶς προσευχὲς καὶ ἄλλοι στὶς ἱερὲς συνάξεις. Ἢ δὲν βλέπετε ἐκείνους ποὺ θέλουν νὰ λάβουν ἀξιώματα ἀπὸ τὸν ἐπίγειο βασιλιά, πῶς δείχνουν ὑπομονή, πῶς βάζουν καὶ ἄλλους νὰ τὸν παρακαλέσουν, ὥστε νὰ μὴ στερηθοῦν ἐκεῖνο ποὺ ἐπιθυμοῦν;

Αὐτὰ λέχθηκαν γιὰ ἐκείνους ποὺ ἀπουσιάζουν ἀπὸ τὶς ἱερὲς συνάξεις καὶ γιὰ ἐκείνους ποὺ ἀσχολοῦνται μὲ κουβεντολόγια καὶ ματαιοπονίες κατὰ τὴν ὥρα τῆς φοβερῆς καὶ μυστικῆς τράπεζας. Τί κάμνεις, ἄνθρωπε; δὲν ὑποσχέθηκες στὸν ἱερέα ποὺ εἶπε, «ἂς ὑψώσομε τὸ νοῦ μας καὶ τὶς καρδιές μας» καὶ εἶπες «τὶς ἔχομε ὑψωμένες πρὸς τὸν Κύριο»; Δὲ φοβᾶσαι, δὲν κοκκινίζεις ἀπὸ ντροπὴ νὰ παρουσιάζεσαι ψεύστης κατὰ τὴν ὥρα αὐτὴ τὴ φοβερή; Πώ, πὼ θαῦμα! Ἐνῶ ἡ μυστικὴ τράπεζα εἶναι ἑτοιμασμένη, ὁ ἀμνὸς τοῦ Θεοῦ θυσιάζεται γιὰ σένα, ὁ ἱερέας ἀγωνίζεται γιὰ σένα, πνευματικὸ πῦρ ἀναβλύζει ἀπὸ τὴν ἄχραντη τράπεζα, τὰ χερουβὶμ παραστέκουν, τὰ σεραφεὶμ πετοῦν, τὰ ἑξαπτέρυγα κατακαλύπτουν τὰ πρόσωπα, ὅλες οἱ ἀσώματες δυνάμεις μαζὶ μὲ τὸν ἱερέα πρεσβεύουν γιὰ σένα; τὸ πνευματικὸ πῦρ κατεβαίνει, καὶ τὸ αἷμα χύνεται στὸ ποτήρι ἀπὸ τὴν ἄχραντη πλευρὰ γιὰ κάθαρση δική σου, δὲν φοβᾶσαι, οὔτε κοκκινίζεις ἀπὸ ντροπὴ νὰ παρουσιάζεσαι ψεύστης καὶ κατὰ τὴν ὥρα αὐτὴ τὴ φοβερή; Ἂν καὶ ἑκατὸν ἑξήντα ὀκτὼ ὧρες ἔχει ἡ ἑβδομάδα, ὁ Θεὸς ξεχώρισε γιὰ τὸν ἑαυτό του μία καὶ μόνη ὥρα, κι αὐτὴν τὴν ξοδεύεις σὲ πράγματα κοσμικὰ καὶ γελοῖα καὶ σὲ κουβεντολόγια; Μὲ ποιά παρρησία πιὰ προσέρχεσαι στὰ μυστήρια; μὲ ποιά μολυσμένη συνείδηση; Ἄραγε ἂν βαστοῦσες κοπριὰ στὰ χέρια σου, θὰ τολμοῦσες νὰ ἀγγίξεις τὴν ἄκρη τοῦ ἐνδύματος τοῦ ἐπίγειου βασιλιᾶ; Μὲ κανένα τρόπο.

Μὴ βλέπεις ὅτι εἶναι ἄρτος, οὔτε νὰ νομίσεις ὅτι εἶναι οἶνος·

ὡς αἱ λοιπαὶ βρώσεις εἰς ἀφεδρῶνα χωρεῖ, ἄπαγε! μὴ τοῦτο νόει, ἀλλὰ ὥσπερ κηρὸς πυρὶ προσομιλήσας οὐδὲν ἀπουσιάζει, οὐδὲν περισσεύει, οὕτω καὶ ὧδε νόμιζε συναναλίσκεσθαι τὰ μυστήρια τῇ τοῦ σώματος οὐσίᾳ. Διὸ καὶ προσερχόμενοι, μὴ ὡς ἐξ ἀνθρώπου νομίσητε μεταλαμβάνειν τοῦ θείου σώματος, ἀλλ' ὡς ἐξ αὐτῶν τῶν Σεραφεὶμ τῇ λαβίδι τοῦ πυρός, ἥνπερ Ἠσαΐας εἶδε, τοῦ θείου σώματος μεταλαμβάνειν νομίζετε, καὶ ὡς τῆς θείας καὶ ἀχράντου πλευρᾶς ἐφαπτόμενοι τοῖς χείλεσιν, οὕτω τοῦ σωτηρίου αἵματος μεταλάβωμεν. Τοιγαροῦν, ἀδελφοί, τῶν ἐκκλησιῶν μὴ ἀπολειπώμεθα, μήτε πάλιν ἐν αὐταῖς συντυχίαις ἑαυτοὺς ἀσχολῶμεν· στῶμεν ἔμφοβοι καὶ ἔντρομοι, κάτω νεύοντες τὸ ὄμμα, ἄνω δὲ τὴν ψυχήν· στενάζοντες ἀφώνως, ἀλαλάζωμεν τῇ καρδίᾳ. Ἢ οὐχ ὁρᾶτε τοὺς τῷ αἰσθητῷ καὶ φθαρτῷ καὶ προσκαίρῳ καὶ ἐπιγείῳ βασιλεῖ παρισταμένους, πῶς εἰσιν ἀμετακίνητοι, μὴ φθεγγόμενοι, μὴ σειόμενοι, μὴ τοὺς ὀφθαλμοὺς ὧδε κἀκεῖσε πέμποντες, ἀλλὰ στυγνοί, κατηφεῖς, ἔμφοβοι; Ἐξ αὐτῶν, ὦ ἄνθρωπε, τὸν ἔλεγχον λάβε, καὶ οὕτω παρακαλῶ παρίστασθαι ὑμᾶς τῷ Θεῷ, ὥσπερ εἰσερχόμενοι ἐνώπιον τοῦ ἐπιγείου βασιλέως τυγχάνετε· πολλῷ μᾶλλον τῷ ἐπουρανίῳ βασιλεῖ μετὰ φόβου παρίστασθαι χρή. Ταῦτα πολλάκις λέγων οὐ παύσομαι, ἕως οὗ διορθωθέντας ἴδω. Εἰσερχόμενοι δὲ εἰς τὴν ἐκκλησίαν, ὡς Θεῷ πρέπει εἰσέλθωμεν, μὴ μνησικακίαν ἐν τῇ ψυχῇ ἔχοντες, μήπως εὐχόμενοι, καθ' ἑαυτῶν εὐχώμεθα, λέγοντες· «ἄφες ἡμῖν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν». Φοβερὸν γάρ ἐστι τὸ λεγόμενον, καὶ σχεδὸν εἰπεῖν, τοιοῦτο πρὸς τὸν Θεὸν βοᾷ ὁ τοῦτο λέγων· 'ἀφῆκα, Δέσποτα, ἄφες· ἔλυσα, λῦσον· συνεχώρησα, συγχώρησον· εἰ ἐκράτησα, κράτησον· εἰ μὴ

6. Ἠσ. κεφ. 6.
7. Ματθ. 6,12.

γιατὶ δεν ἀποβάλλονται ἀπὸ τὸ σῶμα ὅπως οἱ ὑπόλοιπες τροφές, μακριὰ τὸ στόμα σου ἀπὸ κάτι τέτοιο καὶ μὴ τὸ σκεφθεῖς αὐτό! Ἀλλά, ὅπως τὸ κερὶ ἐρχόμενο σὲ ἐπαφὴ μὲ τὴ φωτιὰ δὲν μειώνεται καθόλου καὶ δὲν περισσεύει, ἔτσι νὰ πιστεύεις καὶ ἐδῶ ὅτι ἀναμιγνύονται τὰ μυστήρια μὲ τὴν οὐσία τοῦ σώματος. Γι' αὐτὸ καὶ προσερχόμενοι νὰ μεταλάβετε, μὴ νομίσετε ὅτι μεταλαβαίνετε τὸ θεῖο σῶμα ἀπὸ ἄνθρωπο, ἀλλὰ νὰ πιστεύετε ὅτι μεταλαβαίνετε τὸ θεῖο σῶμα ἀπὸ τὰ ἴδια τὰ σεραφεὶμ μὲ τὴ λαβίδα τοῦ πυρός, τὴν ὁποία εἶδε ὁ Ἠσαΐας[6], καὶ σὰν νὰ ἀγγίζουν τὰ χείλη μας τὴ θεία καὶ ἄχραντη πλευρά, ἔτσι νὰ μεταλαβαίνομε τὸ σωτήριο αἷμα. Γι' αὐτὸ λοιπόν, ἀδελφοί, ἂς μὴ ἀπουσιάζομε ἀπὸ τὶς ἐκκλησίες, οὔτε πάλι βρισκόμενοι μέσα σ' αὐτὲς νὰ τὸ ρίχνομε στὰ κουβεντολόγια· νὰ στεκόμαστε γεμάτοι ἀπὸ φόβο καὶ τρόμο ἔχοντας στραμμένα κάτω τὰ μάτια μας, καὶ ἐπάνω τὴν ψυχή μας, ν' ἀναστενάζομε ἄφωνα καὶ νὰ θρηνοῦμε μέσα στὴν καρδιά. Ἢ δὲν βλέπετε ἐκείνους ποὺ παρουσιάζονται μπροστὰ στὸν αἰσθητὸ καὶ φθαρτὸ καὶ πρόσκαιρο καὶ ἐπίγειο βασιλιά, πῶς εἶναι ἀκίνητοι, χωρὶς νὰ μιλοῦν, χωρὶς νὰ κινοῦνται, χωρὶς νὰ γυρίζουν ἐδῶ καὶ ἐκεῖ τὰ μάτια τους, ἀλλ' εἶναι σκυθρωποί, κατηφεῖς καὶ γεμάτοι φόβο; Ἀπὸ αὐτούς, ἄνθρωπε, πάρε τὸ παράδειγμα καὶ ἔτσι παρακαλῶ νὰ στέκεσθε μπροστὰ στὸ Θεό, ὅπως ἀκριβῶς μπαίνετε καὶ στέκεσθε μπροστὰ στὸν ἐπίγειο βασιλιά· καὶ πρέπει μὲ πολὺ μεγαλύτερο φόβο νὰ στέκεσθε μπροστὰ στὸν ἐπουράνιο βασιλιά. Αὐτὰ δὲν θὰ παύσω νὰ τὰ λέγω πολλὲς φορές, μέχρι ποὺ νὰ δῶ ὅτι διορθωθήκατε. Ὅταν μπαίνομε στὴν ἐκκλησία, νὰ μπαίνομε ὅπως πρέπει στὸ Θεό, χωρὶς νὰ ἔχομε μνησικακία μέσα στὴν ψυχή μας, καὶ χωρὶς νὰ καταντᾶ σὲ βάρος μας ἡ προσευχὴ καὶ ὅταν προσευχόμαστε καὶ λέμε, «συγχώρησέ μας, ὅπως καὶ ἐμεῖς συγχωροῦμε ἐκείνους ποὺ μᾶς ἔκαναν κακό»[7]. Γιατὶ εἶναι φοβερὸ τὸ λεγόμενο καὶ σχεδόν, θὰ μπορούσαμε νὰ ποῦμε, ὅτι κάτι τέτοιο φωνάζει πρὸς τὸ Θεὸ ἐκεῖνος ποὺ λέγει αὐτό· 'ἄφησα, Κύριε, τῶν ἄλλων, ἄφησε καὶ σὺ τὰ δικά μου· ἔλυσα ἐγώ, λύσε καὶ σύ· συγχώρησα ἐγώ, συγχώρησέ με καὶ σύ· ἂν κράτησα ἐγώ, κράτησε καὶ σύ· ἂν δὲν συγ-

ἔλυσα τῷ πλησίον, μηδὲ σὺ λύσῃς τὰ ἐμὰ ἁμαρτήματα· ἐν ᾧ μέτρῳ ἐμέτρησα, ἀντιμετρηθήτω μοι'.

2. Ταῦτα εἰδότες καὶ τὴν φοβερὰν ἡμέραν ἐκείνην ἐνθυμηθέντες καὶ τὸ πῦρ ἐκεῖνο καὶ τὰ φοβερὰ κολαστήρια εἰς νοῦν λαβόντες, ἐπιστρέψωμεν λοιπὸν ἐκ τῆς πεπλανημένης ὁδοῦ ἡμῶν. Ἐλεύσεται γὰρ ὥρα ὅταν τὸ θέατρον τοῦ κόσμου τούτου διαλυθήσεται· καὶ οὕτως οὐκ ἔστι λοιπὸν ἀγωνίζεσθαι· οὐκ ἔστι μετὰ τὴν πάροδον τοῦ βίου πραγματεύσασθαι, οὐκ ἔστι μετὰ τὴν τοῦ θεάτρου ἀπόλυσιν στεφανωθῆναι. Οὗτος ὁ καιρὸς μετανοίας, ἐκεῖνος κρίσεως· οὗτος ὁ καιρὸς τῶν ἀγώνων, ἐκεῖνος τῶν στεφάνων· οὗτος κόπου, ἐκεῖνος ἀνέσεως· οὗτος καμάτου, ἐκεῖνος ἀνταποδόσεως. Διεγέρθητε, παρακαλῶ, διεγέρθητε, καὶ τῶν λεγομένων προθύμως ἀκούσωμεν. Ἐζήσαμεν τῇ σαρκί, ζήσωμεν λοιπὸν καὶ τῷ πνεύματι· ἐζήσαμεν ταῖς ἡδοναῖς, ζήσωμεν λοιπὸν καὶ ταῖς ἀρεταῖς· ἐζήσαμεν τῇ ἀμελείᾳ, ζήσωμεν καὶ τῇ μετανοίᾳ. «Τί ὑπερηφανεύεται γῆ καὶ σποδός;» Τί φυσιοῦσαι, ὦ ἄνθρωπε; τί μεγαλαυχεῖς σεαυτόν; τί ἐλπίζεις ἐκ τῆς τοῦ κόσμου δόξης καὶ τοῦ πλούτου; Ἐξέλθωμεν ἐπὶ τοὺς τάφους, παρακαλῶ, καὶ ἴδωμεν τὰ ἐκεῖσε μυστήρια· ἴδωμεν τὴν φύσιν διεσπαραγμένην, ὀστᾶ βεβρωμένα, σώματα σεσηπότα· κἂν σοφὸς ᾖς, ἐπίσκεψαι, κἂν φρόνιμος, εἰπέ μοι, τίς ἐκεῖ ὁ βασιλεὺς καὶ τίς ὁ ἰδιώτης, τίς ὁ εὐγενὴς καὶ τίς ὁ δοῦλος, τίς ὁ σοφὸς καὶ τίς ὁ ἄσοφος. Ποῦ τὸ κάλλος ἐκεῖ τὸ τῆς νεότητος; ποῦ ἡ περιχαρὴς ὄψις; ποῦ οἱ ὀφθαλμοὶ οἱ εὐειδεῖς; ποῦ ἡ εὔθετος ρίς; ποῦ τὰ πυρίζοντα χείλη; ποῦ τὰ κάλλη τῶν παρειῶν; ποῦ τὸ ἀποστίλβον μέτωπον; Οὐ πάντα κόνις; οὐ πάντα τέφρα; οὐ σποδός; οὐ πάντα σκώληξ καὶ δυσωδία; οὐ πάντα βρῶμος;

Ταῦτα ἐννοοῦντες, ἀδελφοί, καὶ τῆς ἐσχάτης ἡμῶν ἡμέρας ἐνθυμηθέντες, ὡς καιρὸν ἔχομεν, ἐπιστρέψωμεν ἐκ τῆς πεπλανημένης ὁδοῦ ἡμῶν. Αἵματι τιμίῳ ἠγοράσθημεν. Διὰ τοῦτο ὁ Θεὸς ἐπὶ γῆς ὤφθη· διὰ σέ, ὦ ἄνθρωπε, Θεὸς ἐπὶ γῆς ὤφθη, μὴ ἔχων ποῦ τὴν κεκφαλὴν κλίναι». Βαβαὶ τοῦ θαύματος! ὁ κριτὴς διὰ τοὺς κα-

8. Ἐκκλ. 10,9.
9. Πρβλ. Α' Πέτρου 1,2.
10. Λουκᾶ 9,58.

χώρησα ἐγὼ τὸν πλησίον μου, μὴ συγχωρήσεις καὶ σὺ τὰ δικά μου ἁμαρτήματα· μὲ τὸ μέτρο ποὺ μέτρησα, ἂς μετρηθῶ καὶ ἐγώ'.

2. Γνωρίζοντας αὐτὰ καὶ φέρνοντας στὴ μνήμη μας τὴ φοβερὴ ἡμέρα καὶ σκεπτόμενοι τὸ πῦρ ἐκεῖνο καὶ τὰ φοβερὰ κολαστήρια, ἂς ἐπιστρέψομε ἀπὸ τὸν πλανεμένο δρόμο μας. Γιατὶ θὰ ρθεῖ ὥρα ποὺ θὰ διαλυθεῖ τὸ θέατρο τοῦ κόσμου αὐτοῦ· δὲν εἶναι δυνατὸ μετὰ τὸ πέρας αὐτῆς τῆς ζωῆς νὰ κάνει κανεὶς κάτι, δὲν εἶναι δυνατὸ νὰ στεφανωθεῖ μετὰ τὴ διάλυση τοῦ θεάτρου. Αὐτὸς εἶναι ὁ καιρὸς μετανοίας, ἐνῶ ἐκεῖνος κρίσεως· αὐτὸς εἶναι ὁ καιρὸς τῶν ἀγώνων, ἐνῶ ἐκεῖνος τῶν στεφάνων· αὐτὸς εἶναι ὁ καιρὸς τοῦ κόπου, ἐνῶ ἐκεῖνος τῆς ἀνέσεως· αὐτὸς ὁ καιρὸς τῶν καμάτων, ἐνῶ ἐκεῖνος τῆς ἀνταποδόσεως. Συνέλθετε, παρακαλῶ, ἀφυπνισθεῖτε καὶ ἂς ἀκούσομε μὲ προθυμία τὰ λεγόμενα. Ζήσαμε γιὰ τὴ σάρκα, ἂς ζήσομε καὶ γιὰ τὸ πνεῦμα· ζήσαμε γιὰ τὶς ἡδονές, ἂς ζήσομε καὶ γιὰ τὶς ἀρετές· ζήσαμε μὲ ἀδιαφορία, ἂς ζήσομε καὶ μὲ μετάνοια. «Γιατί ὑπερηφανεύεται τὸ χῶμα καὶ ἡ στάχτη;»[8]. Τί φουσκώνεις ἀπὸ ἀλαζονεία, ἄνθρωπε; γιατί μεγαλοφρονεῖς γιὰ τὸν ἑαυτό σου; τί ἐλπίζεις ἀπὸ τὴ δόξα τοῦ κόσμου καὶ τὸν πλοῦτο; Ἂς πᾶμε, παρακαλῶ, στοὺς τάφους καὶ ἂς δοῦμε τὰ ἐκεῖ μυστήρια· ἂς δοῦμε τὴ φύση τὴν ἀνθρώπινη κατασκορπισμένη, τὰ κόκκαλα σαπισμένα, τὰ σώματα σάπια· κι ἂν ἀκόμη εἶσαι σοφός, σκέψου, κι ἂν εἶσαι φρόνιμος, πές μου, ποιός εἶναι ἐκεῖ ὁ βασιλιὰς καὶ ποιός ὁ ἰδιώτης, ποιός εἶναι ὁ εὐγενὴς καὶ ποιός ὁ δοῦλος, ποιός ἦταν ὁ σοφὸς καὶ ποιός ὁ ἄσοφος; Ποῦ εἶναι ἐκεῖ ἡ ὀμορφιὰ τῆς νεότητας; ποῦ τὸ χαρούμενο πρόσωπο; ποῦ τὰ ὄμορφα μάτια; ποῦ ἡ καλοκαμωμένη μύτη; ποῦ τὰ φλογερὰ χείλη; ποὺ τὰ κάλλη τῶν παρειῶν; ποῦ τὸ λαμπερὸ μέτωπο; δὲν εἶναι ὅλα σκόνη; δὲν εἶναι ὅλα σκουλήκια καὶ δυσωδία; δὲν εἶναι ὅλα βρωμιά;

Σκεπτόμενοι, ἀδελφοί, αὐτὰ καὶ φέροντας στὴ μνήμη μας τὴν τελευταία ἡμέρα, ὅσο ἀκόμη ἔχομε καιρό, ἂς ἐπιστρέψομε ἀπὸ τὸν πλανεμένο δρόμο μας. Μὲ τίμιο αἷμα ἀγορασθήκαμε[9]. Γι' αὐτὸ ὁ Θεὸς φανερώθηκε ἐπάνω στὴ γῆ· γιὰ σένα, ἄνθρωπε, ὁ Θεὸς φανερώθηκε ἐπάνω στὴ γῆ, μὴ ἔχοντας ποὺ νὰ κλίνει τὸ κεφάλι του[10]. Πώ, πὼ θαῦμα! ὁ κριτὴς ὁδηγεῖται στὸ δικαστήριο γιὰ τοὺς

τακρίτους εἰς κριτήριον ἔρχεται· ἡ ζωὴ θανάτου γεύεται· ὁ πλάστης ὑπὸ τοῦ πλάσματος ῥαπίζεται· ὁ τοῖς Σεραφεὶμ ἀθεώρητος, ὑπὸ τοῦ δούλου ἐμπτύεται, ὄξους καὶ χολῆς γεύεται, λόγχῃ κεντᾶται, τάφῳ κατατίθεται, καὶ σὺ ἀμελεῖς, εἰπέ μοι, καὶ καθεύδεις, καὶ καταφρονεῖς, ἄνθρωπε; Οὐκ οἶδας, ὅτι καὶ τὸ ἴδιον αἷμα ἐὰν ἐκχέῃς ὑπὲρ αὐτοῦ, οὐδὲ οὕτω τὸ δέον ἐπλήρωσας; Ἐπειδὴ γὰρ ἄλλο αἷμα δεσποτικόν, καὶ ἄλλο αἷμα δουλικόν. Πρόλαβε τῇ μετανοίᾳ καὶ τῇ ἐπιστροφῇ τὴν ἔξοδον τῆς ψυχῆς, μήποτε θανάτου ἐπελθόντος, ἀργήσῃ πᾶσα τῆς μετανοίας ἡ θεραπεία· ὅτι ἐπὶ τῆς γῆς ἡ μετάνοια ἰσχύει, καὶ μόνον ἐν τῷ ᾅδῃ τοῦτο οὐκ ἔστι.

Ζητήσωμεν τὸν Κύριον, ὡς καιρὸν ἔχομεν ἐργασώμεθα τὸ ἀγαθὸν, ἵνα καὶ τῆς μελλούσης ἀτελευτήτου γεέννης ἀπαλλαγῶμεν, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καταδικασμένους· ἡ ζωὴ γεύεται θάνατο· ὁ πλάστης ραπίζεται ἀπὸ τὸ πλάσμα· ἐκεῖνος ποὺ δὲν τὸν βλέπουν τὰ σεραφείμ, φτύνεται ἀπὸ τὸ δοῦλο, γεύεται ξύδι καὶ χολή, κεντᾶται μὲ τὴ λόγχη, τοποθετεῖται στὸν τάφο, καὶ σύ, πές μου, ἀδιαφορεῖς καὶ κοιμᾶσαι καὶ τὰ περιφρονεῖς, ἄνθρωπε, ὅλα αὐτά; Δὲν γνωρίζεις, ὅτι κι ἂν ἀκόμη χύσεις τὸ αἷμα σου γιὰ ἐκεῖνον, οὔτε ἔτσι ἔκαμες ἐκεῖνο ποὺ πρέπει; Καὶ τοῦτο γιατὶ ἄλλο εἶναι τὸ αἷμα τὸ δεσποτικὸ καὶ ἄλλο τὸ αἷμα τοῦ δούλου. Πρόλαβε μὲ τὴ μετάνοια καὶ τὴ μεταστροφὴ τὴν ἔξοδο τῆς ψυχῆς, μήπως ἔρθει ὁ θάνατος καὶ δὲν καταστεῖ δυνατὴ ἡ θεραπεία μὲ τὴ μετάνοια· γιατὶ στὴ γῆ ἔχει τὴ δύναμή της ἡ μετάνοια καὶ μόνο στὸν ἅδη αὐτὸ δὲν εἶναι δυνατὸ νὰ συμβεῖ.

Ἂς ζητήσομε τὸν Κύριο ὅσο ἔχομε καιρό· ἂς κάνομε τὸ καλό, ὥστε καὶ ἀπὸ τὴ μέλλουσα ἀθάνατη γέεννα ν' ἀπαλλαγοῦμε καὶ ν' ἀξιωθοῦμε τὴν οὐράνια βασιλεία, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΕΣ ΚΑΤΗΧΗΤΙΚΕΣ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΕΠΡΟΚΕΙΤΟ ΝΑ ΒΑΠΤΙΣΘΟΥΝ

ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ



ΟΜΙΛΙΑΙ ΚΑΤΗΧΗΤΙΚΑΙ

ΠΡΟΣ ΤΟΥΣ ΜΕΛΛΟΝΤΑΣ ΦΩΤΙΖΕΣΘΑΙ ΚΑΙ ΠΡΟΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ
ΚΑΙ ΕΙΣ ΤΗΝ ΕΠΙΓΡΑΦΗΝ ΤΩΝ ΠΡΑΞΕΩΝ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

ΚΑΤΗΧΗΣΙΣ ΠΡΩΤΗ

ΠΡΟΣ ΤΟΥΣ ΜΕΛΛΟΝΤΑΣ ΦΩΤΙΖΕΣΘΑΙ

1. Χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς ὁ παρὼν καιρός· ἰδοὺ γὰρ παραγεγόνασιν ἡμῖν αἱ ποθειναὶ καὶ ἐπέραστοι τῶν πνευματικῶν γάμων ἡμέραι. Οὐδὲ γὰρ ἂν ἁμάρτοι τις γάμον ὀνομάζων τὰ νῦν γινόμενα, καὶ οὐ γάμον μόνον ἀλλὰ καὶ στρατολογίαν τινὰ θαυμαστὴν καὶ παράδοξον. Καὶ μὴ νομίσῃ τις ἐναντία εἶναι τὰ εἰρημένα ἀλλ' ἀκουέτω τοῦ μακαρίου Παύλου τοῦ τῆς οἰκουμένης διδασκάλου ἀμφοτέροις τούτοις κεχρημένου τοῖς παραδείγμασι καί ποτε μὲν λέγοντος, «ἡρμωσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ», ἀλλαχοῦ δὲ καθάπερ στρατιώταις μέλλουσιν εἰς πόλεμον ἐξιέναι οὕτω τὰ ὅπλα περιτιθέντος καὶ λέγοντος πάλιν· «ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου».

2. Σήμερον χαρὰ γίνεται ἐν οὐράνῳ καὶ ἐπὶ γῆς. Εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι τοσαύτη γίνεται ἡδονή, ἐπὶ πλήθει το-

---

1. Β' Κορ. 11,2.
2. Ἐφ. 6,11.



ΟΜΙΛΙΕΣ ΚΑΤΗΧΗΤΙΚΕΣ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΕΠΡΟΚΕΙΤΟ ΝΑ ΒΑΠΤΙΣΘΟΥΝ, ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ ΚΑΙ ΣΤΗΝ ΕΠΙΓΡΑΦΗ ΤΩΝ ΠΡΑΞΕΩΝ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

ΚΑΤΗΧΗΣΗ ΠΡΩΤΗ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΕΠΡΟΚΕΙΤΟ ΝΑ ΒΑΠΤΙΣΘΟΥΝ

1. Ὁ παρὼν καιρὸς εἶναι καιρὸς χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς. Γιατὶ νά, μᾶς ἦρθαν οἱ πολυπόθητες καὶ ἀξιαγάπητες ἡμέρες τῶν πνευματικῶν γάμων. Καὶ δὲ θὰ σφάλει κανεὶς ἂν ὀνομάσει γάμο τὰ ὅσα γίνονται τώρα καὶ ὄχι μόνο γάμο, ἀλλὰ καὶ κάποια στρατολογία θαυμαστὴ καὶ παράδοξη. Καὶ ἂς μὴ νομίσει κανεὶς ὅτι εἶναι ἀντίθετα τὰ ὅσα λέχθηκαν, ἀλλ' ἂς ἀκούει τὸν μακάριο Παῦλο, τὸν διδάσκαλο τῆς οἰκουμένης, ποὺ χρησιμοποιεῖ καὶ τὰ δυὸ αὐτὰ παραδείγματα, καὶ ἄλλοτε λέγει, «σᾶς ἀρραβώνιασα μὲ ἕναν ἄνδρα, γιὰ νὰ σᾶς παρουσιάσω σὰν παρθένο ἁγνὴ στὸ Χριστό»[1], ἄλλοτε πάλι, σὰν νὰ πρόκειται γιὰ στρατιῶτες ποὺ πρόκειται νὰ πᾶνε στὸν πόλεμο, ἔτσι τοὺς ἐφοδιάζει μὲ τὰ ὅπλα καὶ λέγει πάλι· «ντυθῆτε τὴν πανοπλία τοῦ Θεοῦ, ὥστε νὰ μπορεῖτε ν' ἀντισταθῆτε στὰ τεχνάσματα τοῦ διαβόλου»[2].

2. Σήμερα χαρὰ γίνεται στὸν οὐρανὸ καὶ στὴ γῆ. Γιατί, ἂν γιὰ ἕναν ἁμαρτωλὸ ποὺ μετανοεῖ τόση μεγάλη χαρὰ γίνεται[3], γιὰ ἕνα

---

3. Λουκᾶ 15,7.

σούτῳ ἀθρόον τῶν μὲν τοῦ διαβόλου παγίδων καταγελάσαντι, εἰς δὲ τὴν τοῦ Χριστοῦ ποίμνην ἐγγραφῆναι σπουδάσαντι πόσῳ μᾶλλον χαρὰ γίνεται τοῖς ἀγγέλοις καὶ τοῖς ἀρχαγγέλοις καὶ πᾶσι ταῖς ἄνω δυνάμεσι καὶ πᾶσι τοῖς ἐπὶ τῆς γῆς;

3. Φέρε τοιγαροῦν καθάπερ μελλούσῃ νύμφῃ εἰς τὰς παστάδας εἰσάγεσθαι τὰς ἱερὰς διαλεχθῶμεν καὶ ὑμῖν ὑποδεικνύντες τοῦ νυμφίου τὸν ὑπερβάλλοντα πλοῦτον καὶ τὴν ἄφατον φιλανθρωπίαν, ἣν περὶ αὐτὴν ἐπιδείκνυται, καὶ αὐτῇ δείξωμεν οἵων ἀπαλλαττομένη, τίνων ἀπολαύειν μέλλει. Καὶ εἰ δοκεῖ, πρῶτον τὰ κατ' αὐτὴν γυμνάσωμεν καὶ ἴδωμεν ἐν τίσιν αὐτὴν οὖσαν καὶ ὅπως αὐτὴν διακειμένην ὁ νυμφίος προσίεται· οὕτω γὰρ μάλιστα καὶ τοῦ κοινοῦ πάντων Δεσπότου δειχθήσεται τὸ ἄπειρον τῆς φιλανθρωπίας. Οὐδὲ γὰρ τῆς εὐμορφίας αὐτῆς οὐδὲ τοῦ κάλλους ἐρρασθεὶς οὐδὲ τῆς ὥρας τοῦ σώματος οὕτως αὐτὴν προσήκατο, ἀλλὰ δυσειδῆ μᾶλλον καὶ ἄμορφον καὶ αἰσχρὰν καὶ πανταχόθεν καὶ ῥυπαρὰν καὶ σχεδὸν εἰπεῖν ἐν αὐτῷ τῷ βορβόρῳ τῶν ἁμαρτημάτων κυλιομένην, οὕτως εἰς τὸν νυμφῶνα εἰσήγαγεν.

4. Ἀλλὰ μηδεὶς ταῦτα ἀκούων παρ' ἡμῶν, εἰς σωματικὴν παχύτητα καταπιπτέτω· περὶ γὰρ ψυχῆς ἡμῖν ὁ λόγος καὶ τῆς ταύτης σωτηρίας. Οὐδὲ γὰρ ἡ οὐρανομήκης ἐκείνη ψυχὴ ὁ μακάριος Παῦλος, ἡνίκα ἔλεγεν, «ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ», ἕτερόν τι ἡμῖν ᾐνίξατο ἢ ὅτι τὰς τῇ εὐσεβείᾳ προσελθούσας ψυχὰς ἐκείνας, καθάπερ τινὰ παρθένον ἁγνὴν ἥρμοσε τῷ Χριστῷ.

5. Ταῦτα τοίνυν ἀκριβῶς εἰδότες, μάθωμεν σαφῶς τὴν προτέραν αὐτῆς ἀμορφίαν ἵνα θαυμάσωμεν τοῦ δεσπότου τὴν φιλανθρωπίαν. Τί γὰρ ἂν εἴη ταύτης δυσειδέστερον, τῆς τὴν οἰκείαν προεδρίαν καταλιπούσης καὶ τῆς ἄνωθεν εὐγενείας ἐπιλαθομένης, τῆς περὶ λίθους καὶ ξύλα καὶ ἄλογα καὶ τὰ τούτων ἀτιμότερα τὴν θεραπείαν ἐπιδεικνυμένης καὶ ὑπὸ τῆς κνίσης καὶ τοῦ λύθρου τοῦ αἱμα-

---

4. Β' Κορ. 11,2.

τόσο μεγάλο πλῆθος ποὺ σὲ μιὰ στιγμὴ περιφρόνησε τὶς παγίδες τοῦ διαβόλου, καὶ φρόντισε νὰ γραφῆ στὴν ποίμνη τοῦ Χριστοῦ, πόσο μεγαλύτερη χαρὰ γίνεται στοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους καὶ σ' ὅλες τὶς οὐράνιες δυνάμεις καθὼς καὶ σ' ὅλα ὄντα τῆς γῆς;

3. Ἐμπρὸς λοιπὸν ἂς μιλήσομε σὰν πρὸς νύφη ποὺ πρόκειται νὰ μπεῖ στὸ νυφικὸ θάλαμο, γνωρίζοντας σὲ σᾶς τὸν ὑπερβλικὸ πλοῦτο καὶ τὴν ἀπερίγραπτη φιλανθρωπία ποὺ δείχνει γι' αὐτήν, ἐνῶ σ' αὐτὴν ἂς δείξομε ἀπὸ ποιά κακὰ ἀπαλλάσσεται καὶ ποιά ἀγαθὰ πρόκειται ν' ἀπολαύσει. Καὶ ἂν θέλετε, πρῶτα ἂς ἐξετάσομε τὰ σχετικὰ μ' αὐτὴν καὶ ἂς δοῦμε πῶς εἶναι καὶ σὲ ποιά κατάσταση βρίσκεται τὴ στιγμὴ ποὺ τὴ δέχεται ὁ νυμφίος· γιατὶ ἔτσι πρὸ πάντων θὰ δειχθεῖ καὶ τοῦ κοινοῦ Κυρίου ὅλων ἡ ἄπειρη φιλανθρωπία. Γιατὶ δὲν τὴν πῆρε ἐπειδὴ ἐρωτεύθηκε τὴν ὀμορφιά της οὔτε τὸ κάλλος της οὔτε τὴν ὡραιότητα τοῦ σώματός της, ἀλλά, ἂν καὶ ἦταν πάρα πολὺ ἄσχημη καὶ χωρὶς ὡραία μορφὴ καὶ αἰσχρὴ καὶ ἐντελῶς ρυπαρὴ καὶ σχεδόν, θὰ μποροῦσε νὰ πεῖ κανείς, κυλισμένη μέσα στὸν ἴδιο τὸ βοῦρκο τῶν ἁμαρτημάτων, παρ' ὅλα αὐτὰ τὴν ὁδήγησε μέσα στὸν νυμφώνα.

4. Ἀλλὰ κανένας ἀπὸ μᾶς, ἀκούοντας αὐτά, ἂς μὴ νομίζει ὅτι πρόκειται γιὰ σωματικὰ πράγματα· γιατὶ ὁ λόγος μας εἶναι γιὰ τὴν ψυχὴ καὶ τὴ σωτηρία αὐτῆς. Οὔτε βέβαια ἐκείνη ἡ οὐρανομήκης ψυχή, ὁ μακάριος Παῦλος, ὅταν ἔλεγε, «σᾶς ἀρραβώνιασα μὲ ἕναν ἄνδρα γιὰ νὰ σᾶς παρουσιάσω σὰν παρθένο ἁγνὴ στὸ Χριστό»[4], μᾶς ὑπαινίχθηκε κάτι ἄλλο, παρὰ ὅτι συνένωσε μὲ τὸ Χριστὸ σὰν κάποια παρθένο ἁγνὴ τὶς ψυχὲς ἐκεῖνες ποὺ προσῆλθαν στὴν εὐσέβεια.

5. Γνωρίζοντας λοιπὸν αὐτὰ ἀκριβῶς, ἂς μάθομε μὲ σαφήνεια τὴν προηγούμενη ἀσχήμια της, γιὰ νὰ θαυμάσομε τὴ φιλανθρωπία τοῦ Κυρίου. Γιατὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ἄσχημο ἀπὸ αὐτὴν ποὺ ἄφησε τὴν τιμητική της θέση καὶ ξέχασε τὴν οὐράνια εὐγένειά της, καὶ δείχνει τὴ φροντίδα της γιὰ τοὺς λίθους, τὰ ξύλα, τὰ ἄλογα πράγματα καὶ τὰ πιὸ ἀσήμαντα ἀπ' αὐτά, αὐξάνοντας τὴν ἀσχήμια της μὲ τὴν κνίσα, τὴ βρωμιὰ τοῦ αἵματος καὶ τοῦ καπνοῦ;

τος καὶ τοῦ καπνοῦ τὴν ἀμορφίαν ἐπιτεινούσης; Ἐντεῦθεν γὰρ λοιπὸν καὶ ὁ ποικίλος τῶν ἡδονῶν ἑσμός, οἱ κῶμοι, αἱ μέθαι, αἱ ἀσέλγειαι, πάντα τὰ αἰσχρὰ ἐπιτηδεύματα οἷς καὶ οἱ ὑπ' αὐτῶν θεραπευόμενοι δαίμονες χαίρουσιν.

6. Ἀλλὰ ταύτην τὴν οὕτω διακειμένην καὶ εἰς αὐτὴν τὴν ἄβυσσον ὡς εἰπεῖν τῆς κακίας κατενεχθεῖσαν ἰδὼν ὁ ἀγαθὸς δεσπότης γυμνὴν καὶ ἀσχημονοῦσαν, καὶ μήτε τὴν ἀμορφίαν λογισάμενος, μήτε τῆς πενίας τὴν ὑπερβολήν, μήτε τῶν κακῶν τὸ μέγεθος, δεικνὺς τὴν ὑπερβάλλουσαν ἑαυτοῦ φιλανθρωπίαν, προσεδέξατο. Καὶ διὰ τοῦ προφήτου τὴν τοιαύτην διάθεσιν δηλοῖ λέγων· «ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου».

7. Σκόπει πῶς ἐξ αὐτῶν τῶν προοιμίων τὴν οἰκείαν ἀγαθότητα ἐμφαίνει, θυγατέρα καλέσαι καταξιώσας τὴν οὕτως ἀποσκιρτήσασαν καὶ τοῖς ἀκαθάρτοις δαίμοσιν ἐκδεδωκυῖαν ἑαυτήν· καὶ οὐ τοῦτο μόνον ἀλλ' ὅτι οὐδὲ εὐθύνας ἀπαιτεῖ τῶν πεπλημμελημένων οὐδὲ δίκας εἰσπράττεται ἀλλὰ μόνον παραινεῖ καὶ προτρέπεται ὑποθεῖναι τὴν ἀκοὴν καὶ τὴν παραίνεσιν δέξασθαι καὶ τὴν νουθεσίαν καὶ παρεγγυᾷ λήθην ποιήσασθαι τῶν ἐργασμένων.

8. Εἶδες φιλανθρωπίαν ἄφατον; εἶδες κηδεμονίας ὑπερβολήν; Ταῦτα γὰρ ὁ μακάριος Δαβὶδ ὡς πρὸς πᾶσαν τὴν οἰκουμένην κακῶς διακειμένην τότε ἐφθέγγετο· καὶ ἡμᾶς δὲ νῦν εὔκαιρον πρὸς τοὺς ἐπιποθήσαντας τὸν τοῦ Χριστοῦ ζυγὸν καὶ εἰς τὴν πνευματικὴν ταύτην στρατολογίαν ἐπιδραμόντας ταῦτα βοᾶν καὶ λέγειν πρὸς ἕκαστον τῶν ἐνταῦθα παρόντων, μικρὸν ὑπαλλάξαντας τὸ προφητικὸν λόγιον· 'ἐπιλάθεσθε, οἱ νέοι τοῦ Χριστοῦ στρατιῶται, τῶν προτέρων ἁπάντων, λήθην ποιήσασθε τῶν πονηρῶν ἐπιτηδευμάτων· ἀκούσατε καὶ κλίνατε τὸ οὖς ὑμῶν καὶ δέξασθε τὴν ἀρίστην ταύτην νουθεσίαν. «Ἄκουσον», φησίν, «θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ Πατρός σου»'.

---

5. Ψαλμ. 44,11.

Γιατὶ ἀπὸ αὐτὰ προῆλθαν στὴ συνέχεια τὸ ποικίλο πλῆθος τῶν ἡδονῶν, οἱ διασκεδάσεις, οἱ μέθες, οἱ ἀκολασίες καὶ ὅλες οἱ αἰσχρὲς συνήθειες, γιὰ τὶς ὁποῖες χαίρονται οἱ δαίμονες ποὺ τιμῶνται ἀπ' αὐτούς.

6. Ἀλλ' ὁ ἀγαθὸς ὁ Κύριος βλέποντας αὐτήν, ποὺ βρισκόταν σὲ τέτοια κατάσταση καὶ εἶχε πέσει, ὅπως θὰ μποροῦσε νὰ πεῖ κανείς, μέσα στὴν ἴδια τὴν ἄβυσσο τῆς κακίας, νὰ εἶναι γυμνὴ καὶ νὰ διαπράττει ὅλες τὶς ἀσχήμιες, χωρὶς νὰ σκεφθεῖ οὔτε τὴν ἀσχήμια της, οὔτε τὴν ὑπερβολικὴ φτώχεια της, οὔτε τὸ μέγεθος τῶν κακῶν της, τὴν δέχθηκε μὲ χαρά, δείχνοντας τὴν ὑπερβολικὴ φιλανθρωπία του. Κι' αὐτὴν ἀκριβῶς τὴν διάθεση δηλώνει μὲ τὸν προφήτη λέγοντας· «ἄκουσε, θυγατέρα, καὶ πρόσεξε καὶ κλῖνε προσεκτικὰ τ' αὐτί σου, καὶ ξέχασε τὸ λαό σου καὶ τὸν οἶκο τοῦ πατέρα σου καὶ θὰ ἐπιθυμήσει ὁ βασιλιὰς τὸ κάλλος σου»[5].

7. Πρόσεχε πῶς ἀπὸ τὴν ἀρχὴ ἀκόμη δείχνει τὴν ἀγαθότητά του, ἀφοῦ καταδέχθηκε νὰ ὀνομάσει θυγατέρα του ἐκείνην ποὺ ἀποσκίρτησε κατ' αὐτὸν τὸν τρόπο καὶ παρέδωσε τὸν ἑαυτό της στοὺς ἀκάθαρτους δαίμονες· καὶ ὄχι αὐτὸ μόνο, ἀλλ' ὅτι δὲν ἀπαιτεῖ εὐθύνες γιὰ τὰ πλημμελήματά της οὔτε ἐπιβάλλει τιμωρίες, ἀλλὰ μόνο συμβουλεύει καὶ προτρέπει νὰ ἐντείνει τὴν ἀκουή της καὶ νὰ δεχθεῖ τὴν παραίνεση καὶ τὴ νουθεσία καὶ τῆς ὑπόσχεται νὰ ξεχάσει τὰ ὅσα ἔκαμε.

8. Εἶδες φιλανθρωπία ἀπερίγραπτη; εἶδες ὑπερβολικὴ φροντίδα; Γιατὶ αὐτὰ ὁ μακάριος Δαυὶδ τὰ ἔλεγε τότε ἀπευθυνόμενος πρὸς ὅλη τὴν οἰκουμένη ποὺ βρισκόταν σὲ κακὴ κατάσταση· κι ἐγὼ τώρα εἶναι εὐκαιρία νὰ φωνάξω μεγαλόφωνα καὶ νὰ πῶ πρὸς τὸν καθένα ποὺ βρίσκεται ἐδῶ ἀπὸ ἐκείνους ποὺ πόθησαν τὸ ζυγὸ τοῦ Χριστοῦ καὶ ἔτρεξαν στὴν πνευματικὴ αὐτὴ στρατολογία, ἀλλάσσοντας λίγο τὸν προφητικὸ λόγο· 'ξεχάστε, οἱ νέοι στρατιῶτες τοῦ Χριστοῦ, ὅλα τὰ προηγούμενα, λησμονῆστε τὶς πονηρὲς συνήθειές σας· ἀκοῦστε καὶ κλίνατε προσεκτικὰ τὸ αὐτί σας καὶ δεχθεῖτε τὴν ἄριστη αὐτὴ νουθεσία. «Ἄκουσε», λέγει, «θυγατέρα, καὶ δὲς καὶ κλῖνε προσεκτικὰ τὸ αὐτί σου καὶ ξέχασε τὸ λαό σου καὶ τὸν οἶκο τοῦ πατέρα σου»'.

9. Ὁρᾷς ὅτι τὰ αὐτὰ καὶ ὁ προφήτης τῇ οἰκουμένῃ πάσῃ ἐπαρήνεσεν, ἃ καὶ ἡμεῖς τήμερον παραινοῦμεν τῇ ὑμετέρᾳ ἀγάπῃ; Τῷ γὰρ λέγειν, «ἐπιλάθου τοῦ λαοῦ σου», τὴν εἰδωλολατρίαν καὶ τὴν πλάνην εἶπεν αἰνιττόμενος καὶ τὴν πρὸς τοὺς δαίμονας θεραπείαν· «καὶ τοῦ οἴκου», φησί, «τοῦ πατρός σου» τουτέστι τῆς προτέρας ἀναστροφῆς «ἐπιλάθου», τῆς εἰς ταύτην σε τὴν ἀσχημοσύνην ἀγαγούσης. Ἐκείνων ἁπάντων λήθην ποίησαι καὶ πᾶσαν ἐκείνην τὴν πρόληψιν ἔκβαλε τῆς διανοίας τῆς σῆς· ἐὰν γὰρ τοῦτο ποιήσῃς μόνον καὶ ἀποστῇς τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, τουτέστι τῆς παλαιᾶς ζύμης καὶ τῆς κακίας ἐν ᾗ κατεδαπανήθης καὶ κατηνάλωσάς σου τὴν τῆς ψυχῆς ὥραν μετὰ τῆς τοῦ σώματος, ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.

10. Ὁρᾷς, ἀγαπητέ, ὅτι περὶ ψυχῆς ἐστιν ὁ λόγος; Σώματος γὰρ ἀμορφία φυσικὴ οὐκ ἂν εἰς εὐμορφίαν μετασταίη ποτέ, ἐπειδὴ τὰ τῆς φύσεως ἀκίνητα καὶ ἀμετάθετα εἶναι προσέταξεν ὁ Δεσπότης. Ἐπὶ δὲ τῆς ψυχῆς τοῦτο εὔκολον καὶ σφόδρα ῥᾴδιον. Τίνος ἕνεκεν καὶ διὰ τί; Ἐπειδὴ προαιρέσεώς ἐστι τὸ πᾶν καὶ οὐ φύσεως· διὸ καὶ δυνατὸν καὶ τὴν ἄμορφον καὶ σφόδρα δυσειδῆ ἀθρόον βουληθεῖσαν μεταβαλέσθαι καὶ εἰς τὴν ἄκραν εὐμορφίαν ἐπανελθεῖν καὶ εὔμορφον πάλιν γενέσθαι καὶ εὐειδῆ, ὥσπερ πάλιν ῥᾳθυμήσασαν εἰς τὴν ἐσχάτην δυσείδειαν κατενεχθῆναι. «Ἐπιθυμήσει οὖν ὁ βασιλεὺς τοῦ κάλλους σου», ἐὰν ἐκείνων τῶν προτέρων ἐπιλάθῃ τοῦ λαοῦ σου, λέγει, καὶ τοῦ οἴκου τοῦ πατρός σου.

11. Εἶδες ἀγαθότητα Δεσπότου; Οὐ μάτην ἄρα οὐδὲ εἰκῇ ἀρχόμενος τοῦ λόγου γάμον ἐκάλεσα πνευματικὸν τὰ γινόμενα. Καὶ γὰρ ἐπὶ τοῦ γάμου τούτου τοῦ αἰσθητοῦ οὐκ ἄλλως δυνατὸν τὴν ἀπειρόγαμον ἀνδρὶ συναφθῆναι μὴ τῶν τεκόντων καὶ θρεψαμένων ἐπιλαθομένην καὶ μεταστήσασαν ὁλόκληρον αὐτῆς τὴν γνώμην πρὸς τὸν μέλλοντα αὐτῇ συζεύγνυσθαι νυμφίον. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος εἰς τοῦτον τὸν λόγον ἐμπεσὼν μυστήριον τὸ πρᾶγμα ἐκάλεσεν· εἰπὼν γάρ, «ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα

9. Βλέπεις ὅτι τὶς ἴδιες παραινέσεις ἀπηύθηνε πρὸς ὅλη τὴν οἰκουμένη ὁ προφήτης τὶς ὁποῖες καὶ ἐγὼ σήμερα ἀπευθύνω πρὸς τὴν ἀγάπη σας; Γιατὶ τὰ λόγια του, «ξέχασε τὸ λαό σου» τὰ εἶπε ὑπονοώντας τὴν εἰδωλολατρία καὶ τὴν πλάνη καὶ τὴν λατρεία πρὸς τοὺς δαίμονες· «καὶ ξέχασε», λέγει, «τὸν οἶκο τοῦ πατέρα σου» δηλαδὴ τὴν προηγούμενη διαγωγή σου, ποὺ σὲ ὁδήγησε σ' αὐτὴ τὴν ἀσχημοσύνη. Ξέχασε ὅλα ἐκεῖνα καὶ βγάλε ἀπὸ τὴ σκέψη σου ὅλη ἐκείνη τὴ δεισιδαιμονία· γιατὶ ἂν κάμεις αὐτὸ μόνο καὶ απομακρυνθεῖς ἀπὸ τὸ λαό σου καὶ τὸν οἶκο τοῦ πατέρα σου, δηλαδη τὴν παλιὰ ζύμη καὶ τὴν κακία μέσα στὴν ὁποία κατασπατάλησες καὶ κατανάλωσες τὴν ὡραιότητα τῆς ψυχῆς καὶ τοῦ σώματος σου, θὰ ἐπιθυμήσει ὁ βασιλιὰς τὴν ὀμορφιά σου.

10. Βλέπεις, ἀγαπητέ, ὅτι ὁ λόγος εἶναι γιὰ τὴν ψυχή; Γιατὶ ἡ φυσικὴ ἀσχήμια τοῦ σώματος δὲν θὰ μποροῦσε ποτὲ νὰ μετατραπεῖ σὲ ὀμορφιά, ἐπειδὴ ὁ Δεσπότης πρόσταξε νὰ εἶναι ἀμετακίνητα καὶ ἀμετάθετα τὰ τῆς φύσεως. Στὴν περίπτωση ὅμως τῆς ψυχῆς αὐτὸ εἶναι εὔκολο καὶ πάρα πολὺ εὐκολοκατόρθωτο. Γιὰ ποιό λόγο καὶ γιατί; Ἐπειδὴ τὸ πᾶν ἐξαρτᾶται ἀπὸ τὴν προαίρεση καὶ ὄχι ἀπὸ τὴ φύση· γι' αὐτὸ καὶ εἶναι δυνατὸ ἡ ἄμορφη καὶ ὑπερβολικὰ ἄσχημη, ἐὰν θελήσει, σὲ μιὰ στιγμὴ ν' ἀλλάξει καὶ νὰ ἐπιστρέψει στὴν πιὸ μεγαλύτερη ὀμορφιὰ καὶ νὰ γίνει πάλι ὄμορφη κι ὡραία, ὅπως πάλι, ἂν ἀδιαφορήσει, νὰ καταντήσει στὴν πιὸ χειρότερη ἀσχήμια. «Θὰ ἐπιθυμήσει λοιπὸν ὁ βασιλιὰς τὸ κάλλος σου», ἂν ξεχάσεις, λέγει, «ἐκεῖνες τὶς προηγούμενες συνήθειες τοῦ λαοῦ σου καὶ τὸν οἶκο τοῦ πατέρα σου.

11. Εἶδες ἀγαθότητα Κυρίου; Ἑπομένως ἀρχίζοντας τὸ λόγο δὲν ὀνόμασα ἄδικα καὶ στὴν τύχη πνευματικὸ γάμο τὰ ὅσα γίνονται ἐδῶ. Γιατὶ στὴν περίπτωση τοῦ κοσμικοῦ αὐτοῦ γάμου δὲν εἶναι δυνατὸ ἀλλιῶς ἡ νεαρὴ κόρη νὰ ἑνωθεῖ μὲ ἄνδρα ἂν δὲ λησμονήσει ἐκείνους ποὺ τὴ γέννησαν καὶ τὴν ἀνέθρεψαν καὶ δὲν συγκεντρώσει ὅλη τὴ σκέψη της στὸ νυμφίο ποὺ πρόκειται νὰ πανδρευθεῖ. Γι' αὐτὸ καὶ ὁ μακάριος Παῦλος μιλώντας γι' αὐτὸ τὸ πράγμα τὸ ὀνόμασε μυστήριο· γιατί, ἀφοῦ εἶπε, «γι' αὐτὸ τὸ λόγο ὁ ἄνδρας θὰ ἐγκαταλείψει τὸν πατέρα του καὶ τὴ μητέρα του καὶ θὰ προσ-

αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν» καὶ τὴν δύναμιν ἐννοήσας τοῦ γινομένου καὶ ἐκπλαγεὶς ἀνεβόησε λέγων· «τὸ μυστήριον τοῦτο μέγα ἐστί».

12. Καὶ γάρ ἐστι μέγα ὡς ἀληθῶς· ποῖος γὰρ λογισμὸς ἀνθρώπινος καταλαβεῖν δυνήσεται τοῦ γινομένου τὴν φύσιν, ὅταν γάρ τις ἐννοήσῃ ὅτι ἡ γαλακτοτροφηθεῖσα καὶ θαλαμευομένη κόρη καὶ τοσαύτης παρὰ τῶν τεκόντων ἐπιμελείας καὶ ἀνατροφῆς ἀξιωθεῖσα, ἐπειδὰν εἰς ὥραν ἔλθῃ γάμου, ἀθρόον ἐν μιᾷ καιροῦ ῥοπῇ καὶ τῶν ὠδίνων ἐπιλανθάνεται τῶν μητρικῶν καὶ τῆς ἄλλης ἁπάσης θεραπείας καὶ συνηθείας καὶ τοῦ δεσμοῦ τῆς ἀγάπης καὶ πάντων ἁπαξαπλῶς καὶ πᾶσαν αὐτῆς τὴν γνώμην μεθίστησι πρὸς ἐκεῖνον ὃν οὐδέποτε ἐθεάσατο πλὴν ἐκείνης τῆς ἑσπέρας καὶ τοσαύτη λοιπὸν γίνεται τῶν πραγμάτων ἡ μεταβολὴ ὡς ἐκεῖνον αὐτῇ πάντα εἶναι καὶ νομίζειν καὶ πατέρα καὶ μητέρα καὶ νυμφίον καὶ ὅσα ἂν εἴποι τις καὶ οὐδὲ μνήμη τις γίνεται τῶν ἐν τοσούτοις ἔτεσιν ἀναθρεψαμένων, τοσαύτη δὲ αὐτῶν γίνεται ἡ συνάφεια ὡς μηδὲ δύο εἶναι λοιπὸν ἀλλὰ ἕν;

13. Καὶ τοῦτο αὐτὸ προφητικοῖς ὀφθαλμοῖς προορῶν ὁ πρωτόπλαστος ἔλεγεν· «αὕτη κληθήσεται γυνὴ ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη· ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Τὸ αὐτὸ ἄν τις εἴποι καὶ περὶ τοῦ ἀνδρὸς ὅτι κἀκεῖνος τῶν γεννησαμένων ἐπιλαθόμενος καὶ τοῦ οἴκου τοῦ πατρικοῦ ἑνοῖ καὶ προσκολλᾷ ἑαυτὸν τῇ κατὰ τὴν ἑσπέραν ἐκείνην αὐτῷ συναπτομένῃ. Καὶ ἵνα δείξῃ ἡμῖν ἡ θεία Γραφὴ τῆς συνηθείας τὴν ἀκρίβειαν, οὐκ εἶπεν 'ὅτι ἑνωθήσεται τῇ γυναικί', ἀλλὰ «προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ». Καὶ οὐδὲ τούτῳ ἠρκέσθη ἀλλὰ προσέθηκε· «καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Διὰ τοῦτο καὶ ὁ Χριστὸς τὴν μαρτυρίαν ταύτην παράγων ἔλεγεν· «ὥστε οὐκέτι εἰσὶ δύο ἀλλὰ σὰρξ μία». Τοσαύτη, φησί, γίνεται ἡ ἕνωσις καὶ ἡ συνάφεια ὡς τοὺς δύο μίαν εἶναι σάρ-

---

6. Ἐφ. 5,31–32. 7. Γεν. 2,23–24. 8. Ματθ. 19,6.

κολληθεῖ στὴ γυναίκα του καὶ θὰ γίνουν οἱ δύο μία σάρκα»[6] καὶ ἔφερε στὴ σκέψη του τὴ δύναμη τοῦ πράγματος καὶ κυριεύθηκε ἀπὸ ἔκπληξη, βροντοφώναξε λέγοντας· «τὸ μυστήριο αὐτὸ εἶναι μεγάλο»[6].

12. Καὶ πραγματικὰ εἶναι μεγάλο· γιατί ποιός ἀνθρώπινος νοῦς θὰ μπορέσει νὰ καταλάβει τὴ φύση τοῦ πράγματος αὐτοῦ, ὅταν σκεφθεῖ κάποιος ὅτι ἡ κόρη ποὺ μεγάλωσε τρεφόμενη μὲ γάλα καὶ μέσα στὸ παρθενικὸ δωμάτιο καὶ ἀξιώθηκε νὰ λάβει ἀπὸ τοὺς γονεῖς της τέτοια φροντίδα καὶ ἀνατροφή, ὅταν ἔρθει ἡ ὥρα τοῦ γάμου, ἀμέσως καὶ μέσα σὲ μιὰ στιγμὴ ξεχνάει καὶ τοὺς μητρικοὺς πόνους καὶ ὅλη τὴν ἄλλη φροντίδα καὶ τὶς συνήθειες καὶ τὸ δεσμὸ τῆς ἀγάπης καὶ γενικὰ ὅλα, καὶ μεταθέτει ὅλη τὴ σκέψη της σ' ἐκεῖνον ποὺ δὲν τὸν εἶδε ποτὲ ἐκτὸς ἀπὸ ἐκείνη τὴν ἑσπέρα καὶ τόση εἶναι ἡ μεταβολὴ ποὺ γίνεται στὴ συνέχεια στὰ πράγματα, ὥστε νὰ νομίζει ὅτι ἐκεῖνος εἶναι γι' αὐτὴν τὰ πάντα καὶ πατέρας καὶ μητέρα καὶ νυμφίος καὶ ὅσα θὰ μποροῦσε κανεὶς νὰ πεῖ καὶ δὲν θυμᾶται καθόλου ἐκείνους ποὺ τὴν ἀνάθρεψαν τόσα χρόνια, καὶ τόσο στενὴ εἶναι ἡ συνένωση αὐτῶν, ὥστε νὰ μὴ εἶναι πλέον δύο αὐτοί, ἀλλὰ ἕνα.

13. Κι αὐτὸ ἀκριβῶς προβλέποντας μὲ προφητικὰ μάτια ὁ πρωτόπλαστος, ἔλεγε· «αὐτὴ θὰ ὀνομασθεῖ γυναίκα, γιατὶ αὐτὴ ἀποσπάσθηκε ἀπὸ τὸν ἄνδρα της· γι' αὐτὸ θὰ ἐγκαταλείψει ὁ ἄνδρας τὸν πατέρα του καὶ τὴ μητέρα του καὶ θὰ προσκολληθεῖ στὴ γυναίκα του καὶ θὰ γίνουν οἱ δύο μία σάρκα»[7]. Τὸ ἴδιο θὰ μποροῦσε νὰ πεῖ κανεὶς καὶ γιὰ τὸν ἄνδρα, ὅτι δηλαδὴ καὶ ἐκεῖνος, ξεχνώντας ἐκείνους ποὺ τὸν γέννησαν καὶ τὸ πατρικὸ σπίτι του, ἑνώνει καὶ προσκολλᾶ τὸν ἑαυτό του σ' ἐκείνη ποὺ τὴν ἑσπέρα ἐκείνη συνενώθηκε μ' αὐτόν. Καὶ γιὰ νὰ μᾶς δείξει ἡ ἁγία Γραφὴ τὴν ἀκρίβεια τῆς συνενώσεως, δὲν εἶπε 'ὅτι θὰ ἑνωθεῖ μὲ τὴ γυναίκα', ἀλλὰ «θὰ προσκολληθεῖ στὴ γυναίκα του». Καὶ δὲν ἀρκέσθηκε οὔτε σ' αὐτό, ἀλλὰ πρόσθεσε· «καὶ θὰ γίνουν οἱ δύο μία σάρκα». Γι' αὐτὸ καὶ ὁ Χριστός, ἀναφέροντας αὐτὴ τὴ μαρτυρία, ἔλεγε· «ὥστε δὲν εἶναι πιὰ δύο, ἀλλὰ μία σάρκα»[8]. Τέτοια, λέγει, εἶναι ἡ ἕνωση καὶ ἡ συνάφεια ποὺ γίνεται, ὥστε οἱ δύο νὰ εἶναι μία σάρκα. Πές μου,

κα. Εἰπέ μοι, ποῖος λογισμὸς τοῦτο εὑρεῖν δυνήσεται, ποία διάνοια ἐφικέσθαι τοῦ γινομένου; Οὐ καλῶς ἔλεγεν ὁ μακάριος οὗτος ὁ τῆς οἰκουμένης διδάσκαλος ὅτι μυστήριόν ἐστι; Καὶ οὐχ ἁπλῶς εἶπεν μυστήριον ἀλλά, «τὸ μυστήριον τοῦτο μέγα ἐστίν».

14. Εἰ τοίνυν ἐπὶ τῶν αἰσθητῶν πραγμάτων μυστήριον καὶ μέγα μυστήριόν ἐστι, τί ἄν τις εἴποι κατ᾽ ἀξίαν ἐπὶ τοῦ πνευματικοῦ τούτου γάμου; Ὅρα δὲ λοιπὸν ἀκριβῶς πῶς, ἐπειδὴ πάντα πνευματικά ἐστι τὰ ἐνταῦθα, ἀπεναντίας τοῖς αἰσθητοῖς ἐπιτελεῖται τὰ γινόμενα. Ἐπὶ μὲν γὰρ τοῦ γάμου τοῦ αἰσθητοῦ οὐκ ἄν τίς ποτε κατεδέξοιτο ἀγαγέσθαι πρότερόν τινα εἰς γυναῖκα μὴ τὴν εὐμορφίαν αὐτῆς περιεργασάμενος καὶ τοῦ σώματος τὴν ὥραν, καὶ οὐ τοῦτο μόνον ἀλλὰ καὶ πρὸ τούτων τῶν χρημάτων τὴν εὐπορίαν.

15. Ἐνταῦθα δὲ τοιοῦτον οὐδέν. Διὰ τί; Ἐπειδὴ πνευματικά ἐστι τὰ τελούμενα καὶ ὁ νυμφίος ὁ ἡμέτερος ἀπὸ φιλανθρωπίας ὁρμώμενος ἐπιτρέχει τῇ σωτηρίᾳ τῶν ἡμετέρων ψυχῶν. Κἂν γὰρ ἄμορφος ᾖ τις, κἂν αἰσχρὸς ὀφθῆναι, κἂν πένης πενίαν τὴν ἐσχάτην, κἂν ἀγένης, κἂν δοῦλος, κἂν ἀπερριμμένος, κἂν λώβην σώματος ἔχων, κἂν φορτία ἁμαρτημάτων ἐπιφερόμενος, οὐδὲν ἀκριβολογεῖται οὐδὲ περιεργάζεται οὐδὲ εὐθύνας ἀπαιτεῖ· δωρεὰ γάρ ἐστι καὶ φιλοτιμία καὶ χάρις δεσποτικὴ καὶ ἓν μόνον ἐπιζητεῖ παρ᾽ ἡμῶν, τὴν λήθην τῶν παρελθόντων καὶ τὴν μετὰ ταῦτα εὐγνωμοσύνην.

16. Εἶδες χάριτος ὑπερβολήν; εἶδες οἵῳ νυμφίῳ ἁρμόζονται οἱ τῇ κλήσει πειθόμενοι; Ἀλλ᾽ ἴδωμεν, εἰ δοκεῖ, καὶ τὰ ἑξῆς τούτου τοῦ γάμου τοῦ πνευματικοῦ. Καθάπερ γὰρ ἐπὶ τῶν αἰσθητῶν γάμων προικῷα συντελεῖται γραμματεῖα καὶ ἕδνα δίδοται καὶ τὰ μὲν ὁ ἀνὴρ προσάγει, τὰ δὲ ἡ μέλλουσα συνάπτεσθαι, εἰκότως καὶ ἐνταῦθα τοιοῦτόν τι γίνεσθαι ἐχρῆν. Δεῖ γὰρ ἀπὸ τῶν σωματικῶν ἐπὶ τὰ θειότερα καὶ πνευματικὰ μετάγειν τὴν διάνοιαν. Τίνα οὖν ἐστιν

ποιά σκέψη θὰ μπορέσει αὐτὸ νὰ τὸ ἐξηγήσει, ποιός νοῦς νὰ κατανοήσει αὐτὸ ποὺ γίνεται; Δὲν ἔλεγε σωστὰ ὁ μακάριος αὐτός, ὁ δάσκαλος τῆς οἰκουμένης, ὅτι εἶναι μυστήριο; Καὶ δὲν εἶπε ἁπλῶς ὅτι εἶναι μυστήριο, ἀλλὰ «τὸ μυστήριο αὐτὸ εἶναι μεγάλο».

14. Ἐὰν λοιπὸν στὴν περίπτωση τῶν κοσμικῶν πραγμάτων τὸ πράγμα εἶναι μυστήριο καὶ μάλιστα μεγάλο μυστήριο, τί θὰ μποροῦσε νὰ πεῖ κάποιος ἀντάξιο αὐτοῦ τοῦ πνευματικοῦ γάμου; Πρόσεχε λοιπὸν μὲ ὅλη τὴ δύναμή σου, πῶς, ἐπειδὴ ὅλα τὰ γινόμενα ἐδῶ εἶναι πνευματικά, ἐπιτελοῦνται ὅλα τὰ γινόμενα ἐδῶ ἀντίθετα μὲ τὰ κοσμικά. Γιατὶ στὴν περίπτωση τοῦ κοσμικοῦ γάμου δὲ θὰ ἦταν δυνατὸ ποτὲ νὰ δεχθεῖ κανεὶς νὰ λάβει κάποια γυναίκα ἂν δὲν δεῖ προηγουμένως τὴν ὀμορφιά της καὶ τὴν ὡραιότητα τοῦ σώματός της, καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ πρὶν ἀπὸ ὅλα αὐτά, ἐὰν δὲν ἐξετάσει τὴ χρηματική της κατάσταση.

15. Ἐδῶ ὅμως δὲν συμβαίνει τίποτε παρόμοιο. Γιατί; Ἐπειδὴ εἶναι πνευματικὰ τὰ ὅσα γίνονται ἐδῶ καὶ ὁ νυμφίος μας, κινούμενος ἀπὸ φιλανθρωπία, τρέχει μὲ προθυμία γιὰ τὴ σωτηρία τῶν ψυχῶν μας. Κι ἂν ἀκόμη κανεὶς εἶναι ἄσχημος, κι ἂν ἀκόμη δὲν ἔχει ὡραία ὄψη, κι ἂν ἀκόμη εἶναι φτωχὸς καὶ ἀντιμετωπίζει τὴ χειρότερη φτώχεια, κι ἂν δὲν ἔχει εὐγενικὴ καταγωγή, κι ἂν εἶναι δοῦλος, κι ἂν εἶναι περιφρονημένος, κι ἂν εἶναι ἀνάπηρος σωματικά, κι ἂν φέρει φορτία ἁμαρτημάτων, τίποτε δεν ἐξετάζει μὲ ἀκρίβεια οὔτε περιεργάζεται καὶ ἀπαιτεῖ εὐθύνες· γιατὶ εἶναι δωρεὰ καὶ γενναιοδωρία καὶ δεσποτικὴ χάρη καὶ ἕνα μόνο ζητάει ἀπὸ μᾶς, τὴ λησμοσύνη τῶν περασμένων καὶ τὴν ἔκφραση εὐγνωμοσύνης στὴ συνέχεια.

16. Εἶδες ὑπερβολικὴ χάρη; εἶδες μὲ ποιό νυμφίο συνενώνονται ἐκεῖνοι ποὺ δέχονται μὲ προθυμία τὴν κλήση; Ἀλλὰ ἂς δοῦμε, ἂν θέλετε, καὶ τὴ συνέχεια αὐτοῦ τοῦ πνευματικοῦ γάμου. Γιατί, ὅπως ἀκριβῶς στὴν περίπτωση τῶν κοσμικῶν γάμων συμπληρώνονται γραμμάτια προικῶν καὶ δίνονται δῶρα, καὶ ἄλλα τὰ προσφέρει ὁ ἄνδρας, ἄλλα πάλι ἡ μελλοντικὴ σύζυγος, φυσικὸ εἶναι νὰ γίνεται κάτι παρόμοιο καὶ ἐδῶ. Γιατὶ πρέπει νὰ μεταφέρομε τὸ νοῦ ἀπὸ τὰ σωματικὰ στὰ θειότερα καὶ πνευματικά. Ποιά λοιπὸν εἶναι ἐδῶ τὰ

ἐνταῦθα τὰ προικῷα γραμματεῖα; Τί δὲ ἕτερον ἀλλ' ἢ ὑπακοὴ καὶ αἱ συνθῆκαι αἱ μέλλουσαι πρὸς τὸν νυμφίον συντελεῖσθαι. Καὶ τίνα τὰ ἕδνα ἅπερ ὁ νυμφίος πρὸ τῶν γάμων προσάγει; Ἄκουε τοῦ μακαρίου Παύλου τοῦτο δεικνύντος ἡμῖν καὶ λέγοντος οὕτως· «οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, ἵνα παραστήσῃ ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων».

17. Εἶδες ἕδνων μέγεθος; εἶδες ἀγάπης ὑπερβολὴν ἄφατον; «Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς». Τοῦτο οὐκ ἂν τίς ποτε ποιῆσαι κατεδέξατο, τὸ αἷμα ἐκχεῖν ὑπὲρ τῆς μελλούσης αὐτῷ συνάπτεσθαι. Ἀλλ' ὁ φιλάνθρωπος Δεσπότης, τὴν οἰκείαν μιμούμενος ἀγαθότητα, τοῦτο τὸ μέγα καὶ παράδοξον διὰ τὴν περὶ αὐτὴν κηδεμονίαν κατεδέξατο, ἵνα διὰ τοῦ αἵματος τοῦ ἰδίου ταύτην ἁγιάσῃ, ἵνα, καθαρίσας τῷ λουτρῷ τοῦ βαπτίσματος, παραστήσῃ ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν. Διὰ τοῦτο τὸ αἷμα ἐξέχεε καὶ σταυρὸν ὑπέμεινεν, ἵνα καὶ ἡμῖν διὰ τούτου τὸν ἁγιασμὸν χαρίσηται καὶ καθαρίσῃ ἡμᾶς διὰ τῆς τοῦ λουτροῦ ἀναγεννήσεως καὶ τοὺς πρότερον ἠτιμωμένους καὶ μηδεμίαν παρρησίαν δυναμένους ἔχειν παραστήσῃ ἑαυτῷ ἐνδόξους μὴ ἔχοντας σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων.

18. Ὁρᾷς πῶς διὰ τοῦ εἰπεῖν, «καθαρίσει καὶ παραστήσῃ ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα», ἐδίδαξεν ἡμᾶς τὴν ἀκαθαρσίαν ἐν ᾗ πρότερον ἐτύγχανεν οὖσα; Ταῦτα δὴ πάντα ἐννοοῦντες, οἱ νέοι τοῦ Χριστοῦ στρατιῶται, μὴ πρὸς τὸ μέγεθος τῶν οἰκείων ἐφορᾶτε κακῶν μηδὲ τὴν ὑπερβολὴν τῶν ἡμαρτημένων ὑμῖν λογίσησθε· μᾶλλον δέ, ταῦτα μετ' ἀκριβείας ἀναλογισάμενοι, μηδὲ οὕτως ἐνδοιάσητε, ἀλλ', εἰδότες τοῦ Δεσπότου τὸ φιλότιμον, τῆς χάριτος τὴν ὑπερβολήν, τῆς δωρεᾶς τὸ μέγεθος, ὅσοι κατηξιώθητε ἐνταῦθα πολιτογραφηθῆναι, μετὰ πολλῆς τῆς εὐγνω-

9. Ἐφ. 5,25-27.

γραμμάτια τῶν προικῶν; Ποιά ἄλλα παρὰ ἡ ὑπακοὴ καὶ οἱ μελλοντικὲς ὑποχρεώσεις πρὸς τὸ σύζυγο; Καὶ ποιά εἶναι τὰ δῶρα ποὺ προσφέρει ὁ νυμφίος πρὶν ἀπὸ τὸ γάμο; Ἄκουε τὸν μακάριο Παῦλο ποὺ μᾶς τὸ ὑποδεικνύει αὐτὸ καὶ μᾶς λέγει τὰ ἑξῆς· «οἱ ἄνδρες νὰ ἀγαπᾶτε τὶς γυναῖκες σας ὅπως καὶ ὁ Χριστὸς ἀγάπησε τὴν Ἐκκλησία καὶ παρέδωσε τὸν ἑαυτό του ὑπὲρ αὐτῆς, γιὰ νὰ ἁγιάσει αὐτήν, καθαρίζοντάς την μὲ τὸ λουτρὸ τοῦ ὕδατος, μὲ τὸ λόγο του, γιὰ νὰ παρουσιάσει στὸν ἑαυτό του ἔνδοξη τὴν Ἐκκλησία, χωρὶς νὰ ἔχει κηλίδα ἢ ρυτίδα ἢ κάτι παρόμοιο μ' αὐτά»[9].

17. Εἶδες μέγεθος δώρων; εἶδες ὑπερβολικὰ ἀπερίγραπτη ἀγάπη; «Ὅπως καὶ ὁ Χριστὸς ἀγάπησε τὴν Ἐκκλησία καὶ παρέδωσε τὸν ἑαυτό του ὑπὲρ αὐτῆς». Αὐτὸ ποτὲ δὲ θὰ καταδεχόταν νὰ τὸ κάμει κανείς, νὰ χύσει δηλαδὴ τὸ αἷμα του γιὰ ἐκείνην ποὺ ἐπρόκειτο νὰ νυμφευθεῖ. Ἀλλ' ὁ φιλάνθρωπος Κύριος, μιμούμενος τὴν ἀγαθότητά του, δέχθηκε νὰ τὸ κάμει αὐτὸ τὸ μεγάλο καὶ παράδοξο ἐξ αἰτίας τῆς φροντίδος του πρὸς αὐτήν, ὥστε μὲ τὸ ἴδιο τὸ αἷμα του ν' ἁγιάσει αὐτήν, καί, ἀφοῦ τὴν καθαρίσει μὲ τὸ λουτρὸ τοῦ βαπτίσματος, νὰ παρουσιάσει ἔνδοξη τὴν Ἐκκλησία στὸν ἑαυτό του. Γι' αὐτὸ ἔχυσε τὸ αἷμα του καὶ ὑπέμεινε σταυρικὸ θάνατο, ὥστε νὰ χαρίσει καὶ σ' ἐμᾶς τὸν ἁγιασμὸ μὲ αὐτὸν καὶ νὰ μᾶς καθαρίσει μὲ τὸ λουτρὸ τῆς ἀναγεννήσεως, καὶ ἐμᾶς ποὺ προηγουμένως ἤμασταν ἀτιμασμένοι καὶ δὲν μπορούσαμε νὰ ἔχομε καμμιὰ παρρησία νὰ μᾶς παρουσιάσει ἐνδόξους στὸν ἑαυτό του, χωρὶς νὰ ἔχομε κηλίδα ἢ ρυτίδα ἢ κάτι παρόμοιο μ' αὐτά.

18. Βλέπεις πῶς μὲ τὸ νὰ πεῖ, «νὰ καθαρίσει καὶ νὰ παρουσιάσει ἔνδοξη τὴν Ἐκκλησία στὸν ἑαυτό του χωρὶς νὰ ἔχει κηλίδα ἢ ρυτίδα», μᾶς δίδαξε τὴν ἀκαθαρσία στὴν ὁποία προηγουμένως βρισκόταν αὐτή; Σκεπτόμενοι λοιπὸν ὅλα αὐτά, οἱ νέοι στρατιῶτες τοῦ Χριστοῦ, νὰ μὴ προσέχετε τὸ μέγεθος τῶν κακῶν ποὺ διαπράξατε, οὔτε νὰ σκέπτεσθε τὸ ὑπερβολικὸ μέγεθος τῶν ἁμαρτημάτων σας· ἢ καλύτερα, σκεπτόμενοι μὲ ἀκρίβεια αὐτά, οὔτε ἔτσι νὰ δειλιάσετε, ἀλλά, γνωρίζοντας τὴ γενναιοδωρία τοῦ Κυρίου, τὴν ὑπερβολικὴ χάρη του, τὸ μέγεθος τῆς δωρεᾶς, ὅσοι ἀξιωθήκατε νὰ πολιτογραφηθεῖτε ἐδῶ, νὰ προσέλθετε μὲ μεγάλη εὐγνωμοσύνη

μοσύνης προσέλθετε καί, πάντων τῶν ἤδη προπεπραγμένων ὑμῖν ἀποστάντες, ὁλοκλήρῳ τῇ διανοίᾳ τὴν μετάστασιν ἐπιδείξασθε.

19. Καὶ ἐπειδὴ ἔγνωτε καλῶς οἵους ὑμᾶς ὄντας καὶ ὅπως διακειμένους ὁ Δεσπότης προσίεται, οὐ δίκας ἀπαιτῶν τῶν πλημμεληθέντων οὐδὲ τῶν ἡμαρτημένων τὴν ἐξέτασιν ποιούμενος, καὶ αὐτοὶ καὶ παρ' ἑαυτῶν εἰσενέγκατε οὐ τῇ γλώττῃ μόνον ἀλλὰ καὶ τῇ διανοίᾳ τὰς πρὸς αὐτὸν ὁμολογίας βεβαιοῦντες. «Καρδίᾳ» γάρ, φησί, «πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν». Δεῖ γὰρ καὶ τὴν διάνοιαν ἐστηρίχθαι βεβαίως ἐν τῇ εὐσεβεῖ πίστει καὶ τὴν γλῶτταν διὰ τῆς ὁμολογίας κηρύττειν τὸ πεπηγὸς τῆς διανοίας.

20. Ἐπεὶ οὖν ὁ θεμέλιος τῆς εὐσεβείας ἡ πίστις ἐστί, φέρε μικρὰ περὶ ταύτης ὑμῖν διαλεχθῶμεν ἵνα, τὸν θεμέλιον ἀρραγῆ καταβαλόμενοι, οὕτω λοιπὸν μετὰ ἀσφαλείας τὴν πᾶσαν οἰκοδομὴν ποιησώμεθα. Προσήκει τοίνυν τοὺς εἰς τὸ ἴδιον τοῦτο τὸ πνευματικὸν ἀπογραψαμένους πιστεύειν εἰς τὸν τῶν ὅλων Θεὸν τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸν πάντων αἴτιον, τὸν ἄφραστον, τὸν ἀπερινόητον, τὸν οὔτε λόγῳ οὔτε διανοίᾳ ἑρμηνευθῆναι δυνάμενον, τὸν φιλανθρωπίᾳ καὶ ἀγαθότητι τὰ πάντα συστησάμενον.

21. Καὶ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν κατὰ πάντα ὅμοιον καὶ ἴσον τῷ Πατρὶ καὶ ἀπαράλλακτον ἔχοντα τὴν πρὸς αὐτὸν ὁμοιότητα, τὸν ὁμοούσιον καὶ ἐν ἰδίᾳ ὑποστάσει γνωριζόμενον, τὸν ἀρρήτως ἐξ αὐτοῦ προελθόντα, τὸν χρόνων ἀνώτερον καὶ τῶν αἰώνων ἁπάντων δημιουργόν, ἐν ὑστέροις δὲ καιροῖς διὰ τὴν ἡμετέραν σωτηρίαν μορφὴν δούλου ἀναλαβόντα καὶ ἄνθρωπον γενόμενον καὶ συναναστραφέντα τῇ ἀνθρωπίνῃ φύσει, καὶ σταυρωθέντα καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα.

22. Δεῖ γὰρ ὑμᾶς ταῦτα ἀκριβῶς ἔχειν ἐμπεπηγότα ὑμῶν τῇ διανοίᾳ, ἵνα μὴ εὐχείρωτοι γένησθε ταῖς ἀπάταις ταῖς διαβολικαῖς, ἀλλ' ἄν τε Ἀρείου παῖδες ὑποσκελίζειν βούλωνται, εἰδείητε ἀκριβῶς ὅτι ἀποφράττειν δεῖ τὰς ἀκοὰς πρὸς τὰ παρ' αὐτῶν λεγόμενα,

---

10. Ρωμ. 10,10.

καί, ἀφοῦ ἀπαρνηθεῖτε ὅλα ἐκεῖνα ποὺ ἤδη ἔχετε διαπράξει, μὲ ὅλη τὴν ψυχική σας δύναμη νὰ δείξετε τὴν ἀλλαγή σας.

19. Καὶ ἀφοῦ γνωρίσατε καλὰ ποιοί εἴσασθε καὶ σὲ ποιά κατάσταση βρισκομένους σᾶς πλησιάζει ὁ Κύριος, μὴν ἀπαιτώντας τιμωρία τῶν πλημμελημάτων ποὺ διαπράξατε οὔτε ἐξετάζοντας τὰ ἁμαρτήματα ποὺ κάματε, καὶ οἱ ἴδιοι προσφέρατε τὰ ὅσα ἐξαρτῶνται ἀπὸ σᾶς, ὄχι μόνο μὲ τὴ γλώσσα, ἀλλὰ ἐπιβεβαιώνοντας καὶ μὲ ὅλη τὴν ψυχική σας δύναμη τὶς ὁμολογίες σας πρὸς αὐτόν. Γιατὶ λέγει, «μὲ τὴν καρδιὰ πιστεύει ὁ ἄνθρωπος ὅτι χαρίζει τὴ δικαίωση καὶ μὲ τὸ στόμα ὁμολογεῖ ὅτι ὁδηγεῖ στὴ σωτηρία»[10]. Πρέπει δηλαδὴ καὶ ἡ σκέψη νὰ εἶναι σταθερὰ στηριγμένη στὴν εὐσεβῆ πίστη καὶ ἡ γλῶσσα μὲ τὴν ὁμολογία νὰ διακηρύσσει τὴ σταθερότητα τῆς σκέψεως.

20. Ἐπειδὴ λοιπὸν τὸ θεμέλιο τῆς εὐσέβειας εἶναι ἡ πίστη, ἐμπρὸς ἂς σᾶς πῶ λίγα γι' αὐτήν, ὥστε, τοποθετώντας στερεὸ τὸ θεμέλιο, ἔτσι στὴ συνέχεια νὰ χτίσομε ὅλη τὴν οἰκοδομὴ μὲ ἀσφάλεια. Πρέπει λοιπὸν ἐκεῖνοι ποὺ ἔχουν γραφεῖ σ' αὐτὸν τὸν πνευματικὸ ὅμιλο νὰ πιστεύουν στὸ Θεὸ τῶν ὅλων, τὸν Πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, τὸν αἴτιο ὅλων, τὸν ἀπερίγραπτο, ποὺ δὲν εἶναι δυνατὸ οὔτε μὲ λόγια οὔτε μὲ τὴ σκέψη νὰ ἑρμηνευθεῖ, καὶ ποὺ δημιούργησε ὅλα ἀπὸ φιλανθρωπία καὶ ἀγαθότητα.

21. Νὰ πιστεύει ἐπίσης καὶ στὸν Κύριό μας τὸν Ἰησοῦ Χριστὸ τὸν Υἱὸ αὐτοῦ τὸν μονογενῆ, ποὺ εἶναι ὡς πρὸς ὅλα ὅμοιος καὶ ἴσος μὲ τὸν Πατέρα καὶ ἔχει ἀπαράλλακτη τὴν ὁμοιότητα πρὸς αὐτόν, ποὺ εἶναι ὁμοούσιος καὶ ἔχει τὴ δική του ὑπόσταση, ποὺ προῆλθε ἀπ' αὐτὸν κατὰ τρόπο ἀνέκφραστο, ποὺ εἶναι πάνω ἀπὸ τοὺς χρόνους καὶ δημιουργὸς ὅλων τῶν αἰώνων, ἀλλὰ κατὰ τοὺς τελευταίους καιροὺς γιὰ τὴ δική μας σωτηρία ἔλαβε μορφὴ δούλου καὶ ἔγινε ἄνθρωπος, συναναστράφηκε τὴν ἀνθρώπινη φύση καὶ σταυρώθηκε καὶ τὴν τρίτη ἡμέρα ἀναστήθηκε.

22. Πρέπει λοιπὸν αὐτὰ νὰ τὰ ἔχετε μὲ ἀκρίβεια χαραγμένα στὸ νοῦ σας, γιὰ νὰ μὴ ὑποκύπτετε εὔκολα στὶς διαβολικὲς ἀπάτες, ἀλλ' ἂν οἱ ὀπαδοὶ τοῦ Ἀρείου θέλουν νὰ σᾶς ἀπομακρύνουν μὲ ἀπάτη ἀπὸ τὴν πίστη σας, νὰ γνωρίζετε καλὰ ὅτι πρέπει νὰ κλείνε-

μετὰ παρρησίας πρὸς αὐτοὺς ἀποκρινομένους καὶ δεικνύντας ὅμοιον κατὰ τὴν οὐσίαν ὄντα τῷ Πατρὶ τὸν Υἱόν. Αὐτὸς γάρ ἐστιν ὁ εἰρηκώς, «ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ», καὶ διὰ πάντων δείκνυσιν ὅτι τὴν ἴσην ἔχει τῷ Πατρὶ δύναμιν. Ἄν τε Σαβέλλιος ἑτέρωθεν διαφθείρειν βούληται τὰ ὑγιῆ δόγματα συναλείφων τὰς ὑποστάσεις, κἀκείνῳ τὰς ἀκοὰς ἀποτείχισον, ἀγαπητέ, διδάσκων ὡς ἡ μὲν οὐσία Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος μία, τρεῖς δὲ αἱ ὑποστάσεις· οὔτε γὰρ ὁ Πατὴρ Υἱὸς ἂν δύναιτο λέγεσθαι, οὔτε ὁ Υἱὸς Πατήρ, οὔτε τὸ Πνεῦμα τὸ ἅγιον ἕτερόν τι παρὰ τοῦτο, ἀλλ' ἕκαστος, ἐν τῇ ἰδίᾳ μένων ὑποστάσει, τὴν ἴσην δύναμιν κέκτηται.

23. Δεῖ γὰρ καὶ τοῦτο πεπηγέναι ἐν τῇ διανοίᾳ τῇ ὑμετέρᾳ, ὅτι καὶ τὸ Πνεῦμα τὸ ἅγιον τῆς αὐτῆς ἀξίας ἐστί, καθὼς καὶ ὁ Χριστὸς τοῖς μαθηταῖς ἔλεγε· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος».

24. Εἶδες ὁμολογίαν ἀπηρτισμένην; εἶδες διδασκαλίαν μηδεμίαν ἀμφιβολίαν ἔχουσαν; Μή σέ τις λοιπὸν ταραττέτω, τὰς ἐκ τῶν οἰκείων λογισμῶν ζητήσεις ἐπεισφέρων τοῖς τῆς Ἐκκλησίας δόγμασι καὶ τὰ ὀρθὰ καὶ ὑγιῆ δόγματα ἐπιθολοῦν βουλόμενος. Ἀλλὰ φεῦγε τῶν τοιούτων τὰς συνουσίας ὡς τῶν φαρμάκων τὰ δηλητήρια. Καὶ γὰρ ἐκείνων οὗτοι χαλεπώτεροι· ἐκεῖνα μὲν γὰρ μέχρι τοῦ σώματος ἵστησι τὴν βλάβην, οὗτοι δὲ αὐτῇ τῇ σωτηρίᾳ τῆς ψυχῆς λυμαίνονται. Διὸ προσήκει ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων φεύγειν αὐτῶν τὰς τοιαύτας διαλέξεις καὶ μάλιστα μέχρις ἂν συνηθῆτε τοῦ χρόνου προϊόντος, καλῶς φραξάμενοι καθάπερ ὅπλοις τισὶ πνευματικοῖς ταῖς παρὰ τῆς θείας Γραφῆς μαρτυρίαις, ἐπιστομίζειν αὐτῶν τὴν ἀναίσχυντον γλῶτταν.

25. Καὶ περὶ μὲν τὰ δόγματα τῆς Ἐκκλησίας τοσαύτην ὑμᾶς βουλόμεθα τὴν ἀκρίβειαν ἐπιδείκνυσθαι καὶ ταῦτα ἐμπεπηγότα ἔχειν τῇ διανοίᾳ τῇ ὑμετέρᾳ. Ἐπειδὴ δὲ προσήκει τοὺς τοιαύτην ἐπιδεικνυμένους πίστιν καὶ διὰ τῆς τῶν ἔργων πολιτείας διαλάμ-

11. Ἰω. 5,21.

12. Ματθ. 28,19.

τε τ' αὐτιά σας στὰ λεγόμενα ἀπ' αὐτούς, ν' ἀπαντᾶτε μὲ παρρησία πρὸς αὐτούς, καὶ νὰ διακηρύσσετε ὅτι ὁ Υἱὸς εἶναι ὅμοιος ὡς πρὸς τὴν οὐσία μὲ τὸν Πατέρα. Γιατὶ αὐτὸς εἶναι ποὺ εἶπε, «ὅπως ἀκριβῶς ὁ Πατέρας ἀνασταίνει τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ, ἔτσι καὶ ὁ Υἱὸς ὅποιους θέλει τοὺς ζωοποιεῖ»[11], καὶ μὲ ὅλα δείχνει ὅτι ἔχει ἴση δύναμη μὲ τὸν Πατέρα. Ἂν πάλι ὁ Σαβέλλιος θέλει μὲ ἄλλο τρόπο νὰ διαφθείρει τὰ ὑγιῆ δόγματα περιορίζοντας τὶς ὑποστάσεις, φρᾶξε καὶ σ' ἐκεῖνον τ' αὐτιά σου, ἀγαπητέ, διδάσκοντας ὅτι μία εἶναι ἡ οὐσία τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἀλλὰ τρεῖς οἱ ὑποστάσεις· γιατὶ οὔτε ὁ Πατέρας θὰ μποροῦσε νὰ ὀνομασθεῖ Υἱός, οὔτε ὁ Υἱὸς Πατέρας, οὔτε τὸ Πνεῦμα τὸ ἅγιο κάτι ἄλλο παρὰ αὐτό, ἀλλ' ὁ καθένας, παραμένοντας στὴν ὑπόστασή του, ἔχει τὴν ἴση δύναμη.

23. Πρέπει ἐπίσης καὶ αὐτὸ νὰ τὸ ἔχετε ριζωμένο σταθερὰ στὸ νοῦ σας, ὅτι δηλαδὴ καὶ τὸ ἅγιο Πνεῦμα εἶναι τῆς ἴδιας ἀξίας, ὅπως καὶ ὁ Χριστὸς ἔλεγε στοὺς μαθητές του· «πηγαίνετε καὶ κάμετε μαθητές μου ὅλα τὰ ἔθνη, βαπτίζοντας αὐτοὺς στὸ ὄνομα τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος»[12].

24. Εἶδες ὁμολογία πλήρη καὶ ἀκριβῆ; εἶδες διδασκαλία χωρὶς νὰ ἔχει καμμιὰ ἀμφιβολία; Ἂς μὴ σὲ ταράσσει πλέον κανείς, προσθέτοντας στὰ δόγματα τῆς Ἐκκλησίας τὶς ἔρευνες τῶν λογισμῶν του καὶ θέλοντας νὰ θολώσει τὰ ὀρθὰ καὶ ὑγιῆ δόγματα. Ἀλλὰ φεῦγε τὶς συναναστροφὲς αὐτῶν ὅπως τὰ δηλητήρια τῶν φαρμάκων. Καθόσον αὐτοὶ εἶναι πιὸ φοβεροὶ ἀπὸ ἐκεῖνα· γιατὶ ἐκεῖνα περιορίζουν τὴ βλάβη μόνο στὸ σῶμα, ἐνῶ αὐτοὶ καταστρέφουν τὴν ἴδια τὴ σωτηρία τῆς ψυχῆς. Γι' αὐτὸ πρέπει ἀπὸ τὴν ἀρχὴ καὶ ἀπὸ τὴν πρώτη στιγμὴ ν' ἀποφεύγετε τὶς ὁμιλίες αὐτῶν καὶ μάλιστα μέχρι ποὺ νὰ μπορέσετε, μὲ τὸ πέρασμα τοῦ χρόνου, ὁπλισμένοι καλά, σὰν μὲ κάποια ὅπλα πνευματικά, μὲ τὶς μαρτυρίες τῆς ἁγίας Γραφῆς, νὰ ἀποστομώνετε τὴν ἀδιάντροπη γλώσσα αὐτῶν.

25. Καὶ ὅσο γιὰ τὰ δόγματα τῆς Ἐκκλησίας θέλω τόση προσοχὴ νὰ δείχνετε καὶ νὰ τὰ ἔχετε σταθερὰ ριζωμένα στὴ σκέψη σας. Ἐπειδὴ ὅμως πρέπει ἐκεῖνοι ποὺ ἔχουν τέτοια πίστη νὰ λάμπουν καὶ μὲ τὰ ἔργα τῆς ζωῆς τους, εἶναι ἀνάγκη νὰ διδάξω καὶ γι' αὐτὸ

πειν, ἀναγκαῖον καὶ περὶ τούτου διδάξαι τοὺς μέλλοντας τῆς βασιλικῆς ἀξιοῦσθαι δωρεᾶς, ἵνα εἰδέναι ἔχητε ὡς οὐδέν ἐστιν οὕτως ἁμάρτημα ὃ νικῆσαι δύναται τὴν φιλοτιμίαν τοῦ Δεσπότου. Ἀλλὰ κἄν τε πόρνος ᾖ τις, κἄν τε μοιχός, κἄν τε μαλακός, κἄν τε ἀρσενοκοίτης, κἄν τε ἡταιρηκώς, κἄν τε ἅρπαξ, κἄν τε πλεονέκτης, κἄν τε μέθυσος, κἄν τε εἰδωλολάτρης, τοσαύτη τῆς δωρεᾶς ἡ δύναμις καὶ τοῦ δεσπότου ἡ φιλανθρωπία, ὡς ἁπάντων τούτων ἀφανισμὸν ἐργάσασθαι καὶ αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερον ἀποδεικνύειν τὸν γνώμην μόνον εὐγνώμονα ἐπιδειξάμενον.

26. Ἐννοοῦντες τοίνυν τοῦ φιλανθρώπου Θεοῦ τὴν ὑπερβάλλουσαν δωρεάν, ἤδη ἑαυτοὺς προευτρεπίζετε καὶ τῇ ἀποχῇ τῶν κακῶν καὶ τῇ ἐργασίᾳ τῶν ἀγαθῶν πράξεων· τοῦτο γὰρ καὶ ὁ προφήτης παραινεῖ λέγων· «ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν». Καὶ αὐτὸς δὲ ὁ Χριστὸς πάσῃ τῇ ἀνθρωπίνῃ φύσει διαλεγόμενος ἔλεγε· «δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν».

27. Εἴδετε ἀγαθότητος περιουσίαν; εἴδετε κλήσεως φιλοτιμίαν; «Δεῦτε», φησίν, «πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι». Φιλάνθρωπος ἡ κλῆσις, ἀπόρρητος ἡ ἀγαθότης. «Δεῦτε πρός με πάντες», οὐκ ἄρχοντες μόνον ἀλλὰ καὶ ἀρχόμενοι, οὐ πλούσιοι ἀλλὰ καὶ πένητες, οὐκ ἐλεύθεροι ἀλλὰ καὶ δοῦλοι, οὐκ ἄνδρες ἀλλὰ καὶ γυναῖκες, οὐ νέοι ἀλλὰ καὶ γέροντες, οὐχ ὑγιεῖς τὸ σῶμα ἀλλὰ καὶ οἱ ἀνάπηροι καὶ οἱ λελωβημένοι τὰ μέλη, πάντες, φησίν, δεῦτε. Τοιαῦτα γὰρ τὰ τοῦ Δεσπότου δῶρα· οὐκ οἶδε διαφορὰν δούλου καὶ ἐλευθέρου οὐδὲ πλουσίου καὶ πένητος ἀλλὰ πᾶσα αὕτη ἡ ἀνωμαλία ἐκβέβληται. «Δεῦτε πάντες», φησίν, «οἱ κοπιῶντες καὶ πεφορτισμένοι».

28. Ὅρα τίνας καλεῖ, τοὺς ἐν ταῖς παρανομίαις καταδαπανηθέν-

13. Ψαλμ. 36,17.
14. Ματθ. 11,28–29.

ἐκείνους ποὺ πρόκειται ν' ἀξιωθοῦν τῆς βασιλικῆς δωρεᾶς, γιὰ νὰ γνωρίζετε ὅτι δὲν ὑπάρχει κανένα ἁμάρτημα τέτοιο ποὺ νὰ μπορεῖ νὰ νικήσει τὴ γενναιοδωρία τοῦ Κυρίου. Ἀλλὰ κι ἂν ἀκόμη κανεὶς εἶναι πόρνος, κι ἂν ἀκόμη εἶναι μοιχός, κι ἂν μαλθακός, κι ἂν ἀρσενοκοίτης, κι ἂν πορνόβιος, κι ἂν ἅρπαγας, κι ἂν πλεονέκτης, κι ἂν μέθυσος, κι ἂν εἰδωλολάτρης, τόσο μεγάλη εἶναι ἡ δύναμη τῆς δωρεᾶς καὶ ἡ φιλανθωπία τοῦ Κυρίου, ὥστε νὰ μπορεῖ νὰ ἐξαφανίσει ὅλα αὐτὰ καὶ νὰ καταστήσει λαμπρότερο καὶ ἀπὸ τὶς ἴδιες τὶς ἡλιακὲς ἀκτίνες ἐκεῖνον ποὺ θὰ δείξει μόνο γνώμη εὐγνώμονα.

26. Σκεπτόμενοι λοιπὸν τὴν ὑπερβολικὴ δωρεὰ τοῦ φιλάνθρωπου Θεοῦ, καθαρίζετε καὶ στολίζετε ἀπὸ ἐδῶ καὶ πέρα τὸν ἑαυτό σας καὶ μὲ τὴν ἀποχὴ ἀπὸ τὰ κακὰ καὶ μὲ τὴν ἐργασία τῶν ἀγαθῶν πράξεων· γιατὶ αὐτὸ συμβουλεύει καὶ ὁ προφήτης, λέγοντας· «ἀπομακρύνσου ἀπὸ τὸ κακὸ καὶ κάμε τὸ καλό»[13]. Καὶ ὁ ἴδιος πάλι ὁ Χριστὸς μιλώντας πρὸς ὁλόκληρη τὴν ἀνθρώπινη φύση ἔλεγε· «ἐλᾶτε κοντά μου ὅλοι σεῖς ποὺ εἶστε κουρασμένοι καὶ φορτωμένοι ἀπὸ τὰ ἁμαρτωλὰ βάρη τῆς ζωῆς καὶ ἐγὼ θὰ σᾶς ξεκουράσω· σηκῶστε ἐπάνω σας τὸ ζυγό μου καὶ μάθετε ἀπὸ μένα ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς σὴν καρδιὰ καὶ θὰ βρεῖτε ἀνάπαυση στὶς ψυχές σας»[14].

27. Εἴδατε ἀφθονία ἀγαθότητας; εἴδατε γενναιοδωρία κλήσεως; «Ἐλᾶτε», λέγει, «κοντά μου ὅλοι σεῖς ποὺ εἶστε κουρασμένοι καὶ φορτωμένοι ἀπὸ τὰ ἁμαρτωλὰ βάρη τῆς ζωῆς». Φιλάνθρωπη ἡ πρόσκληση, ἀπερίγραπτη ἡ ἀγαθότητα. «Ἐλᾶτε κοντά μου ὅλοι», ὄχι μόνο οἱ ἄρχοντες ἀλλὰ καὶ οἱ ἀρχόμενοι, ὄχι μόνο οἱ πλούσιοι ἀλλὰ καὶ οἱ φτωχοί, ὄχι μόνο οἱ ἐλεύθεροι ἀλλὰ καὶ οἱ δοῦλοι, ὄχι μόνο οἱ ἄνδρες ἀλλὰ καὶ οἱ γυναῖκες, ὄχι μόνο οἱ νέοι ἀλλὰ καὶ οἱ γέροντες, ὄχι μόνο οἱ ὑγιεῖς σωματικὰ ἀλλὰ καὶ οἱ ἀνάπηροι καὶ ὅσοι ἔχουν ἀκρωτηριασμένα μέλη, ὅλοι, λέει, ἐλᾶτε. Γιατὶ τέτοια εἶναι τὰ δῶρα τοῦ Κυρίου· δὲ γνωρίζει διαφορὰ δούλου καὶ ἐλευθέρου, οὔτε πλουσίου καὶ φτωχοῦ, ἀλλ' ὅλη αὐτὴ ἡ ἀνισότητα ἔχει ἀπορριφθεῖ. «Ἐλᾶτε ὅλοι», λέγει, «σεῖς ποὺ εἶστε κουρασμένοι καὶ φορτωμένοι μὲ τὰ ἁμαρτωλὰ βάρη τῆς ζωῆς».

28. Πρόσεχε ποιούς προσκαλεῖ, ἐκείνους ποὺ κατασπατάλησαν

τας, τοὺς ἐν τοῖς ἁμαρτήμασι πεφορτισμένους, τοὺς οὐδὲ ἀνανεῦσαι λοιπὸν δυναμένους, τοὺς αἰσχύνης πεπληρωμένους, τοὺς ἀπαρρησιάστους. Καὶ τίνος ἕνεκεν καλεῖ; Οὐχ ἵνα εὐθύνας ἀπαιτήσῃ καὶ δικαστήριον καθήσῃ. Ἀλλὰ τί; Ἵνα ἐκ τοῦ κόπου διαναπαύσῃ, ἵνα τὸ βαρὺ φορτίον περιέλῃ· τί γὰρ ἁμαρτίας βαρύτερον ἂν γένοιτό ποτε; Αὕτη γὰρ κἂν μυριάκις ὦμεν ἀναίσθητοι καὶ λανθάνειν τοὺς πολλοὺς βουλώμεθα, τὸ συνειδὸς διεγείρει καθ᾽ ἡμῶν, τὸν δικαστὴν τὸν ἀδέκαστον, κἀκεῖνος διηνεκῶς κατεξανιστάμενος ἀδιάλειπτον ἡμῶν τὴν ὀδύνην ἐργάζεται, καθάπερ δήμιός τις καταξαίνων καὶ ἄγχων τὸν λογισμὸν καὶ δεικνὺς τῆς ἁμαρτίας τὸ μέγεθος. Τοὺς οὖν ὑπὸ ταύτης, φησίν, βεβαρημένους καὶ καθάπερ φορτίῳ τινὶ κατακαμφθέντας, τούτους ἀναπαύσω τὴν ἄφεσιν τῶν ἡμαρτημένων χαριζόμενος, μόνον δεῦτε πρός με. Τίς οὕτως λίθινος, τίς οὕτως ἀνένδοτος ὡς μὴ ὑπακοῦσαι τῇ οὕτω φιλανθρώπῳ κλήσει;

29. Εἶτα, διδάκων ἡμᾶς καὶ τὸν τρόπον τῆς ἀναπαύσεως ἐπήγαγεν· «ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς». Ὑπέλθετέ μου, φησί, τὸν ζυγόν. Ἀλλὰ μὴ δειλιάσητε ζυγὸν ἀκούοντες· οὐδὲ γὰρ τρίβει τὸν αὐχένα οὐδὲ κάτω νεύειν παρασκευάζει, ἀλλὰ τὰ ἄνω φρονεῖν διδάσκει, τὴν ἀληθῆ φιλοσοφίαν οὗτος ὁ ζυγὸς ἐκπαιδεύει. «Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε»· μόνον ὑπέλθετε τὸν ζυγὸν καὶ μαθήσεσθε· «μάθετε»· τουτέστιν ὑπόσχετε τὴν ἀκοὴν ἵνα μαθεῖν δηνηθῆτε ἀπ᾽ ἐμοῦ. Μὴ γὰρ βαρύ τι παρ᾽ ὑμῶν ἐπιζητῶ; Ὑμεῖς οἱ δοῦλοι ἐμὲ τὸν Δεσπότην μιμήσασθε, ὑμεῖς οἱ γῆ καὶ σποδὸς ὄντες, τοῦ οὐρανοῦ καὶ γῆς ποιητὴν τὸν ὑμέτερον δημιουργὸν ζηλώσατε. «Μάθετε ἀπ᾽ ἐμοῦ», φησίν, «ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ».

30. Εἶδες συγκατάβασιν Δεσπότου; εἶδες φιλανθρωπίαν ἀμήχανον; Μὴ βαρύ τι ἢ ἐπαχθὲς παρ᾽ ἡμῶν ἀπήτησεν; Οὐδὲ γὰρ εἶπεν,

---

15. Ματθ. 11,29.

τὴ ζωή τους στὶς παρανομίες, τοὺς φορτωμένους ἀπὸ τὰ ἁμαρτήματα, ἐκείνους ποὺ δὲν μποροῦν οὔτε τὸ κεφάλι πιὰ νὰ σηκώσουν, ποὺ εἶναι γεμάτοι ἀπὸ ντροπή, ποὺ στεροῦνται κάθε παρρησία. Καὶ γιὰ ποιό λόγο τοὺς προσκαλεῖ; Ὄχι γιὰ νὰ ζητήσει εὐθύνες καὶ νὰ τοὺς καθίσει στὸ δικαστήριο. Ἀλλὰ γιατί; Γιὰ νὰ τοὺς ξεκουράσει ἀπὸ τὸν κόπο, γιὰ νὰ τοὺς ἀφαιρέσει τὸ βαρὺ φορτίο· γιατὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει ποτὲ βαρύτερο ἀπὸ τὴν ἁμαρτία; Αὐτὴ κι ἂν ἀκόμη εἴμαστε σὲ ἀμέτρητο βαθμὸ ἀναίσθητοι καὶ θέλομε νὰ διαφεύγομε τὴν προσοχὴ τῶν πολλῶν, διεγείρει ἐναντίον μας τὴ συνείδηση, τὸ δικαστὴ τὸν ἀμερόληπτο, καὶ ἐκεῖνος ἐξεγειρόμενος ἀδιάκοπα ἐναντίον μας καθιστᾶ ἀσταμάτητο τὸ πόνο μας, σὰν κάποιος δήμιος καταξεσχίζοντας καὶ καταπνίγοντας τὸ λογισμό μας καὶ δείχνοντας τὸ μέγεθος τῆς ἁμαρτίας. Αὐτοὺς λοιπὸν ποὺ εἶναι, λέγει, φορτωμένοι μὲ τὸ βάρος τῆς ἁμαρτίας καὶ ἔχουν λυγίσει σὰν ἀπὸ κάποιο φορτίο πιεζόμενοι, αὐτοὺς θὰ τοὺς ἀναπαύσω χαρίζοντάς τους τὴν ἄφεση τῶν ἁμαρτημάτων τους, μόνο ἐλᾶτε κοντά μου. Ποιός εἶναι τόσο λίθινος, ποιός εἶναι τόσο σκληρός, ὥστε νὰ μὴ ὑπακούσει στὴν τόσο φιλάνθρωπη πρόσκληση;

29. Ἔπειτα, διδάσκοντάς μας καὶ τὸν τρόπο τῆς ἀναπαύσεως, πρόσθεσε· «σηκῶστε ἐπάνω σας τὸ ζυγό μου»[15]. Ἐλᾶτε, λέγει, κάτω ἀπὸ τὸ ζυγό μου. Ἀλλὰ μὴ δειλιάσετε ἀκούοντας ζυγό· γιατὶ δὲν συνθλίβει τὸν αὐχένα οὔτε μᾶς κάμνει νὰ σκύβομε κάτω τὸ κεφάλι, ἀλλὰ μᾶς διδάσκει νὰ σκεπτόμαστε τὰ οὐράνια, μᾶς διδάσκει αὐτὸς ὁ ζυγὸς τὴν ἀληθινὴ φιλοσοφία. «Σηκῶστε ἐπάνω σας τὸ ζυγό μου καὶ μάθετε»· μόνο ἐλᾶτε κάτω ἀπὸ τὸ ζυγό μου καὶ θὰ μάθετε· «μάθετε»· δηλαδὴ συγκεντρῶστε τὴν προσοχὴ τῶν αὐτιῶν σας γιὰ νὰ μπορέσετε νὰ μάθετε ἀπὸ μένα. Μήπως δηλαδὴ ζητῶ ἀπὸ σᾶς κάτι τὸ βαρύ; Σεῖς οἱ δοῦλοι μιμηθεῖτε ἐμένα τὸν Κύριο, σεῖς ποὺ εἶστε χῶμα καὶ στάχτη γίνατε ζηλωτὲς τοῦ ποιητῆ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τοῦ δημιουργοῦ τοῦ δικοῦ σας. «Μάθετε ἀπὸ μένα», λέγει, «ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς στὴν καρδιά».

30. Εἶδες συγκατάβαση Κυρίου; εἶδες φιλανθρωπία ἀκαταγώνιστη; Μήπως ζήτησε ἀπὸ μᾶς κάτι τὸ βαρὺ καὶ ἀβάσταχτο; γιατὶ

'μάθετε ἀπ' ἐμοῦ ὅτι σημεῖα εἰργασάμην, ὅτι νεκροὺς ἤγειρα, ὅτι θαύματα ἐπεδειξάμην', ἅπερ τῆς αὐτοῦ μόνης δυνάμεως ἦν. 'Αλλὰ τί; «Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν». Εἶδες ὅσον τοῦ ζυγοῦ τούτου τὸ κέρδος, ὅση ἡ ὠφέλεια; Ὁ τοίνυν ὑπὸ τὸν ζυγὸν τοῦτον ἐλθεῖν καταξιωθεὶς καὶ δυνηθεὶς μαθεῖν παρὰ τοῦ Δεσπότου πρᾷος εἶναι καὶ ταπεινὸς τῇ καρδίᾳ, πᾶσαν αὐτοῦ τῇ ψυχῇ ἀνάπαυσιν προξενήσει. Τοῦτό γάρ ἐστι τὸ κεφάλαιον τῆς σωτηρίας τῆς ἡμετέρας· ὁ ταύτην κεκτημένος τὴν ἀρετὴν δυνήσεται, σώματι συμπεπλεγμένος, ταῖς ἀσωμάτοις ἁμιλλᾶσθαι δυνάμεσι καὶ μηδὲν ἔχειν κοινὸν πρὸς τὰ παρόντα.

31. Ὁ γὰρ μιμούμενος τοῦ Δεσπότου τὴν πραότητα οὐκ ὀργιεῖται, οὐκ ἐπαρθήσεται κατὰ τοῦ πλησίον. Κἂν πληγὰς αὐτῷ τις ἐντείνῃ, ἐρεῖ· «εἰ κακῶς ἐλάλησα μαρτύρησον περὶ τοῦ κακοῦ, εἰ δὲ καλῶς, τί με δέρεις;». Κἂν δαιμονῶντα αὐτὸν καλέσῃ ἀποκρίνεται, «ἐγὼ δαιμόνιον οὐκ ἔχω», καὶ οὐδὲν αὐτὸν τῶν ἐπαγομένων δακεῖν δυνήσεται. Ὁ τοιοῦτος ὑπερόψεται πάσης δόξης τοῦ παρόντος βίου καὶ οὐδὲν αὐτὸν τῶν ὁρωμένων ἐπισπάσεται· ἑτέρους γὰρ ὀφθαλμοὺς κτήσεται λοιπόν. Ὁ γὰρ ταπεινὸς τῇ καρδίᾳ γενόμενος οὐδέποτε βασκῆναι δυνήσεται τοῖς τοῦ πλησίον ἀγαθοῖς. Ὁ τοιοῦτος οὐχ ἁρπάσει, οὐ πλεονεκτήσει, οὐκ ἐπιθυμήσει χρημάτων ἀλλὰ καὶ τὰ ὄντα προήσεται, πολλὴν τὴν συμπάθειαν περὶ τὸ ὁμογενὲς ἐπιδεικνύμενος. Ὁ τοιοῦτος οὐ διορύξει γάμον ἀλλότριον. Ὁ γὰρ τὸν ζυγὸν ὑπελθὼν τοῦ Χριστοῦ καὶ μαθὼν πρᾷος εἶναι καὶ ταπεινὸς τῇ καρδίᾳ πάντως ἐπιδείξεται πᾶσαν ἀρετὴν καὶ τοῖς ἴχνεσιν ἐξακολουθήσει τοῦ Δεσπότου.

32. Ὑπέλθωμεν τοίνυν τὸν ζυγὸν τὸν χρηστὸν καὶ τὸ φορτίον τὸ ἐλαφρὸν ἄρωμεν ἵνα καὶ τὴν ἀνάπαυσιν εὑρεῖν δυνηθῶμεν. Ὁ τοῦτον ὑπελθὼν τὸν ζυγὸν πάσης ὀφείλει τῆς παλαιᾶς συνηθείας λήθην ποιήσασθαι καὶ ὀφθαλμῶν ἀκρίβειαν ἐπιδείκνυσθαι· «ὁ γὰρ

---

16. Ἰω. 18,23. 17. Ἰω. 8,49.

δὲν εἶπε, 'μάθετε ἀπὸ μένα ὅτι ἔκαμα καταπληκτικὰ πράγματα, ὅτι ἀνέστησα νεκρούς, ὅτι ἔδειξα θαύματα', πράγματα ποὺ ἦταν ἔργα μόνο τῆς δυνάμεως αὐτοῦ. Ἀλλὰ τί; «Μάθετε ἀπὸ μένα ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς στὴν καρδιὰ καὶ θὰ βρεῖτε ἀνάπαυση στὶς ψυχές σας». Εἶδες πόσο εἶναι τὸ κέρδος αὐτοῦ τοῦ ζυγοῦ, πόση ἡ ὠφέλεια; Ἐκεῖνος λοιπὸν ποὺ καταξιώθηκε νὰ ἔρθει κάτω ἀπὸ αὐτὸ τὸ ζυγὸ καὶ μπόρεσε νὰ μάθει ἀπὸ τὸν Κύριο ὅτι εἶναι πρᾶος καὶ ταπεινὸς στὴν καρδιά, θὰ προσφέρει πλήρη ἀνάπαυση στὴν ψυχή του. Γιατὶ αὐτὸ εἶναι τὸ μεγαλύτερο πράγμα τῆς σωτηρίας μας· ἐκεῖνος ποὺ ἔχει ἀποκτήσει αὐτὴ τὴν ἀρετὴ θὰ μπορέσει, ἐνῶ εἶναι ἑνωμένος μὲ τὸ σῶμα, νὰ συναγωνίζεται τὶς ἀσώματες δυνάμεις καὶ νὰ μὴ ἔχει τίποτε τὸ κοινὸ μὲ τὰ παρόντα πράγματα.

31. Πραγματικὰ ἐκεῖνος ποὺ μιμεῖται τὴν πραότητα τοῦ Κυρίου δὲ θὰ ὀργισθεῖ, δὲ θὰ ξεσηκωθεῖ ἐναντίον τοῦ πλησίον του. Κι ἂν ἀκόμη κανεὶς τοῦ ἐπιφέρει πλήγματα θὰ πεῖ· «ἂν μίλησα κακῶς, πὲς ποιό εἶναι τὸ κακό, ἂν ὅμως μίλησα καλῶς, γιατί μὲ δέρεις;»[16]. Ἂν πάλι τὸν ὀνομάσει δαιμονισμένο θ' ἀποκριθεῖ, «ἐγὼ δὲν ἔχω δαιμόνιο»[17] καὶ δὲν θὰ μπορέσει τίποτε νὰ τὸν πληγώσει ἀπὸ τὰ ὅσα συμβαίνουν ἐναντίον του. Ὁ παρόμοιος ἄνθρωπος θὰ περιφρονήσει ὅλη τὴ δόξα τῆς παρούσας ζωῆς καὶ τίποτε ἀπὸ τὰ ορατὰ πράγματα δὲ θὰ τὸν προσελκύσει· γιατὶ θὰ ἀποκτήσει πιὰ ἄλλους ὀφθαλμούς. Πραγματικὰ ἐκεῖνος ποὺ ἀπέκτησε ταπεινὴ καρδιὰ ποτὲ δὲ θὰ μπορέσει νὰ φθονήσει τὰ ἀγαθὰ τοῦ πλησίον του. Ὁ ἄνθρωπος αὐτὸς δὲ θὰ ἁρπάξει, δὲ θὰ γίνει πλεονέκτης, δὲ θὰ ἐπιθυμήσει χρήματα, ἀλλὰ καὶ ἐκεῖνα ποὺ ἔχει θὰ τὰ δωρήσει στὸ συνάνθρωπό του, δείχνοντας μεγάλη συμπάθεια πρὸς τὸν ὁμογενῆ του. Ὁ ἄνθρωπος αὐτὸς δὲ θὰ ὑπονομεύσει ξένο γάμο. Γιατὶ ἐκεῖνος ποὺ μπῆκε κάτω ἀπὸ τὸ ζυγὸ τοῦ Χριστοῦ καὶ ἔμαθε νὰ εἶναι πρᾶος καὶ ταπεινὸς στὴν καρδιά, ὁπωσδήποτε θὰ ἐπιδείξει κάθε ἀρετὴ καὶ θ' ἀκολουθήσει τὰ ἴχνη τοῦ Κυρίου.

32. Ἂς θέσομε λοιπὸν τὸν ἑαυτό μας κάτω ἀπὸ τὸν καλὸ ζυγὸ καὶ ἂς σηκώσομε τὸ ἐλαφρὺ φορτίο, γιὰ νὰ μπορέσομε νὰ βροῦμε καὶ τὴν ἀνάπαυση. Ἐκεῖνος ποὺ ἔθεσε τὸν ἑαυτό του κάτω ἀπὸ αὐτὸ τὸ ζυγὸ ὀφείλει νὰ ξεχάσει ὅλη τὴν παλιὰ συνήθειά του καὶ

ἐμβλέψας γυναικί», φησίν, «πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ»· ὥστε ἀσφάλειαν ἐπιθεῖναι δεῖ ταῖς ὀπτικαῖς αἰσθήσεσιν, ἵνα μὴ δι' αὐτῶν θάνατος ἀναβῇ. Οὐ μόνον δὲ ὀφθαλμῶν, ἀλλὰ καὶ γλώττης πολλὴν τὴν ἀκρίβειαν ἐπιδείκνυσθαι χρή. «Πολλοὶ γὰρ ἔπεσόν», φησίν, «ἐν στόματι μαχαίρας καὶ οὐχ ὡς οἱ πεσόντες διὰ γλώσσης», τὰ ἄλλα πάθη τὰ τικτόμενα χαλινοῦν καὶ ἐν γαλήνῃ τὴν διάνοιαν καθιστᾶν, τὸν θυμὸν ἐξορίζειν, τὴν ὀργήν, τὴν μνησικακίαν, τὴν ἔχθραν, τὴν βασκανίαν, τὰς ἐπιθυμίας τὰς ἀτόπους, τὴν ἀσέλγειαν ἅπασαν, πάντα τὰ ἔργα τῆς σαρκὸς ἅτινα ἐστί φησιν μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρία, φαρμακεία, ἔχθρα, ἔρις, φθόνοι, μέθαι, κῶμοι.

33. Ταῦτα τοίνυν πάντα ἐκμοχλεύειν προσῆκε, τὸν δὲ καρπὸν τοῦ Πνεύματος ἔχειν σπουδάζειν, ἀγάπην, χαράν, εἰρήνην, μακροθυμίαν, χρηστότητα, ἀγαθωσύνην, πρᾳότητα, ἐγκράτειαν. Ἐὰν οὕτως ἐκκαθάρωμεν ἡμῶν τὴν διάνοιαν κατεπᾴδοντες τὰ εὐσεβῆ διδάγματα, δυνησόμεθα ἐντεῦθεν ἤδη ἑαυτοὺς προευτρεπίσαντες καὶ πρὸς τὴν ὑποδοχὴν τοῦ μεγέθους τῆς δωρεᾶς ἀξίους καταστῆσαι καὶ πρὸς τὴν φυλακὴν τῶν διδομένων ἀγαθῶν.

34. Μή μοι λοιπὸν περὶ τῶν ἔξω καλλωπισμῶν ἡ φροντὶς γινέσθω μηδὲ περὶ τὴν τῶν ἱματίων πολυτέλειαν, ἀλλὰ πᾶσα ἡ σπουδὴ μεταγέσθω ἐπὶ τὴν τῆς ψυχῆς εὐμορφίαν ὥστε τὸ ταύτης κάλλος φαιδρότερον γίνεσθαι. Μή μοι τὰ σηρικὰ ἱμάτια καὶ τὰ τῶν σκωλήκων νήματα μηδὲ τὰ χρυσὰ περιδέρραια. Καὶ γὰρ ὁ τῆς οἰκουμένης διδάσκαλος εἰδὼς μάλιστα τῆς γυναικείας φύσεως τὴν βλακείαν καὶ τῆς γνώμης τὸ εὐόλισθον οὐκ ὤκνησε καὶ περὶ τούτων διατάξασθαι. Τί λέγω ὅτι περὶ τούτων οὐ παρῃτήσατο διδάξαι; Περὶ ἐμπλεγμάτων παραινῶν βοᾷ καὶ λέγει· «μὴ ἐμπλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ», μονονουχὶ διδά-

16. Ματθ. 5,28.
17. Σοφ. Σειρὰχ 28,18.
18. Γαλ. 5,19–20.
19. Α' Τιμ. 2,9.

νὰ ἔχει πάρα πολὺ προσεκτικὰ τὰ μάτια· γιατὶ λέγει, «ἐκεῖνος ποὺ εἶδε γυναίκα καὶ ἐπιθύμησε αὐτήν, ἤδη ἐμοίχευσε αὐτὴν μέσα στὴν καρδιά του[16]· ὥστε πρέπει νὰ τοποθετήσει ἀσφάλεια στὰ μάτια του, γιὰ νὰ μὴ ἀνεβεῖ μέσω αὐτῶν θάνατος. Καὶ ὄχι μόνο τὰ μάτια, ἀλλὰ πρέπει νὰ ἔχει καὶ πάρα πολὺ προσεκτικὴ τὴ γλώσσα του. Γιατὶ λέγει, «πολλοὶ ἔπεσαν φονευμένοι ἀπὸ μαχαίρι, ἀλλὰ δὲν εἶναι αὐτοὶ τόσοι ὅσοι ἐκεῖνοι ποὺ ἔπεσαν χτυπημένοι ἀπὸ κακὴ γλώσσα»[17]· νὰ χαλιναγωγεῖ τὰ ἄλλα πάθη ποὺ γεννιοῦνται, νὰ ἔχει γαλήνια τὴ σκέψη, ν' ἀπομακρύνει τὸ θυμό, τὴν ὀργή, τὴ μνησικακία, τὴν ἔχθρα, τὸ φθόνο, τὶς παράλογες ἐπιθυμίες, ὅλη τὴν ἀσέλγεια, ὅλα τὰ ἔργα τῆς σάρκας, ποὺ εἶναι, ὅπως λέγει, ἡ μοιχεία, ἡ πορνεία, ἡ ἀκαθαρσία, ἡ ἀσέλγεια, ἡ εἰδωλολατρία, ἡ μαγεία, ἡ ἔχθρα, ἡ φιλονεικία, οἱ φθόνοι, οἱ μέθες, οἱ ἄσωτες διασκεδάσεις[18].

33. Ὅλα αὐτὰ λοιπὸν πρέπει νὰ τὰ ἀπομακρύνομε καὶ νὰ φροντίζομε νὰ ἔχομε τὸν καρπὸ τοῦ Πνεύματος, τὴν ἀγάπη, τὴ χαρά, τὴν εἰρήνη, τὴ μακροθυμία, τὴν καλωσύνη, τὴν ἀγαθωσύνη, τὴν πραότητα, τὴν ἐγκράτεια. Ἂν ἔτσι καθαρίσομε τὸ νοῦ μας μὲ τὴν ἀκρόαση τῶν εὐσεβῶν διδαγμάτων, θὰ μπορέσομε ἀπὸ ἐδῶ ἤδη νὰ προετοιμάσομε τὸν ἑαυτό μας καὶ νὰ τὸν καταστήσομε ἄξιο πρὸς ὑποδοχὴ τοῦ μεγέθους τῆς δωρεᾶς καὶ πρὸς διαφύλαξη τῶν ἀγαθῶν ποὺ μᾶς δίνονται.

34. Ἂς μὴ εἶναι λοιπόν, παρακαλῶ, ἡ φροντίδα σας γιὰ τοὺς ἐξωτερικοὺς καλλωπισμοὺς οὔτε γιὰ τὴν πολυτέλεια τῶν ἐνδυμάτων, ἀλλ' ὅλη ἡ φροντίδα σας ἂς μεταφερθεῖ στὴν ὀμορφιὰ τῆς ψυχῆς, ὥστε τὸ κάλλος αὐτῆς νὰ γίνει λαμπρότερο. Οὔτε σᾶς παρακαλῶ νὰ φροντίζετε γιὰ τὰ μεταξωτὰ ἐνδύματα, γιὰ τὰ νήματα τῶν σκουληκιῶν καὶ γιὰ τὰ χρυσὰ περιδέρραια. Γιατὶ ὁ δάσκαλος τῆς οἰκουμένης γνωρίζοντας ὅλως ἰδιαίτερα τὴ μωρία τῆς γυναικείας φύσεως καὶ τὴν εὔκολη ὀλισθηρότητα τῆς γνώμης της δὲ δίστασε νὰ δώσει ἐντολὲς καὶ γι' αὐτά. Τί λέγω ὅτι δὲν ἀπέφυγε νὰ δώσει ἐντολὲς γι' αὐτά; Συμβουλεύοντας γιὰ τὰ κοσμήματα τῶν γυναικῶν βροντοφωνάζει καὶ λέγει· «ὄχι μὲ πλέξιμο τῶν μαλλιῶν ἢ μὲ χρυσὰ κοσμήματα ἢ μαργαριτάρια ἢ πολυτελῆ ἐνδύματα»[19],

κων κοσμεῖσθαι βούλει, γύναι, καὶ παρὰ τῶν ὁρώντων ἐπαινεῖσθαι; Ἐγώ σοι τοὺς ὁμογενεῖς ἀνθρώπους ἀλλὰ καὶ τὸν τῶν ὅλων Δεσπότην εἰς ἔπαινον καὶ εὐφημίαν ἐκκαλέσομαι.

35. Ἐπεὶ δὲ ἐκεῖνον τὸν κόσμον ἐξέβαλε τὸν ἀπὸ τῶν ἐμπλεγμάτων, τὸν ἀπὸ τῶν χρυσίων καὶ μαργαριτῶν καὶ τῶν ἱματίων τῶν πολυτελῶν, ἴδωμεν λοιπὸν ποῖον αὐτῇ περιτίθησι κόσμον. Οὗτος γὰρ ὁ κόσμος ὁ ἐκ τῶν χρυσίων καὶ τῶν ἱματίων, κἂν πρὸς ὀλίγον τέρψῃ τὴν περικειμένην, τῷ χρόνῳ δαπανᾶται· τί λέγω δαπανᾶται; Καὶ πρὸ τῆς δαπάνης τοῦ χρόνου τοὺς τῶν βασκάνων ὀφθαλμοὺς διεγείρει καὶ τοὺς κακούργους πρὸς τὴν ὑφαίρεσιν προτρέπεται. Ὁ δὲ κόσμος ὃν περιτίθησιν αὐτὸς ἀνάλωτος, ἀδαπάνητος, διηνεκής, καὶ ἐνταῦθα συμπαραμένων κἀκεῖ συναποδημῶν καὶ πολλὴν ἡμῖν τὴν παρρησίαν κατασκευάζων.

36. Ἀλλ' αὐτῶν ἀναγκαῖον ἀκοῦσαι τῶν ἀποστολικῶν ρημάτων· τί οὖν φησιν; «Ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσεβεῖν, δι' ἔργων ἀγαθῶν». Ἄξια, φησί, τῷ ἐπαγγέλματι διαπράττου, διὰ τῶν ἔργων σαυτὴν κόσμει τῶν ἀγαθῶν. Μιμείσθω ἡ τῶν ἀγαθῶν πρᾶξις τὸ ἐπάγγελμα· ἐπαγγέλλῃ σέβειν τὸν Θεόν, τὰ ἐκείνῳ ἀρέσκοντα ἐργάζου, τὰ ἔργα τὰ ἀγαθά. Τί δέ ἐστι «δι' ἔργων ἀγαθῶν»; Πᾶσα ἡ συναγωγὴ τῆς ἀρετῆς φησιν, ἡ τῶν παρόντων ὑπεροψία, ἡ τῶν μελλόντων ἐπιθυμία, ἡ καταφρόνησις τῶν χρημάτων, ἡ περὶ τοὺς πένητας δαψίλεια, ἡ ἐπιείκεια, ἡ πραότης, ἡ φιλοσοφία, τὸ ἐν εἰρήνῃ καὶ γαλήνῃ τὴν ψυχὴν διακεῖσθαι, τὸ μὴ ἐπτοῆσθαι πρὸς τὴν δόξαν τοῦ παρόντος βίου ἀλλὰ ἄνω τεταμένον ἔχειν τὸ ὄμμα καὶ τὰ ἐκεῖ μεριμνᾶν διηνεκῶς καὶ τῆς ἐκεῖ ἐφίεσθαι δόξης.

37. Ἀλλ' ἐπειδὴ πρὸς τὰς γυναῖκάς μοι νῦν ὁ λόγος μάλιστα, βούλομαι καὶ ἕτερά τινα ταύταις παρεγγυῆσαι, ὥστε μετὰ τῶν ἄλλων καὶ τῆς ἐπιβλαβοῦς συνηθείας ἀπέχεσθαι· τοῦ μὴ κονιᾶν τὸ πρόσωπον μηδὲ ὡς ἐλλιπῶς ἐχούσης τῆς δημιουργίας προστιθέναι

---

20. Α' Τιμ. 2,10.

διδάσκοντας κατὰ κάποιο τρόπο καὶ λέγοντας, θέλεις, γυναίκα, νὰ ἐπαινεῖσαι καὶ ἀπὸ ἐκείνους ποὺ σὲ βλέπουν; Ἐγὼ θὰ προσκαλέσω πρὸς ἔπαινο καὶ ἐγκωμιασμό σου ὄχι μόνο τοὺς ὁμογενεῖς σου ἀνθρώπους, ἀλλὰ καὶ τὸν Κύριο τῶν ὅλων.

35. Καὶ ἀφοῦ λοιπὸν ἀπέρριψε τὸν στολισμὸ ποὺ γίνεται μὲ τὸ πλέξιμο τῶν μαλιῶν, μὲ τὰ χρυσὰ καὶ τὰ μαργαριτάρια καθὼς καὶ μὲ τὰ πολυτελῆ ἐνδύματα, ἂς δοῦμε στὴ συνέχεια μὲ ποιό στολισμὸ περιβάλλει αὐτήν. Γιατὶ αὐτὸς ὁ στολισμὸς μὲ τὰ χρυσὰ κοσμήματα καὶ τὰ ἐνδύματα, κι ἂν ἀκόμη εὐχαριστήσει πρὸς στιγμὴ ἐκείνην ποὺ τὰ φοράει, καταστρέφεται μὲ τὸ πέρασμα τοῦ χρόνου· καὶ τί λέγω καταστρέφεται; Καὶ πρὶν ἀπὸ τὴν καταστροφὴ ἀπὸ τὸ χρόνο διεγείρει τοὺς ὀφθαλμοὺς τῶν φθονερῶν καὶ παρακινεῖ τοὺς κακούργους στὴν ἀφαίρεση αὐτοῦ. Ἐνῶ ὁ στολισμὸς μὲ τὸν ὁποῖο αὐτὸς περιβάλλει τὴ γυναίκα εἶναι ἀξόδευτος, ἀδαπάνητος, αἰώνιος, ποὺ καὶ σ' αὐτὸν τὸν κόσμο παραμένει μαζί της καὶ ἐκεῖ τὴν ἀκολουθεῖ καὶ μᾶς δίνει πολλὴ παρρησία.

36. Ἀλλ' εἶναι ἀνάγκη ν' ἀκούσομε τ' ἀποστολικὰ λόγια· τί λέγει λοιπόν; «Ἀλλ' ἐκεῖνο ποὺ ταιριάζει σὲ γυναῖκες ποὺ ὁμολογοῦν θεοσέβεια, δηλαδὴ μὲ ἔργα ἀγαθά»[20]. Κάμνε, λέγει, ἔργα ἄξια τοῦ ἐπαγγέλματός σου, μὲ ἔργα ἀγαθὰ στόλιζε τὸν ἑαυτό σου. Νὰ μιμεῖται ἡ ἐκτέλεση τῶν ἀγαθῶν ἔργων τὸ ἐπάγγελμα· ὑπόσχεσαι νὰ σέβεσαι τὸ Θεό, γι' αὐτὸ κάμνε ἐκεῖνα ποὺ ἀρέσουν σ' αὐτόν, τὰ ἀγαθὰ ἔργα. Τί σημαίνει ὅμως, «μὲ ἔργα ἀγαθά»; Τὸ σύνολο τῆς ἀρετῆς, λέγει, ἡ περιφρόνηση τῶν παρόντων, ἡ ἐπιθυμία τῶν μελλοντικῶν ἀγαθῶν, ἡ περιφρόνηση τῶν χρημάτων, ἡ γενναιόδωρη χορήγηση πρὸς τοὺς φτωχούς, ἡ ἐπιείκεια, ἡ πραότητα, ἡ εὐσέβεια, ἡ εἰρηνικὴ καὶ γαλήνια κατάσταση τῆς ψυχῆς, τὸ νὰ μὴ συγκινεῖται κανεὶς ἀπὸ τὴ δόξα τῆς παρούσας ζωῆς ἀλλὰ νὰ ἔχει στραμμένο τὸ βλέμμα πρὸς τὸν οὐρανὸ καὶ νὰ μεριμνᾶ διαρκῶς γιὰ τὰ ἐκεῖ καὶ νὰ ποθεῖ τὴν ἐκεῖ δόξα.

37. Ἀλλ' ἐπειδὴ ὁ λόγος μου τώρα εἶναι κατ' ἐξοχὴ γιὰ τὶς γυναῖκες, ἐπιθυμῶ νὰ τὶς ἀπευθύνω καὶ μερικὲς ἀκόμη συμβουλές, ὥστε μαζὶ μὲ τὰ ἄλλα, ν' ἀποφεύγουν καὶ τὴν ἐπιβλαβῆ συνήθεια, τὸ νὰ μὴ βάφουν δηλαδὴ τὸ πρόσωπο μὲ φτειασίδια οὔτε νὰ τὰ

καὶ τὴν ὕβριν εἰς τὸν δημιουργὸν ἐκτείνειν. Τί γὰρ ποιεῖς, ὦ γύναι; Μὴ γὰρ ἀπὸ τῶν ἐπιτριμμάτων καὶ τῶν ὑπογραφῶν προσθήκην ἐργάσασθαι ἔχεις τῷ φυσικῷ κάλλει ἢ τὴν φυσικὴν ἀμορφίαν μεταβαλεῖν; Οὔτε ἐκείνῳ προσθήκην ἐργάσῃ διὰ τούτων, καὶ τῆς ψυχῆς τὸ κάλλος διαφθερεῖς. Ἡ γὰρ περιεργία αὕτη τεκμήριον γίνεται τῆς ἔνδοθεν βλακείας. Ἄλλως τε καὶ πολὺν ἐπισορεύεις διὰ τούτου σαυτῇ τὸ πῦρ, τὰς τῶν νέων ὄψεις ἀναπτεροῦσα καὶ τοὺς τῶν ἀκολάστων ὀφθαλμοὺς ἐπισπωμένη καὶ μοιχοὺς ἀπηρτισμένους ἐργαζομένη καὶ τὸν ἐκείνων ὄλισθον εἰς τὴν σὴν ἕλκεις κεφαλήν.

38. Τὸ μὲν οὖν πρέπον καὶ ἐπωφελὲς πάντῃ τούτου ἀπέχεσθαι· εἰ δὲ μὴ βούλοιντο αἱ τῇ κακῇ ταύτῃ συνηθείᾳ προκατειλημμέναι, κἂν γοῦν ἐπὶ τὸν εὐκτήριον οἶκον ἀφικνούμεναι μὴ ποιείτωσαν τοῦτο. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, εἰς ἐκκλησίαν παραγενομένη οὕτω σαυτὴν διατίθης; Μὴ γὰρ τοῦτο ἐπιζητεῖ τὸ κάλλος ὃν ἔρχῃ προσκυνήσουσα καὶ τὰς ὑπὲρ τῶν ἁμαρτημάτων ἐξομολογήσεις ποιησομένη; Τὸ ἔνθοδεν κάλλος ἐπιζητεῖ, τὴν διὰ τῶν ἔργων τῶν ἀγαθῶν πρᾶξιν, τὴν ἐλεημοσύνην, τὴν σωφροσύνην, τὴν κατάνυξιν, τὴν πίστιν τὴν ἀκριβῆ. Σὺ δὲ ταῦτα καταλιποῦσα πολλοὺς τῶν ῥᾳθύμων καὶ ἐν τῇ ἐκκλησίᾳ ὑποσκελίζειν ἐπιχειρεῖς. Καὶ πόσων ταῦτα ἄξια σκηπτῶν; Εἰς τὸν λιμένα παραγίνῃ καὶ ναυάγιον σαυτῇ κατασκευάζῃ· πρὸς τὸν ἰατρὸν ἔρχῃ τὰ ἕλκη θεραπεῦσαι καὶ μείζονα αὐτὰ ἐργαζομένη ἀπέρχῃ. Καὶ τίς σοι λοιπὸν ἔσται συγγνώμη; Ἀλλ' εἰ καὶ πρότερόν τινες ἦσαν οὕτω ῥᾳθύμως περὶ τὴν ἑαυτῶν σωτηρίαν διακείμεναι, νῦν γοῦν πεισθήτωσαν ἀπαλλαγῆναι τῆς λύμης ταύτης· εἰ γὰρ ἱματίοις πολυτελέσι κεχρῆσθαι ἀπηγόρευσε, πολλῷ μᾶλλον τοῖς ἐπιτρίμμασι καὶ ταῖς ὑπογραφαῖς.

39. Μετὰ δὲ τούτων παρακαλῶ καὶ ἄνδρας καὶ γυναῖκας τοὺς κληδονισμοὺς καὶ τὰς παρατηρήσεις πάντῃ φεύγειν· ταῦτα γὰρ Ἑλλήνων ἐστὶ καὶ τῶν ἔτι τῇ πλάνῃ προκατειλημμένων ληρήματα, τὸ

προσθέτουν αὐτὰ σὰν νὰ εἶναι ἐλλιπὲς τὸ δημιούργημα, ἐπεκτείνοντας ἔτσι τὴν ὕβρη πρὸς τὸν δημιουργό. Τί κάμνεις, γυναίκα; Μήπως μὲ τὰ φτειασίδια καὶ τὰ βαψίματα μπορεῖς νὰ προσθέσεις κάτι στὸ φυσικὸ κάλλος ἢ ν' ἀλλάξεις τὴ φυσικὴ ἀσχήμια; Καὶ δὲ θὰ προσθέσεις κάτι μ' αὐτὰ στὸ φυσικὸ κάλλος καὶ θὰ καταστρέψεις τὸ κάλλος τῆς ψυχῆς. Γιατὶ ἡ περιέργεια αὐτὴ γίνεται ἀπόδειξη τῆς ἐσωτερικῆς ἀνοησίας. Ἄλλωστε ἐπισορεύεις μ' αὐτὸ καὶ πολλὴ φωτιὰ γιὰ τὸν ἑαυτό σου, διαγείροντας τὰ βλέμματα τῶν νέων καὶ προσελκύοντας τοὺς ὀθλαλμοὺς τῶν ἀκολάστων, καὶ ἔτσι δημιουργεῖς ὁλοκληρομένους μοιχούς, προσελκύοντας τὸ ὀλίσθημα ἐκείνων στὸ κεφάλι σου.

38. Τὸ πρέπον λοιπὸν καὶ ἐπωφελὲς εἶναι ν' ἀπέχουν οἱ γυναῖκες ἐξ ὁλοκλήρου ἀπ' αὐτά· ἂν ὅμως δὲν θέλουν νὰ τὸ κάμουν αὐτὸ ἐκεῖνες ποὺ εἶναι κυριευμένες ἀπὸ τὴν κακὴ αὐτὴ συνήθεια, τουλάχιστο ἂς μὴ τὸ κάμνουν αὐτὸ ὅταν ἔρχονται στὸν οἶκο προσευχῆς. Γιατὶ πές μου, γιὰ ποιό λόγο ἐρχόμενη στὴν ἐκκλησία στολίζεις ἔτσι τὸν ἑαυτό σου; Μήπως αὐτὸ τὸ κάλλος ἐπιθυμεῖ ἐκεῖνος τὸν ὁποῖο ἔρχεσαι νὰ προσκυνήσεις καὶ νὰ τοῦ ἐξομολογηθεῖς τὰ ἁμαρτήματά σου; Τὸ ἐσωτερικὸ κάλλος ἐπιζητεῖ, τὴν ἐκτέλεση τῶν ἀγαθῶν ἔργων, τὴν ἐλεημοσύνη, τὴ σωφροσύνη, τὴν κατάνυξη, τὴν πίστη τὴν ἀκριβῆ. Σὺ ὅμως, περιφρονώντας ὅλα αὐτά, ἐπιχειρεῖς νὰ ὑποσκελίσεις καὶ μέσα στὴν ἐκκλησία πολλοὺς ἀπὸ τοὺς ἀδιάφορους. Καὶ πόσων κεραυνῶν δὲν εἶναι ἄξια αὐτά; Ἔρχεσαι στὸ λιμάνι καὶ δημιουργεῖς ναυάγιο γιὰ τὸν ἑαυτό σου· ἔρχεσαι στὸ γιατρὸ νὰ θεραπεύσεις τὶς πληγές σου καὶ φεύγεις κάμνοντας αὐτὲς μεγαλύτερες. Καὶ ποιά συγγνώμη θὰ ἔχεις τότε; Ἀλλ' ἂν μερικὲς προηγουμένως ἦταν τόσο ἀδιάφορες γιὰ τὴ σωτηρία τους, ἂς πεισθοῦν τώρα τουλάχιστο ν' ἀπαλλαγοῦν ἀπὸ τὴν καταστροφὴ αὐτή· γιατί, ἂν ἀπαγόρευσε ὁ Παῦλος νὰ φοροῦν πολυτελῆ ἐνδύματα, πολὺ περισσότερο ἀπαγορεύει τὰ φτειασίδια καὶ τὰ βαψίματα.

39. Μαζὶ μ' αὐτὰ παρακαλῶ ἄνδρες καὶ γυναῖκες ν' ἀποφεύγετε ἐξ ὁλοκλήρου τὶς μαντεῖες καὶ τὶς παρατηρήσεις· γιατὶ αὐτὰ εἶναι μωρολογίες τῶν Ἑλλήνων καὶ ἐκείνων ποὺ εἶναι ἀκόμη προσκολ-

τοῦ κόρακος τὴν φωνὴν περιεργάζεσθαι καὶ τοῦ μυὸς τὸν ψόφον καὶ τῆς δοκοῦ τὸν τρισμόν, τὸ τὰς ἀπαντήσεις τῶν μὲν αἰσχρῶς βεβιωκότων μεθ' ἡδονῆς δέχεσθαι τὰς δὲ τῶν ἐν εὐλαβείᾳ καὶ σεμνότητι ὡς αἰτίας μυρίων κακῶν φεύγειν. Ὅρα πόσαι τοῦ διαβόλου αἱ μηχαναί· οὐ μόνον γὰρ ἐρήμους ἡμᾶς εἶναι βούλεται τῆς ἀρετῆς καὶ πρὸς τὴν κακίαν νενευκέναι, ἀλλὰ καὶ μῖσος ἡμῖν ἐνθεῖναι κατασκευάζει ὡς καὶ ἀποστρέφεσθαι τοὺς τὴν ἀρετὴν μετιόντας. Καὶ πάλιν οὐ μόνον μετιέναι ἡμᾶς τὰ πονηρὰ βούλεται ἀλλὰ καὶ οἰκειῶσαι ἡμᾶς πρὸς αὐτὰ σπεύδει καὶ ἐπείγεται, παρασκευάζων μεθ' ἡδονῆς αὐτὰ προσίεσθαι.

40. Ταῦτα μὴ μικρὰ εἶναι νομίσητε μηδὲ τὰ τυχόντα, ἀλλ' ἱκανὰ καταβαπτίσαι ψυχὴν καὶ εἰς αὐτὸν τὸν πυθμένα τῆς κακίας ἀγαγεῖν. Αὕτη γάρ, αὕτη τοῦ πονηροῦ δαίμονος ἡ ἐπιβουλὴ ὥστε καὶ διὰ τῶν μικρῶν ὑποσκελίζειν. Ἀλλ' ὑμεῖς οἱ νέοι τοῦ Χριστοῦ στρατιῶται καὶ ἄνδρες καὶ γυναῖκες (τοῦτο γὰρ τὸ τοῦ Χριστοῦ στρατόπεδον οὐκ οἶδε φύσεως διαφοράν) ἐντεῦθεν ἤδη πᾶσαν τοιαύτην συνήθειαν ἐκκόψαντες ὡς μέλλοντες τὸν ἁπάντων βασιλέα ὑποδέχεσθαι, οὕτως ἐκκαθάρατε ὑμῶν τὴν διάνοιαν, ὥστε μηδένα ῥύπον ἐπισκοτεῖν τοῖς ὑμετέροις λογισμοῖς.

41. Ἀλλὰ κἂν ἐχθρὸν ἔχῃ τις καταλλαττέσθω, ἐννοῶν οἵων αὐτὸς μέλλει τυγχάνειν παρὰ τοῦ Δεσπότου τοσούτοις ἁμαρτήμασι βεβαπτισμένος καὶ ἀφιέτω τῷ πλησίον τὰ εἰς αὐτὸν ἐπταισμένα. «Κακίαν» γάρ, φησίν, «ἕκαστος τῷ πλησίον αὐτοῦ μὴ λογιζέσθω ἐν ταῖς καρδίαις ὑμῶν». Κἂν γραμματεῖα τοίνυν τις ἔχῃ καὶ τόκων συναγωγήν, ταῦτα διασπάτω. «Συγγραφὴν γὰρ ἄδικον», φησί, «διάσπα». Καὶ ἁπλῶς εἰπεῖν προλαμβάνων τὰ παρ' ἑαυτοῦ ἐπιδεικνύσθω, ἵνα μετὰ πολλῆς τῆς δαψιλείας τὰ παρὰ τοῦ Δεσπότου δέξηται.

42. Καὶ πρὸ πάντων τὴν γλῶτταν παιδεύετε τῶν ὅρκων καθαρεύειν· οὐ λέγω τῶν ἐπιόρκων ἀλλὰ καὶ τῶν ὅρκων τῶν εἰκῇ καὶ μάτην γινομένων καὶ ἐπὶ κακῷ τῶν ὀμνύντων. «Ἐρρέθη» γὰρ

---

21. Ζαχ. 8,17.
22. Ἡσ. 58,6.

λημένοι στὴν πλάνη, τὸ νὰ ἐξετάζουν δηλαδὴ τὴ φωνὴ τοῦ κόρακα, τὸ θόρυβο τοῦ ποντικοῦ, τὸν τρισμὸ τῆς δοκοῦ, τὸ νὰ δέχονται μὲ εὐχαρίστηση τὶς συναντήσεις μὲ ἀνθρώπους ποὺ ζοῦν αἰσχρά, ν' ἀποφεύγουν ὅμως ἐκείνους ποὺ κάμνουν εὐλαβῆ καὶ σεμνῆ ζωὴ σὰν αἰτία μυρίων κακῶν. Πρόσεχε πόσα εἶναι τὰ τεχνάσματα τοῦ διαβόλου· δὲ θέλει δηλαδὴ νὰ εἴμαστε γυμνοὶ μόνο ἀπὸ τὴν ἀρετὴ καὶ νὰ ρέπομε πρὸς τὴν κακία, ἀλλὰ μᾶς κάμνει νὰ μισοῦμε καὶ ν' ἀποστρεφόμαστε ἐκείνους ποὺ ἀσκοῦν τὴν ἀρετή. Καὶ πάλι δὲ θέλει μόνο νὰ πράττομε τὰ κακά, ἀλλὰ σπεύδει καὶ ἐπιδιώκει νὰ μᾶς ἐξοικειώσει μ' αὐτά, προετοιμάζοντάς μας νὰ ἐπιχειροῦμε μὲ εὐχαρίστηση αὐτά.

40. Αὐτὰ μὴ νομίσετε ὅτι εἶναι μικρὰ ἢ τυχαῖα, ἀλλ' ἱκανὰ νὰ καταποντίσουν τὴν ψυχὴ καὶ νὰ τὴν ὁδηγήσουν καὶ στὸν ἴδιο τὸν πυθμένα τῆς κακίας. Γιατὶ αὐτή, αὐτὴ εἶναι ἡ ἐπίβουλη προσπάθεια τοῦ πονηροῦ δαίμονα, ὥστε καὶ μὲ τὰ μικρὰ νὰ ὁδηγεῖ στὴν πτώση. Ἀλλ' ἐμεῖς οἱ νέοι στρατιῶτες τοῦ Χριστοῦ, καὶ ἄνδρες καὶ γυναῖκες (γιατὶ αὐτὸ τὸ στρατόπεδο τοῦ Χριστοῦ δὲ γνωρίζει διαφορὰ φύσεως), ἀφοῦ ἀπὸ ἐδῶ ἀκόμη ἀποκόψετε κάθε τέτοια συνήθεια, σὰν νὰ πρόκειται νὰ ὑποδεχθεῖτε τὸ βασιλιὰ τῶν πάντων, ἔτσι καθαρίσατε τὴ διάνοιά σας, ὥστε κανένας ρύπος νὰ μὴ ἐπισκοτίζει τοὺς λογισμούς σας.

41. Ἀλλά, κι ἂν ἀκόμη κανεὶς ἔχει ἐχθρό, ἂς συμφιλιωθεῖ, σκεπτόμενος ποιά ἀγαθὰ πρόκειται ν' ἀπολαύσει ὁ ἴδιος ἐκ μέρους τοῦ Κυρίου, ἂν καὶ εἶναι βυθισμένος σὲ τόσα ἁμαρτήματα, καὶ ἂς συγχωρήσει τὸν πλησίον του γιὰ τὰ πταίσματά του πρὸς αὐτόν. Γιατὶ λέγει, «ὁ καθένας ἂς μὴ σκέπτεται μέσα στὴν καρδιά του κακία γιὰ τὸν πλησίον του»[21]. Κι ἂν λοιπὸν κάποιος ἔχει γραμμάτια καὶ συλλογὴ τόκων, αὐτὰ ἂς τὰ ξεσχίσει. Γιατὶ λέγει, «ξέσχιζε τὰ ἄδικα γραμμάτια τῶν ὀφειλῶν»[22]. Καὶ γιὰ νὰ μιλήσω μὲ συντομία, ἂς κάμνει πρὶν ἀπὸ τὸν Κύριο ὅ,τι ἐξαρτᾶται ἀπ' αὐτόν, γιὰ νὰ δεχθεῖ ἀπὸ ἐκεῖνον μὲ μεγάλη ἀφθονία τὰ δικά του.

42. Καὶ πρὶν ἀπὸ ὅλα ἀσκεῖτε τὴ γλώσσα ὥστε νὰ εἶναι καθαρὴ ἀπὸ τοὺς ὅρκους· δὲν ἐννοῶ τὶς ἐπιορκίες, ἀλλὰ καὶ τοὺς ὅρκους ποὺ γίνονται στὴν τύχη καὶ ἄσκοπα καὶ πρὸς κακὸ ἐκείνων ποὺ

φησιν· «οὐκ ἐπιορκήσεις. Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως». Ἤκουσας «μὴ ὀμόσαι ὅλως», μηκέτι λοιπὸν ἀνέχου περιεργάζεσθαι τὰ παρὰ τοῦ Δεσπότου νομοθετηθέντα, ἀλλὰ πείθου τῷ προστάξαντι καὶ διὰ πάντων ἐκκάθαιρέ σου τὴν διάνοιαν.

43. Μηκέτι ἱπποδρομίας ἔστω σοι λόγος καὶ τῆς θέας τῶν παρανόμων θεάτρων, ἀσελγείας γάρ ἐστι κακεῖνα ὑπεκκαύματα, μηδὲ τῆς ὠμῆς τῶν θηρίων τέρψεως. Ποία γάρ, εἰπέ μοι, τέρψις ἰδεῖν τὸν ὁμογενῆ καὶ τῆς αὐτῆς σοι φύσεως κοινωνοῦντα ὑπὸ τῶν ἀνημέρων θηρίων σπαραττόμενον; Καὶ οὐ δέδοικας οὐδὲ φρίττεις μὴ σκηπτὸς ἄνωθεν κατενεχθεὶς ἐμπρήσῃ σου τὴν κεφαλήν; Σὺ γὰρ ἀκονᾷς, ὡς εἰπεῖν, τοῦ θηρίου τοὺς ὀδόντας· τό γε σὸν μέρος διὰ τῆς οἰκείας φωνῆς καὶ αὐτὸς ἐργάζῃ τὸν φόνον, εἰ καὶ μὴ τῇ χειρί, ἀλλὰ τῇ γλώττῃ.

44. Μή, παρακαλῶ, μὴ οὕτω ῥᾳθύμως περὶ τῆς ἑαυτῶν βουλεύεσθε σωτηρίας. Ἐννόει σου τὴν ἀξίαν καὶ αἰδέσθητι· εἰ γὰρ ἐπὶ ἀνθρωπίνῳ τις ἀξιώματι μέγα φρονεῖ καὶ πολλάκις παραιτεῖταί τι διαπράξασθαι ἵνα μὴ ὕβριν τῷ ἀξιώματι προστρίψηται, σὺ τοσοῦτον ἀξίωμα μέλλων κτᾶσθαι οὐκ ὀφείλεις ἤδη σαυτὸν αἰδέσιμον καταστῆσαι; Τὸ γὰρ ἀξίωμά σου τοιοῦτόν ἐστιν, ὡς καὶ τῷ παρόντι αἰῶνι συνπαρεκτείνεσθαι καὶ εἰς τὴν μέλλουσάν σοι συναποδημεῖν ζωήν. Τί δὲ τοῦτό ἐστί; Χριστιανὸς ἀκούεις λοιπὸν διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καὶ πιστός. Ἰδοὺ οὐχ ἓν ἀξίωμα ἀλλὰ δύο· τὸν Χριστὸν μέλλεις μετ' οὐ πολὺ ἐνδύεσθαι καὶ προήκει σε ὡς ἐκείνου σοι πανταχοῦ συμπαρόντος οὕτω καὶ πράττειν ἅπαντα καὶ βουλεύεσθαι.

45. Ἢ οὐχ ὁρᾷς τοὺς τὰ πολιτικὰ διοικοῦντας πράγματα πῶς ἐπειδὰν ὦσιν ἐσθῆτα περικείμενοι τὰς μορφὰς ἔχουσαν τὰς βασιλικὰς μέγα φρονοῦσι καὶ διὰ τοῦτο βούλονται πλείονος ἀξιοῦσθαι τῆς τιμῆς καὶ δορυφορίας ἀπολαύουσιν. Εἰ τοίνυν ἐκεῖνοι οἱ ἐπὶ ἱματίου τὴν μορφὴν ἔχοντες ἐπικειμένην ἐντεῦθεν εἶναι αἰδέσιμοι βούλον-

---

23. Ματθ. 5,33–34.

ὁρκίζονται. Γιατὶ λέγει, «λέχθηκε, μὴ παραβεῖς τὸν ὅρκο σου. Ἐγὼ ὅμως σᾶς λέγω νὰ μὴ ὁρκίζεσθε καθόλου»[23]. Ἄκουσες ὅτι δὲν πρέπει νὰ ὁρκίζεσαι καθόλου· μὴ θέλεις λοιπὸν ποτὲ νὰ ἐξετάζεις σχολαστικὰ τὰ ὅσα νομοθέτησε ὁ Κύριος, ἀλλὰ ὑπάκουε σ' ἐκεῖνον ποὺ τὰ πρόσταξε καὶ μ' ὅλα καθάριζε τὸ νοῦ σου.

43. Νὰ μὴ ἐνδιαφέρεσαι πλέον γιὰ τὶς ἱπποδρομίες καὶ τὰ θεάματα τῶν παράνομων θεάτρων, γιατὶ εἶναι καὶ ἐκεῖνα ὑποδαυλίσματα τῆς ἀσέλγειας, οὔτε καὶ γιὰ τὶς ἀπάνθρωπες ἀπολαύσεις τῶν θηριομαχιῶν. Γιατὶ πές μου ποιά ἀπόλαυση εἶναι νὰ δεῖς τὸν συνάνθρωπό σου καὶ ποὺ ἔχει τὴν ἴδια φύση μὲ σένα νὰ σπαράσσεται ἀπὸ τὰ ἀνήμερα θηρία; Καὶ δὲ φοβᾶσαι οὔτε φρίττεις μήπως πέσει κεραυνὸς ἀπὸ τὸν οὐρανὸ καὶ σοῦ κάψει τὸ κεφάλι; Γιατί σὺ ἀκονᾶς, ὅπως θὰ μπορούσαμε νὰ ποῦμε, τὰ δόντια τοῦ θηρίου, καὶ ὅσο ἐξαρτᾶται ἀπὸ σένα διαπράττεις καὶ σὺ ὁ ἴδιος τὸ φόνο μὲ τὴ φωνή σου, ἂν καὶ ὄχι μὲ τὸ χέρι ἀλλὰ μὲ τὴ γλώσσα.

44. Μή, παρακαλῶ, μὴν ἀδιαφορεῖτε τόσο πολὺ γιὰ τὴ σωτηρία σας. Σκέψου τὴν ἀξία σου καὶ νιῶσε ντροπή· γιατί, ἂν κάποιος ὑπερηφανεύεται γιὰ ἀνθρώπινο ἀξίωμα καὶ πολλὲς φορὲς ἀποφεύγει νὰ κάμει κάτι γιὰ νὰ μὴ προσβάλει τὸ ἀξίωμα, σὺ ποὺ πρόκειται ν' ἀποκτήσεις τόσο μεγάλο ἀξίωμα δὲν ὀφείλεις νὰ καταστήσεις ἀπὸ τώρα ἀξιοσέβαστο τὸν ἑαυτό σου; Γιατὶ τὸ ἀξίωμά σου εἶναι τέτοιο, ὥστε καὶ στὴν ἐδῶ ζωὴ παραβρίσκεται μαζί σου καὶ στὴ μέλλουσα ζωὴ μεταβαίνει μαζί σου. Καὶ ποιό εἶναι αὐτὸ τὸ ἀξίωμα; Χριστιανὸς καὶ πιστὸς θὰ ὀνομάζεσαι ἀπὸ ἐδῶ καὶ στὸ ἑξῆς ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Νά, θὰ ἔχεις ὄχι ἕνα ἀλλὰ δυὸ ἀξιώματα· πρόκειται μετὰ ἀπὸ λίγο νὰ ντυθεῖς τὸ Χριστὸ καὶ πρέπει, σὰν νὰ βρίσκεται ἐκεῖνος παντοῦ μαζί σου, ἔτσι καὶ νὰ πράττεις καὶ νὰ σκέπτεσαι ὅλα.

45. Ἢ δὲ βλέπεις ἐκείνους ποὺ διοικοῦν τὰ πολιτικὰ πράγματα, πῶς, ὅταν φοροῦν τὸ ἔνδυμα ποὺ ἔχει τὶς βασιλικὲς μορφές, μεγαλοφρονοῦν καὶ γι' αὐτὸ ἔχουν τὴν ἀξίωση ν' ἀπολαμβάνουν μεγαλύτερη τιμὴ καὶ νὰ ἔχουν καὶ ἀκολούθους; Ἐὰν λοιπὸν ἐκεῖνοι ποὺ ἔχουν τὴ βασιλικὴ μορφὴ ἐπάνω στὸ ἔνδυμα θέλουν ἐξ αἰτίας αὐτῆς νὰ εἶναι ἀξιοσέβαστοι, πολὺ περισσότερο πρέπει νὰ θέλεις

ται, πολλῷ μᾶλλον σὺ ὁ αὐτὸν μέλλων ἐνδύεσθαι τὸν Χριστόν. «Ἐνοικήσω γὰρ ἐν ὑμῖν», φησί, «καὶ ἐμπεριπατήσω καὶ ἔσομαι ὑμῶν Θεός».

46. Φεύγετε τοίνυν πάντα ταῦτα τὰ πονηρὰ δελεάσματα τοῦ διαβόλου καὶ τῆς εἰς τὴν ἐκκλησίαν εἰσόδου μηδὲν ὑμῖν ἔστω προτιμότερον. Καὶ μετὰ τῆς ἀποχῆς τῶν βρωμάτων καὶ τῆς τῶν κακῶν ἀποχῆς, πολλὴ ὑμῖν γινέσθω τῆς ἀρετῆς ἡ σπουδή· καὶ τὸν καιρὸν ἅπαντα τῆς ἡμέρας διανείμωμεν, τὸν μὲν ἐν εὐχαῖς καὶ ἐξομολογήσει, τὸν δὲ ἐν ἀναγνώσει καὶ κατανύξει ψυχῆς καὶ ἡ σπουδὴ ἡμῶν πᾶσα γινέσθω ὥστε περὶ τῶν πνευματικῶν ἡμῖν εἶναι τὰς διαλέξεις. Πολλῆς ἡμῖν δεῖ τῆς ἀκριβείας πρὸς τὸ μὴ ἁλῶναι ταῖς τοῦ πονηροῦ παγίσιν. Εἰ γὰρ ὑπὲρ ἀργοῦ λόγου δίκας ἀπαιτούμεθα, πολλῷ μᾶλλον ὑπὲρ τῶν φλυαριῶν τῶν ἀκαίρων, ὑπὲρ τῶν βιωτικῶν διαλέξεων.

47. Ἂν τοίνυν οὕτω φροντίζητε καὶ ἐπιμελήσησθε τῆς κατὰ ψυχὴν ὑμῶν ὑγείας, καὶ τὸν Θεὸν εἰς πλείονα εὔνοιαν ἐπισπάσεσθαι καὶ αὐτοὶ πλείονος ἀπολαύσετε τῆς παρρησίας καὶ ἡμεῖς μετὰ πολλῆς τῆς προθυμίας καὶ τὴν εἰς τὸ ἑξῆς διδασκαλίαν ποιησόμεθα, εἰδότες ὅτι εἰς εὐγνώμονας ἀκοὰς καὶ εἰς λιπαρὰν καὶ βαθύγειον ἄρουραν τὰ πνευματικὰ ταῦτα καταβάλλομεν σπέρματα. Γένοιτο δὲ καὶ ὑμᾶς δαψιλοῦς ἀξιωθῆναι τῆς παρὰ Θεοῦ δωρεᾶς καὶ ἡμᾶς τῆς παρ' αὐτοῦ τυχεῖν φιλανθρωπίας, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

24. Ματθ. 12,36.

ἐσὺ ποὺ πρόκειται νὰ ντυθεῖς τὸν ἴδιο τὸ Χριστό. Γιατὶ λέγει, «θὰ κατοικήσω μέσα σας, θὰ περπατῶ μαζί σας καὶ θὰ εἶμαι ὁ Θεός σας»[24].

46. Ἀποφεύγετε λοιπὸν ὅλα αὐτὰ τὰ πονηρὰ δελεάσματα τοῦ διαβόλου καὶ τίποτε νὰ μὴ θεωρεῖτε προτιμότερο ἀπὸ τὴ μετάβασή σας στὴν ἐκκλησία. Καὶ μαζὶ μὲ τὴν ἀποχὴ ἀπὸ τὶς τροφὲς καὶ τὴν ἀποχὴ ἀπὸ τὰ κακά, ἂς δείχνομε μεγάλη προθυμία γιὰ τὴν ἀρετή, καὶ ἂς διαμοιράσομε ὅλο τὸ χρόνο τῆς ἡμέρας ἕνα μέρος σὲ προσευχὲς καὶ ἐξομολογήσεις καὶ τὸ ἄλλο στὴν ἀνάγνωση καὶ τὴν κατάνυξη τῆς ψυχῆς καὶ ὅλη ἡ φροντίδα μας νὰ εἶναι γιὰ πνευματικὲς συνομιλίες. Πρέπει νὰ εἴμαστε πάρα πολὺ προσεκτικοί, ὥστε νὰ μὴ πέσομε στὶς παγίδες τοῦ διαβόλου. Γιατί, ἂν θὰ λογοδοτήσομε γιὰ τὸν ἀργὸ λόγο, πολὺ περισσότερο θὰ συμβεῖ αὐτὸ γιὰ τὶς ἄκαιρες φλυαρίες καὶ τὶς κοσμικὲς συζητήσεις.

47. Ἂν λοιπὸν φροντίζετε ἔτσι καὶ συγκεντρώσετε ὅλο τὸ ἐνδιαφέρον σας γιὰ τὴν ὑγεία τῶν ψυχῶν σας, καὶ τὸ Θεὸ θὰ τὸ προσελκύσετε ὥστε νὰ ἐπιδείξει μεγαλύτερη ἀγάπη πρὸς ἐσᾶς καὶ οἱ ἴδιοι θ' ἀπολαύσετε μεγαλύτερη παρρησία, καὶ ἐγὼ μὲ μεγαλύτερη προθυμία θὰ κάμω στὸ ἑξῆς τὴ διδασκαλία, γνωρίζοντας ὅτι ρίχνω τὰ πνευματικὰ αὐτὰ σπέρματα σὲ εὐγνώμονα αὐτιὰ καὶ σὲ γόνιμη καὶ εὔφορη πρὸς καλλιέργεια γῆ. Καὶ εὔχομαι καὶ σεῖς ν' ἀξιωθεῖτε πλουσίως τῆς δωρεᾶς τοῦ Θεοῦ καὶ ἐμεῖς νὰ τύχομε τῆς φιλανθρωπίας αὐτοῦ, μὲ τὴ χάρη καὶ τοὺς οἰκτιρμοὺς τοῦ μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΚΑΤΗΧΗΣΙΣ Β΄

ΑΚΟΛΟΥΘΙΑ ΠΡΟΣ ΤΟΥΣ ΜΕΛΛΟΝΤΑΣ ΦΩΤΙΖΕΣΘΑΙ ΚΑΙ ΣΑΦΗΣ ΑΠΟΔΕΙΞΙΣ ΤΩΝ ΣΥΜΒΟΛΙΚΩΣ ΤΕ ΚΑΙ ΤΥΠΙΚΩΣ ΕΝ ΤΩι ΘΕΙΩι ΒΑΠΤΙΣΜΑΤΙ ΤΕΛΟΥΜΕΝΩΝ

1. Φέρε δὴ πάλιν τοῖς εἰς τὸ ἴδιον τοῦ Χριστοῦ ἀπογραψαμένοις μικρά τινα διαλεχθῶμεν, δεικνύντες αὐτοῖς καὶ τῶν ὅπλων ὧν μέλλουσιν ὑποδέχεσθαι τὴν δύναμιν καὶ τοῦ φιλανθρώπου Θεοῦ τὴν ἄφατον ἀγαθότητα, ἣν περὶ τὸ τῶν ἀνθρώπων ἐπιδείκνυται γένος, ἵνα μετὰ πολλῆς τῆς πίστεως καὶ τῆς πληροφορίας προσελθόντες δαψιλεστέρας ἀπολαύσωσι τῆς φιλοτιμίας. Ἐννόησον γάρ μοι, ἀγαπητέ, ἐξ αὐτῶν τῶν προοίμιων τῆς ἀγαθότητος τὴν ὑπερβολήν. Εἰ γὰρ μηδέπω καμόντας μηδὲ ἐπιδειξαμένους τι γενναῖον τοσαύτης ἀξιοῖ τῆς δωρεᾶς καὶ τὰ ἐν παντὶ χρόνῳ πεπλημμελημένα ἀφίησιν, εἰ μετὰ τὴν τοσαύτην φιλοτιμίαν εὐγνώμονες γενόμενοι τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν βουληθείητε, πόσης ὑμᾶς εἰκὸς ἀξιωθῆναι παρὰ τοῦ φιλανθρώπου Θεοῦ τῆς ἀμοιβῆς;

2. Ἐπὶ μὲν οὖν τῶν ἀνθρωπίνων πραγμάτων οὐδέν ἐστι τοιοῦτον ἰδεῖν γινόμενόν ποτε, ἀλλὰ πολλοὶ πολλάκις μετὰ τοὺς πολλοὺς πόνους καὶ τὰς ταλαιπωρίας ἃς ὑφίστανται ἐλπίδι τῶν ἀμοιβῶν κεναῖς οἴκαδε ἀναχωροῦσι χερσίν, ἢ τῶν προσδοκηθέντων ἀμείβεσθαι ἀγνωμόνων γενομένων περὶ τοὺς πολλὰ κεκμηκότας ἢ καὶ



ΚΑΤΗΧΗΣΗ ΔΕΥΤΕΡΗ

ΣΥΝΕΧΕΙΑ ΤΗΣ ΟΜΙΛΙΑΣ ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΕΠΡΟΚΕΙΤΟ ΝΑ ΒΑΠΤΙΣΘΟΥΝ ΚΑΙ ΣΑΦΗΣ ΑΠΟΔΕΙΞΗ ΤΩΝ ΣΥΜΒΟΛΙΚΩΣ ΚΑΙ ΤΥΠΙΚΩΣ ΤΕΛΟΥΜΕΝΩΝ ΚΑΤΑ ΤΟ ΘΕΙΟ ΒΑΠΤΙΣΜΑ

1. Ἐμπρὸς λοιπὸν πάλι ἂς ποῦμε λίγα πρὸς ἐκείνους ποὺ γράφθηκαν στὸ στράτευμα τοῦ Χριστοῦ, δείχνοντας σ' αὐτοὺς καὶ τὴ δύναμη τῶν ὅπλων ποὺ πρόκειται νὰ λάβουν καὶ τὴν ἀπερίγραπτη ἀγαθότητα τοῦ φιλάνθρωπου Θεοῦ ποὺ δείχνει πρὸς τὸ ἀνθρώπινο γένος, ὥστε προσερχόμενοι μὲ μεγάλη πίστη καὶ βεβαιότητα ν' ἀπολαύσουν πλουσιότερη τὴ γενναιοδωρία τοῦ Θεοῦ. Καὶ σκέψου, ἀγαπητέ, σὲ παρακαλῶ ἀπὸ τὴν ἀρχὴ ἀκόμη τὴν ὑπερβολικὴ ἀγαθότητα αὐτοῦ. Γιατί, ἂν χωρὶς ἀκόμη νὰ κοπιάσετε οὔτε καὶ νὰ ἐπιδείξετε κάτι τὸ γενναῖο σᾶς ἀξιώνει τόσης μεγάλης δωρεᾶς καὶ σᾶς συγχωρεῖ τὰ ὅσα πλημμελήματα διαπράξατε σ' ὅλη τὴν προηγούμενη ζωή σας, ἂν μετὰ τὴν τόση μεγάλη γενναιοδωρία, δείχνοντας εὐγνωμοσύνη, θελήσετε νὰ προσφέρετε τὰ ὅσα ἐξαρτῶνται ἀπὸ σᾶς, πόσης ἀμοιβῆς φυσικὸ εἶναι ν' ἀξιωθεῖτε ἀπὸ τὸν φιλάνθρωπο Θεό;

2. Στὴν περίπτωση βέβαια τῶν ἀνθρωπίνων πραγμάτων δὲν εἶναι δυνατὸ ποτὲ νὰ δεῖ κανεὶς νὰ γίνεται κάτι τέτοιο, ἀλλὰ πολλοὶ πολλὲς φορὲς μετὰ τοὺς πολλοὺς κόπους καὶ τὶς ταλαιπωρίες ποὺ ὑπομένουν μὲ τὴν ἐλπίδα τῶν ἀμοιβῶν, γυρίζουν στὸ σπίτι τους μὲ ἄδεια χέρια, ἢ ἐπειδὴ φάνηκαν ἀχάριστοι πρὸς ἐκείνους ποὺ κόπιασαν τόσο πολὺ ἐκεῖνοι ἀπὸ τοὺς ὁποίους ἔλπισαν ὅτι θ' ἀμει-

πολλάκις προαναρπασθέντων ἐκ τοῦ μέσου καὶ μὴ δυνηθέντων ἀποπληρῶσαι τὸν οἰκεῖον σκοπόν. Ἐπὶ δὲ τοῦ Δεσπότου τοῦ ἡμετέρου οὐ μόνον οὐδέν ἐστι τοιοῦτον ὑποπτεῦσαί ποτε, ἀλλὰ καὶ πρὶν ἢ ἄρξασθαι ἡμᾶς τῶν πόνων καὶ ἐπιδείξασθαι τὰ παρ' ἑαυτῶν, προλαμβάνων τὴν οἰκείαν φιλοτιμίαν ἐπιδείκνυται, ἵνα ταῖς εὐεργεσίαις ταῖς πολλαῖς ἐπισπάσηται ἡμᾶς πρὸς τὴν τῆς οἰκείας σωτηρίας πρόνοιαν.

3. Οὕτως οὖν ἄνωθεν καὶ ἐξ ἀρχῆς εὐεργετῶν διετέλεσε τὸ τῶν ἀνθρώπων γένος. Ὁμοῦ γὰρ ἐδημιούργησε τὸν πρωτόπλαστον καὶ εὐθέως καὶ ἐκ προοιμίων τῷ παραδείσῳ τοῦτον ἐγκατῴκισε καὶ τὸν ἀταλαίπωρον αὐτῷ βίον ἐκεῖνον ἐδωρήσατο, πάντων τῶν ἐν τῷ παραδείσῳ τὴν ἀπόλαυσιν πλὴν ἑνὸς ξύλου παρασχών. Ἀλλ' ὑπὸ ἀκρασίας ἐκεῖνος ἀπατηθεὶς ὑπὸ τῆς γυναικός, κατεπάτησε τὴν δοθεῖσαν ἐντολὴν καὶ ὕβρισεν εἰς τὴν τοιαύτην τιμήν.

4. Ἀλλ' ὅρα καὶ ἐνταῦθα τὸ μέγεθος τῆς φιλανθρωπίας. Δέον γὰρ τὸν οὕτως ἀγνώμονα περὶ τὰς προλαβούσας εὐεργεσίας γεγενημένον μηκέτι συγγνώμης τινὸς ἀξιῶσαι ἀλλ' ἔξω τῆς αὐτοῦ προνοίας τοῦτον καταστῆσαι, οὐ μόνον τοῦτο οὐκ ἐποίησεν, ἀλλὰ καθάπερ πατὴρ φιλόστοργος παῖδα ἄτακτον ἔχων, ὑπὸ τῆς φυσικῆς φιλοστοργίας κινούμενος, οὐ πρὸς τὸ πλημμέλημα τὰς ἐπιτιμήσεις ἐπάγει οὐδ' αὖ πάλιν πάντη αὐτὸν ἀνίησιν ἀλλὰ σωφρονίζει μετρίως ὥστε μὴ εἰς πλείονα κακίαν ἐξοκεῖλαι. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ ἀγαθὸς Θεός, ἐπειδὴ πολλὴν ἐπεδείξατο τὴν παρακοήν, τῆς μὲν διαγωγῆς αὐτὸν ἐκείνης ἐξέβαλε, καταστέλλων δὲ αὐτοῦ λοιπὸν τὸ φρόνημα ὥστε μὴ ἐπιπλέον ἀποσκιρτῆσαι, πόνῳ καὶ ταλαιπωρίᾳ κατεδίκασε μονονουχὶ λέγων πρὸς αὐτόν.

5. Ἡ ἄνεσις ἡ πολλὴ καὶ ἡ ἄδεια εἰς τοσαύτην σε παρακοὴν ἤγαγε καὶ ἐποίησεν ἐπιλαθέσθαι τῶν ἐμῶν ἐντολῶν, καὶ τὸ μηδὲν ἔχειν ποιεῖν παρεσκεύασέ σε πλέον τι τῆς οἰκείας φύσεως ἐννοῆ-

φθοῦν, ἢ καὶ πολλὲς φορὲς ἐπειδὴ ἁρπάχθηκαν πρὶν ἀπὸ τὴν ὥρα ἀπὸ τὸν κόσμο αὐτὸ καὶ δὲν μπόρεσαν νὰ ἐκπληρώσουν τὸ σκοπό τους. Στὴν περίπτωση ὅμως τοῦ δικοῦ μας Κυρίου ὄχι μόνο δὲν εἶναι δυνατὸ νὰ σκεφθεῖ κανεὶς ποτὲ κάτι τέτοιο, ἀλλὰ καὶ προτοῦ ἀκόμη ἀρχίσομε τοὺς κόπους καὶ ἐπιδείξομε τὰ ὅσα ἐξαρτῶνται ἀπὸ μᾶς, ἔρχεται πρὶν ἀπὸ ὅλα αὐτὰ καὶ δείχνει τὴν γενναιοδωρία του, ὥστε μὲ τὶς πολλὲς εὐεργεσίες του νὰ μᾶς προσελκύσει πρὸς τὴν πρόνοια τῆς σωτηρίας μας.

3. Ἔτσι λοιπὸν ἀπὸ τὴν πρώτη στιγμὴ καὶ ἀπὸ τὴν ἀρχὴ τῆς δημιουργίας μας ἐπέδειξε τὶς εὐεργεσίες του πρὸς τὸ ἀνθρώπινο γένος. Γιατὶ μόλις δημιούργησε τὸν πρωτόπλαστο ἀμέσως καὶ ἀπὸ τὴν πρώτη στιγμὴ τὸν ἐγκατέστησε στὸν παράδεισο καὶ τοῦ δώρησε τὸν χωρὶς ταλαιπωρίες ἐκεῖνο βίο, παρέχοντάς του τὴν ἀπόλαυση ὅλων τῶν τοῦ παραδείσου ἐκτὸς ἀπὸ τοὺς καρποὺς ἑνὸς δένδρου. Ἀλλ' ἐκεῖνος ἀπὸ ἔλλειψη ἐγκράτειας, ἀφοῦ ἐξαπατήθηκε ἀπὸ τὴ γυναίκα του, παρέβηκε τὴν ἐντολὴ ποὺ τοῦ δόθηκε καὶ περιφρόνησε τὴν τόσο μεγάλη τιμή.

4. Πρόσεχε ὅμως καὶ ἐδῶ τὸ μέγεθος τῆς φιλανθρωπίας. Ἐνῶ δηλαδὴ ἔπρεπε ἐκεῖνον ποὺ ἔδειξε τόση ἀχαριστία πρὸς τὶς εὐεργεσίες ποὺ τοῦ δόθηκαν ἀπὸ πρὶν νὰ μὴν τὸν ἀξιώσει ποτὲ πλέον κάποιας συγχωρήσεως ἀλλὰ νὰ τὸν ἀφήσει ἔξω ἀπὸ τὴν πρόνοιά του, ὄχι μόνο δὲν ἔκαμε αὐτὸ ἀλλὰ σὰν πατέρας φιλόστοργος ποὺ ἔχει παιδὶ ἄτακτο, κινούμενος ἀπὸ φυσικὴ φιλοστοργία, δὲν τοῦ ἐπιβάλλει τὶς τιμωρίες σύμφωνα μὲ τὸ πλημμέλημά του, οὔτε πάλι τὸ ἀφήνει ἐντελῶς ἀτιμώρητο, ἀλλὰ τὸ σωφρονίζει μέτρια, ὥστε νὰ μὴ ὁδηγηθεῖ σὲ μεγαλύτερη κακία. Κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ ὁ ἀγαθὸς Θεός, ἐπειδὴ ἐπέδειξε μεγάλη παρακοή, τὸν ἀπομάκρυνε βέβαια ἀπὸ ἐκεῖνον τὸν τρόπο ζωῆς, συγκρατώντας ὅμως στὸ ἑξῆς τὸ φρόνημά του ὥστε νὰ μὴ ἀποσκιρτήσει περισσότερο, τὸν καταδίκασε νὰ ζεῖ μὲ κόπο καὶ ταλαιπωρία, λέγοντάς του κατὰ κάποιο τρόπο τὰ ἑξῆς.

5. Ἡ μεγάλη ἄνεση καὶ ἐλευθερία σου σὲ ὁδήγησε σὲ τόσο μεγάλη παρακοὴ καὶ σ' ἔκαμε νὰ λησμονήσεις τὶς ἐντολές μου, καὶ ἐπειδὴ δὲν εἶχες νὰ κάμεις κάτι σὲ ἔκαμε νὰ σκεφθεῖς κάτι μεγα-

σαι, «πᾶσαν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία», διὰ τοῦτο πόνῳ σε καὶ ταλαιπωρίᾳ καταδικάζω, ἵνα τὴν γῆν ἐργαζόμενος ὑπόμνησιν ἔχῃς διηνεκῆ καὶ τῆς παρακοῆς καὶ τῆς εὐτελείας τῆς οἰκείας φύσεως. Ἐπειδὴ γὰρ μεγάλα ἐφαντάσθης καὶ ἐπὶ τῶν οἰκείων ὅρων μεῖναι οὐκ ἠβουλήθης, διὰ τοῦτο ἐξ ἧς γῆς ἐλήφθης ἐκεῖσε πάλιν ἐπανελθεῖν κελεύω· «γῆ γὰρ εἶ», φησί, «καὶ εἰς γῆν ἀπελεύσῃ».

6. *Καὶ ἵνα ἐπίτασιν αὐτῷ τῆς ὀδύνης ἐργάσηται καὶ ποιήσῃ αἴσθησιν λαβεῖν τοῦ οἰκείου πταίσματος, οὐ μακράν που αὐτὸν ἀπῴκισεν ἀλλὰ πλησίον τοῦ παραδείσου, ἀποτειχίσας αὐτῷ τὴν ἐκεῖσε εἴσοδον, ἵνα καθ' ἑκάστην ὥραν ὁρῶν τίνων ἑαυτὸν δι' ἀπροσεξίαν ἀπεστέρησε, διηνεκοῦς ἀπολαύῃ νουθεσίας καὶ ἀσφαλέστερος εἰς τὸ ἑξῆς γένηται περὶ τὴν τῶν διδομένων ἐντολῶν φυλακήν. Ὅταν γὰρ ἐν ἀπολαύσει τῶν ἀγαθῶν ὄντες μὴ αἰσθανώμεθα ὃν χρὴ τρόπον τῆς εὐεργεσίας, ἐπειδὰν ἐν στερήσει αὐτῶν γενώμεθα, τότε πλείονα τὴν αἴσθησιν λαμβάνοντες ἐκ τῆς ἀφαιρέσεως μείζονα καὶ τὴν ὀδύνην ὑπομένομεν, ὃ δὴ καὶ ἐπὶ τοῦ πρωτοπλάστου τότε γέγονεν.*

7. *Ἀλλ' ἵνα μάθῃς καὶ τοῦ πονηροῦ δαίμονος τὴν ἐπιβουλὴν καὶ τοῦ Δεσπότου τοῦ ἡμετέρου τὸ σοφὸν καὶ εὐμήχανον, σκόπησον τί μὲν ὁ διάβολος ἐπεχείρησε διὰ τῆς ἀπάτης ἐργάσασθαι τὸν ἄνθρωπον, τίνα δὲ ὁ Δεσπότης καὶ κηδεμὼν περὶ αὐτὸν τὴν φιλανθρωπίαν ἐπεδείξατο. Ἐκεῖνος γὰρ ὁ πονηρὸς δαίμων φθονήσας αὐτῷ τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς ἐλπίδι μείζονος ὑποσχέσεως καὶ τῶν ἐν χερσὶν ἐξέβαλεν· ἰσοθεΐαν γὰρ αὐτὸν φαντασθῆναι παρασκευάσας εἰς τὸ ἐπιτίμιον τοῦ θανάτου ἤγαγε. Τοιαῦτα γὰρ αὐτοῦ τὰ δελεάσματα καὶ οὐ μόνον τῶν ἐν χερσὶν ἡμᾶς ἀγαθῶν ἐκβάλλει ἀλλὰ καὶ εἰς μείζονα κρημνὸν ἐμβάλλειν ἐπιχειρεῖ. Ἀλλ' ὁ φιλάνθρωπος Θεὸς οὐδὲ οὕτω περιεῖδε τὸ τῶν ἀνθρώπων γένος, ἀλλὰ δεικνὺς καὶ τῷ διαβόλῳ ὡς ἀνονήτοις ἐπεχείρησε καὶ τῷ ἀνθρώπῳ ὅσην περὶ αὐτὸν κηδεμονίαν ἐπιδείκνυται διὰ τοῦ θανάτου τὴν ἀθανασίαν ἐδωρήσατο. Σκόπει γάρ· ἐξέβαλεν αὐτὸν ἐκεῖνος*

---

1. Σοφ. Σειρὰχ 30,37.
2. Γεν. 3,19.

λύτερο ἀπὸ τὴ φύση σου, «γιατὶ κάθε κακία τὴ δίδαξε ἡ ἀργία»[1]· γι' αὐτὸ σὲ καταδικάζω νὰ ζεῖς μὲ κόπο καὶ ταλαιπωρία, ὥστε, καλλιεργώντας τὴ γῆ, νὰ θυμᾶσαι πάντοτε καὶ τὴν παρακοὴ καὶ τὴν εὐτέλεια τῆς φύσεώς σου. Ἐπειδὴ δηλαδὴ φαντάσθηκες μεγάλα καὶ δὲ θέλησες νὰ μείνεις μέσα στὰ ὅριά σου, γι' αὐτὸ στὴ γῆ, ἀπὸ τὴν ὁποία πλάσθηκες, σ' αὐτὴν πάλι σὲ προστάζω νὰ ἐπιστρέψεις· γιατί, λέγει, «χῶμα εἶσαι καὶ στὸ χῶμα θὰ ἐπιστρέψεις»[2].

6. Καὶ γιὰ ν' αὐξήσει τὸν πόνο του καὶ νὰ τὸν κάμει νὰ συναισθανθεῖ τὸ πταῖσμα του δὲν τὸν ἔστειλε νὰ κατοικίσει κάπου μακριά, ἀλλὰ κοντὰ στὸν παράδεισο, ἀπαγορεύοντάς του τὴν εἴσοδο σ' αὐτόν, ὥστε, βλέποντας κάθε ἡμέρα ἀπὸ ποιά ἀγαθὰ στέρησε τὸν ἑαυτό του ἐξ αἰτίας τῆς ἀπροσεξίας του, νὰ δέχεται διαρκῆ νουθεσία καὶ νὰ γίνει στὸ ἑξῆς ἀσφαλέστερος ὡς πρὸς τὴ φύλαξη τῶν ἐντολῶν ποὺ τοῦ δίνονται. Γιατί, ὅταν ἀπολαμβάνομε τὰ ἀγαθὰ καὶ δὲν αἰσθανόμαστε τὴν εὐεργεσία μὲ τὸν τρόπο ποὺ πρέπει, ἂν στερηθοῦμε αὐτά, τότε αἰσθανόμαστε αὐτὰ περισσότερο ἐξ αἰτίας τῆς ἀφαιρέσεως καὶ νιώθομε μεγαλύτερο πόνο, πράγμα βέβαια ποὺ συνέβηκε τότε καὶ μὲ τὸν πρωτόπλαστο.

7. Ἀλλὰ γιὰ νὰ μάθεις καὶ τοῦ πονηροῦ δαίμονα τὴν ἐπιβουλὴ καὶ τοῦ Κυρίου μας τὴ σοφία καὶ τὴν ἐπινοητικότητα, σκέψου ποιό εἶναι ἐκεῖνο ποὺ ἐπιχείρησε ὁ διάβολος νὰ κάμει στὸν ἄνθρωπο μὲ τὴν ἀπάτη, καὶ ποιά φιλανθρωπία ἔδειξε γι' αὐτὸν ὁ Κύριος καὶ κηδεμόνας του. Ἐκεῖνος δηλαδὴ ὁ πονηρὸς δαίμονας, ἐπειδὴ τὸν φθόνησε γιὰ τὴ ζωή του μέσα στὸν παράδεισο, μὲ τὴν ἐλπίδα μεγαλυτέρων ὑποσχέσεων τοῦ στέρησε καὶ ἐκεῖνα ποὺ εἶχε στὰ χέρια του· γιατί, κάμνοντάς τὸν νὰ φαντασθεῖ ὅτι θὰ γίνει ἴσος μὲ τὸ Θεό, τὸν ὁδήγησε στὸ νὰ δεχθεῖ τὴν τιμωρία τοῦ θανάτου. Γιατὶ τέτοια εἶναι τὰ δελεάσματα αὐτοῦ καὶ ὄχι μόνο μᾶς στερεῖ τὰ ἀγαθὰ ποὺ ἔχομε στὰ χέρια μας, ἀλλ' ἐπιχειρεῖ νὰ μᾶς ρίξει καὶ σὲ μεγαλύτερο γκρεμό. Ὁ φιλάνθρωπος ὅμως Θεὸς οὔτε ἔτσι ἀδιαφόρησε γιὰ τὸ ἀνθρώπινο γένος, ἀλλὰ δείχνοντας καὶ στὸ διάβολο ὅτι ἐπιχείρησε ἀνώφελα πράγματα, καὶ στὸν ἄνθρωπο πόση φροντίδα δείχνει γι' αὐτόν, τοῦ δώρησε μὲ τὸ θάνατο τὴν ἀθανασία. Πρόσεχε δηλαδή· ἀπομάκρυνε ἐκεῖνος αὐτὸν ἀπὸ τὸν παράδεισο·

τοῦ παραδείσου, εἰσήγαγεν ὁ Δεσπότης εἰς τὸν οὐρανόν· μείζων τῆς ζημίας ἡ ἐμπορία.

8. Ἀλλ' ὅπερ ἐξ ἀρχῆς ἔλεγον διὸ καὶ ταῦτα εἰπεῖν προήχθην, εἰ τοίνυν τὸν εἰς τὰς τοσαύτας εὐεργεσίας ἀγνώμονα γενόμενον τοσαύτης πάλιν ἠξίωσε τῆς ἑαυτοῦ φιλανθρωπίας, ἐὰν ὑμεῖς οἱ τοῦ Χριστοῦ στρατιῶται περὶ τὰς παρεχομένας ὑμῖν ἀφάτους ταύτας δωρεὰς εὐγνώμονες γενέσθαι σπουδάσητε καὶ περὶ τὴν φυλακὴν τῶν παρασχεθέντων διαγρηγορήσητε, πόσης, εἰπέ μοι, τεύξεσθε τῆς παρ' αὐτοῦ φιλοτιμίας μετὰ τὴν φυλακήν; Αὐτὸς γάρ ἐστιν ὁ εἰρηκώς· «τῷ ἔχοντι δοθήσεται καὶ περισσευθήσεται». Ὁ γὰρ περὶ τὰ ἤδη δοθέντα ἄξιον ἑαυτὸν ἀπεργαζόμενος δίκαιος ἂν εἴη καὶ μειζόνων ἀπολαῦσαι.

9. Πάντες τοίνυν ὅσοι κατηξιώμεθα ἐγγραφῆναι τῇ ἐπουρανίῳ ταύτῃ βίβλῳ, δαψιλῆ τὴν πίστιν εἰσενέγκατε καὶ ἐρρωμένον τὸν λογισμόν. Πίστεως γὰρ δεῖται τὰ ἐνταῦθα γινόμενα καὶ τῶν τῆς ψυχῆς ὀφθαλμῶν, ὥστε μὴ τοῖς ὁρωμένοις μόνον προσέχειν ἀλλ' ἀπὸ τούτων φαντάζεσθαι τὰ μὴ ὁρώμενα. Τοιοῦτοι γὰρ οἱ τῆς πίστεως ὀφθαλμοί· καθάπερ γὰρ οἱ τοῦ σώματος ἐκεῖνα μόνα ὁρᾶν δύνανται τὰ τῇ αἰσθήσει ὑποπίπτοντα, οὕτω καὶ οἱ τῆς πίστεως ἀπεναντίας ἐκείνοις. Οὐδὲν γὰρ τῶν ὁρωμένων βλέπουσιν ἀλλὰ τὰ μὴ βλεπόμενα ὡς πρὸς τῶν ὀφθαλμῶν κείμενα οὕτως ὁρῶσι. Τοῦτο γάρ ἐστι πίστις τὸ τοῖς μὴ ὁρωμένοις ὡς ὁρωμένοις προσέχειν. «Ἔστι» γάρ, φησί, «πίστις ἐλπιζομένων ὑπόστασις πραγμάτων, ἔλεγχος οὐ βλεπομένων».

10. Τί οὖν ἐστιν ὃ φημι καὶ πρὸς τί τοῦτό μοι εἴρηται μὴ τοῖς ὁρωμένοις προσέχειν ἀλλὰ πνευματικοὺς ὀφθαλμοὺς κεκτῆσθαι; Ἵν', ὅταν ἴδῃς τῶν ὑδάτων τὴν κολυμβήθραν καὶ τὴν χεῖρα τοῦ ἱερέως ἐφαπτομένην σου τῆς κεφαλῆς, μήτε ἐκεῖνο ἁπλῶς ὕδωρ μόνον εἶναι νομίσῃς μήτε τὴν χεῖρα μόνην τοῦ ἀρχιερέως ἐπικεῖσθαί σου τῇ κεφαλῇ. Οὐδὲ γὰρ ἄνθρωπός ἐστιν ὁ ἐργαζόμενος τὰ τελούμενα ἀλλ' ἡ τοῦ Πνεύματος χάρις ἐστὶν ἡ καὶ τῶν ὑδάτων τὴν φύ-

---

3. Ματθ. 25,29.
4. Ἑβρ. 11,1.

τὸν ὁδήγησε ὁ Κύριος στὸν οὐρανό· μεγαλύτερο τὸ κέρδος ἀπὸ τὴ ζημιά.

8. Ἀλλ' ἐκεῖνο ποὺ ἔλεγα στὴν ἀρχὴ καὶ γιὰ τὸ ὁποῖο εἶπα αὐτὰ ποὺ παρεμβλήθηκαν, ἂν δηλαδὴ ἐκεῖνον, ποὺ ἔδειξε τόση ἀχαριστία πρὸς τὶς τόσο μεγάλες εὐεργεσίες, τὸν κατέστησε πάλι ἄξιο τῆς φιλανθρωπίας του, ἂν σεῖς οἱ στρατιῶτες τοῦ Χριστοῦ φροντίσετε νὰ γίνετε εὐγνώμονες γιὰ τὶς δωρεὲς αὐτὲς ποὺ σᾶς παρέχονται καὶ ἐπαγρυπνήσετε στὸ νὰ διαφυλάξετε κι ὅσα σᾶς δόθηκαν, πόση, πές μου, γενναιοδωρία θὰ ἐπιτύχετε ἀπ' αὐτὸν μετὰ τὴ φύλαξη αὐτῶν; Γιατὶ αὐτὸς εἶναι ἐκεῖνος ποὺ εἶπε· «σ' ἐκεῖνον ποὺ ἔχει θὰ δοθοῦν καὶ ἄλλα καὶ θὰ περισσέψουν»[3]. Γιατί, ἐκεῖνος ποὺ καθιστὰ τὸν ἑαυτό του ἄξιο γιὰ ἐκεῖνα ποὺ ἤδη τοῦ δόθηκαν δίκαιο θὰ ἦταν ν' ἀπολαύσει καὶ μεγαλύτερα.

9. Ὅλοι λοιπὸν ὅσοι ἀξιωθήκατε νὰ ἐγγραφεῖτε στὴν ἐπουράνια αὐτὴ βίβλο, προσφέρατε πλούσια τὴν πίστη σας καὶ ὑγιῆ τὸ λογισμό σας. Γιατὶ τὰ ὅσα γίνονται ἐδῶ χρειάζονται πίστη καὶ τὰ μάτια τῆς ψυχῆς, ὥστε νὰ μὴ προσέχει κανεὶς μόνο τὰ ὅσα βλέπει, ἀλλ' ὁρμώμενος ἀπ' αὐτὰ νὰ φαντάζεται καὶ ἐκεῖνα ποὺ δὲν βλέπονται. Γιατὶ τέτοια εἶναι τὰ μάτια τῆς πίστεως· ὅπως ἀκριβῶς δηλαδὴ τὰ μάτια τοῦ σώματος μποροῦν νὰ βλέπουν ἐκεῖνα μόνο ποὺ ὑποπίπτουν στὴν αἴσθηση, ἔτσι καὶ τὰ μάτια τῆς πίστεως βλέπουν τὰ ἀντίθετα μ' ἐκεῖνα. Γιατὶ τίποτε ἀπὸ τὰ ὁρατὰ δὲν βλέπουν ἀλλ' ἐκεῖνα ποὺ δὲν βλέπονται τὰ βλέπουν αὐτὰ ἔτσι, σὰν νὰ βρίσκονται μπροστὰ στὰ μάτια μας. Καθόσον αὐτὸ εἶναι πίστη, τὸ νὰ βλέπει σὰν ὁρατὰ ἐκεῖνα ποὺ δὲν βλέπονται. Γιατὶ λέγει, «πίστη εἶναι ὕπαρξη πραγμάτων ποὺ ἐλπίζομε καὶ βεβαιότητα πραγμάτων ποὺ δὲν βλέπονται»[4].

10. Τί σημαίνει λοιπὸν αὐτὸ ποὺ λέγω καὶ γιὰ ποιό σκοπὸ σᾶς εἶπα αὐτό, τὸ νὰ μὴ προσέχομε δηλαδὴ τὰ ὁρατά, ἀλλὰ νὰ ἔχομε πνευματικοὺς ὀφθαλμούς; Μὲ σκοπό, ὅταν δεῖς τὴν κολυμβήθρα τῶν ὑδάτων καὶ τὸ χέρι τοῦ ἱερέα ἐπάνω στὸ κεφάλι σου, οὔτε ἐκεῖνο νὰ νομίσεις ὅτι εἶναι ἁπλῶς μόνο νερό, οὔτε ὅτι μόνο τὸ χέρι τοῦ ἀρχιερέα βρίσκεται ἐπάνω στὸ κεφάλι σου. Γιατὶ τὰ τελούμενα ἐκεῖ δὲν τὰ τελεῖ ἄνθρωπος, ἀλλ' ἡ χάρη τοῦ Πνεύματος

σιν ἁγιάζουσα καὶ μετὰ τῆς χειρὸς τοῦ ἱερέως ἐφαπτομένη σου τῆς κεφαλῆς. Οὐ καλῶς εἶπον ὅτι τῶν τῆς πίστεως ὀφθαλμῶν ἡμῖν χρεία πρὸς τὴν πίστιν τῶν μὴ ὁρωμένων ἵνα μηδὲν αἰσθητὸν ὑποπτεύωμεν;

11. Καὶ γὰρ τάφος ἐστὶ καὶ ἀνάστασις τὸ βάπτισμα· «συνθάπτεται γὰρ ὁ παλαιὸς ἄνθρωπος τῇ ἁμαρτίᾳ καὶ ἀνίσταται «ὁ νέος ὁ ἀνακαινούμενος κατ' εἰκόνα τοῦ κτίσαντος». Ἀποδυόμεθα καὶ ἐνδυόμεθα· ἀποδυόμεθα μὲν τὸ παλαιὸν ἱμάτιον τὸ ὑπὸ τοῦ πλήθους τῶν ἡμαρτημένων καταρρυπωθέν, ἐνδυόμεθα δὲ τὸ κοινὸν καὶ πάσης κηλῖδος ἀπηλλαγμένον. Τί δὲ λέγω; Αὐτὸν τὸν Χριστὸν ἐνδυόμεθα· «ὅσοι» γάρ, φησίν, «εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε».

12. Ἀλλ' ἐπειδὴ ἐπὶ θύραις λοιπόν ἐστιν ὁ καιρὸς καθ' ὃν μέλλετε τῶν τοσούτων ἀπολαύειν δωρεῶν, φέρε διδάξωμεν ὑμᾶς καὶ ἑκάστων τῶν γινομένων καθὼς οἷόν τε τὰς αἰτίας ἵνα εἰδέναι ἔχητε καὶ πλείονα τὴν πληροφορίαν δεξάμενοι οὕτως ἐντεῦθεν ἀναχωρήσητε. Δεῖ τοίνυν ὑμᾶς εἰδέναι τίνος ἕνεκεν μετὰ τὴν διδασκαλίαν τὴν καθημερινὴν ἐπὶ τὰς τῶν ἐξορκιζόντων ὑμᾶς φωνὰς παραπέμπομεν. Οὐδὲ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ τοῦτο γίνεται, ἀλλ' ἐπειδὴ μέλλετε ἔνοικον δέχεσθαι τὸν ἐπουράνιον βασιλέα διὰ τοῦτο μετὰ τὴν παρ' ἡμῶν νουθεσίαν παραλαμβάνοντες ὑμᾶς οἱ εἰς τοῦτο τεταγμένοι, καθάπερ οἰκίαν τινὰ εὐτρεπίζοντες τῷ μέλλοντι παραγίνεσθαι βασιλεῖ, οὕτως ἐκκαθαίρουσιν ὑμῶν τὴν διάνοιαν διὰ τῶν φοβερῶν ἐκείνων λόγων, φυγαδεύοντες πᾶσαν τοῦ πονηροῦ τὴν μηχανὴν καὶ ἀξίαν τῆς τοῦ βασιλέως παρουσίας κατασκευάζοντες. Οὐδὲ γὰρ οἷόν τε, κἂν ἄγριος ᾖ τις δαίμων κἂν ἀπηνής, μετὰ τὰς φωνὰς ἐκείνας τὰς φοβερὰς καὶ τὴν ἐπίκλησιν τοῦ κοινοῦ πάντων Δεσπότου μὴ μετὰ πολλοῦ τοῦ τάχους αὐτῶν ἀποστῆναι. Μετὰ τούτου δὲ καὶ αὐτὸ τὸ γινόμενον πολλὴν εὐλάβειαν ἐντίθησι τῇ ψυχῇ καὶ εἰς πολλὴν αὐτὴν ἄγει κατάνυξιν.

13. Καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον ὅτι πᾶσα ἀνωμαλία καὶ ἀξιωμάτων διαφορὰ ἐκποδὼν γίνεται· κἂν γὰρ ἐν ἀξιώματι

5. Κολ. 3,10.
6. Γαλ. 3,27.

εἶναι ἐκείνη ποὺ ἁγιάζει καὶ τὴ φύση τῶν ὑδάτων καὶ ἐφάπτεται μαζὶ με τὸ χέρι τοῦ ἱερέα τὸ κεφάλι σου. Δὲν εἶπα λοιπὸν σωστὰ ὅτι χειαζόμαστε τὰ μάτια τῆς πίστεως γιὰ νὰ πιστέψομε σ' ἐκεῖνα ποὺ δὲν βλέπονται, ὥστε νὰ μὴ ὑποπτευόμαστε τίποτε τὸ αἰσθητό;

11. Πραγματικὰ τὸ βάπτισμα εἶναι ἐνταφιασμὸς καὶ ἀνάσταση· γιατὶ ἐνταφιάζεται ὁ παλαιὸς ἄνθρωπος μαζὶ μὲ τὴν ἁμαρτία καὶ ἀνασταίνεται «ὁ νέος ποὺ ἀνανεώνεται κατ' εἰκόνα τοῦ δημιουργοῦ του»[5]. Ξεντυνόμαστε καὶ ντυνόμαστε· ξεντυνόμαστε τὸ παλιὸ ἔνδυμα ποὺ καταλερώθηκε ἀπὸ τὸ πλῆθος τῶν ἁμαρτημάτων, καὶ ντυνόμαστε τὸ καινούργιο, τὸ ἀπαλλαγμένο ἀπὸ κάθε κηλίδα. Ἀλλὰ τί λέγω; Ντυνόμαστε τὸν ἴδιο τὸ Χριστό· γιατὶ λέγει, «ὅσοι βαπτισθήκατε στὸ ὄνομα τοῦ Χριστοῦ, ντυθήκατε τὸ Χριστό»[6].

12. Ἐπειδὴ ὅμως βρίσκεται πλέον μπροστὰ στὶς θύρες ὁ καιρὸς κατὰ τὸν ὁποῖο πρόκειται ν' ἀπολαύσετε τὶς τόσο μεγάλες δωρεές, ἐμπρὸς νὰ σᾶς διδάξω, ὅσο εἶναι δυνατό, καὶ τὶς αἰτίες ὅλων ἐκείνων ποὺ τελοῦνται ἐκεῖ, γιὰ νὰ τὰ μάθετε καὶ νὰ φύγετε ἀπὸ ἐδῶ ἀφοῦ λάβετε μεγαλύτερη τὴ γνώση. Πρέπει δηλαδὴ νὰ γνωρίζετε γιὰ ποιό λόγο μετὰ τὴν καθημερινὴ διδασκαλία σᾶς παραπέμπομε στὶς φωνὲς τῶν ἐξορκιστῶν. Γιατὶ δὲν γίνεται αὐτὸ ἔτσι ἁπλὰ καὶ στὴν τύχη, ἀλλ' ἐπειδὴ πρόκειται νὰ δεχθεῖτε νὰ κατοικήσει μέσα σας ὁ ἐπουράνιος βασιλιάς, γι' αὐτὸ μετὰ τὴ δική μας νουθεσία, ἀφοῦ σᾶς παραλάβουν ἐκεῖνοι ποὺ εἶναι ταγμένοι γι' αὐτὸ τὸ σκοπό, καὶ σὰν νὰ εὐτρεπίζουν κάποια κατοικία γιὰ τὸ βασιλιὰ ποὺ πρόκειται νὰ ρθεῖ, ἔτσι καθαρίζουν τὴ διάνοιά σας μὲ τὰ φοβερὰ ἐκεῖνα λόγια, φυγαδεύοντας κάθε μηχανορραφία τοῦ πονηροῦ καὶ προετοιμάζοντας αὐτὴν ἄξια τῆς παρουσίας τοῦ βασιλιᾶ. Γιατὶ δὲν εἶναι δυνατό, κι ἂν ἀκόμη ἕνας δαίμονας εἶναι ἄγριος καὶ σκληρὸς νὰ μὴ ἀπομακρυνθεῖ ἀπ' αὐτοὺς μὲ μεγάλη ταχύτητα μετὰ τὶς φοβερὲς ἐκεῖνες φωνὲς καὶ τὴν ἐπίκληση τοῦ κοινοῦ Κυρίου ὅλων. Καὶ μαζὶ μ' αὐτὰ κι αὐτὸ ποὺ γίνεται ἐκεῖ δημιουργεῖ μεγάλη εὐλάβεια μέσα στὴν ψυχὴ καὶ τὴν ὁδηγεῖ σὲ μεγάλη κατάνυξη.

13. Καὶ τὸ ἀξιοθαύμαστο βέβαια καὶ παράδοξο εἶναι ὅτι ἐδῶ καταργεῖται κάθε ἀνισότητα καὶ διαφορὰ ἀξιωμάτων· γιατὶ εἴτε συμβαίνει νὰ ἔχει κάποιος ἀξίωμα κοσμικό, εἴτε νὰ ἔχει ἄφθονα πλού-

κοσμικῷ τις τυγχάνῃ, κἂν ἐν τῇ τοῦ πλούτου περιφανείᾳ, κἂν ἐπ' εὐγενείᾳ μέγα φρονῇ καὶ ἐν τῇ δόξῃ τοῦ παρόντος βίου, ἕστηκε καὶ αὐτὸς ὁμοίως τῷ προσαίτῃ καὶ τῷ τὰ ῥάκια περιβεβλημένῳ, πολλάκις δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐκκεκομμένῳ καὶ τὸ σκέλος πεπηρωμένῳ, καὶ οὐ δυσχεραίνει τοῖς γινομένοις· οἶδε γὰρ ὅτι ἐν τοῖς πνευματικοῖς πάντα ταῦτα ἀπελήλαται καὶ ψυχῆς εὐγνωμοσύνη μόνον ζητεῖται.

14. Καὶ αἱ μὲν φωναὶ καὶ αἱ ἐπικλήσεις ἐκεῖναι φοβεραὶ καὶ θαυμασταὶ τοσοῦτον ἔχουσαι τὸ κέρδος, τὸ δὲ σχῆμα τῆς τῶν ποδῶν γυμνότητος καὶ τῆς τῶν χειρῶν ἐκτάσεως ἕτερόν τι ἡμῖν ἐνδείκνυται. Ὥσπερ οἱ τὴν αἰχμαλωσίαν ταύτην τὴν σωματικὴν ὑπομένοντες καὶ διὰ τοῦ σχήματος τὴν κατήφειαν δεικνύουσι τῆς καταλαβούσης αὐτοὺς συμφορᾶς, οὕτω καὶ οὗτοι αἰχμάλωτοι γενόμενοι ὑπὸ τοῦ διαβόλου, ἐπειδὴ μέλλουσιν ἐλευθεροῦσθαι τῆς ἐκείνου τυραννίδος καὶ ὑπὸ τὸν ζυγὸν ἔρχεσθαι τὸν χρηστόν, πρότερον διὰ τοῦ σχήματος ὑπομιμνήσκουσιν ἑαυτοὺς τῆς προτέρας καταστάσεως, ἵν' εἰδέναι ἔχωσι τίνος μὲν ἀπαλλάττονται, τίνι δὲ προστρέχουσι, καὶ τοῦτο αὐτὸ γένηται αὐτοῖς ὑπόθεσις πλείονος εὐχαριστίας καὶ εὐγνωμοσύνης.

15. Βούλεσθε καὶ πρὸς τοὺς ἀναδεχομένους ὑμᾶς μεταγάγωμεν τὸν λόγον, ἵνα εἰδέναι ἔχωσι κἀκεῖνοι οἵων μὲν ἀξιοῦνται τῶν ἀμοιβῶν εἰ πολλὴν σπουδὴν περὶ ὑμᾶς ἐπιδείξαντο, οἵα δὲ αὐτοῖς κατάγνωσις ἕπεται ῥᾳθυμήσασιν; Ἐννόησόν μοι, ἀγαπητέ, τοὺς ἐπὶ χρήμασί τινας ἀναδεχομένους ὅπως μᾶλλον τοῦ ὑπευθύνου καὶ τὰ χρήματα δεχομένου ἐκεῖνοι πλείονα ὑφίστανται τὸν ἀγῶνα. Ἄν τε γὰρ εὐγνώμων φανῇ ὁ δανεισάμενος τῷ ἀναδεχομένῳ ἐπεκούφισε τὸ φορτίον, ἄν τε πάλιν ἀγνώμων γένηται ἐκείνῳ πλείονα τὸν κρημνὸν κατεσκεύασε. Διὰ τοῦτο καί τις σοφὸς παραινεῖ λέγων· «ἐὰν ἐγγυήσῃ ὡς ἀποτίσων φρόντιζε». Εἰ τοίνυν ὁ ἐπὶ χρήμασί τινας ἀναδεχόμενοι τῷ παντὶ ὑπευθύνους ἑαυτοὺς καθιστᾶσι, πολλῷ

---

7. Σοφ. Σειρὰχ 8,13.

τη, εἴτε νὰ μεγαλοφρονεῖ γιὰ τὴν εὐγενικὴ καταγωγή του καὶ γιὰ τὴ δόξα τῆς παρούσας ζωῆς, στέκεται κι αὐτὸς ὅμοια μὲ τὸν ζητιάνο καὶ ἐκεῖνον ποὺ φοράει τὰ κουρέλια, καὶ πολλὲς φορὲς μ' ἐκεῖνον ποὺ εἶναι τυφλὰ τὰ μάτια του καὶ ἀναπηρικὸ τὸ πόδι του, καὶ δὲ δυσανασχαιτεῖ μ' αὐτὰ ποὺ γίνονται· γιατὶ γνωρίζει ὅτι στὰ πνευματικὰ πράγματα ὅλα αὐτὰ εἶναι ἀποκλεισμένα καὶ ζητεῖται μόνο εὐγνωμοσύνη ψυχῆς.

14. Καὶ ἐκεῖνες βέβαια οἱ φοβερὲς καὶ θαυμαστὲς φωνὲς καὶ ἐπικλήσεις τόσο μεγάλο κέρδος παρέχουν, ἐνῶ ἡ γυμνότητα τῶν ποδιῶν καὶ τὸ ἅπλωμα τῶν χεριῶν μᾶς δηλώνουν κάτι ἄλλο. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνοι ποὺ ὑπομένουν τὴ σωματικὴ αἰχμαλωσία, μὲ τὴν ὅλη στάση τους δείχνουν τὴ στενοχώρια τους γιὰ τὴ συμφορὰ ποὺ τοὺς βρῆκε, ἔτσι καὶ αὐτοὶ ποὺ ἔγιναν αἰχμάλωτοι τοῦ διαβόλου, ἐπειδὴ πρόκειται νὰ ἐλευθερωθοῦν ἀπὸ τὴν τυραννικὴ ἐξουσία ἐκείνου καὶ νὰ τεθοῦν κάτω ἀπὸ τὸν καλὸ ζυγό, προηγουμένως μὲ τὴν ὅλη στάση τους ὑπενθυμίζουν στὸν ἑαυτό τους τὴν προηγούμενη κατάστασή τους, γιὰ νὰ γνωρίζουν πολὺ καλὰ ἀπὸ ποιόν ἀπαλλάσσονται καὶ σὲ ποιόν προσφεύγουν, καὶ αὐτὸ ἀκριβῶς νὰ τοὺς γίνει ἀφορμὴ γιὰ μεγαλύτερη εὐχαριστία καὶ εὐγνωμοσύνη.

15. Θέλετε νὰ μεταφέρω τὸ λόγο καὶ πρὸς τοὺς ἀναδόχους σας, γιὰ νὰ γνωρίσουν καὶ ἐκεῖνοι ποιές ἀμοιβὲς ἀξιώνονται ἂν ἐπιδείξουν μεγάλη φροντίδα γιὰ σᾶς καὶ ποιά τιμωρία τοὺς ἐπιφυλάσσεται ἂν δείξουν ἀδιαφορία; Σκέψου, ἀγαπητέ, σὲ παρακαλῶ, ἐκείνους ποὺ γίνονται ἐγγυητὲς ἀτόμων ποὺ δανείζονται χρήματα, πῶς ἀντιμετωπίζουν ἐκεῖνοι πολὺ πιὸ μεγαλύτερη ἀγωνία ἀπὸ τὸν ὑπεύθυνο καὶ δανειζόμενο τὰ χρήματα. Γιατί, ἂν ἐκεῖνος ποὺ δανείσθηκε φανεῖ εὐγνώμονας πρὸς τὸν ἐγγυητή του ἐλάφρυνε τὸ φορτίο, ἂν πάλι φανεῖ ἀγνώμονας πρὸς ἐκεῖνον κατέστησε μεγαλύτερο τὸ γκρεμό. Γι' αὐτὸ καὶ κάποιος σοφὸς συμβουλεύει λέγοντας· «ἂν γίνεις ἐγγυητὴς κάποιου ἑτοιμάσου σὰν νὰ πρόκειται νὰ πληρώσεις ἐσύ»[7]. Ἂν λοιπὸν ἐκεῖνοι ποὺ γίνονται ἐγγυητὲς σὲ ἄτομα ποὺ δανείζονται χρήματα καθιστοῦν ἐξ ὁλοκλήρου ὑπεύθυνο τὸν ἑαυτό τους γιὰ τὴν ἐπιστροφὴ αὐτῶν, πολὺ περισσότερο

μᾶλλον οἱ ἐν τοῖς πνευματικοῖς καὶ εἰς τὸν τῆς ἀρετῆς λόγον τινὰς ἀναδεχόμενοι πολλὴν τὴν ἀγρυπνίαν ἐπιδείκνυσθαι ὀφείλουσι, παραινοῦντες καὶ συμβουλεύοντες, διορθοῦντες, πατρικὴν φιλοστοργίαν ἐπιδεικνύμενοι.

16. Καὶ μὴ νομιζέτωσαν τὸ τυχὸν εἶναι τὸ γινόμενον, ἀλλ᾽ εἰδέτωσαν ἀκριβῶς ὅτι καὶ τῆς εὐδοκιμήσεως αὐτοὶ κοινωνοὶ γίνονται εἰ διὰ τῆς οἰκείας νουθεσίας αὐτοὺς πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν χειραγωγήσουσι καὶ ὅτι, ῥᾳθυμησάντων πάλιν αὐτῶν, πολλὴ αὐτοῖς κείσεται ἡ κατάγνωσις. Διὰ γὰρ τοῦτο καὶ πατέρας ἔθος καλεῖν τοὺς τοιούτους πνευματικούς, ἵνα δι᾽ αὐτῶν τῶν ἔργων μάθωσιν ὅσην ὀφείλουσι φιλοστοργίαν ἐν τῇ τῶν πνευματικῶν διδασκαλίᾳ περὶ τοὺς τοιούτους ἐπιδείκνυσθαι. Εἰ γὰρ τοὺς οὐδαμόθεν ἡμῖν προσήκοντας ἐνάγειν εἰς τὸν τῆς ἀρετῆς ζῆλον καλόν, πολλῷ μᾶλλον ἐκεῖνον ὃν εἰς χώραν τέκνου πνευματικοῦ ἀναδεχόμεθα, τὴν πρόσταξιν εἰς αὐτὸν ἀποπληροῦν ὀφείλομεν. Ἐμάθετε καὶ οἱ ἀναδεχόμενοι ὡς οὐ μικρὸς ὑμῖν ἐπήρτηται κίνδυνος ῥᾳθυμήσασι.

17. Φέρε λοιπὸν καὶ περὶ αὐτῶν τῶν μυστηρίων ὑμῖν διαλεχθῶμεν καὶ τῶν συνθηκῶν τῶν μελλουσῶν συντελεῖσθαι μεταξὺ ὑμῶν καὶ τοῦ Δεσπότου. Καθάπερ γὰρ ἐν τοῖς βιωτικοῖς πράγμασιν, ἐπειδὰν ἐμπιστεῦσαί τις βουληθῇ τινι τὰ αὐτοῦ πράγματα, γραμματεῖα ἀνάγκη συντελεῖσθαι μεταξὺ τοῦ ἐμπιστευομένου καὶ τοῦ ἐμπιστεύοντος, τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, ἐπειδὴ μέλλετε πιστεύεσθαι παρὰ τοῦ τῶν ἁπάντων Δεσπότου οὐκ ἐπίκηρα πράγματα οὐδὲ φθαρτὰ καὶ ἀπολλύμενα ἀλλὰ πνευματικὰ καὶ ἐπουράνια. Διὰ γὰρ τοῦτο καὶ πίστις λέγεται, ἐπειδὴ οὐδὲν ὁρώμενον ἔχει ἀλλὰ πάντα τοῖς τοῦ πνεύματος ὀφθαλμοῖς κατοπτεύεσθαι δυνάμενα. Ἀνάγκη γὰρ γραμματεῖα συντελεσθῆναι μεταξύ, οὐκ ἐν χάρτῃ οὐδὲ διὰ μέλανος, ἀλλ᾽ ἐν Θεῷ διὰ Πνεύματος. Τὰ γὰρ ῥήματα ἃ ἐνταῦθα προΐεσθε ἐγγράφεται ἐν τῷ οὐρανῷ καὶ τὰς συνθήκας ἃς διὰ τῆς γλώττης προσφέρετε ἀνεξάλειπτοι μένουσι παρὰ τῷ Δεσπότῃ.

στὰ πνευματικὰ ζητήματα καὶ στὰ θέματα ἀρετῆς πρέπει νὰ δείχνουν μεγάλη ἐπαγρύπνηση ἐκεῖνοι ποὺ γίνονται ἀνάδοχοι ἄλλων, πρετρέποντας αὐτοὺς καὶ συμβουλεύοντας, διορθώνοντάς τους καὶ δείχνοντας ἀγάπη πατρική.

16. Καὶ ἂς μὴ νομίζουν ὅτι εἶναι τυχαῖο αὐτὸ ποὺ ἀναλαμβάνουν νὰ κάμουν, ἀλλ' ἂς γνωρίζουν μὲ ἀκρίβεια ὅτι αὐτοὶ συμμετέχουν καὶ στὴν εὐδοκίμησή τους, ἂν μὲ τὶς συμβουλές τους καθοδηγήσουν αὐτοὺς στὴν ὁδὸ τῆς ἀρετῆς, καὶ ὅτι, ἂν ἀδιαφορήσουν πάλι αὐτοί, θὰ εἶναι μεγάλη ἡ τιμωρία ποὺ θὰ δεχθοῦν. Γι' αὐτὸ καὶ συνηθίζεται νὰ ὀνομάζουν αὐτοὺς καὶ πνευματικοὺς πατέρες, ὥστε μὲ αὐτὰ τὰ ἔργα νὰ μάθουν πόση φιλοστοργία ὀφείλουν νὰ δείχνουν πρὸς αὐτοὺς γιὰ τὴν πνευματική τους διδασκαλία. Γιατί, ἂν εἶναι καλὸ νὰ ὁδηγοῦμε στὸ ζῆλο τῆς ἀρετῆς ἐκείνους ποὺ δὲν ἔχουν καμμιὰ συγγένεια μὲ μᾶς, πολὺ περισσότερο ὀφείλομε νὰ ἐπιτελοῦμε τὴν προσταγὴ ποὺ λαμβάνομε γιὰ ἐκεῖνον ποὺ ἀναλαμβάνομε νὰ τὸν ἔχομε πνευματικὸ τέκνο. Μάθατε λοιπὸν καὶ οἱ ἀνάδοχοι ὅτι δὲν εἶναι μικρὸς ὁ κίνδυνος ποὺ ἐπιφυλάσσεται γιὰ σᾶς ἂν ἀδιαφορήσετε.

17. Ἐμπρὸς λοιπὸν ἂς σᾶς μιλήσω καὶ γιὰ τὰ ἴδια τὰ μυστήρια καὶ τὶς συμφωνίες ποὺ πρόκειται νὰ γίνουν ἀνάμεσα σὲ σᾶς καὶ τὸν Κύριο. Γιατί, ὅπως ἀκριβῶς στὰ κοσμικὰ πράγματα, ὅταν θελήσει κάποιος νὰ ἐμπιστευθεῖ τὰ πράγματά του σὲ κάποιον, πρέπει νὰ ὑπογραφοῦν γραμμάτια μεταξὺ ἐκείνου ποὺ ἐμπιστεύεται τὰ πράγματα καὶ ἐκείνου ποὺ δέχεται τὰ ἐμπιστευόμενα, κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ τώρα, ἐπειδὴ πρόκειται ὁ Κύριος τῶν ὅλων νὰ σᾶς ἐμπιστευθεῖ ὄχι πρόσκαιρα πράγματα οὔτε φθαρτὰ καὶ ὁδηγούμενα στὴν ἀπώλεια, ἀλλὰ πνευματικὰ καὶ ἐπουράνια. Γι αὐτὸ λοιπὸν καὶ ὀνομάζεται πίστη, ἐπειδὴ δὲν ἔχει τίποτε τὸ ὁρατό, ἀλλ' ὅλα ἐκεῖνα ποὺ εἶναι δυνατὸ νὰ τὰ δεῖ κανεὶς μὲ τὰ πνευματικὰ μάτια. Πρέπει λοιπὸν νὰ ὑπογραφοῦν μεταξύ τους γραμμάτια ὄχι ἐπάνω σὲ χαρτὶ οὔτε μὲ μελάνη, ἀλλὰ στὸ ὄνομα τοῦ Θεοῦ μὲ τὴ χάρη τοῦ Πνεύματος. Γιατὶ τὰ λόγια ποὺ λέγετε ἐδῶ ἐγγράφονται στὸν οὐρανὸ καὶ οἱ συμφωνίες ποὺ προφέρετε μὲ τὴ γλώσσα μένουν ἀνεξάλειπτες στὴ μνήμη τοῦ Κυρίου.

18. Ὅρα δὲ πάλιν ἐνταῦθα τῆς αἰχμαλωσίας τὸ σχῆμα· εἰσάγοντες γὰρ ὑμᾶς οἱ ἱερεῖς πρότερον μὲν κελεύουσι τὰ γόνατα κλίναντας καὶ τὰς χεῖρας ἀνατείναντας εἰς τὸν οὐρανὸν οὕτω προσεύχεσθαι καὶ διὰ τοῦ σχήματος ἑαυτοὺς ὑπομιμνήσκειν τίνος μὲν ἀπαλλάττεσθε, τίνι δὲ μέλλετε ἑαυτοὺς προσνέμειν. Εἶτα καθ' ἕκαστον ἐρχόμενος ὁ ἱερεὺς ἀπαιτεῖ τὰς συνθήκας καὶ τὰς ὁμολογίας καὶ λέγειν παρασκευάζει τὰ φοβερὰ ἐκεῖνα ῥήματα καὶ φρίκης γέμοντα· «ἀποτάσσομαί σοι, σατανᾶ».

19. Δακρῦσαί μοι νῦν ἔπεισι καὶ ἀνομῶξαι μέγα· ἐνενόησα γὰρ τὴν ἡμέραν ἐκείνην καθ' ἣν καὶ αὐτὸς κατηξιώθην ταύτην ἀφεῖναι τὴν φωνὴν καὶ λογισάμενος τὸ φορτίον τῶν ἁμαρτημάτων ὃ ἐξ ἐκείνου μέχρι τοῦ νῦν συνέλεξα, συγχέομαι τὴν διάνοιαν καὶ δάκνομαι τὸν λογισμόν, ὁρῶν ὅσην ἐμαυτοῦ τὴν αἰσχύνην κατεσκέδασα διὰ τῆς μετὰ ταῦτα ῥᾳθυμίας. Διὸ καὶ πάντας ὑμᾶς παρακαλῶ φιλοτιμίαν τινὰ περὶ ἐμὲ ἐπιδείξασθαι καὶ ἐπειδὰν μέλλητε συντυγχάνειν τῷ βασιλεῖ (δέξεται γὰρ ὑμᾶς μετὰ πολλῆς σφοδρότητος καὶ ἐνδύσει τὴν βασιλικὴν ἐκείνην στολὴν καὶ παρέξει δωρεὰς ὅσας καὶ οἵας ἂν βούλησθε, μόνον ἐὰν πνευματικὰ ζητήσωμεν), αἰτῆσαι χάριν καὶ ὑπὲρ ἡμῶν ὥστε τῶν ἡμαρτημένων ἡμῖν μὴ ἀπαιτῆσαι εὐθύνας, ἀλλὰ συγγνώμην δόντα εἰς τὸ ἑξῆς τῆς παρ' αὐτοῦ ἀξιῶσαι ῥοπῆς. Ἀλλὰ τοῦτο μὲν ὅτι ποιήσετε, φιλόστοργοί τινες ὄντες περὶ τοὺς ὑμετέρους διδασκάλους, οὐκ ἀμφιβάλλω.

20. Φέρε δὴ λοιπὸν τῆς ἀκολουθίας ἐχώμεθα τοῦ λόγου. Τότε τοίνυν παρασκευάζει ὑμᾶς ὁ ἱερεὺς λέγειν, «ἀποτάσσομαί σοι, σατανᾶ, καὶ τῇ πομπῇ σου καὶ τῇ λατρείᾳ σου καὶ τοῖς ἔργοις σου». Ὀλίγα τὰ ῥήματα ἀλλὰ μεγάλη τούτων ἡ δύναμις. Καὶ γὰρ ἄγγελοι παρεστηκότες καὶ αἱ ἀόρατοι δυνάμεις ἡδόμεναι ἐπὶ τῇ ὑμετέρᾳ ἐπιστροφῇ δέχονται παρὰ τῆς ὑμετέρας γλώττης τὰς φωνὰς καὶ ἀναφέρουσι τῷ κοινῷ πάντων Δεσπότῃ καὶ ἐν ταῖς βίβλοις ταῖς οὐρανίοις αὗται ἐγγράφονται.

21. Εἴδετε οἷα τῶν συνθηκῶν τὰ γραμματεῖα; Μετὰ γὰρ τὴν

18. Καὶ πρόσεχε πάλι ἐδῶ τῆς αἰχμαλωσίας τὴ μορφή· ὅταν δηλαδὴ σᾶς ὁδηγοῦν οἱ ἱερεῖς μέσα σᾶς προστάζουν, ἀφοῦ κλίνετε τὰ γόνατα καὶ σηκώσετε τὰ χέρια πρὸς τὸν οὐρανό, ἔτσι νὰ προσεύχεσθε καὶ μὲ τὴ στάση σας νὰ ὑπενθυμίζετε στὸν ἑαυτό σας ἀπὸ ποιόν ἀπαλλάσσεσθε καὶ σὲ ποιόν πρόκειται ν' ἀφιερώσετε τὸν ἑαυτό σας. Ἔπειτα ὁ ἱερέας πλησιάζοντας τὸν καθένα ξεχωριστὰ ζητεῖ τὶς συμφωνίες καὶ τὶς ὁμολογίες καὶ τοὺς ἑτοιμάζει νὰ ποῦν τὰ φοβερὰ ἐκεῖνα καὶ γεμάτα ἀπὸ φρίκη λόγια, «σ' ἀπαρνιέμαι, σαντανᾶ».

19. Μοῦ ἔρχεται τώρα νὰ δακρύσω καὶ νὰ θρηνήσω μὲ δυνατὴ φωνή· γιατὶ θυμήθηκα τὴν ἡμέρα ἐκείνη κατὰ τὴν ὁποία καὶ ἐγὼ ὁ ἴδιος καταξιώθηκα νὰ πῶ αὐτὰ τὰ λόγια καὶ σκεπτόμενος τὸ βάρος τῶν ἁμαρτημάτων ποὺ ἀπὸ τότε μέχρι σήμερα συγκέντρωσα, νιώθω σύγχυση στὸ νοῦ μου καὶ κατασχίζεται ὁ λογισμός μου, βλέποντας πόση ντροπὴ συγκέντρωσα γιὰ τὸν ἑαυτό μου μὲ τὴ στὴ συνέχεια ἀδιαφορία μου. Γι' αὐτὸ καὶ σᾶς παρακαλῶ ὅλους νὰ δείξετε ἀπέναντί μου κάποια γενναιοδωρία καὶ ὅταν πρόκειται νὰ συναντήσετε τὸ βασιλιὰ (γιατὶ θὰ σᾶς δεχθεῖ μὲ μεγάλη χαρὰ καὶ θὰ σᾶς ντύσει μὲ τὴ βασιλικὴ ἐκείνη στολὴ καὶ θὰ σᾶς χαρίσει ὅσες καὶ ὅποιες δωρεὲς θὰ θελήσετε, μόνο ἂν εἶναι πνευματικὰ ἐκεῖνα ποὺ θὰ τοῦ ζητήσουμε), νὰ τοῦ ζητήσετε χάρη καὶ γιὰ μένα, ὥστε νὰ μὴ μοῦ ζητήσει εὐθύνες γιὰ τὰ ἁμαρτήματα ποὺ διέπραξα, ἀλλά, ἀφοῦ μὲ συγχωρήσει, νὰ μέ ἀξιώσει νὰ τύχω στὸ ἑξῆς τῆς βοήθειάς του. Καὶ δὲν ἀμφιβάλλω ὅτι θὰ τὸ κάμετε αὐτό, ἀφοῦ εἶσθε φιλόστοργοι πρὸς τοὺς δασκάλους σας.

20. Ἐμπρὸς λοιπὸν ἂς ἔρθομε τώρα στὴ συνέχεια τοῦ λόγου. Τότε λοιπὸν σᾶς προτρέπει ὁ ἱερέας νὰ πεῖτε, «ἀπαρνιέμαι, σατανᾶ, καὶ ἐσένα καὶ τὴν πομπή σου καὶ τὴ λατρεία σου καὶ τὰ ἔργα σου». Λίγα τὰ λόγια ἀλλὰ μεγάλη ἡ δύναμη αὐτῶν. Γιατὶ πραγματικὰ οἱ παραβρισκόμενοι ἄγγελοι καὶ οἱ ἀόρατες δυνάμεις γεμάτες ἀπὸ ἀμέτρητη χαρὰ γιὰ τὴν ἐπιστροφὴ σας δέχονται ἀπὸ τὴ γλώσσα σας τὰ λόγια καὶ τὰ ἀναφέρουν στὸν κοινὸ Κύριο ὅλων καὶ καταγράφουν αὐτὰ στὰ οὐράνια βιβλία.

21. Εἴδατε ποιά εἶναι τὰ συμβόλαια τῶν συμφωνιῶν; Γιατί, μετὰ

ἀποταγὴν τοῦ πονηροῦ καὶ πάντων τῶν τῷ πονηρῷ διαφερόντων πραγμάτων πάλιν λέγειν παρασκευάζει, «καὶ συντάσσομαί σοι, Χριστέ». Εἶδες ἀγαθότητος ὑπερβολήν; Τὰ ῥήματα δεχόμενος παρὰ σοῦ μόνον, τοσοῦτον ἐμπιστεύει σοι πραγμάτων θησαυρόν, πάσης τῆς προτέρας ἀγνωμοσύνης ἐπιλαθόμενος καὶ οὐδὲν ὑπομιμνήσκων σε τῶν προτέρων, ἀλλ' ἀρκεῖται τοῖς βραχέσι τούτοις ῥήμασιν.

22. Εἶτα μετὰ τὴν συνθήκην ταύτην καὶ τὴν ἀποταγὴν καὶ τὴν συνταγήν, ἐπειδὴ ὡμολόγησας τὴν δεσποτείαν καὶ διὰ τῶν τῆς γλώττης ῥημάτων συνετάξω τῷ Χριστῷ, λοιπὸν ὡς στρατιώτην καὶ εἰς τὸ στάδιον καταλεγέντα τὸ πνευματικόν, ἀλείφει ἐπὶ τοῦ μετώπου τῷ μύρῳ τῷ πνευματικῷ, τὴν σφραγῖδα ἐπιτιθεὶς καὶ λέγων· «χρίεται ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος».

23. Ἐπειδὴ γὰρ οἶδε λοιπὸν ὅτι μέμηνεν ὁ ἐχθρὸς καὶ θήγει τοὺς ὀδόντας καὶ περιέρχεται ὡς λέων ὠρυόμενος καὶ ὁρῶν τοὺς πρότερον ὑπὸ τὴν αὐτοῦ τυραννίδα τυγχάνοντας ἀθρόον κατεξανισταμένους αὐτοῦ καὶ αὐτῷ μὲν ἀποταξαμένους, μεταταξαμένους δὲ καὶ τὴν πρὸς τὸν Χριστὸν συνταγὴν ἐπιδειξαμένους, διὰ τοῦτο ἀλείφει ἐπὶ τοῦ μετώπου καὶ τὴν σφραγῖδα ἐπιτίθησιν ἵνα ἀποστρέψῃ τὰς ὄψεις ἐκεῖνος. Οὐδὲ γὰρ ἀντιβλέψαι τολμᾷ ὁρῶν τὴν ἐκεῖθεν ἀστραπὴν ἐκπηδῶσαν καὶ ἀποτυφλοῦσαν αὐτοῦ τὰς ὄψιες. Λοιπὸν γὰρ μάχη καὶ ἀντίστασις ἐξ ἐκείνου πρὸς αὐτὸν γίνεται καὶ διὰ τοῦτο καθάπερ ἀθλητάς τινας Χριστοῦ οὕτω διὰ τῆς ἀλοιφῆς εἰς τὸ στάδιον τὸ πνευματικὸν εἰσάγει.

24. Εἶτα μετὰ τοῦτο κατὰ τὸν τῆς νυκτὸς καιρὸν ὁλόκληρον ἀποδύσας τὸ ἱμάτιον καὶ καθάπερ εἰς αὐτὸν τὸν οὐρανὸν εἰσάγειν μέλλων διὰ τῶν τελουμένων οὕτως ἅπαν τὸ σῶμα ἀλείφεσθαι παρασκευάζει τῷ ἐλαίῳ ἐκείνῳ τῷ πνευματικῷ, ὥστε πάντα τὰ μέλη διὰ τῆς ἀλοιφῆς τειχισθῆναι καὶ ἀχείρωτα γενέσθαι τοῖς παρὰ τοῦ ἐναντίου πεμπομένοις βέλεσι.

τὴν ἀποταγὴ τοῦ πονηροῦ καὶ ὅλων τῶν πραγμάτων ποὺ ἀποτελοῦν τὸ ἐνδιαφέρον τοῦ πονηροῦ, σᾶς προτρέπει πάλι ὁ ἱερέας νὰ πεῖτε, «καὶ συντάσσομαι μαζί σου, Χριστέ». Εἶδες ὑπερβολικὴ ἀγαθότητα; Δεχόμενος ἀπὸ σένα μόνο τὰ λόγια σου, σοῦ ἐμπιστεύεται τόσο μεγάλο πλῆθος θησαυροῦ, λησμονώντας ὅλη τὴν προηγούμενη ἀγνωμοσύνη σου καὶ δὲν σοῦ ὑπενθυμίζει τίποτε ἀπὸ τὰ προηγούμενα, ἀλλ' ἀρκεῖται σ' αὐτὰ τὰ σύντομα λόγια.

22. Ἔπειτα, μετὰ τὴ συμφωνία αὐτή, τὴν ἀποταγὴ τοῦ σατανᾶ καὶ τὴ σύνταξή σου στὸ στρατόπεδο τοῦ Χριστοῦ, ἐπειδὴ ὁμολόγησες τὴν ἐξουσία αὐτοῦ καὶ μὲ τὰ λόγια τῆς γλώσσας σου συντάχθηκες στὸ στρατόπεδο τοῦ Χριστοῦ, στὴ συνέχεια σὰν στρατιώτη καὶ ποὺ κατατάχθηκες στὸ πνευματικὸ στάδιο, σ' ἀλείφει στὸ μέτωπο μὲ τὸ πνευματικὸ μύρο, σφραγίζοντάς σε καὶ λέγοντας· «χρίεται ὁ τάδε στὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος».

23. Ἐπειδὴ δηλαδὴ γνωρίζει ὅτι ὁ ἐχθρὸς εἶναι πλέον ἔξω φρενῶν καὶ τρίζει τὰ δόντια του καὶ τριγυρίζει σὰν λιοντάρι ποὺ οὐρλιάζει καί, βλέποντας ἐκείνους ποὺ βρίσκονταν προηγουμένως κάτω ἀπὸ τὴν τυραννικὴ ἐξουσία του, νὰ ἐξεγείρονται μέσα σὲ μιὰ στιγμὴ ἐναντίον του, καὶ αὐτὸν βέβαια νὰ τὸν ἀπαρνοῦνται, ἀλλάζοντας ὅμως στρατόπεδο, νὰ δέχονται νὰ συνταχθοῦν μὲ τὸ Χριστό, γι' αὐτὸ τοὺς ἀλείφει στὸ μέτωπο μὲ μύρο καὶ τοὺς σφραγίζει μὲ τὸ σταυρὸ γιὰ νὰ ἀποστρέψει ἐκεῖνος τὰ μάτια του ἀπὸ αὐτούς. Γιατὶ δὲν τολμᾶ νὰ τοὺς δεῖ κατὰ πρόσωπο βλέποντας τὴ λαμπρότητα ποὺ ἐκπέμπεται ἀπὸ ἐκεῖ καὶ νὰ τοῦ τυφλώνει τὰ μάτια. Στὴ συνέχεια λοιπὸν γίνεται μάχη καὶ ἀντίσταση ἀπὸ ἐκεῖνον πρὸς αὐτούς, καὶ γι' αὐτὸ τοὺς εἰσάγει στὸ πνευματικὸ στάδιο σὰν κάποιους ἀθλητὲς τοῦ Χριστοῦ ἀλείφοντάς τους μ' αὐτὸν τὸν τρόπο.

24. Ἔπειτα ἀπὸ αὐτὸ καὶ κατὰ τὴ διάρκεια τῆς νύχτας, ἀφοῦ τοῦ βγάλει ὅλα τὰ ροῦχα του καὶ σὰν νὰ πρόκειται νὰ τὸν ὁδηγήσει μὲ τὰ ὅσα τελοῦνται στὸν ἴδιο τὸν οὐρανό, ἀλείφει ὅλο τὸ σῶμα του μὲ τὸ πνευματικὸ ἐκεῖνο λάδι, ὥστε ὅλα τὰ μέλη μὲ τὸ ἄλειμμα νὰ διασφαλισθοῦν καὶ νὰ γίνουν ἀκατάβλητα ἀπὸ τὰ βέλη ποὺ ρίχνονται ἀπὸ τὸν ἐχθρό.

25. Μετὰ τὴν ἀλοιφὴν τοίνυν ταύτην εἰς τὰ ἱερὰ νάματα καθίησιν, ὁμοῦ καὶ θάπτων τὸν παλαιὸν ἄνθρωπον καὶ ἀνιστὰς τὸν νέον τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Τότε λοιπὸν διὰ τῶν ρημάτων τοῦ ἱερέως καὶ τῆς τούτου χειρὸς ἡ ἐπιφοίτησις ἐφίπταται τοῦ Πνεύματος τοῦ ἁγίου καὶ ἄλλος ἀντ' ἄλλου ἄνεισι, πάντα τὸν ρύπον τῶν ἁμαρτημάτων ἀποσμηξάμενος καὶ ἀποδυσάμενος τὸ παλαιὸν τῆς ἁμαρτίας ἱμάτιον καὶ ἐνδυσάμενος τὴν ἐσθῆτα τὴν βασιλικήν.

26. Καὶ ἵνα μάθῃς καὶ ἐντεῦθεν ὡς μία ἡ οὐσία Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, οὕτω καὶ ἡ τοῦ βαπτίσματος γίνεται παράδοσις. Ἐπιφωνοῦντος γὰρ τοῦ ἱερέως, «βαπτίζεται ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος», τρίτον τὴν κεφαλὴν καθίησι καὶ ἀνίησι, διὰ τῆς μυστικῆς ταύτης τελετῆς τὴν τοῦ Πνεύματος παρασκευάζων ἐπιφοίτησιν δέξασθαι. Οὐδὲ γὰρ ὁ ἱερεύς ἐστι μόνος ὁ τῆς κεφαλῆς ἐφαπτόμενος ἀλλὰ καὶ ἡ τοῦ Χριστοῦ δεξιά. Καὶ τοῦτο καὶ ἐξ αὐτῶν τῶν ρημάτων τοῦ βαπτίζοντος δείκνυται· οὐδὲ γὰρ λέγει, 'βαπτίζω ἐγὼ τὸν δεῖνα' ἀλλά, «βαπτίζεται ὁ δεῖνα», δεικνὺς ὅτι αὐτὸς μόνον διάκονος γίνεται τῆς χάριτος καὶ τὴν χεῖρα τὴν ἑαυτοῦ παρέχει, ἐπειδὴ εἰς τοῦτο παρὰ τοῦ Πνεύματος τέτακται. Ὁ δὲ πάντα πληρῶν ἐστιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, ἡ Τριὰς ἡ ἀδιαίρετος. Ἡ εἰς ταύτην τοίνυν πίστις τῶν ἁμαρτιῶν τὴν ἄφεσιν χαρίζεται, αὕτη ἡ ὁμολογία τὴν υἱοθεσίαν ἡμῖν δωρεῖται.

27. Καὶ τὰ μετὰ ταῦτα δὲ γινόμενα ἱκανὰ διδάξαι ἡμᾶς τίνων μὲν ἠλευθερώθησαν, τίνων δὲ τετυχήκασιν οἱ τῆς μυστικῆς τελετῆς ταύτης καταξιωθέντες. Εὐθέως γὰρ ἀνιόντας αὐτοὺς ἐκ τῶν ἱερῶν ἐκείνων ναμάτων πάντες οἱ παρόντες περιπλέκονται, ἀσπάζονται, καταφιλοῦσι, συνήδονται, συγχαίρουσιν ὅτι οἱ πρότερον δοῦλοι καὶ αἰχμάλωτοι ἀθρόον ἐλεύθεροι καὶ υἱοὶ γεγόνασι καὶ εἰς τὴν βασιλικὴν ἐκλήθησαν τράπεζαν. Μετὰ γὰρ τὴν ἐκεῖθεν ἄνοδον εὐθέως ἐπὶ τὴν τράπεζαν ἄγονται τὴν φρικτὴν καὶ μυρίων γέμουσαν ἀγαθῶν καὶ τοῦ σώματος ἀπογεύονται καὶ τοῦ αἵματος τοῦ δεσποτικοῦ

8. Κολ. 3,10.

25. Μετὰ λοιπὸν ἀπὸ τὸν ἄλειμμα αὐτὸ τὸν βυθίζει στὰ ἱερὰ νάματα, συγχρόνως καὶ θάπτοντας τὸν παλαιὸ ἄνθρωπο καὶ ἀνασταίνοντας τὸν νέο ποὺ ἀνανεώνεται κατ' εἰκόνα ἐκείνου ποὺ τὸν ἔπλασε[8]. Τότε πλέον μὲ τὰ λόγια τοῦ ἱερέα καὶ τὸ ἅπλωμα τοῦ χεριοῦ αὐτοῦ ἐπάνω του ἐπιφοιτᾶ σ' αὐτὸν τὸ ἅγιο Πνεῦμα καὶ ἀνεβαίνει ἀπὸ τὸ ἱερὸ νάμα ἄλλος ἀντὶ ἄλλου, ἀφοῦ ξεντυθεῖ τὸ παλιὸ ἔνδυμα τῆς ἁμαρτίας καὶ ντυθεῖ τὴ βασιλικὴ ἐνδυμασία.

26. Καὶ γιὰ νὰ μάθεις καὶ ἀπὸ ἐδῶ ὅτι μία εἶναι ἡ οὐσία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ὡς ἑξῆς γίνεται ἡ παράδοση τοῦ βαπτίσματος. Ἀφοῦ δηλαδὴ ἐκφωνήσει ὁ ἱερέας, «βαπτίζεται ὁ τάδε στὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος», βυθίζει τρεῖς φορὲς τὸ κεφάλι του μέσα στὸ νερὸ καὶ τὸ ἀνυψώνει, προετοιμάζοντάς τον μὲ τὴ μυστικὴ αὐτὴ τελετὴ νὰ δεχθεῖ τὴν ἐπιφοίτηση τοῦ Πνεύματος. Γιατὶ δὲν εἶναι ὁ ἱερέας μόνος ποὺ ἀγγίζει τὸ κεφάλι τοῦ βαπτιζομένου, ἀλλὰ καὶ ἡ δεξιὰ τοῦ Χριστοῦ. Καὶ αὐτὸ γίνεται φανερὸ καὶ ἀπὸ τὰ ἴδια τὰ λόγια ἐκείνου ποὺ κάνει τὸ βάπτισμα· γιατὶ δὲ λέγει, 'βαπτίζω ἐγὼ τὸν τάδε', ἀλλὰ «βαπτίζεται ὁ τάδε», δείχνοντας μ' αὐτὸ ὅτι αὐτὸς γίνεται μόνο διάκονος τῆς χάριτος καὶ ἁπλώνει τὸ χέρι του ἐπάνω στὸ βαπτιζόμενο, ἐπειδὴ αὐτὴ τὴν ἐντολὴ ἔχει λάβει ἀπὸ τὸ Πνεῦμα. Ἐκεῖνος ὅμως ποὺ πραγματοποιεῖ ὅλα εἶναι ὁ Πατέρας καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιο Πνεῦμα, ἡ ἀδιαίρετη Τριάδα. Ἡ πίστη λοιπὸν σ' αὐτὴν χαρίζει τὴν ἄφεση τῶν ἁμαρτιῶν, αὐτὴ ἡ ὁμολογία μᾶς δωρίζει τὴν υἱοθεσία.

27. Καὶ τὰ ὅσα γίνονται στὴ συνέχεια εἶναι ἱκανὰ νὰ μᾶς διδάξουν ἀπὸ ποιά πράγματα ἐλευθερώθηκαν καὶ ποιά ἐπέτυχαν ἐκεῖνοι ποὺ καταξιώθηκαν αὐτῆς τῆς μυστικῆς τελετῆς. Γιατὶ ἀμέσως, μόλις βγοῦν ἀπὸ τὰ ἱερὰ ἐκεῖνα νάματα ὅλοι οἱ παραβρισκόμενοι τοὺς ἀγκαλιάζουν, τοὺς ἀσπάζονται, τοὺς καταφιλοῦν, χαίρονται μαζί τους καὶ τοὺς συγχαίρουν, γιατὶ οἱ προηγούμενοι δοῦλοι καὶ αἰχμάλωτοι ἔγιναν ἐλεύθεροι καὶ υἱοὶ καὶ κλήθηκαν στὴ βασιλικὴ τράπεζα. Γιατὶ μετὰ τὴν ἄνοδό τους ἀπὸ τὰ νάματα ἐκεῖνα ἀμέσως ὁδηγοῦνται στὴ φρικτὴ τράπεζα, ποὺ εἶναι γεμάτη ἀπὸ μύρια ἀγαθά, μεταλαμβάνουν τὸ σῶμα καὶ τὸ αἷμα τὸ δεσποτικὸ καὶ γίνονται

καὶ οἰκητήριον γίνονται τοῦ Πνεύματος καὶ καθάπερ αὐτὸν τὸν Χριστὸν ἐνδεδυμένοι οὕτω περιΐασιν, ὥσπερ ἄγγελοί τινες ἐπίγειοι πανταχοῦ φαινόμενοι καὶ ταῖς ἀκτῖσι τοῦ ἡλίου ἀντιλάμποντες.

28. Ταῦτα πάντα οὐ μάτην οὐδὲ εἰκῇ προλαβὼν ἐδίδαξα τὴν ὑμετέραν ἀγάπην, ἀλλ' ἵνα καὶ πρὸ τῆς ἀπολαύσεως πολλὴν καρπώσησθε τὴν ἡδονὴν ἤδη τῇ ἐλπίδι πτερούμενοι καὶ φρόνημα ἀναλάβητε ἄξιον τῶν γινομένων καὶ καθὼς παρήνεσεν ὁ μακάριος Παῦλος, τὰ ἄνω φρονήσητε καὶ μεταστήσητε ὑμῶν τὸν λογισμὸν ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν, ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ μὴ ὁρώμενα. Σαφέστερον δὲ ταῦτα τῶν αἰσθητῶν ὄψεων βλέπομεν τοῖς πνευματικοῖς ὀφθαλμοῖς.

29. Ἀλλ' ἐπειδὰν πλησίον γένησθε τῶν προθύρων τῶν βασιλικῶν καὶ μέλλητε αὐτῷ προσεγγίζειν τῷ θρόνῳ ἔνθα προκάθηται ὁ βασιλεὺς ὁ τὰς δωρεὰς διανέμων, πᾶσαν φιλοτιμίαν περὶ τὰς αἰτήσεις ἐπιδείξασθε, μηδὲν βιωτικόν, μηδὲν ἀνθρώπινον, ἀλλ' ἀξίαν τὴν αἴτησιν τοῦ παρέχοντος ποιούμενοι. Ἐπιβαίνοντες τοίνυν τῶν θείων ἐκείνων ναμάτων καὶ τὸ σύμβολον τῆς ἀναστάσεως διὰ τῆς ἐκεῖθεν ἀνόδου ἐπιδεικνύμενοι, αἰτήσατε τὴν παρ' αὐτοῦ συμμαχίαν ὥστε πολλὴν ὑμᾶς τὴν φυλακὴν τῶν δεδωρημένων ὑμῖν ἐπιδείξασθαι, ὥστε ἀχειρώτους γενέσθαι ταῖς τοῦ πονηροῦ μηχαναῖς. Περὶ τῆς εἰρήνης τῶν ἐκκλησιῶν παρακαλέσατε, περὶ τῶν ἔτι πλανωμένων ἱκετεύσατε, περὶ τῶν ἐν ἁμαρτίαις ὄντων προσπέσετε, ὥστε φειδοῦς τινος ἡμᾶς ἀξιωθῆναι. Ὁ γὰρ τοσαύτης ὑμῖν μεταδοὺς παρρησίας καὶ εἰς τοὺς πρώτους τῶν φίλων ἐγγράψας καὶ εἰς τὴν υἱοθεσίαν ἀγαναγών, τοὺς πρότερον αἰχμαλώτους καὶ δούλους καὶ ἀπαρρησιάστους, οὐκ ἀνανεύσει πρὸς τὰς ὑμετέρας αἰτήσεις, ἀλλὰ πάντα ὑμῖν παρέξει, τὴν οἰκείαν ἀγαθότητα καὶ ἐν τούτῳ μιμούμενος.

30. Καὶ ταύτῃ μάλιστα εἰς πλείονα αὐτὸν εὔνοιαν ἐπισπάσεσθαι. Ὅταν γὰρ ἴδῃ τοσαύτην ὑμᾶς κηδεμονίαν ποιουμένους τῶν ὑμετέρων μελῶν καὶ τῆς τῶν λοιπῶν σωτηρίας φροντίζοντας, πολλῆς ὑμᾶς καὶ διὰ τοῦτο ἀξιώσει τῆς παρρησίας. Οὐδὲν γὰρ οὕτως αὐ-

---

9. Κολ. 3,2.

κατοικητήριο τοῦ Πνεύματος, καὶ σὰν νὰ ντύθηκαν τὸν ἴδιο τὸ Χριστὸ ἔτσι μεταβαίνουν παντοῦ, σὰν κάποιοι ἄγγελοι ἐπίγειοι ποὺ φαίνονται παντοῦ καὶ ἀκτινοβολοῦν μὲ τὶς ἀκτίνες τοῦ ἡλίου.

28. Ὅλα αὐτὰ δὲν τὰ δίδαξα ἀπὸ πρὶν στὴν ἀγάπη σας ἄσκοπα καὶ στὴν τύχη, ἀλλὰ γιὰ νὰ καρπωθεῖτε καὶ πρὶν ἀπὸ τὴν ἀπόλαυση μεγάλη ἡδονὴ ἀναπτερούμενοι ἀπὸ τώρα μὲ τὴν ἐλπίδα, καὶ νὰ ἐπιδείξετε φρόνημα ἀντάξιο τῶν ὅσων γίνονται ἐκεῖ καί, ὅπως συμβούλεψε ὁ μακάριος Παῦλος, νὰ βάλετε στὴ σκέψη σας τὰ οὐράνια[9] καὶ νὰ μεταφέρετε τὸ λογισμό σας ἀπὸ τὴ γῆ στὸν οὐρανό, ἀπὸ τὰ ὁρατὰ στὰ ἀόρατα. Καὶ τὰ βλέπομε αὐτὰ πιὸ καθαρὰ μὲ τοὺς πνευματικοὺς ὀφθαλμοὺς ἀπὸ ὅ,τι ἐκεῖνα ποὺ τὰ βλέπομε μὲ τὰ σωματικὰ μάτια.

29. Ἀλλ' ὅταν βρεθεῖτε μπροστὰ ἀπὸ τὰ βασιλικὰ πρόθυρα καὶ πρόκειται νὰ προσεγγίσετε τὸν ἴδιο τὸ θρόνο στὸν ὁποῖο κάθεται ὁ βασιλιὰς ποὺ διανέμει τὶς δωρεές, δείξατε κάθε φιλοτιμία ὡς πρὸς τὰ αἰτήματά σας μὴ ζητώντας τίποτε τὸ κοσμικὸ καὶ ἀνθρώπινο, ἀλλ' ἀπευθύνετε τὰ αἰτήματά σας ἀντάξια ἐκείνου ποὺ τὰ ἱκανοποιεῖ. Μπαίνοντας λοιπὸν σ' ἐκεῖνα τὰ θεῖα νάματα καὶ δείχνοντας μὲ τὴν ἄνοδό σας ἀπὸ ἐκεῖ τὸ σύμβολο τῆς ἀναστάσεως, ζητῆστε τὴ βοήθεια αὐτοῦ, ὥστε νὰ διαφυλάξετε μὲ κάθε ἀκρίβεια τὰ δῶρα ποὺ ἐλάβατε, καὶ νὰ γίνετε ἀκατανίκητοι ἀπὸ τὶς μηχανορραφίες τοῦ πονηροῦ. Παρακαλέστε τον γιὰ τὴν εἰρήνη τῶν ἐκκλησιῶν, ἱκετεύσατε αὐτὸν γιὰ ἐκείνους ποὺ ἀκόμη βρίσκονται στὴν πλάνη, γονατίστε καὶ παρακαλέστε τον γιὰ ἐκείνους ποὺ ζοῦν μέσα στὶς ἁμαρτίες, ὥστε ν' ἀξιωθοῦμε καὶ μεῖς κάποιας εὐσπλαχνίας. Γιατὶ ἐκεῖνος ποὺ σᾶς ἔδωσε τόση παρρησία καὶ σᾶς ἔγραψε ἀνάμεσα στοὺς πρώτους φίλους καὶ σᾶς χάρισε τὴν υἱοθεσία ἐσᾶς ποὺ προηγουμένως ἤσασταν αἰχμάλωτοι καὶ δοῦλοι καὶ χωρὶς παρρησία, δὲ θὰ παραβλέψει τὰ αἰτήματά σας, ἀλλὰ θὰ σᾶς προσφέρει ὅλα, μιμούμενος καὶ σ' αὐτὸ τὴν ἀγαθότητά του.

30. Καὶ μ' αὐτὸν τὸν τρόπο μάλιστα θ' ἀποσπάσετε αὐτὸν πρὸς μεγαλύτερη εὔνοια. Γιατί, ὅταν σᾶς δεῖ νὰ δείχνετε τόση μεγάλη φροντίδα γιὰ τὰ μέλη σας καὶ νὰ φροντίζετε γιὰ τὴ σωτηρία τῶν ὑπολοίπων, θὰ σᾶς ἀξιώσει καὶ γι' αὐτὸ μεγάλης παρρησίας.

τὸν εὐφραίνει ὡς τὸ συμπαθεῖς ἡμᾶς εἶναι περὶ τὰ μέλη τὰ ἡμέτερα καὶ πολλὴν φιλοστοργίαν περὶ τοὺς ἀδελφοὺς ἐπιδείκνυσθαι καὶ τῆς σωτηρίας τῶν πλησίον πολλὴν ποιεῖσθαι τὴν πρόνοιαν.

31. Ταῦτ' οὖν εἰδότες, ἀγαπητοί, μετὰ χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς πρὸς τὴν ὑποδοχὴν τῆς χάριτος ἑαυτοὺς εὐτρεπίσατε, ἵνα καὶ ὑμεῖς δαψιλοῦς τῆς δωρεᾶς ἀπολαύσητε καὶ κοινῇ πάντες ἀξίαν τῆς χάριτος τὴν πολιτείαν ἐπιδειξάμενοι τῶν αἰωνίων καὶ ἀπορρήτων ἐπιτυχεῖν ἀγαθῶν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πραγματικὰ τίποτε δὲν εὐχαριστεῖ αὐτὸν τόσο, ὅσο τὸ νὰ εἴμαστε συμπαθεῖς πρὸς τὰ μέλη μας, νὰ δείχνομε μεγάλη φιλοστοργία πρὸς τοὺς ἀδλεφούς μας καὶ νὰ φροντίζομε πάρα πολὺ γιὰ τὴ σωτηρία τῶν πλησίον μας.

31. Γνωρίζοντας λοιπὸν αὐτά, ἀγαπητοί, μὲ χαρὰ καὶ εὐφροσύνη πνευματικὴ στολίστε τὸν ἑαυτό σας πρὸς ὑποδοχὴ τῆς χάριτος, ὥστε καὶ σεῖς ν' ἀπολαύσετε πλούσιες τὶς δωρεὲς καὶ ὅλοι ἀπὸ κοινοῦ, ἀφοῦ ἐπιδείξομε τρόπο ζωῆς ἐπάξιο τῆς χάριτος, ν' ἀξιωθοῦμε νὰ ἐπιτύχομε τὰ αἰώνια καὶ ἀπόρρητα ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα, καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΚΑΤΗΧΗΣΙΣ Γ'

ΟΜΙΛΙΑ ΛΕΧΘΕΙΣΑ ΠΡΟΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ

1. Εὐλογητὸς ὁ Θεός· ἰδοὺ καὶ ἀπὸ γῆς ἀστέρες φαίνουσιν, ἀστέρες τῶν οὐρανῶν φαιδρότεροι. Ἐπὶ γῆς ἀστέρες διὰ τὸν ἐξ οὐρανῶν ἐπὶ γῆς φανέντα· οὐκ ἐπὶ γῆς δὲ μόνον ἀστέρες, ἀλλὰ καὶ ἐν ἡμέρᾳ ἀστέρες· τοῦτο δεύτερον θαῦμα. Ἐν ἡμέρᾳ ἀστέρες τῶν ἐν νυκτὶ φαιδρότεροι. Ἐκεῖνοι μὲν γὰρ τοῦ ἡλίου φανέντος κατακρύπτονται, οὗτοι δὲ τοῦ ἡλίου τῆς δικαιοσύνης φανέντος μᾶλλον ἐκλάμπουσιν. Εἶδες ἀστέρας ποτὲ μετὰ ἡλίου φανέντας;

2. Ἐκεῖνοι τῆς συντελείας φανείσης ἀφανίζονται, οὗτοι τῆς συντελείας καταλαβούσης μειζόνως διαφαίνουσι. Καὶ περὶ μὲν ἐκείνων φησὶ τὸ Εὐαγγέλιον ὅτι «τὰ ἄστρα τοῦ οὐρανοῦ πεσοῦνται ὡς πίπτουσι φύλλα ἀπὸ ἀμπέλου», περὶ δὲ τούτων, ὅτι «οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν».

3. Τί ἐστιν «ὡς πίπτει φύλλα ἀπὸ ἀμπέλου οὕτως οἱ ἀστέρες τοῦ οὐρανοῦ πεσοῦνται»; Καθάπερ ἡ ἄμπελος ἕως μὲν ἂν τρέφῃ τοὺς βότρυας χρείαν ἔχει καὶ τῆς σκέπης τῆς ἀπὸ τῶν φύλλων, ἐπειδὰν δὲ ἀποθῆται τὸν καρπὸν καὶ τὴν κόμην τὴν ἀπὸ τῶν φύλλων ἀποτίθεται, οὕτω δὴ καὶ ὁ κόσμος ἅπας ἕως μὲν ἔχῃ ἐν ἑαυτῷ τῶν ἀνθρώπων τὴν φύσιν, κατέχει καὶ τὰ ἄστρα ὁ οὐρανός, καθάπερ ἡ ἄμπελος τὰ φύλλα· νυκτὸς γὰρ τότε οὐκ οὔσης, οὐδὲ ἄστρων χρεία λοιπόν.

---

1. Ματθ. 24,29. Ἠσ. 34,4.,



ΚΑΤΗΧΗΣΗ ΤΡΙΤΗ

ΛΕΧΘΗΚΕ ΠΡΟΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ

1. Εὐλογητὸς ὁ Θεός· νά, ἀστέρια καὶ ἀπὸ τὴ γῆ φωτίζουν, ἀστέρια ποὺ εἶναι λαμπρότερα ἀπὸ τὰ ἀστέρια τοῦ οὐρανοῦ. Ἀστέρια φωτίζουν στὴ γῆ γιὰ ἐκεῖνον ποὺ φάνηκε ἀπὸ τοὺς οὐρανούς· καὶ δὲν εἶναι ἀστέρια ποὺ φωτίζουν μόνο τὴ γῆ, ἀλλὰ ἀστέρια ποὺ λάμπουν καὶ τὴν ἡμέρα· αὐτὸ εἶναι δεύτερο θαῦμα. Ἀστέρια ποὺ φωτίζουν τὴν ἡμέρα καὶ εἶναι λαμπρότερα ἀπὸ τὰ ἀστέρια ποὺ λάμπουν τὴ νύχτα. Γιατὶ ἐκεῖνα μόλις φανεῖ ὁ ἥλιος κρύβονται, ἐνῶ αὐτὰ ὅταν ἐμφανισθεῖ ὁ ἥλιος τῆς δικαιοσύνης λάμπουν περισσότερο. Εἶδες ἀστέρια ποτὲ νὰ φωτίζουν μαζὶ μὲ τὸν ἥλιο;

2. Ἐκεῖνα ὅταν θὰ ρθεῖ ἡ συντέλεια θὰ ἐξαφανισθοῦν, ἐνῶ αὐτὰ ὅταν θὰ ἔρθει ἡ συντέλεια θὰ λάμπουν περισσότερο. Καὶ γιὰ ἐκεῖνα βέβαια τὰ ἀστέρια λέγει τὸ Εὐαγγέλιο ὅτι «τὰ ἄστρα τοῦ οὐρανοῦ θὰ πέσουν ὅπως πέφτουν τὰ φύλλα ἀπὸ τὴν ἄμπελο»[1], ἐνῶ γι' αὐτὰ λέγει, ὅτι «οἱ δίκαιοι θὰ λάμψουν ὅπως ὁ ἥλιος στὴ βασιλεία τῶν οὐρανῶν»[2].

3. Τί σημαίνει «ὅπως πέφτουν τὰ φύλλα ἀπὸ τὴν ἄμπελο, ἔτσι θὰ πέσουν τ' ἀστέρια τοῦ οὐρανοῦ»; Ὅπως ἀκριβῶς ἡ ἄμπελος ὅσον καιρὸ τρέφει τὶς ρόγες τῶν σταφυλιῶν χρειάζεται καὶ τὴ σκέπη ἀπὸ τὰ φύλλα, ὅταν ὅμως ἀποβάλει τὸν καρπὸ ἀποβάλει καὶ τὴν κόμη ἀπὸ τὰ φύλλα, ἔτσι λοιπὸν καὶ ὅλος ὁ κόσμος, ὅσον καιρὸ ἔχει μέσα του τὴν ἀνθρώπινη φύση, ἔχει καὶ ὁ οὐρανὸς τὰ ἄστρα, ὅπως ἀκριβῶς ἡ ἄμπελος τὰ φύλλα· γιατὶ τότε δὲν ὑπάρχει νύχτα, οὔτε χρειάζονται πλέον τὰ ἄστρα.

---

2. Ματθ. 13,43.

4. Πυρώδης τῶν ἄστρων ἐκείνων ἡ φύσις, πυρώδης καὶ τούτων τῶν ἄστρων ἡ οὐσία. Ἀλλ' ἐκεῖ μὲν πῦρ αἰσθητόν, ἐνταῦθα δὲ πῦρ νοητόν. «Αὐτὸς ὑμᾶς βαπτίσει», φησίν, «ἐν Πνεύματι ἁγίῳ καὶ πυρί». Βούλει καὶ τὰ ὀνόματα ἑκατέρων μαθεῖν; Ἐν ἐκείνοις τοῖς ἄστροις εἰσὶ ταῦτα τὰ ὀνόματα ὠρίων, ἀρκτοῦρος, ἕσπερος καὶ φωσφόρος, ἐν δὲ τοῖς ἄστροις τούτοις ἕσπερος μὲν οὐδείς, φωσφόροι δὲ πάντες.

5. «Εὐλογητὸς ὁ Θεός», πάλιν εἴπωμεν, «ὁ ποιῶν θαυμάσια μόνος», ὁ ποιῶν πάντα καὶ μετασκευάζων αὐτά. Οἱ πρὸ τῆς χθὲς αἰχμάλωτοι, νῦν ἐλεύθεροι καὶ πολῖται τῆς Ἐκκλησίας· οἱ πρῴην ἐν αἰσχύνῃ ἁμαρτιῶν, νῦν ἐν παρρησίᾳ καὶ δικαιοσύνῃ. Οὐ γὰρ ἐλεύθεροι μόνον ἀλλὰ καὶ ἅγιοι, οὐχ ἅγιοι μόνον ἀλλὰ καὶ δίκαιοι, οὐ δίκαιοι μόνον ἀλλὰ καὶ υἱοί, οὐχ υἱοὶ μόνον ἀλλὰ καὶ κληρονόμοι, οὐ κληρονόμοι μόνον ἀλλὰ καὶ ἀδελφοὶ τοῦ Χριστοῦ, οὐκ ἀδελφοὶ τοῦ Χριστοῦ μόνον ἀλλὰ καὶ συγκληρονόμοι, οὐ συγκληρονόμοι μόνον ἀλλὰ καὶ μέλη, οὐ μέλη μόνον ἀλλὰ καὶ ναός, οὐ ναὸς μόνον ἀλλὰ καὶ ὄργανα τοῦ Πνεύματος.

6. «Εὐλογητὸς ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος». Εἶδες πόσαι τοῦ βαπτίσματος αἱ δωρεαί; Καίτοι γε πολλοῖς δοκεῖ ὅτι μόνον ἁμαρτημάτων ἄφεσιν ἔχει ἡ δωρεά, ἡμεῖς δὲ δέκα ἀπηριθμησάμεθα τιμάς. Διὰ τοῦτο γοῦν καὶ τὰ παιδία βαπτίζομεν καίπερ ἁμαρτίας οὐκ ἔχοντα, ἵνα προστεθῇ ἁγιασμός, δικαιοσύνη, υἱοθεσία, κληρονομία, ἀδελφότης, τὸ μέλη εἶναι τοῦ Χριστοῦ, τὸ κατοικητήριον γενέσθαι τοῦ Πνεύματος.

7. Ἀλλ', ὦ ποθεινότατοι ἀδελφοί, εἴ γε ἔξεστί μοι ἀδελφοὺς ὑμᾶς καλεῖν, τῶν μὲν γὰρ ὠδίνων ὑμῖν ἐκοινώνησα τῶν αὐτῶν, ἀλλὰ τῇ μετὰ ταῦτα ῥᾳθυμίᾳ τὴν συγγένειαν ἀπώλεσα τὴν ἀκριβῆ καὶ γνησίαν. Πλὴν δότε μοι καλέσαι ὑμᾶς ἀδελφοὺς διὰ τὴν πολλὴν ἀγάπην καὶ παρακαλέσαι ὑμᾶς, ὥστε, ὅσῳ πλείονος ἀπελαύσατε τῆς τιμῆς, τοσούτῳ μείζονα ἐπιδείξασθαι τὴν σπουδήν.

---

3. Ματθ. 3,11.
4. Ψαλμ. 71,18.

4. Ἡ φύση τῶν ἄστρων ἐκείνων εἶναι πυρώδης, πυρώδης θὰ εἶναι καὶ αὐτῶν τῶν ἄστρων ἡ οὐσία. Ἀλλ' ἐκεῖ τὸ πῦρ εἶναι αἰσθητό, ἐνῶ ἐδῶ τὸ πῦρ εἶναι νοητό. «Αὐτὸς θὰ σᾶς βαπτίσει», λέγει, «μὲ Πνεῦμα ἅγιο καὶ πῦρ»[3]. Θέλεις νὰ μάθεις καὶ τὰ ὀνόματα καὶ τῶν δύο; Τὰ ὀνόματα ἐκείνων τῶν ἄστρων εἶναι αὐτά, ὠρίων, ἀρκτοῦρος, ἕσπερος, καὶ φωσφόρος, ἐνῶ σ' αὐτὰ τὰ ἄστρα δὲν ὑπάρχει κανένας ἕσπερος, ἀλλὰ ὅλα εἶναι φωσφόροι.

5. «Εὐλογητὸς ὁ Θεός», ἂς ποῦμε πάλι, «ποὺ εἶναι ὁ μόνος ποὺ ἐπιτελεῖ ἔργα θαυμαστά»[4], ποὺ δημιουργεῖ ὅλα καὶ μεταποιεῖ αὐτά. Ἐκεῖνοι ποὺ πρὶν ἀπὸ χθὲς ἦταν αἰχμάλωτοι, τώρα εἶναι ἐλεύθεροι καὶ πολίτες τῆς Ἐκκλησίας· ἐκεῖνοι ποὺ προηγουμένως ζοῦσαν μέσα στὴ ντροπὴ τῶν ἁμαρτιῶν, τώρα ζοῦν μὲ παρρησία καὶ δικαιοσύνη. Γιατὶ δὲν εἶναι μόνο ἐλεύθεροι ἀλλὰ καὶ ἅγιοι, ὄχι μόνο ἅγιοι ἀλλὰ καὶ δίκαιοι, ὄχι μόνο δίκαιοι ἀλλὰ καὶ υἱοί, ὄχι μόνο υἱοὶ ἀλλὰ καὶ κληρονόμοι, ὄχι μόνο κληρονόμοι ἀλλὰ καὶ ἀδελφοὶ τοῦ Χριστοῦ, ὄχι μόνο ἀδελφοὶ τοῦ Χριστοῦ ἀλλὰ καὶ συγκληρονόμοι, ὄχι μόνο συγκληρονόμοι ἀλλὰ καὶ μέλη, ὄχι μόνο μέλη ἀλλὰ καὶ ναός, ὄχι μόνο ναὸς ἀλλὰ καὶ ὄργανα τοῦ Πνεύματος.

6. Εὐλογητὸς ὁ Θεός, ὁ μόνος ποὺ ἐπιτελεῖ ἔργα θαυμαστά». Εἶδες πόσες εἶναι οἱ δωρεὲς τοῦ βαπτίσματος; Ἂν καὶ βέβαια πολλοὶ νομίζουν ὅτι ἡ δωρεὰ παρέχει μόνο ἄφεση ἁμαρτημάτων, ἐμεῖς ὅμως ἀπαριθμήσαμε δέκα τιμές. Γι' αὐτὸ βέβαια καὶ βαπτίζομε τὰ παιδιὰ ἂν καὶ δὲν ἔχουν ἁμαρτίες, γιὰ νὰ προστεθεῖ σ' αὐτὰ ἁγιασμός, δικαιοσύνη, υἱοθεσία, κληρονομία, ἀδελφότητα, τὸ νὰ εἶναι μέλη τοῦ Χριστοῦ, τὸ νὰ γίνουν κατοικητήριο τοῦ Πνεύματος.

7. Ἀλλά, ἀδελφοί μου πολυπόθητοι, ἂν βέβαια μπορῶ νὰ σᾶς ὀνομάζω ἀδελφούς, γιατὶ δοκίμασα καὶ ἐγὼ τοὺς ἴδιους πόνους τῆς ἀναγεννήσεως, ἀλλὰ μὲ τὴν στὴ συνέχεια ἀδιαφορία μου ἔχασα τὴν ἀκριβῆ καὶ γνήσια συγγένεια. Πλὴν ὅμως ἐπιτρέψτε με νὰ σᾶς ὀνομάσω ἀδελφοὺς ἐξ αἰτίας τῆς μεγάλης μου ἀγάπης πρὸς ἐσᾶς καὶ νὰ σᾶς παρακαλέσω, ὥστε, ὅσο μεγαλύτερη τιμὴ ἀπολαύσετε, τόσο μεγαλύτερη προθυμία καὶ ζῆλο νὰ δείξετε.

8. Ὁ μὲν γὰρ πρὸ τούτου χρόνος παλαίστρα καὶ γυμνάσιον ἦν καὶ συγγνώμην εἶχε τὰ πτώματα, ἀπὸ δὲ τῆς σήμερον ἡμέρας τὸ στάδιον ἀνέῳγεν, ὁ ἀγὼν ἐφέστηκε, τὸ θέατρον ἄνω κάθηται, οὐκ ἀνθρώπων φύσις μόνον ἀλλὰ καὶ ἀγγέλων δῆμος θεωρεῖ τὰ παλαίσματα καὶ βοᾷ Παῦλος Κορινθίοις γράφων· «θέατρον ἐγενήθημεν τῷ κόσμῳ, οὐκ ἀνθρώποις δὲ μόνον ἀλλὰ καὶ ἀγγέλοις». Ἄγγελοι τοίνυν θεωροῦσιν, ὁ τῶν ἀγγέλων Δεσπότης ἀγωνοθετεῖ· τοῦτο οὐ τιμὴ μόνον ἐστὶν ἀλλὰ καὶ ἀσφάλεια. Ὅταν γὰρ ὁ τὴν ψυχὴν αὐτοῦ θεὶς ὑπὲρ ἡμῶν οὗτος κρίνῃ τὰ παλαίσματα, ποίας οὐ τιμῆς τοῦτο, πόσης οὐκ ἀσφαλείας;

9. Ἐπὶ μὲν οὖν τῶν ὀλυμπιακῶν ἀγώνων ὁ βραβεύων μέσος ἕστηκε τῶν ἀγωνιζομένων, οὔτε τούτῳ οὔτε ἐκείνῳ προσκείμενος, ἀλλὰ ἀναμένων τὸ τέλος. Διὰ τοῦτο καὶ μέσος ἕστηκεν ἐπεὶ καὶ τῇ γνώμῃ μέσος ἐστίν. Ἐπὶ δὲ ἡμῶν καὶ τοῦ διαβόλου οὐ μέσος ἕστηκεν ὁ Χριστός, ἀλλ' ἡμῶν ὅλος ἐστί. Καὶ ὅτι οὐκ ἔστι μέσος ἀλλὰ μεθ' ἡμῶν ὅλος ἐστί, σκόπει ἐντεῦθεν. Ἡμᾶς εἰς τὸν ἀγῶνα εἰσιόντας ἤλειψεν, ἐκεῖνον ἔδησεν· ἡμᾶς ἤλειψεν ἔλαιον ἀγαλλιάσεως, ἐκεῖνον ἔδησε δεσμοῖς ἀλύτοις, ἵνα συμποδίζηται πρὸς τὰ παλαίσματα. Ἐμοὶ κἂν ὑποσκελισθῆναι συμβῇ χεῖρα ὀρέγει καὶ πεσόντα ἀνίστησι καὶ πατεῖν αὐτὸν πάλιν ποιεῖ· «πατεῖτε» γάρ, φησίν, «ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν δύναμιν τοῦ ἐχθροῦ».

10. Ἐκείνῳ μετὰ τὴν νίκην γέενναν ἠπείλησεν· ἐγὼ ἐὰν νικήσω στεφανοῦμαι, ἐκεῖνος ἐὰν νικήσῃ κολάζεται. Καὶ ἵνα γνῷς ὅτι τότε μᾶλλον τιμωρεῖται ὅταν κρατήσῃ, φέρε σοι δείξω ἐκ τῶν πραγμάτων. Ἐνίκησε τὸν Ἀδὰμ καὶ ὑπεσκέλισε. Τί οὖν τὸ ἔπαθλον τῆς νίκης; «Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου». Εἰ δὲ τὸν αἰσθητὸν ὄφιν οὕτως ἐκόλασε, ποίᾳ τιμωρίᾳ κολάσει τὸν νοητόν; Εἰ τοιαύτη καταδίκη τοῦ ὀρ-

5. Α' Κορ. 4,9.
6. Λουκᾶ 10,19.
7. Γεν. 3,14.

8. Γιατὶ ὁ χρόνος πρὶν ἀπὸ τὸ βάπτισμα ἦταν παλαίστρα καὶ γυμναστήριο καὶ παρεῖχε συγχώρηση στὰ παραπτώματα, ἀπὸ σήμερα ὅμως ἄνοιξε τὸ στάδιο, ἡ ὥρα τοῦ ἀγώνα ἔφθασε, οἱ θεατὲς κάθονται ἐπάνω, ὄχι μόνο ἡ φύση τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὸ πλῆθος τῶν ἀγγέλων βλέπει τὰ παλαίσματα καὶ βροντοφωνάζει ὁ Παῦλος γράφοντας στοὺς Κορινθίους· «γίναμε θέαμα στὸν κόσμο, καὶ ὄχι μόνο στοὺς ἀνθρώπους, ἀλλὰ καὶ στοὺς ἀγγέλους»[5]. Ἄγγελοι λοιπὸν μᾶς βλέπουν καὶ ἀγωνοθέτης εἶναι ὁ Κύριος τῶν ἀγγέλων· αὐτὸ δὲν εἶναι μόνο τιμή, ἀλλὰ καὶ ἀσφάλεια. Γιατί, ὅταν ἐκεῖνος ποὺ θυσίασε τὴ ζωή του γιὰ μᾶς αὐτὸς κρίνει τὰ παλαίσματα, ποιᾶς τιμῆς δὲν εἶναι αὐτό, πόση ἀσφάλεια δὲν παρέχει;

9. Στὴν περίπτωση βέβαια τῶν ὀλυμπιακῶν ἀγώνων ὁ βραβευτὴς στέκεται ἀνάμεσα στοὺς ἀγωνιζομένους, χωρὶς νὰ ἐκδηλώνεται εὐνοϊκῶς οὔτε ὑπὲρ τοῦ ἑνὸς οὔτε ὑπὲρ τοῦ ἄλλου, ἀλλὰ περιμένει τὸ τέλος. Γι' αὐτὸ καὶ στέκεται ἀνάμεσά τους, γιατὶ καὶ ὡς πρὸς τὴ γνώμη κατέχει μεσαία θέση. Στὴν περίπτωση τὴ δική μας ὅμως καὶ τοῦ διαβόλου δὲν στέκεται στὸ μέσον ὁ Χριστὸς οὐδέτερος, ἀλλ' ὅλος εἶναι δικός μας. Καὶ ὅτι δὲν εἶναι οὐδέτερος, ἀλλ' ὅλος εἶναι μαζί μας σκέψου τὸ ἑξῆς. Ἐμεῖς ποὺ μπήκαμε στὸν ἀγώνα μᾶς ἄλειψε, ἐνῶ ἐκεῖνον τὸν ἔδησε· ἐμᾶς μᾶς ἄλειψε μὲ λάδι ἀγαλλιάσεως, ἐνῶ ἐκεῖνον τὸν ἔδησε μὲ δεσμὰ ἄλυτα, γιὰ νὰ ἐμποδίζεται στὰ παλαίσματα. Ἐμένα κι ἂν ἀκόμη συμβεῖ νὰ ὑποσκελισθῶ ἁπλώνει τὸ χέρι του καὶ μὲ βοηθᾶ καὶ ἂν πέσω μὲ σηκώνει καὶ μὲ βοηθᾶ νὰ τὸν πατῶ πάλι· γιατὶ λέγει, «πατᾶτε ἐπάνω σὲ φίδια καὶ σκορπιοὺς καὶ ἐπάνω σ' ὅλη τὴ δύναμη τοῦ ἐχθροῦ»[6].

10. Ἐκεῖνον μετὰ τὴ νίκη τὸν ἀπείλησε μὲ τὴ γέεννα· ἐγὼ ἂν νικήσω στεφανώνομαι, ἐνῶ ἐκεῖνος ἂν νικήσει τιμωρεῖται. Καὶ γιὰ νὰ μάθεις ὅτι τότε τιμωρεῖται πολὺ περισσότερο ὅταν ὑπερισχύσει, ἐμπρὸς νὰ σοῦ τὸ δείξω ἀπὸ τὰ ἴδια τὰ πράγματα. Νίκησε τὸν Ἀδὰμ καὶ τὸν ὑποσκέλισε. Ποιό λοιπὸν ἦταν τὸ ἔπαθλο τῆς νίκης; «θὰ σύρεσαι ἐπάνω στὸ χῶμα μὲ τὸ στῆθος καὶ τὴν κοιλιά σου καὶ θὰ τρῶς χῶμα ὅλες τὶς ἡμέρες τῆς ζωῆς σου»[7]. Ἂν τὸ αἰσθητὸ φίδι τὸ τιμώρησε ἔτσι, μὲ ποιά τιμωρία δὲ θὰ τιμωρήσει τὸ νοητό;

γάνου, εὔδηλον ὅτι πολλῷ μείζων κόλασις μένει τὸν τεχνίτην. Καθάπερ γὰρ πατὴρ φιλόστοργος τὸν ἀποκτείναντα τὸν Υἱὸν τὸν ἑαυτοῦ εὑρὼν οὐχὶ τὸν φονέα τιμωρεῖται μόνον ἀλλὰ καὶ τὴν μάχαιραν αὐτὴν κατακόπτει, οὕτω δὴ καὶ ὁ Χριστὸς εὑρὼν τὸν διάβολον ἀποκτείναντα τὸν ἄνθρωπον, οὐχὶ τὸν διάβολον μόνον ἐκόλασεν ἀλλὰ καὶ αὐτὴν τὴν μάχαιραν κατέκλασεν.

11. Οὐκοῦν θαρροῦντες ἀποδυσώμεθα πρὸς τὰ παλαίσματα· καὶ γὰρ ὅπλα ἡμῖν περιέβαλε χρυσίου παντὸς στιλπνότερα, ἀδάμαντος παντὸς ἰσχυρότερα, πυρὸς παντὸς θερμότερα καὶ σφοδρότερα, ἀέρος παντὸς κουφότερα. Οὐδὲ γὰρ βαρύνει τὰ γόνατα τῶν ὅπλων τούτων ἡ φύσις, ἀλλ' ἀναπτεροῖ τὰ μέλη καὶ μετεωρίζει, κἂν εἰς τὸν οὐρανὸν ἀναπτῆναι βουληθῇς μετὰ τῶν ὅπλων τούτων, τὸ κωλῦον οὐδέν. Καινὴ γὰρ τῶν ὅπλων ἡ φύσις ἐπειδὴ καὶ καινὸς τῆς μάχης ταύτης ὁ τρόπος· ἄνθρωπος γὰρ ὢν δαίμοσι πυκτεύειν ἀναγκάζομαι, σάρκα περικείμενος πρὸς ἀσωμάτους δυνάμεις παλαίω. Διὰ τοῦτό μοι τὸν θώρακα οὐκ ἀπὸ σιδήρου ἀλλ' ἀπὸ δικαιοσύνης ἐποίησεν ὁ Θεός· διὰ τοῦτό μοι τὸν θυρεὸν οὐκ ἀπὸ χαλκοῦ ἀλλ' ἀπὸ πίστεως κατεσκεύασεν. Ἔχω καὶ μάχαιραν ἠκονημένην, τὸ τοῦ Πνεύματος ῥῆμα. Ἐκεῖνος ἀφίησι βέλη κατ' ἐμοῦ, ἔχω μάχαιραν ἐγώ· ἐκεῖνος τοξότης ἐστίν, ἐγὼ ὁπλίτης εἰμί. Μάθε καὶ ἀπὸ τούτου τὴν διάνοιαν ἐκείνου· ὁ τοξότης ἐγγὺς ἐλθεῖν οὐ τολμᾷ ἀλλὰ πόρρωθεν βάλλει.

12. Τί δαί; Ἆρα ὅπλα κατεσκεύασε μόνον; Οὐχί, ἀλλὰ καὶ τράπεζαν ἡτοίμασεν ὅπλου παντὸς δυνατωτέραν, ἵνα μὴ κάμνων πολεμῇς, ἵνα τρυφῶν περιγίνῃ τοῦ πονηροῦ. Ἂν γὰρ ἴδῃ σε μόνον ἀπὸ τῶν δείπνων ἐπανιόντα τῶν δεσποτικῶν, καθάπερ λέοντα ἰδών τις πῦρ ἀπὸ τοῦ στόματος ἀφιέντα, οὕτω φεύγει παντὸς ἀνέμου σφοδρότερον· κἂν δείξῃς αὐτῷ τὴν γλῶτταν ᾑμαγμένην τῷ αἵματι τῷ τιμίῳ, οὐδὲ στῆναι δυνήσεται· ἂν δείξῃς τὸ στόμα πεφοινιγμένον, καθάπερ θηρίον εὐτελὲς οὕτως ἐπὶ τὰ ὀπίσω δραμεῖται.

Ἂν μὲ τέτοια καταδίκη τιμώρησε τὸ ὄργανο, εἶναι ὁλοφάνερο ὅτι περιμένει πολὺ πιὸ μεγαλύτερη τιμωρία τὸν τεχνίτη. Γιατί, ὅπως ἀκριβῶς ὁ φιλόστοργος πατέρας, βρίσκοντας τὸν φονιὰ τοῦ υἱοῦ του δὲν τιμωρεῖ μόνο τὸν φονιὰ ἀλλὰ κατακομματιάζει καὶ τὸ ἴδιο τὸ μαχαίρι, ἔτσι λοιπὸν καὶ ὁ Χριστός, ἀφοῦ βρῆκε τὸ διάβολο ποὺ φόνευσε τὸν ἄνθρωπο, δὲν τιμώρησε μόνο τὸ διάβολο, ἀλλὰ κατακομμάτιασε καὶ τὴν ἴδια τὴ μάχαιρά του.

11. Μὲ θάρρος λοιπὸν ἂς ριχτοῦμε στὰ παλαίσματα· καθόσον μᾶς περιέβαλε μὲ ὅπλα λαμπρότερα ἀπὸ ὁποιοδήποτε χρυσάφι, ἰσχυρότερα ἀπὸ ὁποιοδήποτε διαμάντι, θερμότερα καὶ σφοδρότερα ἀπὸ ὁποιοδήποτε πῦρ, ἐλαφρότερα ἀπὸ ὁποιοδήποτε ἀέρα. Γιατὶ ἡ φύση τῶν ὅπλων αὐτῶν δὲν βαρύνει τὰ γόνατα, ἀλλ' ἐνδυναμώνει τὰ μέλη καὶ τὰ κάνει νὰ ὑψωθοῦν πρὸς τὰ ὕψη, καὶ ἂν θελήσεις νὰ πετάξεις μὲ τὰ ὅπλα αὐτὰ στὸν οὐρανό, δὲν ὑπάρχει κανένα ἐμπόδιο. Ἡ φύση τῶν ὅπλων αὐτῶν εἶναι καινούργια ἐπειδὴ καὶ ὁ τρόπος τῆς μάχης αὐτῆς εἶναι καινούργιος· γιατί, ἐνῶ εἶμαι ἄνθρωπος, ἀναγκάζομαι νὰ πυγμαχῶ μὲ τοὺς δαίμονες, καί, ἐνῶ φέρω σάρκα, παλεύω μὲ ἀσώματες δυνάμεις. Γι' αὐτὸ ὁ Θεὸς τὸν θώρακά μου δὲν τὸν ἔκαμε ἀπὸ σίδερο, ἀλλὰ ἀπὸ δικαιοσύνη· γι' αὐτὸ τὴν ἀσπίδα μου δὲν τὴν ἔκαμε ἀπὸ χαλκό, ἀλλὰ ἀπὸ πίστη. Ἔχω καὶ μάχαιρα ἀκονισμένη, τὰ λόγια τοῦ Πνεύματος. Ἐκεῖνος ρίχνει βέλη ἐναντίον μου, ἐγὼ ἔχω μάχαιρα· ἐκεῖνος εἶναι τοξότης, ἐγὼ εἶμαι ὁπλίτης. Μάθε καὶ ἀπὸ αὐτὸ τὴ σκέψη ἐκείνου· ὁ τοξότης δὲν τολμᾶ νὰ πλησιάσει, ἀλλὰ ρίχνει τὰ βέλη του ἀπὸ μακριά.

12. Ἀλλὰ τί; Ἄραγε μόνο ὅπλα κατασκεύασε; Ὄχι, ἀλλὰ ἑτοίμασε καὶ τράπεζα πιὸ δυνατὴ ἀπὸ ὁποιοδήποτε ὅπλο, γιὰ νὰ πολεμᾶς χωρὶς νὰ κουράζεσαι, γιὰ νὰ νικήσεις τὸν πονηρὸ ἀπολαμβάνοντας τὰ πλούσια ἀγαθά του. Γιατί, ἂν σὲ δεῖ μόνο νὰ ἐπιστρέφεις ἀπὸ τὰ δεσποτικὰ δεῖπνα, ὅπως ἀκριβῶς ἂν δεῖ κάποιος λιοντάρι νὰ ἐκπέμπει φωτιὰ ἀπὸ τὸ στόμα του, ἔτσι φεύγει πιὸ γρήγορα ἀπὸ ὁποιοδήποτε ἄνεμο· κι ἂν τοῦ δείξεις τὴ γλώσσα σου ματωμένη ἀπὸ τὸ αἷμα τὸ τίμιο, δὲ θὰ μπορέσει νὰ σταθεῖ· ἂν δείξεις τὸ στόμα σου κατακκόκινο, σὰν θηρίο ἀνίσχυρο ἔτσι θὰ τρέξει πρὸς τὰ πίσω.

13. Βούλει τοίνυν τοῦ αἵματος τούτου μαθεῖν τὴν ἰσχύν; Ἀναδράμωμεν ἐπὶ τὸν τύπον αὐτοῦ, ἐπὶ τὰ παλαιὰ διηγήματα τὰ ἐν Αἰγύπτῳ. Δεκάτην ἔμελλε πληγὴν ἐπάγειν ὁ Θεὸς τοῖς Αἰγυπτίοις· τὰ πρωτότοκα γὰρ αὐτῶν ἐβούλετο ἀνελεῖν ἐπειδὴ τὸν πρωτότοκον αὐτοῦ κατεῖχον λαόν. Τί οὖν ἵνα γένηται ὥστε μὴ συμπλέκεσθαι τοὺς Ἰουδαίους τοῖς Αἰγυπτίοις, ἐπειδὴ εἷς κατεῖχεν αὐτοὺς τόπος; Μάθε τοῦ τύπου τὴν δύναμιν ἵνα μάθῃς καὶ τῆς ἀληθείας τὴν ἰσχύν. Πληγὴ θεήλατος ἔμελλεν ἄνωθεν φέρεσθαι καὶ ὁ ὀλοθρεύων ἐπῄει ταῖς οἰκίαις.

14. Τί οὖν ὁ Μωϋσῆς; «Θύσατε», φησίν, «ἀμνὸν ἄμωμον καὶ τὸ αἷμα αὐτοῦ ἐπιχρίσατε ταῖς θύραις». Τί λέγεις; Αἷμα ἀλόγου σῴζειν ἀνθρώπους τοὺς λογικοὺς οἶδε; Ναί, φησίν, οὐκ ἐπειδὴ αἷμά ἐστιν, ἀλλ᾽ ἐπειδὴ τοῦ αἵματος τοῦ δεσποτικοῦ τύπος ἐστί. Καθάπερ γὰρ οἱ ἀνδριάντες οἱ βασιλικοὶ ἄψυχοι ὄντες καὶ ἀναίσθητοι τοὺς καταφεύγοντας εἰς αὐτοὺς ἀνθρώπους αἰσθητικοὺς καὶ ἐμψύχους ὄντας διασῴζουσιν, οὐκ ἐπειδὴ χαλκός εἰσιν, ἀλλ᾽ ἐπειδὴ εἰκὼν τοῦ βασιλέως εἰσίν, οὕτω δὴ καὶ τὸ αἷμα ἐκεῖνο τὸ ἀναίσθητον καὶ ἄψυχον τοὺς ψυχὴν ἔχοντας ἀνθρώπους ἔσωσεν, οὐκ ἐπειδὴ αἷμα ἦν ἀλλ᾽ ἐπειδὴ τοῦ αἵματος τούτου τύπος ἦν.

15. Τότε εἶδεν ὁ ὀλοθρεύων τὸ αἷμα ταῖς θύραις ἐπικεχρισμένον καὶ οὐκ ἐτόλμησεν εἰσπηδῆσαι· νῦν ἂν ἴδῃ ὁ διάβολος οὐχὶ θύραις ἐπικεχρισμένον τὸ αἷμα τοῦ τύπου ἀλλὰ τῷ στόματι τῶν πιστῶν ἐπικεχρισμένον τὸ αἷμα τῆς ἀληθειάς ταῖς θύραις τοῦ ναοῦ τοῦ χριστοφόρου, οὐ πολλῷ μᾶλλον ἑαυτὸν καθέξει; Εἰ γὰρ ἄγγελος ἰδὼν τὸν τύπον ᾐδέσθη, πολλῷ μᾶλλον ὁ διάβολος ἰδὼν τὴν ἀλήθειαν φεύξεται.

16. Βούλει μαθεῖν καὶ ἑτέρωθεν τοῦ αἵματος τούτου τὴν ἰσχύν; Βλέπε πόθεν ἔρρευσε τὴν ἀρχὴν καὶ πόθεν τὴν πηγὴν ἔσχεν, ἄνωθεν ἀπὸ τοῦ σταυροῦ, ἀπὸ τῆς πλευρᾶς τῆς δεσποτικῆς. Τεθνηκότος γάρ, φησί, τοῦ Χριστοῦ καὶ ἐν τῷ σταυρῷ ὄντος ἔτι, προσελθὼν ὁ στρατιώτης ἔνυξε τὴν πλευρὰν τῇ λόγχῃ, εἶτα ἐξῆλθεν ὕδωρ καὶ αἷμα. Καὶ τὸ μὲν τοῦ βαπτίσματος σύμβολον ἦν, τὸ δὲ τῶν μυ-

---

8. Πρβλ. Ἐξ. 12,21–22.

9. Ἰω. 19,33–34. Στὸ κείμενο τοῦ Εὐαγγελίου προηγεῖται τὸ αἷμα τοῦ ὕδατος.

13. Θέλεις λοιπὸν νὰ μάθεις τὴ δύναμη τοῦ αἵματος αὐτοῦ; Ἂς ἀνατρέξουμε στὸν τύπο αὐτοῦ, στὰ παλαιὰ διηγήματα ποὺ ἀναφέρονται στὰ γεγονότα τῆς Αἰγύπτου. Ἐπρόκειτο ὁ Θεὸς νὰ στείλει τὴ δέκατη πληγὴ ἐναντίον τῶν Αἰγυπτίων, γιατὶ ἤθελε νὰ φονεύσει τὰ πρωτότοκα αὐτῶν ἐπειδὴ κατεῖχαν τὸν πρωτότοκο λαό του. Τί λοιπὸν θὰ ἔπρεπε νὰ γίνει ὥστε νὰ μὴ συμπλακοῦν οἱ Ἰουδαῖοι μὲ τοὺς Αἰγυπτίους, ἐπειδὴ διέμεναν στὸν ἴδιο τόπο; Μάθε τοῦ τύπου τὴ δύναμη γιὰ νὰ μάθεις καὶ τὴ δύναμη τῆς ἀλήθειας. Ἐπρόκειτο νὰ σταλεῖ ἀπὸ τὸν οὐρανὸ πληγὴ θεόσταλτη καὶ ὁ ἐξολοθρευτὴς θὰ περνοῦσε ἀπὸ τὰ σπίτια.

14. Τί κάμνει λοιπὸν ὁ Μωϋσῆς; «Θυσιάστε», λέγει, «ἀμνὸ ἄμεμπτο καὶ μὲ τὸ αἷμα του ἀλεῖψτε τὶς θύρες»[8]. Τί λές; Μπορεῖ τὸ αἷμα τοῦ ἀλόγου ζώου νὰ σώσει τοὺς λογικοὺς ἀνθρώπους; Ναί, λέγει, ὄχι ἐπειδὴ εἶναι αἷμα, ἀλλ' ἐπειδὴ εἶναι τύπος τοῦ δεσποτικοῦ αἵματος. Γιατί, ὅπως ἀκριβῶς οἱ βασιλικοὶ ἀνδριάντες, ἂν καὶ εἶναι ἄψυχοι καὶ ἀναίσθητοι, διασώζουν τοὺς ἀνθρώπους ἐκείνους ποὺ καταφεύγουν σ' αὐτοὺς ἂν καὶ εἶναι ἔμψυχοι καὶ ἔχουν αἴσθηση, ὄχι ἐπειδὴ εἶναι χαλκός, ἀλλ' ἐπειδὴ εἶναι εἰκόνα τοῦ βασιλιᾶ, ἔτσι λοιπὸν καὶ τὸ αἷμα ἐκεῖνο τὸ ἀναίσθητο καὶ ἄψυχο ἔσωσε τοὺς ἀνθρώπους ποὺ εἶχαν ψυχή, ὄχι ἐπειδὴ ἦταν αἷμα ἀλλ' ἐπειδὴ ἦταν τύπος τοῦ αἵματος αὐτοῦ.

15. Τότε εἶδε ὁ ἐξολοθρευτὴς τὸ αἷμα ἀλειμμένο στὶς θύρες καὶ δὲν τόλμησε νὰ μπεῖ μέσα. Τώρα ἂν ὁ διάβολος δεῖ ὄχι ἀλειμμένο στὶς θύρες τὸ αἷμα τοῦ τύπου, ἀλλὰ ἀλειμμένο τὸ αἷμα τῆς ἀλήθειας στὸ στόμα τῶν πιστῶν, στὶς θύρες τοῦ χριστοφόρου ναοῦ, δὲν θὰ συγκρατηθεῖ πολὺ περισσότερο; Γιατί, ἂν ἄγγελος βλέποντας τὸν τύπο τὸν σεβάσθηκε, πολὺ περισσότερο θὰ φύγει ὁ διάβολος βλέποντας τὴν ἀλήθεια.

16. Θέλεις νὰ μάθεις καὶ ἀπὸ ἀλλοῦ τὴ δύναμη τοῦ αἵματος αὐτοῦ; Βλέπε ἀπὸ ποῦ ἔτρεξε γιὰ πρώτη φορὰ καὶ ἀπὸ ποῦ πήγασε, ἐπάνω ἀπὸ τὸ σταυρό, ἀπὸ τὴν πλευρὰ τὴ δεσποτική. Γιατὶ λέγει, ἀφοῦ πέθανε ὁ Χριστὸς καὶ βρισκόταν ἀκόμη ἐπάνω στὸ σταυρό, τὸν πλησίασε ἕνας στρατιώτης καὶ τρύπησε μὲ τὴ λόγχη τὴν πλευρά του, καὶ ἔτρεξε νερὸ καὶ αἷμα.[9]. Καὶ τὸ νερὸ βέβαια ἦταν σύμ-

στηρίων. Διὰ τοῦτο οὐκ εἶπεν· 'ἐξῆλθεν αἷμα καὶ ὕδωρ' ἀλλὰ πρῶτον ἐξῆλθε τὸ ὕδωρ καὶ τότε τὸ αἷμα, ἐπειδὴ πρῶτον τὸ βάπτισμα καὶ τότε τὰ μυστήρια. Ἔνυξε τοίνυν τὴν πλευρὰν ὁ στρατιώτης ἐκεῖνος, διώρυξε τὸν τοῖχον τοῦ ἁγίου ναοῦ καὶ ἐγὼ τὸν θησαυρὸν εὗρον καὶ τὸν πλοῦτον ἔλαβον. Οὕτω καὶ ἐπὶ τοῦ ἀμνοῦ γέγονεν· οἱ Ἰουδαῖοι ἔσφαζον τὸ πρόβατον καὶ ἐγὼ τὴν σωτηρίαν τὴν ἀπὸ τῆς θυσίας ἐκαρπωσάμην.

17. «Ἐξῆλθεν ἀπὸ τῆς πλευρᾶς ὕδωρ καὶ αἷμα». Μὴ παραδράμῃς ἁπλῶς, ἀγαπητέ, τὸ μυστήριον. Ἔχω γὰρ καὶ ἕτερον λόγον εἰπεῖν μυστικόν· εἶπον ὅτι τοῦ βαπτίσματος σύμβολον καὶ τῶν μυστηρίων ἐστὶ τὸ αἷμα ἐκεῖνο καὶ τὸ ὕδωρ. Ἐξ ἑκατέρων τούτων ἡ Ἐκκλησία γεγέννηται, «διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου», διὰ βαπτίσματος καὶ διὰ μυστηρίων. Τὰ δὲ σύμβολα τοῦ βαπτίσματος καὶ τῶν μυστηρίων ἀπὸ τῆς πλευρᾶς. Ἀπὸ τῆς πλευρᾶς ἄρα τὴν Ἐκκλησίαν ἐδημιούργησεν ὁ Χριστός, καθάπερ ἀπὸ τῆς πλευρᾶς τοῦ Ἀδὰμ τὴν Εὕαν ἐδημιούργησε.

18. Διὰ τοῦτο καὶ Μωϋσῆς περὶ τοῦ πρώτου ἀνθρώπου διεξιὼν λέγει, «ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου», τὴν πλευρὰν ἡμῖν αἰνιττόμενος τοῦ Δεσπότου. Ὥσπερ γὰρ τότε ἔλαβεν ὁ Θεὸς τὴν πλευρὰν καὶ διέπλασε γυναῖκα, οὕτως ἔδωκεν ἡμῖν αἷμα καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς αὐτοῦ καὶ ἀνέπλασε τὴν Ἐκκλησίαν. Ὥσπερ οὖν τότε ἐν τῇ ἐκστάσει τὴν πλευρὰν ἔλαβε, καθεύδοντος τοῦ Ἀδάμ, οὕτω καὶ νῦν μετὰ τὸν θάνατον τὸ αἷμα καὶ τὸ ὕδωρ ἔδωκεν, ἐν πρώτοις δὲ τὸ ὕδωρ εἶτα τὸ αἷμα. Ἀλλ' ὅπερ τότε ἡ ἔκστασις, τοῦτο νῦν ὁ θάνατος γέγονεν, ἵνα μάθῃς ὅτι ὁ θάνατος οὗτος ὕπνος λοιπόν ἐστιν.

19. Εἴδετε πῶς συνῆψεν ἑαυτῷ τὴν νύμφην ὁ Χριστός; εἴδετε ποίᾳ πάντας ἡμᾶς τρέφει τροφῇ; Ἐκ τῆς αὐτῆς τροφῆς καὶ συνεστήκαμεν καὶ τρεφόμεθα. Καθάπερ γὰρ γυνὴ τὸ τεχθὲν οἰκείῳ τρέ-

10. Τίτ. 3,5.
11. Γεν. 2,23.

βολο τοῦ βαπτίσματος, ἐνῶ τὸ αἷμα τῶν μυστηρίων. Γι' αὐτὸ δὲν εἶπε, 'ἔτρεξε αἷμα καὶ νερό', ἀλλὰ πρῶτα ἔτρεξε τὸ νερὸ καὶ μετὰ τὸ αἷμα, ἐπειδὴ πρῶτα γίνεται τὸ βάπτισμα καὶ μετὰ τὰ μυστήρια. Τρύπησε λοιπὸν τὴν πλευρὰ ὁ στρατιώτης ἐκεῖνος, ἄνοιξε τρύπα στὸν τοῖχο τοῦ ἁγίου ναοῦ καὶ ἐγὼ βρῆκα τὸ θησαυρὸ καὶ ἔλαβα τὸν πλοῦτο. Τὸ ἴδιο ἔγινε καὶ στὴν περίπτωση τοῦ ἀμνοῦ· οἱ Ἰουδαῖοι ἔσφαζαν τὸ πρόβατο καὶ ἐγὼ καρπώθηκα τὴ σωτηρία ποὺ πήγασε ἀπὸ τὴ θυσία.

17. «Ἔτρεξε ἀπὸ τὴν πλευρὰ νερὸ καὶ αἷμα». Μὴ προσπεράσεις, ἀγαπητέ, ἐπιπόλαια τὸ μυστήριο. Γιατὶ ἐγὼ ἔχω νὰ σοῦ δώσω καὶ ἄλλη μυστικὴ ἐξήγηση. Εἶπα ὅτι τὸ αἷμα ἐκεῖνο καὶ τὸ νερὸ εἶναι σύμβολο τοῦ βαπτίσματος καὶ τῶν μυστηρίων. Ἡ Ἐκκλησία γεννήθηκε καὶ ἀπὸ τὰ δύο αὐτά, «μὲ τὸ λουτρὸ τῆς παλιγγενεσίας καὶ τῆς ἀνανεώσεως μὲ τὸ ἅγιο Πνεῦμα»[10], μὲ τὸ βάπτισμα καὶ τὰ μυστήρια. Τὰ σύμβολα ὅμως τοῦ βαπτίσματος καὶ τῶν μυστηρίων προῆλθαν ἀπὸ τὴν πλευρά. Ἑπομένως ὁ Χριστὸς δημιούργησε τὴν Ἐκκλησία ἀπὸ τὴν πλευρά του, ὅπως ἀκριβῶς καὶ τὴν Εὔα τὴ δημιούργησε ἀπὸ τὴν πλευρὰ τοῦ Ἀδάμ.

18. Γι' αὐτὸ καὶ ὁ Μωϋσῆς περιγράφοντας τὴ δημιουργία τοῦ πρώτου ἀνθρώπου λέγει, «εἶναι ὀστὸ ἀπὸ τὰ ὀστά μου καὶ σάρκα ἀπὸ τὴ σάρκα μου»[11], ὑπονοώντας τὴν πλευρὰ τοῦ Κυρίου. Γιατί, ὅπως ἀκριβῶς τότε ὁ Θεὸς πῆρε τὴν πλευρὰ καὶ διέπλασε γυναίκα, ἔτσι μᾶς ἔδωσε ὁ Χριστὸς αἷμα καὶ νερὸ ἀπὸ τὴν πλευρά του καὶ ἀνέπλασε τὴν Ἐκκλησία. Ὅπως λοιπὸν τότε ἔλαβε τὴν πλευρὰ σὲ ὥρα ἐκστάσεως, ἐνῶ κοιμόταν ὁ Ἀδάμ, ἔτσι καὶ τώρα μετὰ τὸ θάνατό του μᾶς ἔδωσε τὸ αἷμα καὶ τὸ νερό, πρῶτα τὸ νερὸ καὶ ἔπειτα τὸ αἷμα. Ἀλλ' ἐκεῖνο ποὺ ἦταν τότε ἡ ἔκσταση, αὐτὸ τώρα ἔγινε ὁ θάνατος, γιὰ νὰ μάθεις ὅτι ὁ θάνατος αὐτὸς εἶναι πιὰ ὕπνος.

19. Εἴδατε πῶς συνένωσε ὁ Χριστὸς τὴ νύφη μὲ τὸν ἑαυτό του; εἴδατε μὲ ποιά τροφὴ μᾶς τρέφει ὅλους; Ἀπὸ τὴν ἴδια τροφὴ καὶ συσταθήκαμε καὶ τρεφόμαστε. Γιατί, ὅπως ἀκριβῶς ἡ γυναίκα τρέφει μὲ τὸ αἷμα καὶ τὸ γάλα της τὸ παιδὶ ποὺ γέννησε, ἔτσι καὶ ὁ

φει αἵματι καὶ γάλακτι, οὕτω καὶ ὁ Χριστὸς οὓς ἐγέννησεν αὐτὸς οἰκείῳ τρέφει διηνεκῶς αἵματι.

20. Ἐπεὶ οὖν τοσαύτης ἀπελαύσαμεν δωρεᾶς πολλὴν ἐπιδειξώμεθα τὴν σπουδὴν καὶ ἀναμνησθῶμεν τῶν συνθηκῶν ὧν ἐθέμεθα πρὸς αὐτόν. Ὑμῖν λέγω καὶ τοῖς νῦν μεμυημένοις καὶ τοῖς πάλαι καὶ πρὸ πολλῶν ἐτῶν· κοινὸς γὰρ πρὸς πάντας ἡμᾶς ὁ λόγος ἐπειδὴ καὶ πάντες ἐθέμεθα πρὸς αὐτὸν συνθήκας ἃς ἐγράψαμεν οὐ μέλανι ἀλλὰ πνεύματι, οὐ καλάμῳ ἀλλὰ γλώττῃ. Τούτῳ γὰρ τῷ καλάμῳ αἱ συνθῆκαι αἱ πρὸς τὸν Θεὸν γράφονται· διὰ τοῦτο καὶ ὁ Δαβίδ φησιν· «ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου». Ὡμολογήσαμεν αὐτοῦ τὴν δεσποτείαν, ἠρνησάμεθα τὴν τυραννίδα τὴν διαβολικήν, τοῦτο χειρόγραφον ἐγένετο, τοῦτο συνθήκη, τοῦτο γραμματεῖον.

21. Ὁρᾶτε μὴ πάλιν ὑποχείριοι γενώμεθα τῷ γραμματείῳ τούτῳ. Ἦλθεν ἅπαξ ὁ Χριστός, εὗρεν ἡμῶν χειρόγραφον πατρῷον ὅπερ ἔγραψεν ὁ Ἀδάμ. Ἐκεῖνος τὴν ἀρχὴν εἰσήνεγκε τοῦ χρέους, ἡμεῖς τὸ δάνειον ηὐξήσαμεν ταῖς μετὰ ταῦτα ἁμαρτίαις. Κατάρα ἦν ἐκεῖ καὶ ἁμαρτία καὶ θάνατος καὶ νόμου κατάκρισις· πάντα ταῦτα ἀνεῖλεν ὁ Χριστὸς καὶ συνεχώρησε. Καὶ βοᾷ ὁ Παῦλος λέγων· «τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἀπὸ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ». Οὐκ εἶπεν 'ἀπαλείψας αὐτό', οὐκ εἶπεν 'χαράξας', ἀλλὰ προσηλώσας αὐτὸ τῷ σταυρῷ», ἵνα μηδὲ ἴχνος αὐτοῦ μείνῃ. Διὰ τοῦτο οὐκ ἀπήλειψεν ἀλλὰ διέρρηξεν· οἱ γὰρ ἧλοι τοῦ σταυροῦ διέρρηξαν αὐτὸ καὶ διέφθειραν, ἵνα ἄχρηστον γένηται τοῦ λοιποῦ.

22. Καὶ οὐκ ἐν γωνίᾳ καὶ λάθρᾳ ἀλλ' ἐν μέσῳ τῆς οἰκουμένης ἐφ' ὑψηλοῦ τοῦ ἰκρίου τὴν διάλυσιν ἐποιήσατο. Βλεπέτωσαν ἄγγελοι, φησίν, βλεπέτωσαν ἀρχάγγελοι, βλεπέτωσαν αἱ ἄνω δυνάμεις, βλεπέτωσαν καὶ οἱ πονηροὶ δαίμονες καὶ αὐτὸς ὁ διάβολος, οἱ ποιήσαντες ὑπευθύνους ἡμᾶς τῶν ὀφλημάτων ἐπὶ τῶν δανειστῶν·

12. Ψαλμ. 44,2.
13. Κολ. 2,14.

Χριστὸς ἐκείνους ποὺ τοὺς γέννησε ὁ ἴδιος, τοὺς τρέφει γιὰ πάντα μὲ τὸ αἷμα του.

20. Ἐπειδὴ λοιπὸν ἀπολαύσαμε τόση μεγάλη δωρεά, ἂς ἐπιδείξομε μεγάλη προθυμία καὶ ἂς θυμηθοῦμε τὶς συμφωνίες ποὺ κάμαμε μ' αὐτόν. Τὰ λέγω σὲ σᾶς καὶ ὅσοι μυηθήκατε τώρα καὶ ὅσοι μυηθήκατε παλαιὰ καὶ πρὶν ἀπὸ πολλὰ χρόνια· εἶναι κοινὸς ὁ λόγος πρὸς ὅλους, ἐπειδὴ καὶ ὅλοι συνήψαμε συμφωνίες μὲ αὐτόν, τὶς ὁποῖες γράψαμε ὄχι μὲ μελάνη, ἀλλὰ μὲ τὸ πνεῦμα, ὄχι μὲ καλάμι ἀλλὰ μὲ τὴ γλώσσα. Γιατὶ μ' αὐτὸ τὸ καλάμι γράφονται οἱ συμφωνίες μὲ τὸ Θεό· γι' αὐτὸ καὶ ὁ Δαβὶδ λέγει· «ἡ γλώσσα μου εἶναι καλάμι γραμματέα ταχυγράφου»[12]. Ὁμολογήσαμε τὴν ἐξουσία αὐτοῦ, ἀρνηθήκαμε τὴν τυραννικὴ ἐξουσία τοῦ διαβόλου, αὐτὸ ἔγινε τὸ χειρόγραφο, αὐτὸ ἡ συμφωνία, αὐτὸ τὸ συμβόλιο τῆς συμφωνίας.

21. Προσέχετε μήπως πάλι βρεθοῦμε κάτω ἀπὸ τὴν ἐξουσία αὐτοῦ τοῦ γραμματίου. Ἦρθε ὁ Χριστὸς μιὰ φορά, μᾶς βρῆκε μὲ τὸ χρεωστικὸ προγονικὸ ἔγγραφο ποὺ ὑπέγραψε ὁ Ἀδάμ. Ἐκεῖνος ἔκαμε τὴν ἀρχὴ τοῦ χρέους, ἐμεῖς αὐξήσαμε τὸ δάνειο μὲ τὶς ἁμαρτίες μας στὴ συνέχεια. Κατάρα κυριαρχοῦσε ἐκεῖ καὶ ἁμαρτία καὶ θάνατος καὶ καταδίκη τοῦ νόμου· ὅλα αὐτὰ τὰ κατάργησε ὁ Χριστὸς καὶ τὰ συγχώρησε. Καὶ βροντφωνάζει ὁ Παῦλος λέγοντας· «τὸ χρεωστικὸ ἔγγραφο τῶν ἁμαρτιῶν μας ποὺ ἦταν ἐναντίον μας, καὶ αὐτὸ τὸ ἐξαφάνισε ἀπὸ τὴ μέση, καρφώνοντάς το στὸ σταυρό»[13]. Δὲν εἶπε, 'τὸ ἐξάλειψε', δὲν εἶπε 'τὸ χάραξε', ἀλλὰ «τὸ κάρφωσε στὸ σταυρό», ὥστε οὔτε ἴχνος νὰ μείνει αὐτοῦ. Γι' αὐτὸ δὲν τὸ ἐξάλειψε, ἀλλὰ τὸ καταξέσχισε· γιατὶ τὰ καρφιὰ τοῦ σταυροῦ τὸ καταξέσχισαν καὶ τὸ κατέστρεψαν, γιὰ νὰ εἶναι ἄχρηστο στὸ ἑξῆς.

22. Καὶ δὲν τὸ ἔκαμε αὐτὸ σὲ κάποια γωνία καὶ κορυφή, ἀλλὰ διέλυσε αὐτὸ στὸ μέσο τῆς οἰκουμένης καὶ ἐπάνω σὲ ψηλὸ θεωρεῖο. Ἂς βλέπουν οἱ ἄγγελοι, λέγει, ἂς βλέπουν οἱ ἀρχάγγελοι, ἂς βλέπουν οἱ οὐράνιες δυνάμεις, ἂς βλέπουν καὶ οἱ πονηροὶ δαίμονες καὶ ὁ ἴδιος ὁ διάβολος, ποὺ μᾶς κατέστησαν ὑπεύθυνους τῶν

διαρρήγνυται τὸ χειρόγραφον ἵνα μὴ μετὰ ταῦτα ἡμῖν ἐπιπηδήσωσιν.

23. Ἐπεὶ οὖν διερράγη τὸ πρότερον, σπουδάσωμεν ὅπως μὴ γένηται πάλιν ἄλλο χειρόγραφον· δεύτερος γὰρ σταυρὸς οὐκ ἔστιν, οὐ δευτέρα ἄφεσις διὰ λουτροῦ παλιγγενεσίας. Ἄφεσις μὲν γὰρ ἔστι, διὰ λουτροῦ δὲ οὐκ ἔστι δευτέρα ἄφεσις. Ἀλλὰ μὴ ῥᾳθυμότεροι γενώμεθα, παρακαλῶ. Ἐξῆλθες ἐξ Αἰγύπτου, ὦ ἄνθρωπε, μηκέτι πάλιν Αἴγυπτον καὶ τὰ Αἰγύπτου ζήτει κακά· μηκέτι τοῦ πηλοῦ καὶ τῆς πλινθείας μέμνησο· πηλὸς γὰρ καὶ πλινθεία τὰ παρόντα τοῦ βίου πράγματα, ἐπεὶ καὶ αὐτὸ τὸ χρυσίον πρὶν ἢ γενέσθαι χρυσίον οὐδὲν ἕτερόν ἐστι ἢ γῆ.

24. Εἶδον θαύματα Ἰουδαῖοι· καὶ σὺ νῦν μείζονα ὄψει καὶ πολλῷ λαμπρότερα ἢ τότε ὅτε οἱ Ἰουδαῖοι ἐξῄεσαν ἐξ Αἰγύπτου. Οὐκ εἶδες τὸν Φαραὼ μετὰ τῶν ὅπλων ἀποπνιγόμενον, ἀλλ' εἶδες τὸν διάβολον μετὰ τῶν ὅπλων καταποντιζόμενον. Διέβησαν ἐκεῖνοι πέλαγος, διέβης σὺ θάνατον· ἀπηλλάγησαν Αἰγυπτίων ἐκεῖνοι, ἠλευθερώθης δαιμόνων σύ· δουλείαν ἀπέθεντο βαρβαρικὴν Ἰουδαῖοι, σὺ δὲ τὴν πολλῷ χαλεπωτέραν τὴν τῆς ἁμαρτίας.

25. Βούλει καὶ ἑτέρωθεν μαθεῖν πῶς μειζόνων ἠξιώθης σύ; Ἰουδαῖοι τότε οὐκ ἠδυνήθησαν ἰδεῖν τὸ πρόσωπον Μωϋσέως δοξαζόμενον καὶ ταῦτα συνδούλου καὶ συγγενοῦς ὄντος· σὺ δὲ τὸ πρόσωπον εἶδες τοῦ Χριστοῦ ἐν τῇ δόξῃ αὐτοῦ. Καὶ βοᾷ Παῦλος λέγων· «ἡμεῖς δὲ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα». Εἶχον ἐκεῖνοι τὸν Χριστὸν ἑπόμενον τότε, ἀλλὰ πολλῷ μᾶλλον ἡμῖν νῦν ἕπεται. Ἐκείνοις μὲν γὰρ τότε ὁ Κύριος ἠκολούθει διὰ τὴν χάριν Μωϋσέως, ἡμῖν δὲ οὐ διὰ τὴν χάριν Μωϋσέως μόνον ἀλλὰ καὶ διὰ τὴν οἰκείαν ὑμῶν εὐπείθειαν. Ἐκείνοις μετὰ τὴν Αἴγυπτον ἔρημος, σοὶ δὲ μετὰ τὴν ἔξοδον οὐρανός. Εἶχον ἐκεῖνοι ἡγεμόνα καὶ στρατηγὸν ἄριστον Μωσέα, ἔχομεν καὶ

14. Β' Κορ. 3,18.

ὀφειλῶν μας πρὸς τοὺς δανειστές· ξεσχίζεται τὸ χρεωστικὸ χειρόγραφο γιὰ νὰ μὴ ἐπιτεθοῦν στὸ ἑξῆς ἐναντίον μας.

23. Ἀφοῦ λοιπὸν ξεσχίσθηκε τὸ προηγούμενο, ἂς φροντίσομε νὰ μὴ ὑπογράψομε πάλι ἄλλο χρεωστικὸ ἔγγραφο· γιατὶ δεύτερος σταυρὸς δὲν ὑπάρχει, δὲν ὑπάρχει δεύτερη συγχώρηση μὲ λουτρὸ ἀναγεννήσεως. Συγχώρηση βέβαια ὑπάρχει, δὲν ὑπάρχει ὅμως δεύτερη συγχώρηση μὲ λουτρό. Ἀλλὰ ἂς μὴ γίνομε, παρακαλῶ, πιὸ ἀδιάφοροι. Ἐξῆλθες, ἄνθρωπε, ἀπὸ τὴν Αἴγυπτο, μὴ ζητᾶς πάλι τὴν Αἴγυπτο καὶ τὰ κακὰ τῆς Αἰγύπτου· μὴ θυμᾶσαι τὸν πηλὸ καὶ τὴν πλινθοποιΐα· γιατὶ εἶναι πηλὸς καὶ κατασκευὴ πλίνθων τὰ πράγματα τῆς παρούσας ζωῆς, ἀφοῦ καὶ αὐτὸ τὸ ἴδιο τὸ χρυσάφι προτοῦ γίνει χρυσάφι δὲν εἶναι τίποτε ἄλλο παρὰ χῶμα.

24. Εἶδαν οἱ Ἰουδαῖοι θαύματα· καὶ σὺ τώρα θὰ δεῖς μεγαλύτερα καὶ πολὺ πιὸ λαμπρότερα ἀπὸ ἐκεῖνα ποὺ εἶδαν οἱ Ἰουδαῖοι ὅταν ἐξέρχονταν ἀπὸ τὴν Αἴγυπτο. Δὲν εἶδες τὸν Φαραὼ μὲ τὰ ὅπλα του νὰ καταποντίζεται, ἀλλ' εἶδες τὸ διάβολο νὰ καταποντίζεται μὲ τὰ ὅπλα του. Πέρασαν ἐκεῖνοι πέλαγος, πέρασες καὶ σὺ θάνατο· ἀπαλλάχθηκαν ἐκεῖνοι ἀπὸ τοὺς Αἰγυπτίους, ἐλευθερώθηκες καὶ σὺ ἀπὸ τοὺς δαίμονες· ἀπαλλάχθηκαν οἱ Ἰουδαῖοι ἀπὸ τὴ βαρβαρικὴ δουλεία, ἀπαλλάχθηκες καὶ σὺ ἀπὸ τὴν πολὺ πιὸ φοβερότερη, τὴ δουλεία τῆς ἁμαρτίας.

25. Θέλεις καὶ ἀπὸ ἀλλοῦ νὰ μάθεις πῶς σὺ ἀξιώθηκες μεγαλύτερα θαύματα; Οἱ Ἰουδαῖοι τότε δὲν μπόρεσαν νὰ δοῦν τὸ πρόσωπο τοῦ Μωϋσῆ λαμπρυνόμενο ἀπὸ τὴ δόξα τοῦ Θεοῦ καὶ ὅλα αὐτὰ ἂν καὶ ἦταν σύνδουλος καὶ συγγενής τους· σὺ ὅμως εἶδες τὸ πρόσωπο τοῦ Χριστοῦ μέσα στὴ δόξα του. Καὶ βροντοφωνάζει ὁ Παῦλος λέγοντας· «ἐμεῖς ὅμως μὲ ἀκάλυπτο τὸ πρόσωπο ἀντανακλοῦμε τὴ λαμπρότητα τῆς δόξας τοῦ Κυρίου»[14]. Εἶχαν τότε ἐκεῖνοι τὸ Χριστὸ νὰ τοὺς ἀκολουθεῖ, ἀλλὰ πολὺ περισσότερο τώρα ἀκολουθεῖ ἐμᾶς. Γιατὶ ἐκείνους τοὺς ἀκολουθοῦσε τότε ὁ Κύριος γιὰ χάρη τοῦ Μωϋσῆ, ἐνῶ ἐμᾶς μᾶς ἀκολουθεῖ ὄχι μόνο γιὰ χάρη τοῦ Μωϋσῆ, ἀλλὰ καὶ ἐξ αἰτίας τῆς δικῆς σας ὑπακοῆς. Ἐκείνους μετὰ τὴν Αἴγυπτο τοὺς περίμενε ἡ ἔρημος, σὲ σένα μετὰ τὴν ἔξοδό σου ἀπὸ τὴ δουλεία τῆς ἁμαρτίας ἐπιφυλάσσεται ὁ οὐρανός. Εἶχαν

ἡμεῖς ἄλλον Μωϋσῆν τὸν Θεὸν προηγούμενον ἡμῖν καὶ στρατηγοῦντα.

26. Τί γὰρ τὸ τεκμήριον τοῦ Μωϋσέως ἐκείνου; «Ἦν» γάρ, φησίν, «Μωσῆς πραότερος ἁπάντων ἀνθρώπων τῶν ἐπὶ τῆς γῆς». Τοῦτό τις εἰπὼν καὶ περὶ τούτου τοῦ Μωϋσέως οὐκ ἂν ἁμάρτοι. Καὶ γὰρ καὶ τούτῳ συνπαρῆν τὸ πραότατον Πνεῦμα ὡς ὁμοούσιον καὶ συγγενές. Μωϋσῆς τότε ἀνέτεινε τὰς χεῖρας εἰς τὸν οὐρανὸν καὶ κατήνεγκεν ἄρτον ἀγγέλων τὸ μάννα. Οὗτος ὁ Μωϋσῆς ἀνατείνων τὰς χεῖρας εἰς τὸν οὐρανὸν φέρει τὴν αἰώνιον τροφήν. Ἐκεῖνος ἔπληξε τὴν πέτραν καὶ ἐξέβαλε ποταμοὺς ὑδάτων, οὗτος ἅπτεται τῆς τραπέζης, πλήττει τὴν νοητὴν τράπεζαν καὶ πηγὰς Πνεύματος ἀναβλύζειν ποιεῖ. Διὰ τοῦτο καθάπερ πηγὴ ἐν τῷ μέσῳ ἡ τράπεζα κεῖται, ἵνα πανταχόθεν τὰ ποίμνια περιρρέῃ τὴν πηγήν, ἵνα ἀπολαύῃ τῶν σωτηρίων ναμάτων.

27. Ἐπεὶ οὖν τοιαύτη μὲν ἐνταῦθα ἡ πηγή, τοιαύτη δὲ ἡ ζωὴ καὶ μυρίων ἡ τράπεζα γέμει τῶν ἀγαθῶν καὶ πανταχόθεν ἡμῖν βρύει τὰ δῶρα τὰ πνευματικά, μετὰ ἀληθινῆς καρδίας προσέλθωμεν, μετὰ συνειδότος καθαροῦ, ἵνα λάβωμεν χάριν καὶ ἔλεον εἰς εὔκαιρον βοήθειαν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς Υἱοῦ, Κυρίου δὲ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι δόξα, τιμή, κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

15. Ἀριθμ. 12,3.

ἐκεῖνοι ἡγεμόνα καὶ στρατηγὸ ἄριστο τὸν Μωϋσῆ, ἔχομε καὶ ἐμεῖς ἄλλο Μωϋσῆ, τὸ Θεό, ποὺ προηγεῖται καὶ εἶναι στρατηγός μας.

26. Ποιό λοιπὸν ἦταν τὸ διακριτικὸ γνώρισμα τοῦ Μωϋσῆ ἐκείνου; «Ἦταν», λέγει, «ὁ Μωϋσῆς πράος περισσότερο ἀπὸ ὅλους τοὺς ἀνθρώπους ποὺ κατοικοῦν στὴ γῆ»[15]. Αὐτὸ δὲν θὰ σφάλλει κάποιος ἂν τὸ πεῖ καὶ γι' αὐτὸν τὸν Μωϋσῆ. Γιατὶ καὶ μ' αὐτὸν συμπαραβρισκόταν τὸ πραότατο Πνεῦμα σὰν ὁμοούσιο καὶ συγγενές. Ὁ Μωϋσῆς τότε ὕψωσε τὰ χέρια πρὸς τὸν οὐρανὸ καὶ κατέβασε τὸν ἄρτο τῶν ἀγγέλων, τὸ μάννα. Αὐτὸς ὁ Μωϋσῆς, ὑψώνοντας τὰ χέρια στὸν οὐρανό, φέρνει τὴν αἰώνια τροφή. Ἐκεῖνος χτύπησε τὴν πέτρα καὶ ἄφησε ἐκείνη νὰ τρέξουν ποταμοὶ ὑδάτων, ἐνῶ αὐτὸς ἀγγίζει τὴν τράπεζα, χτυπᾶ τὴ νοητὴ τράπεζα καὶ κάμνει νὰ ἀναβλύσουν πηγὲς πνεύματος. Γι' αὐτὸ ἡ τράπεζα βρίσκεται στὴ μέση σὰν πηγή, ὥστε ἀπὸ παντοῦ τὰ ποίμνια νὰ περικυκλώνουν αὐτὴν καὶ ν' ἀπολαμβάνουν τὴ σωτηρία τῶν ναμάτων.

27. Ἀφοῦ λοιπὸν ὑπάρχει ἐδῶ τέτοια πηγή, καὶ εἶναι τέτοια ἡ ζωὴ ποὺ χαρίζει καὶ εἶναι γεμάτη ἡ τράπεζα ἀπὸ μύρια ἀγαθὰ καὶ ἀπὸ παντοῦ ἀναβλύζει γιὰ μᾶς τὰ δῶρα τὰ πνευματικά, ἂς προσέλθομε μὲ ἀληθινὴ καρδιά, μὲ καθαρὴ συνείδηση, γιὰ νὰ λάβομε χάρη καὶ ἔλεο πρὸς πλούσια βοήθεια, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ μονογενοῦς Υἱοῦ, τοῦ Κυρίου καὶ Σωτῆρα μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ τὸ ζωοποιὸ Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΚΑΤΗΧΗΣΙΣ Δ'

ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ ΚΑΙ ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

«ΕΙ ΤΙΣ ΕΝ ΧΡΙΣΤΩι ΚΑΙΝΗ ΚΤΙΣΙΣ· ΤΑ ΑΡΧΑΙΑ ΠΑΡΗΛΘΕΝ,

ΙΔΟΥ ΓΕΓΟΝΕ ΤΑ ΠΑΝΤΑ ΚΑΙΝΑ»

1. Φαιδρότερον σήμερον ὁρῶ τοῦ συνήθους τὸν σύλλογον καὶ τὴν τοῦ Θεοῦ Ἐκκλησίαν ἀγαλλομένην ἐπὶ τοῖς οἰκείοις τέκνοις. Καθάπερ γὰρ μήτηρ φιλόστοργος ὁρῶσα τοὺς ἑαυτῆς παῖδας κυκλοῦντας αὐτὴν ἥδεται καὶ σκιρτᾷ καὶ πτεροῦται ὑπὸ τῆς ἡδονῆς, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ πνευματικὴ αὕτη μήτηρ βλέπουσα τὰ ἑαυτῆς τέκνα χαίρει καὶ γέγηθεν ὁρῶσα ἑαυτὴν καθάπερ πολύφορον ἄρουραν κομῶσαν τοῖς στάχυσι τούτοις τοῖς πνευματικοῖς. Σκόπει δέ μοι, ἀγαπητέ, τῆς χάριτος τὴν ὑπερβολήν. Ἰδοὺ γὰρ ἐν μιᾷ νυκτὶ πόσους ἀθρόον ἀπέτεκεν ἡ πνευματικὴ αὕτη μήτηρ. Καὶ μὴ θαυμάσῃς· τοιαῦται γὰρ αἱ ὠδῖνες αἱ πνευματικαί· οὐ δέονται χρόνου καὶ περιόδου μηνῶν.

2. Φέρε οὖν καὶ ἡμεῖς συνησθῶμεν καὶ κοινωνήσωμεν αὐτῇ τῆς εὐφροσύνης. Εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν οὐρανῷ, πολλῷ μᾶλλον ἐπὶ τοσούτῳ πλήθει προσήκει σκιρτᾶν ἡμᾶς καὶ εὐφραίνεσθαι καὶ δοξάζειν τὸν φιλάνθρωπον Θεὸν ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. Καὶ γὰρ ἀληθῶς πάντα λόγον ὑπερβαίνει τῶν τοῦ Θεοῦ δωρεῶν τὸ μέγεθος. Ποῖος νοῦς, ποία διάνοια,

---

1. Β' Κορ. 5,17.



ΚΑΤΗΧΗΣΗ ΤΕΤΑΡΤΗ

ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ ΚΑΙ ΣΤΟ ΑΠΟΣΤΟΛΙΚΟ ΡΗΤΟ, «ΑΝ ΚΑΠΟΙΟΝ ΕΙΝΑΙ ΕΝΩΜΕΝΟΣ ΜΕ ΤΟ ΧΡΙΣΤΟ, ΑΥΤΟΣ ΕΙΝΑΙ ΝΕΟ ΔΗΜΙΟΥΡΓΗΜΑ· ΤΑ ΑΡΧΑΙΑ ΠΕΡΑΣΑΝ ΚΑΙ ΟΛΑ ΕΓΙΝΑΝ ΚΑΙΝΟΥΡΓΙΑ»[1]

1. Φαιδρότερη, ἀπὸ ὅ,τι συνήθως, βλέπω σήμερα τὴ συγκέντρωση καὶ τὴν Ἐκκλησία τοῦ Θεοῦ ν' ἀγαλλεται γιὰ τὰ τέκνα της. Γιατί, ὅπως ἀκριβῶς ἡ φιλόστοργη μητέρα βλέποντας τὰ παιδιά της νὰ τὴν περικυκλώνουν χαίρεται καὶ σκιρτᾶ καὶ πετᾶ ἀπὸ τὴ μεγάλη χαρὰ καὶ εὐχαρίστησή της, κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ ἡ πνευματικὴ αὐτὴ μητέρα βλέποντας τὰ τέκνα της χαίρεται καὶ ἀγάλλεται, γιατὶ βλέπει τὸν ἑαυτό της, σὰν ἀκριβῶς εὐφορότατη γῆ, νὰ εἶναι καταπλημμυρισμένη ἀπὸ τὰ πνευματικὰ αὐτὰ στάχυα. Καὶ πρόσεχε, ἀγαπητέ, σὲ παρακαλῶ, τὸ ὑπερβολικὸ μέγεθος τῆς χάρτιτος. Γιατὶ νά, μέσα σὲ μιὰ νύχτα πόσους γέννησε αὐτὴ ἡ πνευματικὴ μητέρα μέσα σὲ μιὰ στιγμή. Καὶ μὴ ἀπορήσεις· γιατὶ τέτοιοι εἶναι οἱ πνευματικοὶ τοκετοί· δὲ χρειάζονται χρόνο καὶ περίοδο μηνῶν.

2. Ἐμπρὸς λοιπὸν καὶ ἐμεῖς ἂς χαροῦμε μαζί της καὶ ἂς λάβομε μέρος σ' αὐτὴ τὴν εὐφροσύνη. Γιατὶ ἄν, γιὰ ἕναν ἁμαρτωλὸ ποὺ μετανοεῖ, γίνεται χαρὰ στὸν οὐρανό[2], πολὺ περισσότερο πρέπει γιὰ ἕνα τόσο πλῆθος νὰ σκιρτοῦμε ἀπὸ χαρὰ καὶ νὰ εὐφραινόμαστε καὶ νὰ δοξάζομε τὸν φιλάνθρωπο Θεὸ γιὰ τὴν ἀπερίγραπτη δωρεά του. Γιατὶ πραγματικὰ ὑπερβαίνει κάθε λόγο τὸ μέγεθος τῶν δωρεῶν τοῦ Θεοῦ. Ποιός νοῦς, ποιά διάνοια, ποιός λογισμός,

---

2. Λουκᾶ 15,7.

ποῖος λογισμὸς καταλαβεῖν δυνήσεται τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὴν ὑπερβολὴν καὶ τῶν ἀφάτων δωρεῶν τὰ μεγέθη ἃ τῇ τῶν ἀνθρώπων φύσει κεχάρισται;

3. Οἱ γὰρ χθὲς καὶ πρῴην δοῦλοι τῆς ἁμαρτίας καὶ ἀπαρρησίαστοι καὶ ὑπὸ τὴν τυραννίδα τοῦ διαβόλου τυγχάνοντες καὶ καθάπερ αἰχμάλωτοι οὕτως ἀγόμενοι καὶ περιαγόμενοι, ἰδοὺ σήμερον εἰς τὴν τῶν υἱῶν τάξιν ἐδέχθησαν καὶ τὰ τῶν ἁμαρτημάτων ἀποθέμενοι φορτία καὶ τὴν βασιλικὴν ἐνδυσάμενοι στολήν, αὐτῷ σχεδὸν ἀντιλάμπουσι τῷ οὐρανῷ καὶ φαιδρότερον τῶν ἀστέρων τούτων ὀφθέντες τὸ φῶς καταυγάζουσι τῶν εἰς αὐτοὺς ὁρώντων τὰς ὄψεις. Ἐκεῖνοι μὲν γὰρ ἐν νυκτὶ μόνον φαίνουσιν, ἐν ἡμέρᾳ δὲ οὐκ ἄν ποτε φανεῖεν. Οὗτοι δὲ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ὁμοίως λάμπουσιν (ἀστέρες γάρ εἰσι πνευματικοί), καὶ πρὸς αὐτὸ τὸ ἡλιακὸν ἁμιλλῶνται φῶς, μᾶλλον δὲ καὶ τοῦτο πολλῷ τῷ μέτρῳ ὑπερακοντίζουσιν. Εἰ γὰρ καὶ ταύτῃ τῇ εἰκόνι ἐχρήσατο ὁ Δεσπότης Χριστὸς δεικνὺς τῶν δικαίων τὴν ἐν τῷ μέλλοντι αἰῶνι φαιδρότητα εἰπών, «τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος», οὐκ ἐπειδὴ τοσοῦτον λάμπουσιν μόνον ἀλλ' ἐπειδὴ οὐκ ἦν ἕτερον αἰσθητὸν παράδειγμα εὑρεῖν τούτου φαιδρότερον, διὰ τοῦτο ταύτῃ τῇ εἰκόνι παρέβαλε τὴν τῶν δικαίων λῆξιν.

4. Τούτους οὖν καὶ ἡμεῖς σήμερον περιπτυξώμεθα τοὺς τῶν ἀστέρων μᾶλλον φαίνειν δυναμένους, τοὺς ταῖς ἡλιακαῖς ἀκτῖσιν ἀντιλάμποντας, καὶ μὴ μόνον ταῖς σωματικαῖς ταύταις χερσὶν αὐτοὺς περιβάλωμεν ἀλλὰ καὶ διὰ τῆς παραινέσεως τῆς πνευματικῆς τὴν περὶ αὐτοὺς φιλοστοργίαν ἐπιδειξώμεθα καὶ παρακαλέσωμεν, ἐννοήσαντας τῆς φιλοτιμίας τοῦ Δεσπότου τὴν ὑπερβολὴν καὶ τοῦ ἱματίου τὴν φαιδρότητα ὅπερ ἐνδύσασθαι κατηξιώθησαν, «ὅσοι» γάρ, φησίν, «εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε», οὕτω λοιπὸν ἅπαντα καὶ ποιεῖν καὶ πράττειν ὡσανεὶ τὸν τῶν ὅλων δημιουργὸν καὶ Δεσπότην τῆς ἡμετέρας φύσεως τὸν Χριστὸν ἔνοικον ἔχοντας. Ὅταν δὲ εἴπω τὸν Χριστόν, καὶ τὸν Πατέρα λέγω

---

3. Ματθ. 13,43.
4. Γαλ. 3,27.

θὰ μπορέσει νὰ κατανοήσει τὴν ὑπερβολικὴ φιλανθρωπία τοῦ Θεοῦ καὶ τὰ μεγέθη τῶν ἀπερίγραπτων δωρεῶν ποὺ χάρισε στὴν ἀνθρώπινη φύση;

3. Πραγματικὰ ἐκεῖνοι ποὺ χθὲς καὶ προηγουμένως ἦταν δοῦλοι τῆς ἁμαρτίας καὶ χωρὶς παρρησία καὶ βρίσκονταν κάτω ἀπὸ τὴν τυραννικὴ ἐξουσία τοῦ διαβόλου καὶ σὰν αἰχμάλωτοι ἔτσι ὁδηγοῦνταν καὶ φέρονταν ἐδῶ καὶ ἐκεῖ, νὰ σήμερα ἔγιναν δεκτοὶ στὴ θέση τῶν υἱῶν καὶ ἀφοῦ ἀπέρριψαν τὰ φορτία τῶν ἁμαρτημάτων καὶ ντύθηκαν τὴ βασιλικὴ στολή, ἀντανακλοῦν τὴ λάμψη τους μέχρι σ' αὐτὸν σχεδὸν τὸν οὐρανὸ καὶ λάμποντας λαμπρότερα ἀπὸ τὰ ἄστρα αὐτοῦ, καταθαμβώνουν μὲ τὴ λάμψη τους τὰ μάτια ἐκείνων ποὺ βλέπουν πρὸς αὐτούς. Γιατὶ ἐκεῖνα λάμπουν μόνο τὴ νύχτα, ἐνῶ τὴν ἡμέρα δὲν θὰ ἦταν δυνατὸ νὰ φωτίσουν ποτέ. Ἀντίθετα αὐτοὶ λάμπουν ὅμοια καὶ τὴ νύχτα καὶ τὴν ἡμέρα, γιατὶ εἶναι ἀστέρια πνευματικὰ καὶ συναγωνίζονται τὸ ἴδιο τὸ ἡλιακὸ φῶς, ἢ καλύτερα καὶ αὐτὸ τὸ ξεπερνοῦν κατὰ πολὺ στὴ λαμπρότητα. Ἐὰν βέβαια ὁ Κύριος Χριστὸς χρησιμοποίησε καὶ αὐτὴ τὴν εἰκόνα γιὰ νὰ δείξει τὴ λαμπρότητα τῶν δικαίων στὸ μέλλοντα αἰώνα, λέγοντας, «τότε οἱ δίκαιοι θὰ λάμψουν ὅπως ὁ ἥλιος»[3], ὄχι ἐπειδὴ λάμπουν τόσο μόνο, ἀλλ' ἐπειδὴ δὲν ἦταν δυνατὸ νὰ βρεῖ ἄλλο αἰσθητὸ παράδειγμα λαμπρότερο ἀπ' αὐτόν, γι' αὐτὸ παρέβαλε μὲ αὐτὴ τὴν εἰκόνα τὸ μακάριο τέλος τῶν δικαίων.

4. Αὐτοὺς λοιπὸν καὶ ἐμεῖς σήμερα ἂς ἀγκαλιάσομε, αὐτοὺς ποὺ μποροῦν καὶ λάμπουν λαμπρότερα ἀπὸ τ' ἀστέρια, ποὺ συναγωνίζονται στὴ λαμπρότητα τὶς ἡλιακὲς ἀκτίνες, καὶ ἂς μὴ τοὺς ἀγκαλιάσομε μόνο μὲ τὰ σωματικὰ αὐτὰ χέρια, ἀλλὰ καὶ μὲ τὴν πνευματικὴ παραίνεση ἂς δείξομε τὴ φιλοστοργία μας πρὸς αὐτούς, καὶ ἂς τοὺς προτρέψομε, ἀφοῦ σκεφθοῦν βαθιὰ τὴν ὑπερβολικὴ γενναιοδωρία τοῦ Κυρίου καὶ τὴ λαμπρότητα τοῦ ἐνδύματος ποὺ καταξιώθηκαν νὰ ντυθοῦν, γιατὶ λέγει, «ὅσο βαπτισθήκατε στὸ ὄνομα τοῦ Χριστοῦ ντυθήκατε τὸ Χριστό»[4], ἔτσι στὸ ἑξῆς ὅλα νὰ τὰ κάμνουν καὶ νὰ τὰ πράττουν σὰν νὰ ἔχουν νὰ κατοικεῖ μέσα τους τὸν δημιουργὸ τῶν ὅλων καὶ τὸν Κύριο τῆς φύσεώς μας τὸ Χριστό. Καὶ ὅταν λέγω τὸ Χριστό, ἐννοῶ καὶ τὸν Πατέρα καὶ τὸ ἅγιο

καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ γὰρ αὐτὸς ὑπέσχετο λέγων· «ἐάν τις ἀγαπᾷ με καὶ τὰς ἐντολάς μου τηρήσῃ, ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν».

5. Ὁ τοιοῦτος λοιπὸν κἂν ἐν γῇ βαδίζῃ, ὡς ἐν οὐρανοῖς διατρίβων οὕτω διακείσεται, τὰ ἄνω φρονῶν, τὰ ἄνω φανταζόμενος, οὐκέτι δεδοδικὼς τοῦ πονηροῦ δαίμονος τὰς ἐπιβουλάς. Ὅταν γὰρ ἴδῃ τὴν τοσαύτην μεταβολὴν ὁ διάβολος καὶ ὅτι οἱ πρότερον ὑπὸ τὴν αὐτοῦ δεσποτείαν ὄντες εἰς τοσοῦτον ὕψος ἀνηνέχθησαν καὶ τοσαύτης ἠξιώθησαν φιλανθρωπίας παρὰ τοῦ Δεσπότου, κατησχυμμένος ἄπεισιν οὐδὲ ἀντιβλέψαι τολμῶν· οὐδὲ γὰρ φέρει τὰς μαρμαρυγὰς τὰς ἐντεῦθεν ἀπαστραπτούσας, ἀλλ᾽ ὑπὸ τῆς αὐγῆς τοῦ φωτὸς τοῦ ἐντεῦθεν ἐκπεμπομένου ἀποτυφλωθεὶς τὰς ὄψεις ἄπεισι νῶτα δούς.

6. Ἀλλ᾽ ὑμεῖς οἱ νέοι τοῦ Χριστοῦ στρατιῶται, οἱ εἰς τὸν οὐρανὸν σήμερον πολιτογραφηθέντες, οἱ εἰς τὴν ἑστίασιν ταύτην τὴν πνευματικὴν κληθέντες καὶ τῆς τραπέζης τῆς βασιλικῆς ἀπολαύειν μέλλοντες, ἀξίαν τοῦ μεγέθους τῶν δωρεῶν τὴν προθυμίαν ἐπιδείξασθε, ἵνα καὶ πλείονα τὴν ἄνωθεν χάριν ἐπισπάσησθε. Φιλάνθρωπος γὰρ ὢν ὁ Δεσπότης ὁ ἡμέτερος, ἐπειδὰν ἴδῃ ἐπὶ τοῖς ἤδη παρασχεθεῖσιν εὐγνώμονας γενομένους καὶ πολλὴν τὴν φυλακὴν περὶ τὸ τῶν δωρεῶν μέγεθος ἐπιδειξαμένους, ἐπιδαψιλεύεται τὴν χάριν κἂν μικρόν τι εἰσενέγκωμεν μεγάλαις αὐτὸς ἡμᾶς φιλοτιμεῖται ταῖς δωρεαῖς.

7. Ἐπεὶ καὶ Παῦλος ὁ τῆς οἰκουμένης διδάσκαλος πρὸ τούτου διώκων τὴν Ἐκκλησίαν καὶ πανταχοῦ παρὼν καὶ σύρων ἄνδρας καὶ γυναῖκας καὶ πάντα συγχέων καὶ ταράσσων καὶ πολλὴν τὴν μανίαν ἐπιδεικνύμενος, ἐπειδὴ φιλανθρωπίας ἀπέλαυσε παρὰ τοῦ Δεσπότου καὶ καταυγασθεὶς τῷ φωτὶ τῷ νοητῷ ἀπέθετο τὸ σκότος τῆς πλάνης καὶ πρὸς τὴν ἀλήθειαν ἐχειραγωγήθη καὶ διὰ τοῦ βαπτίσματος ἀπελούσατο τὰ προλαβόντα ἅπαντα ἁμαρτήματα, ἀθρόον οὐδὲ τὸ τυχὸν ἀναβαλλόμενος, ὁ πρὸ τούτου ὑπὲρ Ἰουδαίων

---

5. Ἰω. 14,23.

Πνεῦμα. Γιατὶ αὐτὸς ὁ ἴδιος ὑποσχέθηκε, λέγοντας· «ἂν κάποιος μὲ ἀγαπᾶ θὰ τηρήσει καὶ τὶς ἐντολές μου, καὶ θὰ ρθοῦμε ἐγὼ καὶ ὁ Πατέρας μου καὶ θὰ κατοικήσομε σ' αὐτόν»[5].

5. Ὁ ἄνθρωπος αὐτὸς λοιπὸν καὶ ἂν ἀκόμη βαδίζει στὴ γῆ, ἔτσι θὰ συμπεριφέρεται σὰν νὰ ζεῖ στοὺς οὐρανούς, ἔχοντας οὐράνια φρονήματα, σκεπτόμενος τὰ οὐράνια, καὶ χωρὶς νὰ φοβᾶται τὶς ἐπιβουλὲς τοῦ πονηροῦ δαίμονα. Γιατί, ὅταν ὁ διάβολος δεῖ τὴν τόσο μεγάλη μεταβολή του καὶ ὅτι ἐκεῖνοι ποὺ προηγουμένως ἦταν κάτω ἀπὸ τὴν ἐξουσία του ἀνέβηκαν σὲ τόσο μεγάλο ὕψος καὶ ἀξιώθηκαν τόσης μεγάλης φιλανθρωπίας ἐκ μέρους τοῦ Κυρίου, ἀναχωρεῖ καταντροπιασμένος μὴ τολμώντας οὔτε τὸ βλέμμα του νὰ ρίξει ἐπάνω τους· γιατὶ δὲν ὑποφέρει τὴ λάμψη ποὺ ἐκπέμπεται ἀπ' αὐτούς, ἀλλ', ἀποτυφλωμένος ἀπὸ τὴ λάμψη τοῦ φωτὸς ποὺ ἐκπέμπεται ἀπ' αὐτούς, στρέφει τὰ νῶτα του καὶ τρέπεται σὲ φυγή.

6. Ἀλλὰ σεῖς οἱ νέοι στρατιῶτες τοῦ Χριστοῦ, ποὺ πολιτογραφηθήκατε σήμερα στὸν οὐρανό, ποὺ κληθήκατε σ' αὐτὴν τὴν πνευματικὴ ἑστίαση καὶ πρόκειται ν' ἀπολαύσετε τὴ βασιλικὴ τράπεζα, ἐπιδείξατε προθυμία ἐπάξια τοῦ μεγέθους τῶν δωρεῶν, γιὰ νὰ ἀποσπάσετε καὶ μεγαλύτερη τὴν οὐράνια χάρη. Γιατί, ὄντας φιλάνθρωπος ὁ Κύριός μας, ὅταν δεῖ ὅτι δείξαμε εὐγνωμοσύνη γιὰ τὶς δωρεὲς ποὺ μᾶς δόθηκαν καὶ ὅτι ἐπιδείξαμε καὶ μεγάλη προσπάθεια γιὰ τὴ διαφύλαξη τῶν μεγάλων δωρεῶν, χορηγεῖ πλούσια τὴ χάρη του, καὶ ἂν ἐμεῖς συνεισφέρομε ἔστω καὶ κάτι τὸ μικρό, μᾶς παρέχει μὲ γενναιοδωρία μεγάλες δωρεές του.

7. Γιατὶ καὶ ὁ Παῦλος ὁ δάσκαλος τῆς οἰκουμένης, ἐνῶ πρὶν ἀπὸ τὴ μεταστροφή του δίωκε τὴν Ἐκκλησία καὶ παντοῦ πήγαινε σύροντας ἄνδρες καὶ γυναῖκες, προξενώντας σύγχυση παντοῦ καὶ ταραχὴ καὶ δείχνοντας τὴ μεγάλη μανία του, ὅταν ὅμως ἀπόλαυσε φιλανθρωπία ἐκ μέρους τοῦ Κυρίου καί, ἀφοῦ καταφωτίσθηκε μὲ τὸ νοητὸ φῶς, ἀπέβαλε τὸ σκοτάδι τῆς πλάνης καὶ ὁδηγήθηκε πρὸς τὴν ἀλήθεια καὶ μὲ τὸ βάπτισμα καθάρισε ὅλα τὰ προηγούμενα ἁμαρτήματα, ἀμέσως καὶ χωρὶς καθόλου ν' ἀναβάλει, ἐκεῖνος ποὺ πρὶν ἀπ' αὐτὸ ἔκαμνε τὰ πάντα ὑπὲρ τῶν Ἰουδαίων καὶ πολε-

ἅπαντα πράττων καὶ πορθῶν τὴν Ἐκκλησίαν, εὐθέως συνέχυνε τοὺς Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, κηρύσσων ὅτι ὁ ἐσταυρωμένος αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.

8. Εἶδες εὐγνωμοσύνην; εἶδες δι' αὐτῶν τῶν πραγμάτων ἡμῖν δεικνύντα ὅτι καὶ τὰ πρότερα ἐξ ἀγνοίας ἔπραττεν; εἶδες πῶς δι' αὐτῆς τῆς πείρας τῶν πραγμάτων ἅπαντας ἡμᾶς ἐδίδαξεν ὅτι δικαίως ἠξιώθη τῆς ἄνωθεν φιλανθρωπίας καὶ πρὸς τὴν τῆς ἀληθείας ὁδὸν ἐχειραγωγήθη; Ὁ γὰρ ἀγαθὸς Θεός, ἐπειδὰν ἴδῃ τὴν ψυχὴν εὐγνώμονα μέν, δι' ἄγνοιαν δὲ πλανωμένην, οὐ περιορᾷ οὐδὲ ἀφίησιν ἐπὶ πολὺ ἀπρονόητον, ἀλλὰ τὰ παρ' ἑαυτοῦ ἅπαντα ἐπιδείκνυται καὶ οὐδὲν παραλιμπάνει τῶν εἰς τὴν ἡμετέραν σωτηρίαν συντεινόντων, μόνον ἐὰν ἡμεῖς ἑαυτοὺς ἀξίους κατασκευάσωμεν τοῦ μετὰ δαψιλείας τὴν ἄνωθεν ἐπισπάσασθαι χάριν, καθάπερ καὶ ὁ μακάριος οὗτος.

9. Ἐπειδὴ γὰρ ἃ πρότερον εἰργάζετο ἐξ ἀγνοίας ἅπαντα εἰργάσατο καὶ νομίζων τὸν νόμον ζήλῳ διεκδικεῖν, θορύβου καὶ ταραχῆς πᾶσι αἴτιος καθίστατο, μαθὼν παρ' αὐτοῦ τοῦ νομοθέτου ὅτι τὴν ἐναντίαν ὁδὸν βαδίζει καὶ κατὰ κρημνῶν ἀπιὼν οὐκ αἰσθάνεται, οὐχ ὑπερέθετο, οὐκ ἀνεβάλετο, ἀλλ' εὐθέως ἐπειδὴ κατέλαμψεν αὐτὸν τὸ φῶς τὸ νοητὸν πᾶσαν τὴν πλάνην ἀποθέμενος κῆρυξ τῆς ἀληθείας καθίστατο καὶ ἐκείνους πρώτους ἐπὶ τὴν τῆς εὐσεβείας ὁδὸν ἄγειν ἐβούλετο πρὸς οὓς καὶ τὰς ἐπιστολὰς ἐκόμιζε παρὰ τῶν ἀρχιερέων λαβών, καθὼς καὶ αὐτὸς τῷ τῶν Ἰουδαίων πλήθει δημηγορῶν ἔλεγεν· «ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι καὶ πᾶν τὸ πρεσβυτέριον ὅτι ἐπιστολὰς δεξάμενος παρ' αὐτῶν εἰς Δαμασκὸν ἐπορευόμην πρὸς τοὺς ἀρχιερεῖς ὥστε καὶ τοὺς ἐκεῖ ὄντας δεδεμένους ἀναγαγεῖν εἰς Ἱερουσαλήμ».

10. Εἶδες αὐτὸν καθάπερ λέοντα μεμηνότα καὶ πανταχοῦ περιτρέχοντα; Ὅρα αὐτὸν πάλιν ἀθρόον εἰς ἡμερότητα προβάτου μεταβαλλόμενον καὶ τὸν πρὸ τούτου δεσμεύοντα καὶ εἰς φυλακὰς ἐμβάλλοντα καὶ πάντας τοὺς εἰς τὸν Χριστὸν πιστεύοντας ἐλαύνοντα

6. Πράξ. 22,5.

μοῦσε τὴν Ἐκκλησία, ἀμέσως προξένησε σύγχυση στοὺς Ἰουδαίους ποὺ κατοικοῦσαν στὴ Δαμασκό, κηρύσσοντας ὅτι ἐκεῖνος ποὺ σταυρώθηκε, αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ.

8. Εἶδες εὐγνωμοσύνη; εἶδες ὅτι μὲ τὰ ἴδια τὰ γεγονότα μᾶς δείχνει πὼς καὶ τὰ προηγούμενα τὰ ἔκαμνε ἀπὸ ἄγνοια; εἶδες πῶς μὲ τὴν ἴδια τὴν πείρα τῶν πραγμάτων μᾶς δίδαξε ὅλους ὅτι δίκαια ἀξιώθηκε τῆς οὐράνιας φιλανθρωπίας καὶ καθοδηγήθηκε πρὸς τὴν ὁδὸ τῆς ἀληθείας; Γιατὶ ὁ ἀγαθὸς Θεός, ὅταν δεῖ τὴν ψυχὴ νὰ εἶναι βέβαια εὐγνώμων, ἀλλ' ἀπὸ ἄγνοια νὰ βρίσκεται στὴν πλάνη, δὲν τὴν παραβλέπει οὔτε τὴν ἀφήνει γιὰ πολὺ μακριὰ ἀπὸ τὴν πρόνοιά του, ἀλλὰ κάμνει ὅλα ὅσα ἐξαρτῶνται ἀπὸ αὐτὸν καὶ δὲν παραλείπει τίποτε ἀπὸ ἐκεῖνα ποὺ συμβάλλουν στὴ σωτηρία μας, μόνο ἂν ἐμεῖς καταστήσομε τὸν ἑαυτό μας ἄξιο νὰ προσελκύσει μὲ ἀφθονία τὴν οὐράνια χάρη, ὅπως ἀκριβῶς καὶ ὁ μακάριος αὐτός.

9. Ἐπειδὴ δηλαδὴ ἐκεῖνα ποὺ προηγουμένως ἔπραττε τὰ ἔπραττε ὅλα ἀπὸ ἄγνοια καὶ νομίζοντας ὅτι μὲ τὸ ζῆλο του ὑπὲρ τοῦ νόμου προστάτευε αὐτόν, καὶ ἔτσι γινόταν σ' ὅλους αἴτιος θορύβου καὶ ταραχῆς, μόλις ἔμαθε ἀπὸ τὸν ἴδιο τὸ νομοθέτη ὅτι βαδίζει τὴν ἀντίθετη ὁδὸ καί, ἐνῷ ὁδηγεῖται στὸ γκρεμό, δὲν τὸ αἰσθάνεται, δὲν δίσταξε, δὲν ἀνέβαλε, ἀλλ' ἀμέσως, ἐπειδὴ τὸν καταφώτισε τὸ νοητὸ φῶς, ἀφοῦ ἀποκήρυξε τὴν πλάνη, ἔγινε κήρυκας τῆς ἀλήθειας καὶ ἤθελε ἐκείνους πρώτους νὰ ὁδηγήσει στὴν ὁδὸ τῆς εὐσέβειας, ἐκείνους πρὸς τοὺς ὁποίους μετέφερε τὶς ἐπιστολὲς ποὺ εἶχε λάβει ἀπὸ τοὺς ἀρχιερεῖς, καθὼς καὶ ὁ ἴδιος κηρύσσοντας στὸ πλῆθος τῶν Ἰουδαίων, ἔλεγε· «ὅπως καὶ ὁ ἀρχιερεὺς τὸ ἐπιβεβαιώνει καὶ ὅλο τὸ πρεσβυτέριο, ὅτι, ἀφοῦ ἔλαβα ἐπιστολὲς ἀπ' αὐτούς, πήγαινα στὴ Δαμασκὸ πρὸς τοὺς ἀρχιερεῖς, ὥστε νὰ ὁδηγήσω στὴν Ἱερουσαλὴμ δεμένους καὶ τοὺς πιστοὺς ποὺ ὑπῆρχαν ἐκεῖ»[6].

10. Εἶδες αὐτὸν σὰν ἀκριβῶς λιοντάρι μανιασμένο καὶ νὰ τρέχει παντοῦ; Πρόσεχε αὐτὸν πάλι μέσα σὲ μιὰ στιγμὴ νὰ μεταβάλλεται σὲ ἡμερότατο πρόβατο καὶ ἐκεῖνος ποὺ προηγουμένως ἔδενε καὶ ὁδηγοῦσε στὴ φυλακὴ καὶ καταπίεζε καὶ καταδίωκε ὅλους ἐκείνους ποὺ πίστευαν στὸ Χριστό, ξαφνικὰ γιὰ χάρη τοῦ Χριστοῦ νὰ

καὶ διώκοντα ἐξαίφνης διὰ τὸν Χριστὸν διὰ τοῦ τείχους ἐν σπυρίδι χαλώμενον ἵνα διαφύγῃ τῶν Ἰουδαίων τὰς ἐπιβουλάς, ἄλλοτε διὰ νυκτὸς εἰς Καισάρειαν ἐκπεμπόμενον κἀκεῖθεν εἰς Ταρσὸν ἐξαποστελλόμενον ἵνα μὴ διασπασθῇ ὑπὸ τῆς τῶν Ἰουδαίων μανίας. Εἶδες, ἀγαπητέ, ὅση ἡ μεταβολή; εἶδες ὅση ἡ μετάστασις γέγονεν; εἶδες πῶς ἀπολαύσας τῆς ἄνωθεν φιλοτιμίας μετὰ δαψιλείας τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε, τὸν ζῆλον λέγω, τὴν θερμότητα, τὴν πίστιν, τὴν ἀνδρείαν, τὴν ὑπομονήν, τὸ φρόνημα τὸ ὑψηλόν, τὴν γνώμην τὴν ἀκατάπληκτον; Διὸ καὶ πλείονος ἠξιώθη τῆς ἄνωθεν ῥοπῆς. Ὅθεν καὶ γράφων ἔλεγε· «περισσότερον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί».

11. Τοῦτον δή, παρακαλῶ, καὶ ὑμεῖς μιμήσασθε, οἱ τὸν τοῦ Χριστοῦ ζυγὸν νῦν ὑπελθεῖν καταξιωθέντες καὶ τῆς υἱοθεσίας ἀπολαύοντες, καὶ τοσαύτην ἐκ προοιμίων εὐθέως ἐπιδείξασθε τὴν θερμότητα καὶ τὴν εἰς τὸν Χριστὸν πίστιν, ἵνα πλείονα ἐφελκύσησθε τὴν ἄνωθεν χάριν καὶ τὸ παρασχεθὲν ὑμῖν ἔνδυμα φαιδρότερον ἀπεργάσησθε καὶ δαψιλοῦς ἀπολαύσητε τῆς εὐνοίας τῆς παρὰ τοῦ Δεσπότου. Εἰ γὰρ μηδέπω μηδὲν ἐργασαμένους ἀγαθὸν ἀλλὰ καὶ τοσαῦτα φορτία ἁμαρτημάτων ἔχοντας ἐπικείμενα τοσούτων ἠξίωσε δωρεῶν, τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, οὐ γὰρ μόνον ἁμαρτημάτων ἀπήλλαξε καὶ δικαιοσύνην ἐχαρίσατο, ἀλλὰ καὶ ἁγίους ἀπέδειξε καὶ υἱοθεσίαν παρέσχεν, εἰ τοίνυν προλαβὼν τοσαῦτα ἐδωρήσατο, εἰ τὰ παρ' ἑαυτῶν μετὰ τοσαύτας δωρεὰς εἰσενεγκεῖν σπουδάσετε καὶ μετὰ τῆς φυλακῆς τῶν ἤδη παρασχεθέντων καὶ πολιτείας ἀκρίβειαν ἐπιδείξεσθε, πῶς οὐ μείζονος πάλιν ἀξιωθήσεσθε τῆς φιλοτιμίας;

12. Ἠκούσατε γὰρ σήμερον τοῦ μακαρίου Παύλου τοῦ νυμφαγωγοῦ τῆς Ἐκκλησίας γράφοντος καὶ λέγοντος· «ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις»· οὐχ ἵνα περὶ τῆς αἰσθητῆς ταύτης κτίσεως νομίσωμεν εἶναι τὸ εἰρημένον, διὰ γὰρ τοῦτο προσέθηκεν, «εἴ τις ἐν Χριστῷ», διδάσκων ἡμᾶς ὅτι εἴ τις πρὸς τὴν εἰς τὸν Χριστὸν πί-

---

7. Πράξ. 9,25.
8. Α' Κορ. 15,10.
9. Β' Κορ. 5,17.

κατεβαίνει μέσα σὲ καλάθι ἀπὸ τὰ τείχη γιὰ νὰ ξεφύγει τὶς ἐπιβουλὲς τῶν Ἰουδαίων[7], καὶ ἄλλοτε μέσα στὴ νύχτα νὰ ὁδηγεῖται στὴν Καισάρεια καὶ ἀπὸ ἐκεῖ νὰ στέλνεται στὴ Ταρσὸ γιὰ νὰ μὴ ξεσχισθεῖ ἀπὸ τὴ μανία τῶν Ἰουδαίων. Εἶδες, ἀγαπητέ, πόση ὑπῆρξε ἡ μεταβολή; εἶδες πόση ἦταν ἡ ἀλλαγὴ ποὺ ἔγινε; εἶδες πῶς, ἀφοῦ ἀπόλαυσε πλούσια τὴν οὐράνια γενναιοδωρία, πρόσφερε τὰ ὅσα ἐξαρτῶνταν ἀπ' αὐτόν, ἐννοῶ τὸν ζῆλο, τὴ θερμότητα, τὴν πίστη, τὴν ἀνδρεία, τὴν ὑπομονή, τὸ ὑψηλὸ φρόνημα, τὴ γνώμη τὴν ἀτρόμητη; Γι' αὐτὸ καὶ ἀξιώθηκε μεγαλύτερης οὐράνιας βοήθειας. Καὶ γι' αὐτὸ ἀκριβῶς γράφοντας ἔλεγε· «περισσότερο ἀπ' ὅλους αὐτοὺς κόπιασα, ὄχι ἐγώ, ἀλλ' ἡ χάρη τοῦ Θεοῦ ποὺ εἶναι μαζί μου»[8]..

11. Αὐτὸν λοιπόν, παρακαλῶ, μιμηθεῖτε καὶ σεῖς, ποὺ καταξιωθήκατε σήμερα νὰ μπῆτε κάτω ἀπὸ τὸ ζυγὸ τοῦ Χριστοῦ καὶ ἀπολαύσατε τὴν υἱοθεσία, καὶ τόση θέρμη καὶ πίστη στὸ Χριστὸ δείξατε ἀμέσως καὶ ἀπὸ τὴν ἀρχή, ὥστε νὰ προσελκύστε μεγαλύτερη τὴν οὐράνια χάρη, νὰ κάμετε λαμπρότερο τὸ ἔνδυμα ποὺ σᾶς δόθηκε, καὶ ν' ἀπολαύσετε πλούσια τὴν ἀγάπη τοῦ Κυρίου. Γιατὶ ἄν, χωρὶς νὰ κάματε κανένα ἀγαθὸ ἔργο ἀλλὰ καὶ εἴχατε ἐπάνω σας τόσα φορτία ἁμαρτημάτων, σᾶς ἀξίωσε τόσων δωρεῶν, μιμούμενος τὴ φιλανθρωπία του, γιατὶ ὄχι μόνο σᾶς ἀπάλλαξε ἀπὸ τὰ ἁμαρτήματα καὶ σᾶς χάρισε δικαιοσύνη, ἀλλὰ καὶ ἁγίους σᾶς ἀνέδειξε καὶ σᾶς χάρισε τὴν υἱοθεσία, ἂν λοιπὸν ἐκ τῶν προτέρων σᾶς δώρησε τόσα πολλά, ἂν φροντίσετε μετὰ τὶς τόσες δωρεὲς νὰ συνεισφέρετε καὶ ὅσα ἐξαρτῶνται ἀπὸ σᾶς καὶ μαζὶ μὲ τὴ φύλαξη τῶν ὅσων ἤδη σᾶς δόθηκαν ἐπιδείξετε καὶ ἀκριβῆ πρὸς τὸ θέλημα τοῦ Θεοῦ πολιτεία, πῶς δὲν θ' ἀξιωθεῖτε πάλι μεγαλύτερης γενναιοδωρίας;

12. Ἀκούσατε λοιπὸν σήμερα τὸν μακάριο Παῦλο, τὸν νυμφαγωγὸ τῆς Ἐκκλησίας, νὰ γράφει καὶ νὰ λέγει· «ὥστε, ἂν κάποιος εἶναι ἑνωμένος μὲ τὸ Χριστὸ αὐτὸς εἶναι καινούργιο δημιούργημα»[9]· γιὰ νὰ μὴ νομίσωμε ὅτι τὰ λόγια αὐτὰ ἀναφέρονται στὴν αἰσθητὴ αὐτὴ κτίση, γι' αὐτὸ πρόσθεσε, «ἂν κάποιος εἶναι ἑνωμένος μὲ τὸ Χριστό», διδάσκοντάς μας ὅτι, ἂν κάποιος ἔφυγε ἀπὸ ἐκεῖ

στιν μετετάξατο, καινὴν κτίσιν ἡμῖν ἐπιδείκνυσι. Τί γὰρ ὄφελος, εἰπέ μοι, τοσοῦτον καινὸν ἰδεῖν οὐρανὸν καὶ τὰ ἄλλα τῆς κτίσεως μέρη, ὅσον κέρδος ἄνθρωπον ἰδεῖν ἀπὸ κακίας ἐπὶ ἀρετὴν μεταστάντα καὶ ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀλήθειαν μεταταξάμενον; Τοῦτο γὰρ «καινὴν κτίσιν» καὶ ὁ μακάριος οὗτος ὠνόμασε, διὸ καὶ ἐπήγαγε εὐθέως, «τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά», μονονουχὶ δεικνὺς ὅτι καθάπερ ἱμάτιον παλαιὸν ἀποδυσάμενοι τῶν ἁμαρτημάτων τὸ φορτίον διὰ τῆς εἰς τὸν Χριστὸν πίστεως, τὸ καινὸν τοῦτο καὶ φαιδρὸν ἱμάτιον καὶ τὴν στολὴν τὴν βασιλικὴν περιέθεντο οἱ τῆς πλάνης ἐλευθερωθέντες· διὰ τοῦτο ἔλεγεν· «εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά».

13. Πῶς γὰρ οὐ καινὰ καὶ παράδοξα ὅταν ὁ χθὲς καὶ πρῴην περὶ τὴν τρυφὴν καὶ τὴν ἀδηφαγίαν ἐσχολακὼς ἀθρόον ἐγκράτειαν καὶ λιτότητα διαίτης ἀσπάζηται; πῶς οὐ καινὰ καὶ παράδοξα τὰ πάντα ὅταν ὁ πρότερον ἀκόλαστος καὶ περὶ τὰς ἡδονὰς τοῦ παρόντος βίου καταδαπανώμενος, ἐξαίφνης ἀνώτερος τῶν παθῶν γεγονώς, ὡς οὐδὲ σῶμα περικείμενος, οὕτω τὴν σωφροσύνην καὶ τὴν ἁγνείαν μεταδιώκῃ;

14. Εἶδες πῶς ὄντως καινὴ κτίσις ἐστὶ τὸ γεγενημένον; Ἡ γὰρ τοῦ Θεοῦ χάρις ἐπεισελθοῦσα μετέπλασε καὶ μετερρύθμισε τὰς ψυχὰς καὶ ἄλλας ἀντ' ἄλλων αὐτὰς εἰργάσατο, οὐ τὴν οὐσίαν μεταβαλοῦσα ἀλλὰ τὴν προαίρεσιν μετασκευάσασα καὶ τῶν ὀφθαλμῶν τῆς διανοίας τὸ κριτήριον οὐκ ἀφιεῖσα λοιπὸν ἐναντίαν περὶ τῶν πραγμάτων ἔχειν τὴν ὑπόληψιν, ἀλλά, καθάπερ λήμην τινὰ τῶν ὀφθαλμῶν ἀποσκεδάσασα, παρέσχεν ἀκριβῶς ὁρᾶν καὶ τῆς κακίας τὸ δυσειδὲς καὶ ἄμορφον καὶ τῆς ἀρετῆς τὴν πολλὴν εὐμορφίαν καὶ τὴν φαιδρότητα.

15. Εἶδες πῶς καθ' ἑκάστην ἡμέραν καινὴν ἐργάζεται κτίσιν ὁ Δεσπότης; Τίς γὰρ ἕτερος ἔπεισεν, εἰπέ μοι, τὸν πᾶσαν τὴν ζωὴν πολλάκις καταναλώσαντα εἰς τὰς τοῦ βίου ἡδυπαθείας καὶ λίθους

ποὺ ἦταν καὶ ἀσπάσθηκε τὴν πίστη στὸ Χριστό, αὐτὸς εἶναι γιὰ μᾶς καινούργιο δημιούργημα. Γιατὶ πές μου, πιό εἶναι τὸ τόσο μεγάλο ὄφελος τὸ νὰ δοῦμε καινούργιο τὸν οὐρανὸ καὶ τὰ ἄλλα μέρη τῆς κτίσεως, ὅσο κέρδος εἶναι νὰ δοῦμε ἄνθρωπο νὰ μετατίθεται ἀπὸ τὴν κακία στὴν ἀρετὴ καὶ νὰ μεταπηδᾶ ἀπὸ τὴν πλάνη στὴν ἀλήθεια; Αὐτὸ λοιπὸν καὶ ὁ μακάριος ὀνόμασε «καινούργια κτίση», γι' αὐτὸ καὶ πρόσθεσε ἀμέσως, «τὰ ἀρχαῖα πέρασαν, νά, ὅλα ἔγιναν καινούργια», δείχνοντας κατὰ κάποιο τρόπο μ' αὐτὸ ὅτι ξεντύθηκαν σὰν παλιὸ ἔνδυμα τὸ φορτίο τῶν ἁμαρτημάτων μὲ τὴν πίστη τους στὸ Χριστὸ καὶ φόρεσαν τὸ καινούργιο αὐτὸ καὶ λαμπρὸ ἔνδυμα καὶ τὴ βασιλικὴ στολὴ ἐκεῖνοι ποὺ ἐλευθερώθηκαν ἀπὸ τὴν πλάνη καὶ καταλαμπρύνθηκαν ἀπὸ τὸ φῶς τῆς δικαιοσύνης· γι' αὐτὸ ἔλεγε· «ἂν κάποιος ἑνώθηκε μὲ τὸ Χριστό, εἶναι καινούργια κτίση· τὰ ἀρχαῖα πέρασαν, νά, ὅλα ἔγιναν καινούργια».

13. Πῶς λοιπὸν δὲν εἶναι καινούργια καὶ παράδοξα, ὅταν ἐκεῖνος, ποὺ χθὲς καὶ προηγουμένως ἀσχολοῦνταν μὲ τὴν τρυφὴ καὶ τὴ λαιμαργία, μέσα σὲ μιὰ στιγμὴ ἔρχεται καὶ ἀσπάζεται τὴν ἐγκράτεια καὶ τὴ λιτοδίαιτα; Πῶς δὲν εἶναι ὅλα καινούργια καὶ παράδοξα ὅταν ἐκεῖνος ποὺ προηγουμένως ἦταν ἀκόλαστος καὶ κατασπαταλοῦσε τὴν παρούσα ζωὴ στὶς ἡδονές, ξαφνικά, ἀφοῦ ἔγινε ἀνώτερος τῶν παθῶν, ἔτσι ἐπιδιώκει καὶ ἀσκεῖ τὴ σωφροσύνη καὶ τὴν ἁγνότητα, σὰν νὰ μὴ φέρει σῶμα;

14. Εἶδες πῶς πραγματικὰ εἶναι καινούργια κτίση αὐτὸ ποὺ ἔγινε; Γιατὶ ἡ χάρη τοῦ Θεοῦ, ἀφοῦ εἰσῆλθε στὶς ψυχές, μετέπλασε καὶ μεταμόρφωσε αὐτὲς καὶ τὶς ἔκαμε ἄλλες ἀντὶ ἄλλων, μεταβάλλοντας ὄχι τὴν οὐσία ἀλλὰ μεταλλάσσοντας τὴν προαίρεση καὶ μὴ ἀφήνοντας τὸ κριτήριο τῶν ὀφθαλμῶν τῆς διανοίας νὰ σχηματίζει πλέον ἀντίθετη γνώμη γιὰ τὰ πράγματα, ἀλλά, ἀφοῦ καθάρισε τὰ μάτια σὰν ἀπὸ κάποια τσίμπλα, τὰ ἔκαμε νὰ βλέπουν καθαρὰ καὶ τῆς κακίας τὴν ἀσχήμια καὶ τὴν ἀμορφία, καὶ τῆς ἀρετῆς τὴ μεγάλη ὀμορφιὰ καὶ λαμπρότητα.

15. Εἶδες πῶς καθημερινὰ ὁ Κύριος δημιουργεῖ καινούργια κτίση; Γιατί πές μου, ποιός ἄλλος ἔπεισε ἐκεῖνον ποὺ κατανάλωσε πολλὲς φορὲς ὅλη τὴ ζωή του στὶς ἀπολαύσεις τῆς ζωῆς, ποὺ προ-

προσκυνοῦντα καὶ ξύλα καὶ ταῦτα θεοὺς ἡγούμενον, ἀθρόον εἰς τοσοῦτον ὕψος ἀρετῆς ἀναδραμεῖν ὡς ἐκείνων μὲν ἁπάντων ὑπεριδεῖν καὶ καταγελᾶν καὶ τους λίθους λίθους ὁρᾶν ὡσαύτως καὶ τὰ ξύλα ξύλα, τὸν δὲ τῶν ὅλων δημιουργὸν προσκυνεῖν καὶ τὴν εἰς αὐτὸν πίστιν τῶν ἐν τῷ παρόντι βίῳ πάντων προτιμᾶν;

16. Εἶδες πῶς ἡ εἰς τὸν Χριστὸν πίστις καὶ ἡ πρὸς τὴν ἀρετὴν ἐπάνοδος καινὴ κτίσις λέγεται; Ἀκούωμεν τοίνυν, παρακαλῶ, καὶ οἱ πάλαι μεμυημένοι καὶ οἱ πρόσφατον τῆς φιλοτιμίας ἀπολαύσαντες τῆς δεσποτικῆς, τῆς ἀποστολικῆς παραινέσεως τῆς λεγούσης, «τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινὰ» καὶ τῶν προτέρων ἁπάντων ἐπιλαθόμενοι, ὥσπερ ἐν καινῇ πολιτευόμενοι ζωῇ οὕτω τὸν ἑαυτῶν βίον μεταρρυθμίσωμεν, καὶ ἐννοοῦντες τοῦ ἐνοικοῦντος ἐν ἡμῖν τὸ ἀξίωμα οὕτως ἅπαντα καὶ λέγωμεν καὶ πράττωμεν.

17. Εἰ γὰρ ἄνθρωποι τὰς βιωτικὰς λειτουργίας ἀναδεχόμενοι καὶ ἐπὶ τῆς ἐσθῆτος πολλάκις ἣν περίκεινται τὸν τύπον τῶν βασιλικῶν εἰκόνων ἐπιφερόμενοι καὶ διὰ τοῦτο ἀξιόπιστοι τοῖς ἄλλοις ἅπασι φαινόμενοι, οὐδὲν ἀνάσχοιντο ἄν ποτε πρᾶξαι τοιοῦτον ὃ τῆς ἐσθῆτος ἐκείνης τῆς τοὺς τύπους ἐχούσης τοὺς βασιλικοὺς ἀνάξιον ἂν γένοιτο, ἀλλὰ κἂν αὐτοί ποτε ἐπιχειρήσωσι, πολλοὺς ἔχουσι τοὺς διακωλύοντας, κἂν ἕτεροί τινες αὐτοὺς κακῶς διαθεῖναι βούλοιντο, ἱκανὴν ἔχουσιν ἀσφάλειαν τοῦ μηδὲν ἀηδὲς παθεῖν τῆς ἐσθῆτος τὴν περιβολήν, πολλῷ δὴ μᾶλλον οἱ οὐκ ἐπὶ ἱματίου ἀλλ' ἐπὶ ψυχῆς αὐτὸν τὸν Χριστὸν ἔχοντες ἐνοικοῦντα καὶ τὸν τούτου Πατέρα καὶ τοῦ Πνεύματος τοῦ ἁγίου τὴν ἐπιφοίτησιν, πολλὴν ἂν εἶεν δίκαιοι τὴν ἀσφάλειαν ἐπιδείκνυσθαι καὶ πᾶσιν ἑαυτοὺς καταδήλους ποιεῖν διὰ τῆς ἀκριβοῦς πολιτείας καὶ τῆς τοῦ βίου ἐπιμελείας ὅτι τὴν εἰκόνα τὴν βασιλικὴν ἐπιφέρουσιν.

18. Ὥσπερ γὰρ ἐκεῖνοι ἐπὶ τῆς ἐσθῆτος κατὰ τοῦ στήθους τὰς μορφὰς δεικνύντες τὰς βασιλικὰς πᾶσι φανεροὶ καθεστήκασιν, οὕτω καὶ ἡμεῖς εἰ βουληθείημεν, οἱ ἅπαξ τὸν Χριστὸν ἐνδυσάμενοι καὶ ἔνοικον αὐτὸν ἔχειν καταξιωθέντες, δυνησόμεθα διὰ τῆς τοῦ βίου ἀκριβείας καὶ σιγῶντες ἅπασι δεικνύναι τοῦ ἐνοικοῦντος ἐν

σκυνοῦσε λίθους καὶ ξύλα καὶ θεωροῦσε αὐτὰ θεούς, μέσα σὲ μιὰ στιγμὴ νὰ τὸν ἀνεβάσει σὲ τόσο μεγάλο ὕψος ἀρετῆς, ὥστε ἐκεῖνα νὰ τὰ περιφρονεῖ καὶ νὰ τὰ περιγελᾶ, καὶ νὰ βλέπει τοὺς λίθους σὰν λίθους καὶ τὰ ξύλα ἐπίσης σὰν ξύλα, ἐνῶ τὸν δημιουργὸ τῶν ὅλων νὰ τὸν προσκυνεῖ καὶ νὰ προτιμᾶ ἀπὸ ὅλα τῆς παρούσας ζωῆς τὴν πίστη σ' αὐτόν;

16. Εἶδες πῶς ἡ πίστη στὸ Χριστὸ καὶ ἡ ἐπιστροφὴ πρὸς τὴν ἀρετὴ ὀνομάζεται καινούργια κτίση; Ἂς ἀκοῦμε λοιπόν, παρακαλῶ, καὶ οἱ ἀπὸ παλιὰ μυημένοι καὶ ἐκεῖνοι ποὺ πρόσφατα ἀπόλαυσαν τὴ δεσποτικὴ γενναιοδωρία, τὴν ἀποστολικὴ παραίνεση ποὺ λέγει, «τὰ ἀρχαῖα πέρασαν, νά, ὅλα ἔγιναν καινούργια» καὶ ξεχνώντας ὅλα τὰ προηγούμενα, καὶ ἀφοῦ ζοῦμε μέσα σὲ μιὰ καινούργια ζωή, ἂς ρυθμίσομε τὴ ζωή μας σύμφωνα μὲ αὐτήν, καὶ σκεπτόμενοι τὸ ἀξίωμα ἐκείνου ποὺ κατοικεῖ μέσα μας, ἔτσι ἂς λέμε καὶ ἂς πράττομε τὰ πάντα.

17. Γιατί, ἂν οἱ ἄνθρωποι ποὺ ἀναλαμβάνουν τὰ κοσμικὰ ἀξιώματα καὶ πολλὲς φορὲς φέροντας ἐπάνω στὸ ἔνδυμα ποὺ φοροῦν ἀποτυπωμένες τὶς βασιλικὲς εἰκόνες, μὲ τὶς ὁποῖες φαίνονται σ' ὅλους τοὺς ἄλλους ἀξιόπιστοι, δὲν θ' ἀνέχονταν ποτὲ νὰ πράξουν κάτι ποὺ θὰ ἦταν ἀνάξιο τοῦ ἐνδύματος ἐκείνου ποὺ φέρει τὶς βασιλικὲς εἰκόνες, ἀλλὰ κι ἂν ἀκόμη αὐτοὶ κάποτε ἐπιχειρήσουν, ἔχουν πολλοὺς ποὺ τοὺς ἐμποδίζουν, κι ἂν πάλι ὁρισμένοι ἄλλοι θελήσουν νὰ τοὺς κακοποιήσουν, ἔχουν γιὰ μεγάλη ἀσφάλεια τὴν περιβολὴ τοῦ ἐνδύματος, ὥστε νὰ μὴ πάθουν τίποτε τὸ δυσάρεστο, πολὺ περισσότερο λοιπὸν δίκαιο εἶναι νὰ εἶναι ἀσφαλεῖς ἐκεῖνοι ποὺ ἔχουν τὸ Χριστὸ νὰ κατοικεῖ μέσα τους καθὼς καὶ τὸν Πατέρα αὐτοῦ καὶ τὴν ἐπιφοίτησι τοῦ ἁγίου Πνεύματος καὶ νὰ δείχνουν σ' ὅλους ὁλοφάνερα μὲ τὸν ὀρθὸ τρόπο ζωῆς τους καὶ τὴν προσεκτικὴ συμπεριφορά τους ὅτι φέρουν τὴ βασιλικὴ εἰκόνα.

18. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνοι φέροντας ἐπάνω στὸ ἔνδυμα καὶ μπροστὰ στὸ στῆθος τὶς βασιλικὲς μορφὲς γίνονται φανεροὶ σ' ὅλους, ἔτσι κι ἐμεῖς ποὺ ντυθήκαμε μιὰ γιὰ πάντα τὸ Χριστὸ καὶ ἀξιωθήκαμε νὰ τὸν ἔχομε νὰ κατοικεῖ μέσα μας, ἂν θελήσομε θὰ μπορέσομε μὲ τὴν προσεκτικὴ καὶ ἐνάρετη ζωή μας καὶ σιγώ-

ἡμῖν τὴν δύναμιν. Καὶ ὃν τρόπον νῦν ἡ τῆς ἐσθῆτος ὑμῶν περιβολὴ καὶ τὸ φαιδρὸν τῶν ἱματίων πάντων ἐπισπᾶται τὰς ὄψεις, οὕτω καὶ εἰς τὸ διηνεκές, εἰ βουληθείητε, δυνήσεσθε τὴν φαιδρότητα τοῦ ἐνδύματος τοῦ βασιλικοῦ διατηροῦντες, ἀκριβέστερον ἢ νῦν διὰ τῆς κατὰ Θεὸν πολιτείας καὶ τῆς πολλῆς ἀκριβείας τοὺς ὁρῶντας ἅπαντας εἰς τὸν ὅμοιον ἐπισπάσεσθαι ζῆλον καὶ εἰς τὴν τοῦ Δεσπότου δοξολογίαν.

19. Διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε· «λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Εἶδες πῶς παραινεῖ λάμπειν τὸ φῶς τὸ ἐν ἡμῖν οὐ διὰ τῶν ἱματίων ἀλλὰ διὰ τῶν ἔργων; Εἰπὼν γάρ, «λαμψάτω τὸ φῶς ὑμῶν», ἐπήγαγεν, «ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν». Τοῦτο τὸ φῶς οὐ μέχρι τῶν σωματικῶν αἰσθήσεων ἵσταται, ἀλλὰ καὶ τὰς ψυχὰς τῶν ὁρώντων καὶ τὴν διάνοιαν καταυγάζει καὶ τῆς κακίας τὸ σκότος διασκεδάσαν πρὸς τὴν ἔλλαμψιν τοῦ οἰκείου φωτὸς καὶ τὴν τῆς ἀρετῆς μίμησιν ἐπισπᾶται τοὺς ἐντυγχάνοντας.

20. «Λαμψάτω», φησί, «τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων». Καὶ καλῶς εἶπεν «ἔμπροσθεν τῶν ἀνθρώπων». Τοσοῦτον ὑμῶν ἔστω, φησί, τὸ φῶς ὥστε μὴ μόνον ὑμᾶς καταλάμπειν ἀλλὰ καὶ ἔμπροσθεν τῶν ἀνθρώπων φαίνειν τῶν δεομένων τῆς τούτου χορηγίας. Ὥσπερ οὖν τὸ αἰσθητὸν τοῦτο φῶς φυγαδεύει τὸ σκότος καὶ ὀρθὰ ποιεῖ βαδίζειν τοὺς τὴν αἰσθητὴν ταύτην ὁδεύοντας ὁδόν, οὕτω καὶ τὸ νοητὸν φῶς τὸ ἐκ τῆς ἀρίστης πολιτείας τοὺς ὑπὸ τοῦ σκότους τῆς πλάνης τὸ ὄμμα τῆς διανοίας τεθολωμένον ἔχοντας καὶ οὐ δυναμένους ἀκριβῶς ἰδεῖν τῆς ἀρετῆς τὴν ὁδὸν καταυγάζει καὶ τὴν λήμην τῶν ὀφθαλμῶν τῆς διανοίας ἀποκαθαίρει καὶ πρὸς τὴν εὐθεῖαν ἄγει καὶ ποιεῖ βαδίζειν λοιπὸν ἐπὶ τὴν τῆς ἀρετῆς ὁδόν.

21. «Ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Ἡ ἀρετή, φησίν, ἡ ὑμετέρα καὶ ἡ περὶ τὴν πολιτείαν ἀκρίβεια καὶ ἡ τῶν καλῶν ἔργων κατόρθωσις

---

11. Ματθ. 5,16.

ντας ἀκόμη νὰ δείχνομε τὴ δύναμη ἐκείνου ποὺ κατοικεῖ μέσα μας. Καὶ ὅπως τώρα ἡ περιβολὴ τοῦ ἐνδύματός σας καὶ ἡ λαμπρότητα τῶν ἱματίων σας προσελκύει τὰ βλέμματα ὅλων, ἔτσι καὶ ἀπὸ ἐδῶ καὶ στὸ ἑξῆς, ἂν θελήσετε, θὰ μπορέσετε, διατηρώντας τὴ λαμπρότητα τοῦ βασιλικοῦ σας ἐνδύματος, νὰ προσελκύσετε περισσότερο ἀπὸ ὅ,τι τώρα σὲ ὅμοιο μὲ σᾶς ζῆλο καὶ στὴ δοξολογία τοῦ Κυρίου ὅλους ἐκείνους ποὺ σᾶς βλέπουν, μὲ τὸν σύμφωνο μὲ τὸ θέλημα τοῦ Θεοῦ τρόπο ζωῆς καὶ τὴν ἀκριβῆ τήρηση αὐτοῦ.

19. Γι' αὐτὸ λοιπὸν καὶ ὁ Χριστὸς ἔλεγε· «ἂς λάμψει τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους γιὰ νὰ δοῦν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ βρίσκεται στοὺς οὐρανούς»[11]. Εἶδες πῶς προτρέπει νὰ λάμπει τὸ φῶς ποὺ ὑπάρχει μέσα μας ὄχι μὲ τὰ ἐνδύματα ἀλλὰ μὲ τὰ ἔργα; Γιατί, ἀφοῦ εἶπε, «ἂς λάμψει τὸ φῶς σας», πρόσθεσε, «γιὰ νὰ δοῦν τὰ καλὰ ἔργα σας». Αὐτὸ τὸ φῶς δὲ σταματᾶ μέχρι τὰ σωματικὰ μάτια, ἀλλὰ καταφωτίζει καὶ τὶς ψυχὲς καὶ τὴ διάνοια ἐκείνων ποὺ τὸ βλέπουν καί, ἀφοῦ διαλύσει τὸ σκοτάδι τῆς κακίας, προσελκύει ἐκείνους ποὺ τὸ βλέπουν πρὸς τὴ λάψη τοῦ φωτὸς αὐτοῦ καὶ τὴ μίμηση τῆς ἀρετῆς.

20. «Ἂς λάμψει», λέγει, «τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους». Καὶ σωστὰ εἶπε, «μπροστὰ στοὺς ἀνθρώπους». Τόσο μεγάλη λέγει νὰ εἶναι ἡ λαμπρότητα τοῦ φωτός σας, ὥστε νὰ καταφωτίζει ὄχι μόνο ἐσᾶς, ἀλλὰ νὰ φωτίζει καὶ μπροστὰ στοὺς ἀνθρώπους ποὺ ἔχουν ἀνάγκη ἀπὸ τὴ χορηγία αὐτοῦ. Ὅπως ἀκριβῶς λοιπὸν τὸ αἰσθητὸ αὐτὸ φῶς διαλύει τὸ σκοτάδι καὶ βοηθᾶ νὰ βαδίζουν ὀρθὰ ἐκεῖνοι ποὺ βαδίζουν τὴν αἰσθητὴ αὐτὴ ὁδό, ἔτσι καὶ τὸ νοητὸ φῶς, ποὺ πηγάζει ἀπὸ τὸν ἄριστο τρόπο ζωῆς, καταφωτίζει ἐκείνους ποὺ ἔχουν θολωμένα ἀπὸ τὸ σκοτάδι τῆς πλάνης τὰ μάτια τῆς ψυχῆς καὶ δὲν μποροῦν νὰ δοῦν καθαρὰ τὸ δρόμο τῆς ἀρετῆς, καθαρίζει τὴν τσίμπλα τῶν ματιῶν τῆς ψυχῆς, τὴν ὁδηγεῖ στὸν εὐθὺ δρόμο καὶ τὴν κάμνει νὰ βαδίζει στὸ ἑξῆς τὸ δρόμο τῆς ἀρετῆς.

21. «Γιὰ νὰ δοῦν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν Πατέρα σας τὸν οὐράνιο». Ἡ ἀρετή σας, λέγει, καὶ ὁ προσεκτικὸς τρόπος ζωῆς σας καθὼς καὶ ἡ κατόρθωση τῶν καλῶν ἔργων ἂς διε-

εἰς δοξολογίαν διεγειρέτω τοὺς ὁρῶντας τοῦ κοινοῦ πάντων Δεσπότου. Ἕκαστος τοίνυν ὑμῶν, παρακαλῶ, σπουδαζέτω μετὰ τοσαύτης ἀκριβείας βιοῦν, ἵνα παρὰ πάντων τῶν εἰς ὑμᾶς ὁρώντων ἡ εὐφημία εἰς τὸν Δεσπότην ἀναφέρηται.

22. Διὰ τοῦτο καὶ ὁ μακάριος οὗτος ὁ μιμητὴς τοῦ Χριστοῦ, ὁ τῆς ἀρίστης πολιτείας διδάσκαλος, ὁ πανταχοῦ περιτρέχων καὶ πάντα ποιῶν ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας, ἔγραφε λέγων· «εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά»· μονονουχὶ παραινῶν καὶ λέγων· 'ἀπέθου τὸ παλαιὸν ἔνδυμα, ἔλαβες τὸ καινὸν καὶ τοσαύτην ἔχον τὴν φαιδρότητα ὡς αὐταῖς ἀντιλάμπειν ταῖς ἀκτῖσι ταῖς ἡλιακαῖς· σκόπει ὅπως ἐπὶ τῆς αὐτῆς φαιδρότητος διατηρῇς τοῦ ἐνδύματος τὸ κάλλος. Ἕως γὰρ ἂν βλέπῃ ὁ πονηρὸς δαίμων ἐκεῖνος καὶ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας ἀπαστράπτον ἡμῶν τοῦτο τὸ ἔνδυμα τὸ πνευματικόν, οὐ τολμᾷ οὐδὲ πλησίον στῆναι, οὕτω δέδοικεν αὐτοῦ τὴν φαιδρότητα. Ἀποτυφλοῖ γὰρ αὐτοῦ τὰς ὄψεις ἡ ἀστραπὴ ἡ ἐντεῦθεν ἐκπηδῶσα.

23. Διό, παρακαλῶ, ἤδη ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων πολὺν τὸν ἀγῶνα, πολλὴν τὴν φαιδρότητα ἐπιδείξασθε, διὰ πάντων τοῦ ἐνδύματος τούτου τὸ κάλλος λαμπρότερον καὶ φαιδρότερον κατασκευάζοντες καὶ μήτε λόγος τῆς γλώττης ἁπλῶς καὶ εἰκῇ προπηδάτω, ἀλλὰ πρότερον σκοπῶμεν εἴ τι χρήσιμον ἔχει καὶ εἴ τινα οἰκοδομὴν τοῖς ἀκούουσι παρέχειν δύναται καὶ τότε μετὰ πολλοῦ τοῦ δέους τὰ ῥήματα προφέρωμεν, ὡσανεί τινος ἑστῶτος καὶ ταῦτα γραφῇ παραδιδόντος, μνημονεύοντες τοῦ παρὰ τοῦ Κυρίου εἰρημένου· «λέγω ὑμῖν ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως».

24. Μήτε διάλεξις τοίνυν βιωτικὴ καὶ ἀνόνητος καὶ μηδὲν κέρδος ἔχουσα παρ' ἡμῶν γινέσθω· καινὴν γὰρ εἱλόμεθα λοιπὸν πολιτείαν καὶ ἐξηλλαγμένην καὶ προσήκει ἡμᾶς ἀκόλουθα τῇ πολιτείᾳ διαπράττεσθαι, ἵνα μὴ ταύτης ἀνάξιοι γενώμεθα. Οὐχ ὁρᾶτε ἐν τοῖς βιωτικοῖς ἀξιώμασι πῶς οἱ εἰς τὴν παρ' αὐτοῖς λεγομένην σύγκλη-

---

13. Ματθ. 12,36.

γείρουν πρὸς δοξολογία τοῦ κοινοῦ Κυρίου ὅλων ὅλους ἐκείνους ποὺ σᾶς βλέπουν. Ὁ καθένας σας λοιπόν, παρακαλῶ, ἂς φροντίζει μὲ τόσο ἐνάρετο τρόπο νὰ ζεῖ, ὥστε ἡ δοξολογία ὅλων ἐκείνων ποὺ σᾶς βλέπουν νὰ ἀναπέμπεται πρὸς τὸν Κύριο.

22. Γι' αὐτὸ καὶ ὁ μακάριος αὐτὸς ὁ μιμητὴς τοῦ Χριστοῦ, ὁ δάσκαλος τῆς ἄριστης πολιτείας, ποὺ ἔτρεχε παντοῦ καὶ ἔκαμνε ὅλα γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων, ἔγραψε λέγοντας, «ἂν κάποιος ἑνώθηκε μὲ τὸ Χριστό, εἶναι καινούργια κτίση· τὰ ἀρχαῖα πέρασαν, νά, ὅλα ἔγιναν καινούργια»· εἶναι σὰν νὰ συμβούλευε καὶ ἔλεγε· 'ἔβγαλες τὸ παλιὸ ἔνδυμα καὶ ἔλαβες τὸ καινούργιο ποὺ ἔχει τόση μεγάλη λαμπρότητα, ὥστε νὰ συναγωνίζεται στὴ λάμψη καὶ αὐτὲς ἀκόμα τὶς ἴδιες τὶς ἡλιακὲς ἀκτίνες· πρόσεχε, ὥστε νὰ διατηρεῖς τὸ κάλλος τοῦ ἐνδύματος μὲ τὴν ἴδια λαμπρότητα'. Γιατί, ὅσο καιρὸ βλέπει ὁ πονηρὸς ἐκεῖνος δαίμονας καὶ ἐχθρὸς τῆς σωτηρίας μας ν' ἀκτινοβολεῖ αὐτὸ τὸ πνευματικό μας ἔνδυμα, δὲν τολμᾶ οὔτε κοντά μας νὰ σταθεῖ· τόσο πολὺ φοβᾶται τὴ λαμπρότητα αὐτοῦ. Γιατὶ ἀποτυφλώνει τὰ μάτια ἡ ἀκτινοβολία ποὺ ἐκπηδᾶ ἀπὸ αὐτό.

23. Γι' αὐτό, παρακαλῶ, ἤδη ἀπὸ τὴν ἀρχὴ καὶ ἀπὸ τὴν πρώτη στιγμὴ ἐπιδείξατε μεγάλο ἀγώνα, μεγάλη λαμπρότητα, κάμνοντας μὲ ὅλα λαμπρότερο καὶ φαιδρότερο τὸ κάλλος τοῦ ἐνδύματος αὐτοῦ, καὶ οὔτε λόγος τῆς γλώσσας νὰ βγαίνει ἀπὸ τὸ στόμα τυχαῖος καὶ ἄσκοπος, ἀλλὰ προηγουμένως νὰ σκεπτόμαστε ἂν ἔχει κάτι χρήσιμο καὶ ἂν μπορεῖ νὰ προσφέρει κάποια ἐποικοδομὴ σ' ἐκείνους ποὺ τὸν ἀκοῦν, καὶ τότε μὲ πολὺ φόβο νὰ μιλᾶμε, σὰν νὰ βρίσκεται κάποιος ἐκεῖ καὶ γράφει τὰ λόγια, ἐνθυμούμενοι ἐκεῖνο ποὺ λέχθηκε ἀπὸ τὸν Κύριο· «σᾶς λέγω, πὼς γιὰ κάθε λόγο ἀργὸ ποὺ θὰ ποῦν οἱ ἄνθρωποι, θὰ λογοδοτήσουν γι' αὐτὸν κατὰ τὴν ἡμέρα τῆς κρίσεως»[13].

24. Ἂς μὴ μιλᾶμε λοιπὸν γιὰ κοσμικὰ καὶ ἀνώφελα πράγματα καὶ ποὺ κανένα κέρδος δὲν παρέχουν· γιατὶ ἀκολουθήσαμε τώρα καινούργιο καὶ διαφορετικὸ τρόπο ζωῆς καὶ πρέπει τὰ ἔργα μας νὰ εἶναι σύμφωνα μὲ αὐτὸν τὸν τρόπο ζωῆς γιὰ νὰ μὴ γίνομε ἀνάξιοι αὐτοῦ. Δὲ βλέπετε στὰ κοσμικὰ ἀξιώματα πῶς ἐκεῖνοι ποὺ ἐπιθυ-

τον τελεῖν σπουδάζοντες ὑπὸ τῶν νόμων τῶν ἀνθρωπίνων κωλύονταί τινα διαπράττεσθαι τῶν τοῖς ἄλλοις ἀνθρώποις μετὰ ἀδείας συγκεχωρημένων; Τὸν αὐτὸν δὴ τρόπον καὶ ὑμεῖς οἵ τε νῦν μεμυημένοι καὶ οἱ πάλαι ταύτης τῆς χάριτος ἀξιωθέντες δίκαιοι ἂν εἴημεν, εἰς τὴν σύγκλητον τὴν πνευματικὴν ἅπαξ ἀπογραψάμενοι, μὴ τὰ αὐτὰ τοῖς ἄλλοις μετιέναι, ἀλλὰ καὶ γλώττης ἀκρίβειαν καὶ διανοίας καθαρότητα ἐπιδείκνυσθαι καὶ ἕκαστον ἡμῶν τῶν μελῶν παιδαγωγεῖν μηδὲν ἔργον μεταχειρίζειν ὃ μὴ πολὺ τὸ κέρδος τῇ ψυχῇ πραγματεύεται.

25. Οἷόν τι λέγω; Τὴν γλῶτταν εἰς ὕμνους μόνον καὶ δοξολογίαν καὶ ἀνάγνωσιν τῶν θείων λογίων καὶ διαλέξεις πνευματικὰς ἀπασχολεῖν· «εἴ τις γὰρ λόγος», φησίν, «ἀγαθὸς πρὸς οἰκοδομὴν ἵνα δῷ χάριν τοῖς ἀκούουσι· καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τοῦ Θεοῦ ἐν ᾧ ἐσφραγίσθητε». Εἴδετε ὅτι τὸ μὴ ταῦτα ποιεῖν εἰς λύπην τοῦ ἁγίου Πνεύματος συντείνει; Διὰ τοῦτο, παρακαλῶ, σπουδάζωμεν μηδὲν τῶν λυπούντων τὸ Πνεῦμα τὸ ἅγιον διαπράττεσθαι ἀλλὰ κἂν προϊέναι δέῃ, μὴ τὰ ἐπιβλαβῆ συνέδρια ἐπιδιώκωμεν μηδὲ τοὺς συλλόγους τοὺς ἀνοήτους καὶ φλυαρίας γέμοντας, ἀλλὰ πρὸ πάντων τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῶν εὐκτηρίων οἴκων μηδὲν ἡμῖν ἔστω προτιμότερον καὶ τῶν συλλόγων τῶν πνευματικὰς ἐχόντων διαλέξεις.

26. Καὶ ἕκαστον τῶν παρ' ἡμῶν γινομένων πολλῆς μετεχέτω τῆς κοσμιότητος. «Στολισμὸς» γάρ, φησίν, «ἀνδρὸς καὶ γέλως ὀδόντων καὶ βῆμα ποδὸς ἀναγγέλλει τὰ περὶ αὐτοῦ». Τῆς γὰρ ἐν τῇ ψυχῇ καταστάσεως εἰκὼν ἂν γένοιτο σαφὴς ἡ ἔξωθεν ὄψις, καὶ ἡ τῶν μελῶν κίνησις ἐκείνης μάλιστα δείκνυσι τὴν εὐμορφίαν. Κἂν βαδίζωμεν ἐπὶ τῆς ἀγορᾶς, τοιαύτη ἡμῶν ἔστω ἡ πρόοδος, τοσαύτης μετεχέτω γαλήνης καὶ καταστάσεως ὡς ἐπιστρέφειν εἰς τὴν ἡμετέραν θέαν τοὺς ἀπαντῶντας, καὶ μήτε ὀφθαλμὸς ῥεμβέσθω μήτε οἱ πόδες ἄτακτα βαδιζέτωσαν καὶ ἡ γλῶττα μετὰ τῆς ἡσυ-

---

14. Ἐφ. 4,29.
15. Σοφ. Σειρὰχ 19,30.

μοῦν νὰ καταλάβουν θέση στὴν ὀνομαζόμενη ἀπ' αὐτοὺς σύγκλητο ἐμποδίζονται ἀπὸ τοὺς ἀνθρώπινους νόμους νὰ κάμνουν κάτι ἀπὸ ἐκεῖνα ποὺ ἐπιτρέπονται τελείως ἐλεύθερα στοὺς ἄλλους ἀνθρώπους; Κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ σεῖς καὶ ὅσοι μυηθήκατε τώρα καὶ ὅσοι ἀξιωθήκατε νὰ λάβετε αὐτὴ τὴ χάρη παλαιότερα θὰ ἦταν σωστό, ἐφόσον γραφήκατε μιὰ φορὰ στὴν πνευματικὴ σύγκλητο, νὰ μὴ κάμνετε τὰ ἴδια μὲ τοὺς ἄλλους, ἀλλὰ καὶ προσεκτικοὶ στὴ γλώσσα νὰ εἶστε καὶ νὰ διατηρεῖτε καθαρὴ τὴ διάνοιά σας καὶ κάθε μέλος σας νὰ τὸ ἀσκεῖτε νὰ μὴ κάμνει καμιὰ πράξη ποὺ δὲν παρέχει μεγάλο κέρδος στὴν ψυχή.

25. Τί ἐννοῶ μ' αὐτὸ ποὺ λέγω; Τὴ γλώσσα σας νὰ τὴν ἀπασχολεῖτε σὲ ὕμνους μόνο καὶ δοξολογία καὶ ἀνάγνωση τῶν θείων λογίων καὶ σὲ πνευματικὲς συζητήσεις· γιατὶ λέγει, «μόνο καλὸς λόγος νὰ βγαίνει ἀπὸ τὸ στόμα σας ποὺ νὰ οἰκοδομεῖ πνευματικὰ καὶ νὰ ὠφελεῖ ἐκείνους ποὺ τὸν ἀκοῦν· καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τοῦ Θεοῦ μὲ τὸ ὁποῖο σφραγισθήκατε[14]. Εἴδατε ὅτι τὸ νὰ μὴ κάμνει κανεὶς αὐτὰ κάμνει τὸ ἅγιο Πνεῦμα νὰ λυπεῖται; Γι' αὐτό, παρακαλῶ, ἂς φροντίζομε νὰ μὴ κάμνομε τίποτε ἀπὸ ἐκεῖνα ποὺ λυποῦν τὸ ἅγιο Πνεῦμα, ἀλλὰ κι ἂν ἀκόμη εἶναι ἀνάγκη νὰ βγοῦμε ἀπὸ τὸ σπίτι μας, νὰ μὴ ἐπιδιώκομε τὰ ἐπιβλαβῆ συνέδρια οὔτε τὶς ἀνόητες συγκεντρώσεις τὶς γεμάτες ἀπὸ φλυαρία, ἀλλὰ νὰ μὴ θεωροῦμε τίποτε προτιμότερ ἀπὸ τὴν ἐκκλησία τοῦ Θεοῦ καὶ τοὺς οἴκους προσευχῆς καθὼς ἐπίσης καὶ ἀπὸ τὶς συναθροίσεις ἐκεῖνες στὶς ὁποῖες γίνονται πνευματικὲς ὁμιλίες.

26. Καὶ κάθε τι ποὺ γίνεται ἀπὸ μᾶς ἂς τὸ διακρίνει πολλὴ κοσμιότητα. Γιατὶ λέγει, «ὁ στολισμὸς τοῦ ἀνθρώπου, τὸ γέλιο τῶν δοντιῶν του καὶ τὸ βάδισμά του φανερώνουν τί ἄνθρωπος εἶναι αὐτός»[15]. Πραγματικὰ σαφὴς εἰκόνα τῆς καταστάσεως τῆς ψυχῆς θὰ μποροῦσε νὰ γίνει ἡ ἐξωτερικὴ παρουσία τοῦ ἀνθρώπου, καὶ ἡ κίνηση τῶν μελῶν δείχνει τῆς ψυχῆς κυρίως τὴν ὀμορφιά. Ὅταν λοιπὸν βαδίζομε μέσα στὴν ἀγορά, ἂς εἶναι τέτοιο τὸ βάδισμά μας καὶ ἂς τὸ διακρίνει τόση γαλήνη καὶ εὐπρέπεια, ὥστε ν' ἀποσποῦμε τὴν προσοχὴ ἐκείνων ποὺ μᾶς συναντοῦν· καὶ οὔτε τὰ μάτια μας νὰ χάσκουν ἐδῶ καὶ ἐκεῖ, οὔτε τὰ πόδια μας νὰ βαδίζουν ἄτακτα,

χίας καὶ ἐπιεικείας τὰ ρήματα προφερέτω καὶ ἁπλῶς ἅπαντα τὰ ἔξωθεν μηνυέτω τῆς ἔνδοθεν καθημένης ψυχῆς τὴν εὐμορφίαν, καὶ ξένη τις καὶ παρηλλαγμένη γινέσθω λοιπὸν ἡμῶν ἡ διαγωγή, ἐπειδὴ καινὰ καὶ ξένα ἐστὶ τὰ ἡμῖν ὑπηργμένα, καθάπερ ὁ μακάριος δείκνυσι Παῦλος λέγων· «εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις».

27. Καὶ ἵνα μάθῃς ὅτι καινὰ καὶ παράδοξα τὰ δεδωρημένα ἡμῖν, οἱ πρὸ τούτου τοῦ πηλοῦ ἀτιμότεροι καὶ χαμαί, ὡς εἰπεῖν, συρόμενοι ἀθρόον χρυσοῦ φαιδρότεροι γεγόναμεν καὶ ἀντὶ τῆς γῆς τὸν οὐρανὸν ἠλλαξάμεθα. Διὰ τοῦτο καὶ πάντα τὰ δεδωρημένα ἡμῖν τυγχάνει πνευματικά. Καὶ γὰρ τὸ ἔνδυμα ἡμῶν πνευματικὸν καὶ ἡ τροφὴ ἡμῶν πνευματικὴ καὶ τὸ πόμα ἡμῶν πνευματικόν· λοιπὸν ἀκόλουθον ἂν εἴη καὶ τὰ ἔργα ἡμῶν καὶ τὰς πράξεις πάσας εἶναι πνευματικάς. Αὗται γάρ εἰσι καρπὸς τοῦ Πνεύματος καθάπερ καὶ Παῦλος λέγει· «ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος, φησίν». Καλῶς οὕτως εἶπεν· ἀνώτεροι γὰρ τοῦ νόμου οἱ τὴν ἀρετὴν μετιόντες καὶ οὐχ ὑπόκεινται νόμῳ· «δικαίῳ» γάρ, φησί, «νόμος οὐ κεῖται».

28. Εἶτα τὸν καρπὸν τοῦ Πνεύματος ἡμῖν διελθὼν ἐπήγαγεν, «οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις», ὡς ἂν εἴποι τις ἀνενέργητον αὐτὴν πρὸς τὴν τῶν κακῶν ἐργασίαν ἀπέδειξαν, ἄπρακτον αὐτὴν κατέστησαν, οὕτως αὐτὴν κατηγωνίσαντο ὡς ἀνωτέραν εἶναι καὶ τῶν παθῶν καὶ τῶν ἐπιθυμιῶν. Τοῦτο γὰρ ᾐνίξατο εἰπὼν «ἐσταύρωσαν». Καθάπερ γὰρ ὁ ἐπὶ τοῦ σταυροῦ προσηλωμένος καὶ τοῖς ἥλοις ἐκείνοις προσπεπαρμένος ὑπὸ τῶν ὀδυνῶν διακοπτόμενος καὶ ἐντεῦθεν κἀκεῖθεν ὡς εἰπεῖν κεντούμενος, οὐκ ἂν δυνηθείη ποτὲ ὑπὸ σαρκικῆς ἐπιθυμίας ἐνοχληθῆναι ἀλλὰ καὶ τὰ πάθη πάντα καὶ ἐπιθυμία πᾶσα

---

16. Γαλ. 5,22–23.
17. Α' Τιμ. 1,9.
18. Γαλ. 5,24.

ἐνῶ ἡ γλώσσα μας μὲ ἠρεμία καὶ καλωσύνη νὰ προφέρει τὰ λόγια, καὶ γενικὰ ὅλα τὰ ἐξωτερικὰ νὰ φανερώνουν τὴν ὀμορφιὰ τῆς ψυχῆς ποὺ βρίσκεται μέσα μας· ἡ ὅλη δηλαδὴ διαγωγή μας ἂς εἶναι στὸ ἑξῆς κάτι τὸ ἀσυνήθιστο καὶ τελείως διαφορετικό, ἐπειδὴ εἶναι καινούργια καὶ παράξενα ἐκεῖνα ποὺ μᾶς δωρήθηκαν, ὅπως ἀκριβῶς φανερώνει αὐτὸ ὁ μακάριος Παῦλος λέγοντας· «ἂν κάποιος ἑνώθηκε μὲ τὸ Χριστό, αὐτὸς εἶναι καινούργια κτίστη».

27. Καὶ γιὰ νὰ μάθεις ὅτι εἶναι καινούργια καὶ παράξενα ἐκεῖνα ποὺ μᾶς δωρήθηκαν, σκέψου ὅτι ἐμεῖς ποὺ πρὶν ἀπ' αὐτὸ ἤμασταν πιὸ ἀσήμαντοι καὶ ἀπὸ τὸν πηλὸ καὶ σερνόμασταν, ὅπως θὰ λέγαμε, κάτω στὴ γῆ, μέσα σὲ μιὰ στιγμὴ γίναμε λαμπρότεροι καὶ ἀπὸ τὸ χρυσάφι καὶ ἀνταλλάξαμε τὴ γῆ μὲ τὸν οὐρανό. Γι' αὐτὸ καὶ ὅλα ἐκεῖνα ποὺ μᾶς δωρήθηκαν εἶναι πνευματικά. Πραγματικὰ λοιπὸν καὶ τὸ ἔνδυμά μας εἶναι πνευματικὸ καὶ ἡ τροφή μας πνευματικὴ καὶ τὸ ποτό μας πνευματικό· κατὰ συνέπεια πρέπει στὸ ἑξῆς καὶ τὰ ἔργα μας καὶ ὅλες οἱ πράξεις μας νὰ εἶναι πνευματικές. Γιατὶ αὐτὲς εἶναι ὁ καρπὸς τοῦ Πνεύματος, ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος λέγει· «ὁ καρπὸς τοῦ Πνεύματος εἶναι ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότητα, ἀγαθοσύνη, πίστη, πραότητα, ἐγκράτεια· γι' αὐτοὺς ὁ νόμος δὲν ἔχει καμιὰ ἰσχύ»[16]. Σωστὰ μίλησε ἔτσι· γιατὶ ἐκεῖνοι ποὺ ἀσκοῦν τὴν ἀρετὴ βρίσκονται πάνω ἀπὸ τὸ νόμο καὶ δὲν ἔχει καμιὰ ἰσχὺ γι' αὐτοὺς ὁ νόμος· γιατὶ λέγει, «ὁ νόμος δὲν ἔχει καμιὰ ἰσχὺ γιὰ τὸν δίκαιο»[17].

28. Στὴ συνέχεια, ἀφοῦ περιέγραψε τὸν καρπὸ τοῦ Πνεύματος, πρόσθεσε, «οἱ πιστοὶ ὅμως τοῦ Χριστοῦ σταύρωσαν τὴ σάρκα μαζὶ μὲ τὰ πάθη καὶ τὶς ἐπιθυμίες»[18], ὅπως θὰ μποροῦσε νὰ πεῖ κανείς, ἐπέδειξαν αὐτὴν ἀνίκανη γιὰ τὴ διάπραξη τῶν κακῶν, τὴν κατέστησαν ἄπρακτη γιὰ τὸ κακό, τόσο πολὺ πολέμησαν αὐτὴν ὥστε νὰ γίνει ἀνώτερη ἀπὸ τὰ πάθη καὶ τὶς ἐπιθυμίες. Γιατὶ αὐτὸ ὑπαινίχθηκε λέγοντας, «σταύρωσαν». Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνος ποὺ εἶναι καρφωμένος στὸ σταυρὸ καὶ εἶναι κατατρυπημένος ἀπὸ τὰ καρφιὰ ἐκεῖνα, καταξεσχιζόμενος ἀπὸ τοὺς φοβεροὺς πόνους καὶ δεχόμενος τὰ κεντήματα αὐτῶν σ' ὅλο τὸ σῶμα του, δὲ θὰ ἦταν δυνατὸ ποτὲ νὰ ἐνοχληθεῖ ἀπὸ σαρκικὴ ἐπιθυμία, ἀλλὰ φυγα-

πονηρὰ φυγαδεύεται, τῆς ὀδύνης οὐδεμίαν χώραν ἐκείνοις τοῖς πάθεσι παρεχούσης, τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ τῷ Χριστῷ ἑαυτοὺς ἀναθέντες οὕτως αὐτῷ προσηλώθησαν καὶ κατεγέλασαν τῶν σωματικῶν ἀναγκῶν ὡσανεὶ σταυρώσαντες ἑαυτοὺς μετὰ τῶν παθῶν καὶ τῶν ἐπιθυμιῶν.

29. Οἱ τοίνυν τοῦ Χριστοῦ γενόμενοι καὶ αὐτὸν ἐνδυσάμενοι καὶ τῆς τροφῆς αὐτοῦ τῆς πνευματικῆς καὶ τοῦ ποτοῦ καταξιούμενοι, οὕτως ἑαυτοὺς ρυθμίσωμεν ὡς μηδὲν κοινὸν ἔχοντες πρὸς τὰ τοῦ παρόντος βίου πράγματα. Καὶ γὰρ εἰς ἑτέραν πολιτείαν ἀπεγραψάμεθα, εἰς τὴν ἄνω Ἱερουσαλήμ. Διό, παρακαλῶ, ἄξια τῆς πολιτείας ἐκείνης τὰ ἔργα ἐπιδειξώμεθα, ἵνα καὶ δι' ὧν αὐτοὶ τὴν ἀρετὴν μέτιμεν καὶ δι' ὧν ἑτέρους εἰς τὴν τοῦ Δεσπότου δοξολογίαν ἐκκαλούμεθα, πολλὴν τὴν ἄνωθεν εὔνοιαν ἐπισπασώμεθα. Ὅταν γὰρ Δεσπότης ἡμῶν δοξάζηται, μετὰ πολλῆς καὶ αὐτὸς δαψιλείας τὰς παρ' ἑαυτοῦ δωρεὰς ἡμῖν ἐκχεῖ, ἅτε ἀποδεξάμενος ἡμῶν τὴν εὐγνωμοσύνην καὶ εἰδὼς ὡς οὐκ εἰς ἀχαρίστους καὶ ἀγνώμονας τὰς παρ' ἑαυτοῦ εὐεργεσίας κατατίθεται.

30. Οἶδα ὅτι μακρὸν ἐποίησα τὸν λόγον. Ἀλλὰ σύγγνωτε· ἡ πολλὴ περὶ ὑμᾶς φιλοστοργία εἰς μῆκος ἡμῖν ἐξέτεινε τὴν διδασκαλίαν. Ὁρῶν γὰρ ὑμῶν τὸν πλοῦτον τὸν πνευματικὸν καὶ εἰδὼς τοῦ πονηροῦ δαίμονος τὴν μανίαν καὶ ὅτι νῦν μάλιστα πολλῆς ὑμῖν δεῖ τῆς ἀσφαλείας καὶ τῆς φυλακῆς, διὰ τοῦτο ταῦτα παρῄνεσα, ὥστε καθ' ἑκάστην ἡμέραν νήφειν καὶ ἐγρηγορέναι καὶ διηνεκῆ τὴν ἀγρυπνίαν ἐπιδείκνυσθαι καὶ τὴν φυλακὴν περὶ τὸν θησαυρὸν ὑμῶν τοῦτον τὸν πνευματικόν, ἵνα μηδεμίαν παρείσδυσιν ὁ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας εὑρεῖν δυνηθῇ.

31. Τὰς συνθήκας τοίνυν ἃς πρὸς τὸν Δεσπότην ἔθεσθε, οὐ μέλανι οὐδὲ χάρτῃ ταύτας ἐγγράψαντες ἀλλὰ τῇ πίστει καὶ τῇ ὁμολογίᾳ, βεβαίους καὶ ἀκινήτους φυλάξαντες, πάντα τὸν τῆς ζωῆς χρόνον ἐν τῇ αὐτῇ φαιδρότητι διαμένειν σπουδάζετε. Ἔξεστι γὰρ ἐὰν βουλώμεθα τὰ παρ' ἑαυτῶν εἰσφέρειν διηνεκῶς, οὐ μόνον ἐπὶ τῆς

δεύονται καὶ ὅλα τὰ πάθη καὶ κάθε πονηρὴ ἐπιθυμία, γιατὶ ὁ φοβερὸς πόνος δὲν ἀφήνει καμιὰ θέση γιὰ τὰ πάθη ἐκεῖνα, κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ ἐκεῖνοι ποὺ παρέδωσαν τὸν ἑαυτό τους στὸ Χριστό, τόσο πολὺ προσκολλήθηκαν σ' αὐτὸν καὶ περιφρόνησαν τὶς σωματικὲς ἀνάγκες, σὰν νὰ σταύρωσαν τὸν ἑαυτό τους μαζὶ μὲ τὰ πάθη καὶ τὶς ἐπιθυμίες.

29. Ἐμεῖς λοιπὸν ποὺ ἀφιερωθήκαμε στὸ Χριστό, ποὺ ντυθήκαμε αὐτὸν καὶ ἀξιωνόμαστε ν' ἀπολαμβάνομε τὴν πνευματικὴ τροφή του καὶ τὸ ποτό, ἂς ρυθμίσομε ἔτσι τὸν ἑαυτό μας, ὥστε νὰ μὴ ἔχομε τίποτε τὸ κοινὸ μὲ τὰ πράγματα τῆς παρούσας ζωῆς. Γιατὶ πολιτογραφηθήκαμε σὲ ἄλλη πολιτεία, στὴν ἄνω Ἰερουσαλήμ. Γι' αὐτό, παρακαλῶ, ἂς ἐπιδείξομε ἔργα ἀντάξια τῆς πολιτείας ἐκείνης, ὥστε καὶ μὲ ἐκεῖνα ποὺ ἀσκοῦμε τὴν ἀρετὴ καὶ μὲ ἐκεῖνα ποὺ προσελκύομε τοὺς ἄλλους σὲ δοξολογία τοῦ Κυρίου, ν' ἀποσπάσομε μεγάλη τὴν οὐράνια ἀγάπη. Γιατί, ὅταν δοξάζεται ὁ Κύριός μας, μὲ πολλὴ ἀφθονία καὶ αὐτὸς χύνει σὲ μᾶς τὶς δωρεές του, δείχνοντας τὴ βεβαιότητα ὅτι προσφέρει τὶς εὐεργεσίες του ὄχι σὲ ἀχάριστους καὶ ἀγνώμονες.

30. Γνωρίζω ὅτι μάκρυνα τὸ λόγο. Ἀλλὰ συγχωρῆστε με· ἡ μεγάλη φιλοστοργία μου πρὸς ἐσᾶς ἔγινε αἰτία νὰ μακρύνω τὴ διδασκαλία. Γιατί, βλέποντας τὸν πνευματικὸ πλοῦτο σας καὶ γνωρίζοντας τὴ μανία τοῦ πονηροῦ δαίμονα καὶ ὅτι τώρα πρὸ πάντων ἔχετε ἀνάγκη ἀπὸ πολλὴ ἀσφάλεια καὶ προφύλαξη, γι' αὐτὸ σᾶς ἔδωσα αὐτὲς τὶς συμβουλές, ὥστε καθημερινὰ νὰ εἴσαστε προσεκτικοί, νὰ βρίσκεσθε σὲ ἐγρήγορση, καὶ νὰ δείχνετε διαρκῆ ἐπαγρύπνηση γιὰ τὴ διαφύλαξη αὐτοῦ τοῦ πνευματικοῦ σας θησαυροῦ, γιὰ νὰ μὴ μπορέσει νὰ βρεῖ ὁ ἐχθρὸς τῆς σωτηρίας σας καμιὰ εὐκαιρία νὰ διεισδύσει μέσα σας.

31. Τίς συμφωνίες λοιπὸν ποὺ κάματε μὲ τὸν Κύριο καὶ τὶς ὁποῖες ὑπογράψατε ὄχι μὲ μελάνη οὔτε ἐπάνω σὲ χαρτί, ἀλλὰ μὲ τὴν πίστη καὶ τὴν ὁμολογία σας, ἀφοῦ τὶς διαφυλάξετε σταθερὲς καὶ ἀμετακίνητες, φροντίζετε ὅλο τὸ χρόνο τῆς ζωῆς σας νὰ παραμένετε στὴν ἴδια λαμπρότητα. Γιατὶ εἶναι δυνατό, ἂν θέλομε νὰ συνεισφέρομε διαρκῶς ἐκεῖνα ποὺ ἐξαρτῶνται ἀπὸ μᾶς, ὄχι μόνο

αὐτῆς λαμπρότητος μεῖναι ἀλλὰ καὶ φαιδροτέραν ἡμῶν ἐργάσασθαι τῶν ἐνδυμάτων τούτων τῶν πνευματικῶν τὴν περιβολήν, ἐπεὶ καὶ Παῦλος μετὰ τὴν τοῦ βαπτίσματος χάριν ὅσον προήει ὁ χρόνος, τοσούτῳ μᾶλλον λαμπρότερος καὶ φαιδρότερος ἐδείκνυτο, τῆς χάριτος ἐπανθούσης αὐτῷ.

32. Καὶ ἡμεῖς τοίνυν σπουδάσωμεν ἐφ' ἑκάστης ἡμέρας περισκοπεῖν μήπου τινὰ σπίλον ἢ ῥυτίδα δέξηται τὸ φαιδρὸν ἡμῶν τοῦτο ἔνδυμα, ἀλλὰ μέχρι τῶν μικρῶν νομιζομένων πολλὴν τὴν παραφυλακὴν ποιώμεθα, ἵνα δυνηθῶμεν καὶ τὰ μεγάλα τῶν ἁμαρτημάτων διαφυγεῖν. Ἐὰν γὰρ ἀρξώμεθα ἐνίων ὡς εὐτελῶν καταφρονεῖν, κατὰ μικρὸν ὁδῷ βαδίζοντες καὶ πρὸς τὰ μεγάλα τῶν πταισμάτων ἥξομεν. Διὸ παρακαλῶ καὶ τῶν συνθηκῶν ἐπὶ τῆς διανοίας τὴν μνήμην ὑμᾶς ἀεὶ περιφέρειν καὶ πᾶσιν οἷς ἐπετάξασθε, ταῖς πομπαῖς λέγω ταῖς διαβολικαῖς καὶ ταῖς ἄλλαις πάσαις μεθοδείαις τοῦ πονηροῦ, τούτων διηνεκῶς φεύγειν τὴν λύμην καὶ τὰς πρὸς τὸν Χριστὸν συνθήκας ἀκεραίους διαφυλάττειν ἵνα, τῶν πνευματικῶν τούτων δείπνων συνεχῶς ἀπολαύοντες καὶ ὑπὸ τῆς ἐντεῦθεν τροφῆς νευρούμενοι, ἀχείρωτοι γένησθε ταῖς τοῦ διαβόλου μηχαναῖς.

33. Καὶ διὰ τῆς ἀρίστης πολιτείας τοσαύτην ἐπισπάσησθε τὴν παρὰ τοῦ Πνεύματος χάριν ὡς καὶ ὑμᾶς ἀκαταγωνίστους εἶναι καὶ τὴν τοῦ Θεοῦ Ἐκκλησίαν σκιρτᾶν καὶ γεγηθέναι ἐπὶ τῇ ὑμετέρᾳ προκοπῇ καὶ τὸν ἁπάντων ἡμῶν Δεσπότην δοξάζεσθαι καὶ πάντας ἡμᾶς τῆς τῶν οὐρανῶν βασιλείας καταξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νὰ παραμείνομε στὴν ἴδια λαμπρότητα, ἀλλὰ καὶ νὰ κάμομε λαμπρότερη τὴν περιβολὴ αὐτῶν τῶν πνευματικῶν ἐνδυμάτων, ἀφοῦ καὶ ὁ Παῦλος μετὰ τὴ χάρη τοῦ βαπτίσματος ὅσο περνοῦσε ὁ χρόνος, τόσο περισσότερο λαμπρότερος καὶ φαιδρότερος γινόταν, μὲ τὴ βοήθεια τῆς χάριτος ποὺ ἀνθοῦσε σ' αὐτόν.

32. Καὶ ἐμεῖς λοιπὸν ἂς φροντιζομε καθημερινὰ καὶ ἂς προσέχομε μήπως δεχθεῖ κάποια κηλίδα ἢ στίγμα τὸ λαμπρό μας αὐτὸ ἔνδυμα, καὶ ἂς προφυλαγόμαστε πάρα πολὺ καὶ ἀπὸ ἐκεῖνα ἀκόμη ποὺ θεωροῦνται μικρά, γιὰ νὰ μπορέσομε ν' ἀποφύγομε καὶ τὰ μεγάλα ἁμαρτήματα. Γιατί, ἂν ἀρχίσομε ν' ἀδιαφοροῦμε γιὰ μερικὰ θεωρώντας τα ἀσήμαντα, προχωρώντας σιγὰ σιγὰ θὰ φτάσομε καὶ στὰ μεγάλα πταίσματα. Γι' αὐτό, παρακαλῶ, νὰ φέρνετε πάντοτε στὴ σκέψη σας τὶς συμφωνίες ποὺ κάματε καὶ ὅλα ἐκεῖνα ποὺ ἀπαρνηθήκατε, ἐννοῶ τὶς διαβολικὲς πομπὲς καὶ ὅλα τὰ ἄλλα τὰ τεχνάσματα τοῦ πονηροῦ, ἀποφεύγοντας πάντοτε τὴν καταστροφὴ ἀπ' αὐτὰ καὶ διαφυλάττοντας ἀκέραιες τὶς συμφωνίες, ὥστε, ἀπολαμβάνοντας συνέχεια τὰ πνευματικὰ αὐτὰ δεῖπνα καὶ ἐνισχυόμενοι ἀπὸ τὴν προσφερόμενη τροφὴ ἀπὸ αὐτά, νὰ γίνεται ἀκατανίκητοι ἀπὸ τὶς μηχανορραφίες τοῦ διαβόλου.

33. Ἐπίσης μὲ τὸν ἄριστο τρόπο ζωῆς σας θ' ἀποσπάσετε σὲ τόσο μεγάλο βαθμὸ τὴ χάρη τοῦ Πνεύματος, ὥστε καὶ σεῖς νὰ εἶσθε ἀκατανίκητοι καὶ ἡ Ἐκκλησία τοῦ Θεοῦ νὰ σκιρτᾶ ἀπὸ χαρὰ καὶ νὰ ἀγάλλεται γιὰ τὴν προκοπή σας, καὶ ὁ Κύριος ὅλων μας νὰ δοξάζεται, καὶ ὅλοι μας ν' ἀξιωθοῦμε τὴ βασιλεία τῶν οὐρανῶν, μὲ τὴ χάρη καὶ τοὺς οἰκτιρμοὺς καὶ τὴ φιλανθρωπία τοῦ μονογενοῦς Υἱοῦ του, τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΚΑΤΗΧΗΣΙΣ Ε'

ΠΑΡΑΙΝΕΣΙΣ ΩΣΤΕ ΤΡΥΦΗΣ ΑΠΕΧΕΣΘΑΙ ΚΑΙ ΠΟΛΥΤΕΛΕΙΑΣ ΚΑΙ ΜΕΘΗΣ ΚΑΙ ΤΗΝ ΣΥΜΜΕΤΡΙΑΝ ΠΑΝΤΩΝ ΠΡΟΤΙΜΑΝ· ΚΑΙ ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ

1. Εἰ καὶ ἡ νηστεία παρῆλθεν, ἀγαπητοί, ἀλλὰ μενέτω ἡ εὐλάβεια. Εἰ καὶ ὁ τῆς ἁγίας τεσσαρακοστῆς καιρὸς παρέδραμε, τὴν γοῦν μνήμην αὐτῆς μὴ ἀποθώμεθα. Ἀλλὰ μηδεὶς δυσχεραινέτω, παρακαλῶ, πρὸς τὴν παραίνεσιν· οὔτε γὰρ νηστεύειν ἀναγκάζων πάλιν φημὶ ταῦτα, ἀλλὰ βουλόμενος ὑμᾶς καὶ ἀνίεσθαι καὶ ἀκριβεστέραν νῦν μᾶλλον τὴν ἀληθῆ νηστείαν ἐπιδείκνυσθαι. Ἔστι γὰρ καὶ μὴ νηστεύοντα νηστεύειν. Καὶ πῶς; Ἐγὼ λέγω· ὅταν βρωμάτων μὲν μεταλαμβάνωμεν, ἁμαρτημάτων δὲ ἀπεχώμεθα. Αὕτη γὰρ ἡ ἐπωφελὴς νηστεία καὶ διὰ ταύτην καὶ ἡ τῶν βρωμάτων ἀποχὴ γίνεται, ἵν' εὐκολώτερον πρὸς τὸν τῆς ἀρετῆς δρόμον τρέχωμεν. Ἂν τοίνυν βουλώμεθα καὶ τοῦ σώματος τὴν προσήκουσαν ἐπιμέλειαν ποιεῖσθαι καὶ τὴν ψυχὴν καθαρὰν τῶν ἁμαρτημάτων διατηρεῖν, οὕτω ποιῶμεν.

2. Καὶ γὰρ εὐκολώτερος ἡμῖν οὗτος ἔσται τῆς νηστείας ὁ τρόπος· διότι ἐπ' ἐκείνης τῆς νηστείας, τῆς ἀποχῆς τῶν βρωμάτων λέγω, πολλῶν ἤκουον λεγόντων βαρέως φέρειν τῆς ἀσιτίας τὸν πόνον καὶ ἀσθένειαν αἰτιωμένων σώματος καὶ πολλὰ ἕτερα ἀποδυρομένων καὶ λεγόντων ὑπὸ τῆς ἀλουσίας καὶ ὑδροποσίας δια-



ΚΑΤΗΧΗΣΗ ΠΕΜΠΤΗ

ΠΡΟΤΡΟΠΗ ΩΣΤΕ Ν' ΑΠΟΦΕΥΓΟΥΝ ΤΗΝ ΤΡΥΦΗ, ΤΗΝ ΠΟΛΥΤΕΛΕΙΑ ΚΑΙ ΤΗ ΜΕΘΗ ΚΑΙ ΝΑ ΠΡΟΤΙΜΟΥΝ Σ' ΟΛΑ ΤΟ ΜΕΤΡΟ· ΕΠΙΣΗΣ ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ

1. Ἂν καὶ πέρασε ἡ νηστεία, ἀγαπητοί, ὅμως ἂς συνεχισθεῖ ἡ εὐλάβεια. Ἂν καὶ πέρασε ὁ καιρὸς τῆς ἁγίας τεσσαρακοστῆς, ὅμως ἂς μὴν ἀπομακρύνομε ἀπὸ τὴ μνήμη μας αὐτήν. Ἀλλά, παρακαλῶ, κανένας νὰ μὴ δυσανασχετεῖ γιὰ τὴν προτροπὴ αὐτή· γιατὶ δὲν τὰ λέγω αὐτὰ γιὰ νὰ σᾶς ἀναγκάσω νὰ νηστεύετε καὶ πάλι, ἀλλὰ θέλοντας νὰ σᾶς διεγείρω νὰ ἐπιδεικνύετε μὲ μεγαλύτερη προθυμία τώρα τὴν ἀληθινὴ νηστεία. Γιατὶ εἶναι δυνατὸ νὰ νηστεύει κανεὶς καὶ χωρὶς νὰ νηστεύει. Καὶ πῶς εἶναι δυνατὸ αὐτό; Ἐγὼ θὰ σᾶς τὸ πῶ· ὅταν τρῶμε βέβαια φαγητά, ἀπέχομε ὅμως ἀπὸ τὰ ἁμαρτήματα. Γιατὶ αὐτὴ εἶναι ἡ ὠφέλιμη νηστεία καὶ γι' αὐτὴν ἀπέχομε ἀπὸ τὰ φαγητά, γιὰ νὰ βαδίζομε εὐκολότερα πρὸς τὸ δρόμο τῆς ἀρετῆς. Ἂν λοιπὸν θέλομε καὶ πρὸς τὸ σῶμα μας νὰ δείχνομε τὴ φροντίδα ποὺ πρέπει καὶ τὴν ψυχὴ νὰ διατηροῦμε καθαρὴ ἀπὸ τὰ ἁμαρτήματα ἂς ἐνεργοῦμε ἔτσι.

2. Καὶ πράγματι αὐτὸς ὁ τρόπος τῆς νηστείας θὰ μᾶς εἶναι εὐκολότερος· γιατὶ στὴν περίπτωση ἐκείνης τῆς νηστείας, ἐννοῶ τῆς ἀποχῆς ἀπὸ τὰ φαγητά, ἄκουα πολλοὺς νὰ λέγουν ὅτι ὑπομένουν μὲ μεγάλη δυσκολία τὸν πόνο τῆς ἀσιτίας, προβάλλοντας σὰν δικαιολογία τὴ σωματικὴ ἀδυναμία, ἀλλὰ καὶ θρηνολογώντας πολλὰ ἄλλα, καὶ λέγοντας ὅτι προκαλοῦνται ἀσθένειες στὸ σῶμα ἀπὸ τὴν

φθείρεσθαι. Ἐπὶ δὲ ταύτης τῆς νηστείας οὐδὲν τοιοῦτον ἔστι προβαλέσθαι. Ἔξεστι γὰρ καὶ τούτων ἁπάντων ἀπολαύειν καὶ τὴν κατάλληλον τῷ σώματι θεραπείαν προσάγειν καὶ τὴν προσήκουσαν τῆς ψυχῆς ἐπιμέλειαν ποιεῖσθαι. Οὐδενὸς γὰρ τούτων τέως ἀπέχεσθαι νῦν παραινῶ. Ἁμαρτίας μόνον ἀπόστηθι καὶ τὴν ἐκείνης ἀποχὴν διηνεκῶς ἐπιδείκνυσο, καὶ οὕτω δυνήσῃ ἐν παντὶ τῷ τῆς ζωῆς χρόνῳ τὴν ἀληθῆ νηστείαν ἐπιτελεῖν. Ἐκείνων μὲν γὰρ ὧν ἀπηριθμησάμεθα, ἡ σύμμετρος ἀπόλαυσις οὐ κεκώλυται, ἡ δὲ ἁμαρτία πάντῃ ἀπηγόρευται· αὕτη δὲ οὐδαμόθεν τίκτεται ἢ ἀπὸ τῆς τρυφῆς καὶ ἀδηφαγίας καὶ πολλῆς τῆς βλακείας. Διό, παρακαλῶ, ταῦτα ἀκριβῶς ἐπισταμένους μὴ τὰ ἄδικα εἰς πρόφασιν ῥᾳθυμίας χρησώμεθα.

3. Ὅπερ γὰρ πολλάκις εἶπον τοῦτο καὶ νῦν ἐρῶ· ὥσπερ ἡ χρεία καὶ ἡ συμμετρία τῆς μεταλήψεως καὶ τῇ τοῦ σώματος ὑγιείᾳ καὶ τῇ τῆς ψυχῆς καταστάσει πολλὴν παρέχει τὴν ὠφέλειαν, οὕτω πάλιν ἡ ἀμετρία ἑκατέρωθεν διαφθείρει τὸν ἄνθρωπον. Ἡ γὰρ ἀδηφαγία καὶ ἡ μέθη τοῦ σώματος ἐκλύει τὸν τόνον καὶ τῆς ψυχῆς διαφθείρει τὴν ὑγίειαν. Διὸ φεύγωμεν τὴν ἀμετρίαν καὶ μὴ ῥᾳθύμως περὶ τὴν ἑαυτῶν σωτηρίαν διακεώμεθα· ἀλλ' εἰδότες ὅτι ῥίζα πάντων τῶν κακῶν ἐστιν, ἐκτέμωμεν αὐτὴν μετὰ ἀκριβείας. Καθάπερ γὰρ ἀπὸ πηγῆς τινος, οὕτως ἀπὸ τῆς τρυφῆς καὶ τῆς μέθης ἅπαντα βλαστάνει τὰ τῶν ἁμαρτημάτων εἴδη, καὶ ὅπερ ἐστὶν ἡ καυστικὴ ὕλη τῷ πυρί, τοῦτο ἡ τρυφὴ καὶ ἡ μέθη πρὸς τὸν τῶν ἁμαρτημάτων ὄλισθον· καὶ ὥσπερ ἐκεῖ πλείονα τὴν πυρὰν ἀνάπτει καὶ τὴν φλόγα εἰς ὕψος ἐγείρει ἡ τῆς ὕλης ἀφθονία, οὕτω καὶ ἐνταῦθα τὴν πυρὰν τῶν ἁμαρτημάτων αὔξεσθαι παρασκευάζει τὸ πρὸς τὴν τρυφὴν καὶ τὴν μέθην ἑαυτοὺς ἐκδιδόναι.

4. Καὶ οἶδα μὲν ὅτι συνετοὶ ὄντες οὐκ ἀνέξεσθε μετὰ τὴν ἡμετέραν παραίνεσιν τῆς χρείας ὑπερβῆναι τοὺς ὅρους. Ἐγὼ δὲ νῦν εὐκαίρως παραινῶ οὐ ταύτην μόνον τὴν μέθην ἐκτρέπεσθαι ἀλλὰ καὶ

ἀλουσία καὶ ἀπὸ τὸ νὰ πείνει κανεὶς μόνο νερό. Στὴν περίπτωση ὅμως αὐτῆς τῆς νηστείας τίποτε παρόμοιο δὲν μπορεῖ νὰ προβάλει κανείς. Γιατὶ εἶναι δυνατὸ ν' ἀπολαμβάνει ὅλα αὐτά, καὶ νὰ παρέχει τὴν κατάλληλη περιποίηση στὸ σῶμα καὶ νὰ δείχνει τὴν πρέπουσα φροντίδα στὴ ψυχή. Ἀπὸ τίποτε λοιπὸν τώρα δὲν σὲ προτρέπω ν' ἀπέχεις. Μόνο ἀπομακρύνσου ἀπὸ τὴν ἁμαρτία καὶ παρουσίαζε διαρκῶς τὴν ἀποχὴ ἀπὸ ἐκείνη. Ἔτσι θὰ μπορέσεις σ' ὅλο τὸ χρόνο τῆς ζωῆς σου νὰ ἀσκεῖς τὴν ἀληθινὴ νηστεία. Γιατὶ δὲν ἀπαγορεύεται ἡ μὲ μέτρο ἀπόλαυση ὅλων ἐκείνων ποὺ ἀπαρίθμησα, ἡ ἁμαρτία ὅμως ἀπαγορεύθηκε τελείως· γιατὶ αὐτὴ ἀπὸ πουθενὰ ἀλλοῦ δὲν γεννιέται, παρὰ μόνο ἀπὸ τὴν τρυφηλὴ ζωὴ καὶ τὴν πολυφαγία καθὼς καὶ ἀπὸ τὴ μεγάλη βλακεία. Γι' αὐτό, παρακαλῶ, γνωρίζοντας αὐτὸ μὲ ἀκρίβεια, ἂς μὴ χρησιμοποιοῦμε τὰ παράλογα γιὰ νὰ δικαιολογήσομε τὴν ἀδιαφορία μας.

3. Γιατὶ ἐκεῖνο ποὺ πολλὲς φορὲς εἶπα αὐτὸ θὰ πῶ καὶ τώρα· ὅπως ἀκριβῶς δηλαδὴ τὸ νὰ τρώγει κανεὶς ὅταν χρειάζεται καὶ μὲ μέτρο παρέχει μεγάλη ὠφέλεια καὶ στὴ ὑγεία τοῦ σώματος καὶ στὴν ὅλη κατάσταση τῆς ψυχῆς, ἔτσι πάλι ἡ ἀμετρία στὸ φαγητὸ βλάπτει τὸν ἄνθρωπο καὶ σωματικὰ καὶ ψυχικά. Γιατὶ ἡ πολυφαγία καὶ ἡ μέθη παραλύει τὴ δύναμη τοῦ σώματος καὶ βλάπτει τὴν ὑγεία τῆς ψυχῆς. Γι' αὐτὸ ἂς ἀποφεύγομε τὴν ἀμετρία καὶ ἂς μὴ δείχνομε ἀδιαφορία γιὰ τὴ σωτηρία τῆς ψυχῆς μας, ἀλλά, γνωρίζοντας ὅτι εἶναι αὐτὴ ρίζα ὅλων τῶν κακῶν, ἂς τὴν ξεριζώνομε ἀπὸ τὸ βάθος της. Γιατί, σὰν ἀκριβῶς ἀπὸ κάποια πηγή, ἔτσι βλαστάνουν ὅλα τὰ εἴδη τῶν ἁμαρτημάτων ἀπὸ τὴν τρυφηλὴ ζωὴ καὶ τὴ μέθη, καὶ ἐκεῖνο ποὺ εἶναι ἡ καυστικὴ ὕλη γιὰ τὴ φωτιά, αὐτὸ εἶναι ἡ τρυφηλὴ ζωὴ καὶ ἡ μέθη γιὰ τὸ γλίστρημα στὴν ἁμαρτία· καὶ ὅπως ἀκριβῶς ἐκεῖ ἡ ἀφθονία τῆς καυστικῆς ὕλης ἀνάβει περισσότερο τὴ φωτιὰ καὶ φουντώνει πολὺ ψηλὰ τὴ φλόγα, ἔτσι καὶ ἐδῶ συντελεῖ στὴν αὔξηση τῆς φωτιᾶς τῶν ἁμαρτημάτων τὸ νὰ παραδίνομε τὸν ἑαυτό μας στὴν τρυφηλὴ ζωὴ καὶ στὴ μέθη.

4. Καὶ γνωρίζω βέβαια ὅτι ἐπειδὴ εἶσθε συνετοὶ δὲ θὰ ἀνεχθεῖτε μετὰ τὴν προτροπή μου αὐτὴ νὰ ὑπερβεῖτε τὰ ὅρια τῆς ἀνάγκης. Ὅμως ἐγὼ τώρα μὲ τὴν εὐκαιρία αὐτὴ σᾶς συμβουλεύω ὄχι μόνο

τὴν ἄνευ οἴνου ἐγγινομένην. Καὶ γὰρ αὕτη πάλιν χαλεπωτέρα τυγχάνει. Καὶ μὴ ξενιζέτω ὑμᾶς τὸ λεγόμενον· ἔστι γὰρ καὶ ἄνευ οἴνου μεθύειν. Καὶ ὅτι μεθύειν ἄνευ οἴνου ἔστιν, ἄκουε τοῦ προφήτου λέγοντος· «οὐαὶ οἱ μεθύοντες οὐκ ἀπὸ οἴνου». Ποία τοίνυν ἐστὶ μέθη οὐκ ἀπὸ οἴνου; Πολλὴ καὶ διάφορος· καὶ γὰρ ὀργὴ ποιεῖ μέθην καὶ κενοδοξία καὶ ἀπόνοια καὶ ἕκαστον τῶν ὀλεθρίων παθῶν τῶν ἐν ἡμῖν τικτομένων, ὥσπερ μέθην τινὰ καὶ κόρον ἐν ἡμῖν ἐργάζεται καὶ σκοτοῖ τὸν λογισμὸν τὸν ἡμέτερον. Οὐδὲν γάρ ἐστι μέθη ἢ ἔκστασις τῶν κατὰ φύσιν φρενῶν καὶ παρατροπὴ λογισμῶν καὶ ἔκπτωσις συνέσεως.

5. Τί τοίνυν, εἰπέ μοι, ἔλαττον διάκεινται τῶν ἀπὸ οἴνου μεθυόντων οἱ ὀργιζόμενοι καὶ τῷ θυμῷ μεθύοντες καὶ τοσαύτην ἐπιδεικνύμενοι τὴν ἀμετρίαν ὡς κατὰ πάντων ὁμοίως χωρεῖν καὶ μήτε ῥημάτων φείδεσθαι μήτε προσώπων εἰδέναι διαφοράν; Καθάπερ γὰρ οἱ μαινόμενοι καὶ ἐξεστηκότες κατὰ κρημνῶν ἑαυτοὺς ῥιπτοῦντες οὐκ αἰσθάνονται, τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ ὀργιζόμενοι καὶ ὑπὸ τοῦ θυμοῦ πολιορκούμενοι. Διὸ καὶ σοφός τις παραστῆσαι βουλόμενος τῆς τοιαύτης μέθης τὸν ὄλεθρόν φησιν· «ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ». Εἶδες πῶς ἐν βραχεῖ ῥήματι τὴν ὑπερβολὴν τοῦ ὀλεθρίου τούτου πάθους ἡμῖν ᾐνίξατο;

6. Καὶ ἡ κενοδοξία δὲ πάλιν καὶ ἡ ἀπόνοια ἑτέρα μέθη, μᾶλλον δὲ μέθης χαλεπωτέρα. Ὁ γὰρ τούτοις ἁλοὺς τοῖς πάθεσι καὶ αὐτῶν τῶν αἰσθητηρίων, ὡς εἰπεῖν, τὸ κριτήριον ἀπόλλυσι καὶ οὐδὲν ἔλαττον πάλιν τῶν μαινομένων διάκειται. Καὶ γὰρ καθ' ἑκάστην ἡμέραν ὑπὸ τῶν παθῶν τούτων σπαραττόμενος οὐκ αἰσθάνεται μέχρις ἂν εἰς αὐτὸν τὸν βυθὸν τῆς κακίας κατενεχθείς, ἀνιάτοις ἑαυτὸν περιβάλῃ κακοῖς. Φύγωμεν τοίνυν, παρακαλῶ, καὶ τὴν ἀπὸ τοῦ οἴνου μέθην καὶ τὴν ἀπὸ τῶν παθῶν τῶν ἀτόπων ἐγγινομένην

---

1. Ἡσ. 29,9.
2. Σοφ. Σειρὰχ 1,22.

ν' ἀποφεύγετε αὐτὴ τὴ μέθη, ἀλλὰ καὶ ἐκείνη ποὺ προξενεῖται χωρὶς κρασί. Γιατὶ πράγματι κι αὐτὴ πάλι εἶναι χειρότερη. Κι ἂς μὴ σᾶς φαίνεται παράξενο τὸ λεγόμενο· γιατὶ εἶναι δυνατὸ νὰ μεθάει κανεὶς καὶ χωρὶς κρασί. Καὶ ὅτι εἶναι δυνατὸ τὸ νὰ μεθάει κανεὶς χωρὶς κρασί, ἄκουε τὸν προφήτη ποὺ λέγει· «ἀλλοίμονο σ' ἐκείνους ποὺ μεθοῦν ὄχι ἀπὸ κρασί»[1]. Ποιά λοιπὸν εἶναι ἡ μέθη αὐτὴ ποὺ δὲν προξενεῖται ἀπὸ τὸ κρασί; Εἶναι μεγάλη καὶ διάφορη· γιατὶ πραγματικὰ καὶ ἡ ὀργὴ προξενεῖ μέθη καὶ ἡ κενοδοξία καὶ ἡ ὑπερηφάνεια καὶ καθένα ἀπὸ τὰ ὀλέθρια πάθη ποὺ γεννιοῦνται μέσα μας, δημιουργώντας μέσα μας κατὰ κάποιο τρόπο ἕνα εἶδος μέθης καὶ κορεσμοῦ ποὺ σκοτίζει τὸ λογικό μας. Γιατὶ τίποτε ἄλλο δὲν εἶναι ἡ μέθη παρὰ σύγχυση τῶν φυσικῶν φρενῶν, παρεκτροπὴ τῶν λογισμῶν καὶ ἀπώλεια τῆς συνέσεως.

5. Ὡς πρὸς τί λοιπόν, πές μου, εἶναι λιγότερο χειρότεροι, ἀπὸ ἐκείνους ποὺ μεθοῦν ἀπὸ κρασὶ ἐκεῖνοι ποὺ ὀργίζονται καὶ μεθοῦν ἀπὸ τὸ θυμὸ καὶ τόσο πολὺ ξεφεύγουν ἀπὸ τὰ λογικά τους, ὥστε πρὸς ὅλους νὰ συμπεριφέρονται τὸ ἴδιο καὶ οὔτε τὰ λόγια τους νὰ προσέχουν οὔτε νὰ διακρίνουν διαφορὰ προσώπων; Γιατί, ὅπως ἀκριβῶς οἱ μανιακοὶ καὶ παράφρονες ἐνῶ σπρώχνουν τὸν ἑαυτό τους στὸ γκρεμὸ δὲν τὸ αἰσθάνονται, κατὰ τὸν ἴδιο τρόπο λοιπὸν καὶ ἐκεῖνοι ποὺ ὀργίζονται καὶ πολιορκοῦνται ἀπὸ τὸ θυμό. Γι' αὐτὸ καὶ κάποιος σοφός, θέλοντας νὰ παρουσιάσει τὴν καταστροφὴ ἀπὸ τὴ μέθη αὐτοῦ τοῦ εἴδους, λέγει· «γιατὶ ἡ ὁρμὴ τοῦ θυμοῦ του τὸν ὁδηγεῖ στὴν πτώση του»[2]. Εἶδες πῶς μὲ λίγα λόγια μᾶς ὑπαινίχθηκε τὴν ὑπερβολικὴ καταστροφὴ αὐτοῦ τοῦ πάθους;

6. Ἀλλὰ καὶ ἡ κενοδοξία πάλι καὶ ἡ ἀλαζονεία εἶναι ἄλλη μέθη, ἢ καλύτερα χειρότερη ἀπὸ τὴ μέθη. Γιατὶ ἐκεῖνος ποὺ κυριεύθηκε ἀπὸ τὰ πάθη, χάνει, ὅπως θὰ λέγαμε, τὸ κριτήριο καὶ τῶν ἴδιων τῶν αἰσθήσεων καὶ δὲ βρίσκεται πάλι σὲ καθόλου καλύτερη κατάσταση ἀπὸ τοὺς μανιακούς. Πραγματικὰ ἂν καὶ σπαράσσεται καθημερινὰ ἀπὸ τὰ πάθη αὐτὰ δὲν τὸ αἰσθάνεται μέχρι ποὺ νὰ καταποντισθεῖ μέσα στὸν ἴδιο τὸ βυθὸ τῆς κακίας, περιβάλλοντας τὸν ἑαυτό του μὲ ἀθεράπευτα κακά. Ἂς ἀποφεύγομε λοιπόν, παρακαλῶ, καὶ τὴ μέθη ἀπὸ τὸ κρασὶ καὶ τὸν σκοτισμὸ ποὺ προκαλεῖται

ἡμῖν σκότωσιν τῶν λογισμῶν καὶ ἀκούωμεν τοῦ κοινοῦ διδασκάλου τῆς οἰκουμένης λέγοντος· «μὴ μεθύσκεσθε οἴνῳ ἐν ᾧ ἐστιν ἀσωτία».

7. Εἶδες πῶς δῆλον ἡμῖν ἐποίησε διὰ τοῦ ῥήματος τούτου ὅτι ἔστι καὶ ἑτέρως μεθύειν; Εἰ γὰρ μὴ ἦν καὶ ἑτέρα μέθη, τίνος ἕνεκεν εἰπών, «μὴ μεθύσκεσθε», προσέθηκεν, «οἴνῳ»; Καὶ ὅρα αὐτοῦ τῆς σοφίας τὴν ὑπερβολὴν καὶ τῆς διδασκαλίας τὴν ἀκρίβειαν διὰ τῆς ἐπαγωγῆς· εἰπὼν γάρ, «μὴ μεθύσκεσθε οἴνῳ», ἐπήγαγεν, «ἐν ᾧ ἐστιν ἀσωτία», μονονουχὶ δεικνὺς ἡμῖν ὅτι ἡ τούτου ἀμετρία πάντων ἡμῖν αἰτία γίνεται τῶν κακῶν. «Ἐν ᾧ ἐστί», φησίν, «ἀσωτία», τουτέστι δι' οὗ τὸν πλοῦτον τῆς ἀρετῆς ἀπόλλυμεν.

8. Καὶ ἵνα μάθῃς ὅτι τοῦτο αἰνίττεται, ἐξ αὐτῆς τῆς λέξεως πειράσομαι ὑμῖν τοῦτο ποιῆσαι φανερόν. Ἀσώτους γὰρ ἐκείνους καλεῖν εἰώθαμεν τῶν νέων οὓς ἐὰν ἴδωμεν τὴν πατρῴαν οὐσίαν ἁπλῶς καὶ εἰκῇ καταδαπανῶντας καὶ εἰς οὐδὲν δέον, καὶ οὔτε καιρὸν εἰδότας ἐξόδου οὔτε δαπάνης μέτρον, ἀλλ' ἐν βραχεῖ χρόνῳ πάντα τὸν πατρικὸν πλοῦτον καταναλίσκοντας καὶ εἰς ἐσχάτην πενίαν καταφερομένους. Τοιοῦτοί εἰσι καὶ οἱ ὑπὸ τῆς μέθης τοῦ οἴνου ἁλισκόμενοι· οὐδὲ γὰρ ἴσασι λοιπὸν δεόντως διανέμειν τῆς διανοίας τὸν πλοῦτον, ἀλλὰ καθάπερ οἱ ἄσωτοι τῶν νέων οὕτω καὶ οὗτοι ὑπὸ τῆς μέθης καταβαπτιζόμενοι κἂν ῥήματα προέσθαι δέῃ, κἂν ἀπρεπῆ τινα φθέγξασθαι καὶ ὄλεθρον πολὺν φέροντα, πάντα ἀδεῶς καὶ λέγουσι καὶ πράττουσι καὶ χεῖρον τῶν ἀσώτων ἐκείνων τὴν τῶν χρημάτων οὐσίαν καταναλισκόντων εἰς τὴν ἐσχάτην πενίαν τῆς ἀρετῆς ἑαυτοὺς ἐμβάλλουσι, καὶ τὰ ἀπόρρητα τῆς διανοίας πολλάκις ἐκφέροντες οὐκ αἰσθάνονται, καὶ πᾶσαν αὐτῶν τῆς διανοίας τὴν ὕπαρξιν καταναλώσαντες ἔρημοι καὶ γυμμοὶ πάσης εὐλαβείας καὶ συνέσεως ἀθρόον γίνονται.

9. Ὁ γὰρ μεθύων οὐκ οἶδεν οἰκονομῆσαι τοὺς λόγους αὐτοῦ ἐν

3. Ἐφ. 5,18.

στοὺς λογισμούς μας ἀπὸ τὰ παράλογα πάθη καὶ ἂς ἀκοῦμε τὸν κοινὸ δάσκαλο τῆς οἰκουμένης ποὺ λέγει· «μὴ μεθᾶτε μὲ κρασί, πράγμα στὸ ὁποῖο ὑπάρχει ἀσωτία»[3].

7. Εἶδες πῶς μᾶς φανέρωσε μὲ τὰ λόγια αὐτὰ ὅτι εἶναι δυνατὸ νὰ μεθάει κανεὶς καὶ μ' ἄλλο τρόπο; γιατί, ἂν δὲν ὑπῆρχε καὶ ἄλλη μέθη, γιὰ ποιό λόγο, ἀφοῦ εἶπε, «νὰ μεθᾶτε», πρόσθεσε, «μὲ κρασί»; Καὶ πρόσεχε τὴν ὑπερβολικὴ σοφία του καὶ τὴν ἀκρίβεια τῆς διδασκαλίας του ποὺ φαίνεται ἀπὸ ἐκεῖνα ποὺ πρόσθεσε· γιατί, ἀφοῦ εἶπε, «μὴ μεθᾶτε ἀπὸ κρασί», πρόσθεσε, «πράγμα στὸ ὁποῖο ὑπάρχει ἀσωτία», δείχνοντάς μας κατὰ κάποιο τρόπο ὅτι ἡ ἄμετρη χρήση αὐτοῦ μᾶς γίνεται αἰτία ὅλων τῶν κακῶν. «Πράγμα στὸ ὁποῖο», λέγει, «ὑπάρχει ἀσωτία», δηλαδὴ μὲ τὸ ὁποῖο χάνομε τὸν πλοῦτο τῆς ἀρετῆς.

8. Καὶ γιὰ νὰ μάθεις ὅτι αὐτὸ ὑπονοεῖ, θὰ προσπαθήσω νὰ σᾶς τὸ κάνω φανερὸ ἀπὸ τὴν ἴδια τὴ λέξη. Ἀσώτους δηλαδὴ ὀνομάζομε συνήθως ἐκείνους ἀπὸ τοὺς νέους ποὺ τοὺς βλέπομε νὰ κατασπαταλοῦν τὴν πατρικὴ περιουσία ἄσκοπα καὶ στὰ χαμένα καὶ σὲ τίποτε τὸ χρήσιμο, καὶ δὲ γνωρίζουν οὔτε πότε εἶναι καιρὸς γιὰ ξόδευμα, οὔτε μέτρο στὴ δαπάνη, ἀλλά, ἀφοῦ κατασπαταλήσουν μέσα σὲ σύντομο χρόνο ὅλο τὸν πατρικὸ πλοῦτο, καταντοῦν στὴν πιὸ χειρότερη μορφὴ φτώχειας. Τέτοιοι εἶναι καὶ ἐκεῖνοι ποὺ κυριεύονται ἀπὸ τὴ μέθη τοῦ κρασιοῦ· γιατὶ δὲν γνωρίζουν πλέον νὰ χρησιμοποιοῦν τὸν πλοῦτο τῆς διάνοιάς τους, ἀλλὰ ὅπως ἀκριβῶς οἱ ἄσωτοι ἀπὸ τοὺς νέους, ἔτσι καὶ αὐτοί, καταβυθισμένοι στὴ μέθη, εἴτε χρειασθεῖ νὰ ποῦν κάποιο λόγο, εἴτε νὰ ποῦν κάτι ποὺ εἶναι ἀπρεπὲς καὶ πρόξενο μεγάλης καταστροφῆς, ὅλα τὰ λένε καὶ τὰ κάμνουν χωρὶς σκέψη καὶ φόβο, καὶ εἶναι σὲ χειρότερη κατάσταση ἀπὸ τοὺς ἀσώτους ἐκείνους ποὺ κατασπαταλοῦν τὴν ὑλική τους περιουσία καὶ ὁδηγοῦν τὸν ἑαυτό τους στὴ χειρότερη φτώχεια τῆς ἀρετῆς, καί, ἐνῶ πολλὲς φορὲς φανερώνουν τὰ ἀπόρρητα τῆς διάνοιάς τους, δὲν τὸ αἰσθάνονται, καί, ἀφοῦ καταδαπανήσουν ὅλες τὶς πνευματικές τους δυνάμεις, γίνονται μέσα σὲ μιὰ στιγμὴ ἔρημοι καὶ γυμνοὶ ἀπὸ κάθε εὐλάβεια καὶ σύνεση.

9. Πραγματικὰ ἐκεῖνος ποὺ μεθάει δὲ γνωρίζει νὰ κατευθύνει τὰ

κρίσει, ἀλλ' ὥσπερ οἰκία πάντοθεν ἀνεῳγμένη καὶ πᾶσιν εὐεπίβατος τοῖς ἐπιβουλεύουσι τυγχάνουσα, οὕτως ἐστὶν ἡ τοῦ τοιούτου διάνοια ἀναπεπταμένη καὶ ὑπὸ τῶν ὀλεθρίων παθῶν σπαραττομένη. Μέθη γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ προδοσία λογισμῶν καὶ συμφορὰ καταγελωμένη καὶ νόσημα χλευαζόμενον. Μέθη αὐθαίρετός ἐστι δαίμων, μέθη σκότωσις λογισμῶν, μέθη συνέσεως ἐρημία, μέθη τῶν ἐκ σαρκὸς παθῶν ὑπέκκαυμα. Τὸν γὰρ ὑπὸ δαίμονος ἐνοχλούμενον πολλάκις καὶ ἐλεοῦμεν, τούτῳ δὲ καὶ ἀγανακτοῦμεν καὶ ὀργιζόμεθα. Τίνος ἕνεκεν; Ὅτι ἐκεῖνο μὲν ἐπήρεια τοῦ δαίμονός ἐστι, τοῦτο δὲ ῥᾳθυμίας καὶ πολλῆς ἀκρασίας δεῖγμα, καὶ ἐκεῖνο μὲν ἐπιβουλὴ τοῦ διαβόλου, τοῦτο δὲ ἐπιβουλὴ τῶν οἰκείων λογισμῶν.

10. Καὶ ἵνα μάθῃς ὅτι οὕτως ἔχει, ὅρα μοι αὐτὸν τὰ αὐτὰ ὑπομένοντα τῷ δαιμονῶντι ἢ καὶ χαλεπώτερα. Ὥσπερ γὰρ ὁ δαιμονῶν ἀφρὸν ἐκ τοῦ στόματος ἀφίησι καὶ καταπίπτει καὶ ἀκίνητος μένει πολλάκις ἐπὶ τοῦ ἐδάφους, οὐδὲ τοὺς παρόντας ἐπιγινώσκων ἀλλὰ διαστρέφων τῶν ὀφθαλμῶν τὰς κόρας, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ μεθύων, ἐπειδὰν ἡ τοῦ οἴνου ἀμετρία ἐπεισελθοῦσα διαφθείρῃ τὸ κριτήριον τῶν λογισμῶν, ὁμοίως ἐκείνῳ οὐ μόνον ἀφρὸν ἐκ τοῦ στόματος προΐεται οὐδὲ τῶν νεκρῶν χεῖρον ἐρριμένος κεῖται, ἀλλὰ καὶ χυμὸν πολλάκις σεσηπότα ἐκ τοῦ στόματος προΐησι. Καὶ ἐντεῦθεν λοιπὸν γίνεται καὶ φίλοις ἀηδὴς καὶ γυναικὶ ἐπαχθὴς καὶ παισὶ καταγέλαστος καὶ οἰκέταις εὐκαταφρόνητος καὶ πᾶσιν ἁπλῶς τοῖς ὁρῶσιν ἀσχημοσύνης ὑπόθεσις πρόκειται καὶ γέλωτος.

11. Εἶδες πῶς καὶ τῶν δαιμονώντων ἀθλιώτερον οἱ τοιοῦτοι διάκεινται; Βούλει μαθεῖν μετὰ τούτων ἁπάντων καὶ τὸ κεφάλαιον τῶν κακῶν; Τοσαῦτα γὰρ εἰρηκὼς οὐδέπω τὸν κολοφῶντα ἐπήγαγον· ὁ μεθύων καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀλλότριος γίνεται. Καὶ ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος· «μὴ πλανᾶσθε· οὔτε

λόγια του μὲ περίσκεψη, ἀλλ' ὅπως ἡ οἰκία ἐκείνη ποὺ εἶναι ἀπὸ παντοῦ ἀνοιχτὴ γίνεται εὐκολοδιάβατη σ' ἐκείνους ποὺ τὴν ἐπιβουλεύονται, ἔτσι εἶναι καὶ ἡ διάνοια τοῦ ἀνθρώπου αὐτοῦ· εἶναι ἀνοιχτὴ ἀπὸ παντοῦ, κατασπαραττόμενη ἔτσι ἀπὸ τὰ ὀλέθρια πάθη. Γιατὶ μέθη τίποτε ἄλλο δὲν εἶναι, παρὰ προδοσία τῶν λογισμῶν, συμφορὰ καταγέλαστη, καὶ νόσημα χλευαζόμενο. Ἡ μέθη εἶναι αὐθαίρετος δαίμονας, ἡ μέθη εἶναι σκοτισμὸς τῶν λογισμῶν, ἡ μέθη εἶναι ἀπώλεια τῆς συνέσεως, ἡ μέθη εἶναι προσάναμμα τῶν σαρκικῶν παθῶν. Γιατὶ ἐκεῖνον ποὺ ἐνοχλεῖται ἀπὸ δαίμονα πολλὲς φορὲς καὶ τὸν λυπόμαστε, ἐνῶ γι' αὐτὸν καὶ ἀγανακτοῦμε καὶ ὀργιζόμαστε. Γιὰ ποιό λόγο; Ἐπειδὴ ἐκεῖνο εἶναι δαιμονικὴ ἐπενέργεια, ἐνῶ αὐτὸ δεῖγμα ἀδιαφορίας καὶ μεγάλης ἀκράτειας· καὶ ἐκεῖνο βέβαια εἶναι ἐπιβουλὴ τοῦ διαβόλου, ἐνῶ αὐτὸ ἐπιβουλὴ τῶν δικῶν μας λογισμῶν.

10. Καὶ γιὰ νὰ μάθεις ὅτι ἔτσι ἔχει τὸ πράγμα, πρόσεχε σὲ παρακαλῶ αὐτὸν ποὺ ὑπομένει τὰ ἴδια μὲ τὸν δαιμονισμένο ἢ καὶ φοβερότερα. Ὅπως ἀκριβῶς δηλαδὴ ὁ δαιμονισμένος βγάζει ἀφρὸ ἀπὸ τὸ στόμα του, πέφτει κάτω καὶ πολλὲς φορὲς μένει ἀκίνητος ἐπάνω στὸ ἔδαφος, μὴ γνωρίζοντας ἐκείνους ποὺ βρίσκονται ἐκεῖ, ἀλλὰ διαστρέφονται οἱ κόρες τῶν ματιῶν του, κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ ὁ μεθυσμένος, ὅταν ἡ ἄμετρη χρήση τοῦ κρασιοῦ μπεῖ μέσα του καὶ διαφθείρει τὸ κριτήριο τῶν λογισμῶν, ὅμοια μὲ τὸν δαιμονισμένο ὄχι μόνο ἀφήνει νὰ βγεῖ ἀφρὸς ἀπὸ τὸ στόμα του, οὔτε εἶναι ξαπλωμένος στὴ γῆ χειρότερα ἀπὸ τοὺς νεκρούς, ἀλλὰ πολλὲς φορὲς βγάζει καὶ σάπια ὑγρὰ ἀπὸ τὸ στόμα του. Καὶ ἐξ αἰτίας αὐτοῦ λοιπὸν γίνεται καὶ στοὺς φίλους ἀηδὴς καὶ στὴ γυναίκα του βαρετὸς καὶ στὰ παιδιὰ καταγέλαστος καὶ στοὺς ὑπηρέτες εὐκαταφρόνητος καὶ σ' ὅλους γενικὰ ποὺ τὸν βλέπουν γίνεται αἰτία ἀσχημοσύνης καὶ ἀφορμὴ γιὰ γέλια.

11. Εἶδες πῶς οἱ ἄνθρωποι αὐτοὶ εἶναι πιὸ ἄθλιοι καὶ ἀπὸ τοὺς δαιμονισμένους; Θέλεις νὰ μάθεις μαζὶ μ' ὅλα αὐτὰ καὶ τὸ ἀποκορύφωμα τῶν κακῶν; Γιατί, ἂν καὶ εἶπα τόσα δὲν εἶπα ἀκόμη τὸ ἀποκορύφωμα αὐτῶν· ὁ μέθυσος δηλαδὴ στερεῖται καὶ τὴ βασιλεία τῶν οὐρανῶν. Καὶ ἄκουε τὸν μακάριο Παῦλο ποὺ λέγει· «μὴν

πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε ἀρσενοκοῖται, οὔτε μέθυσοι βασιλείαν Θεοῦ κληρονομήσουσιν». Ἀλλ' ἴσως εἴποι τις ἄν· Τί οὖν; Καὶ ὁ εἰδωλολάτρης καὶ ὁ μοιχὸς καὶ ὁ μέθυσος ὁμοίως τῆς βασιλείας ἐκτὸς γίνονται; Μὴ παρ' ἐμοῦ ταῦτα θέλε μανθάνειν, ἀγαπητέ. Ἐγὼ γὰρ θεῖον ἀνέγνων νόμον οὕτως ἔχοντα· μὴ τοίνυν ταῦτα περιεργάζου εἰ τὴν αὐτὴν τιμωρίαν ἐκείνοις δίδωσιν ὁ μεθύων, ἀλλ' ἐκεῖνο σκόπει ὅτι ὁμοίως τῆς βασιλείας τὴν στέρησιν ὑπομένει· ὁ δὲ ταύτης ἐκτὸς γεγονώς, ποίαν ἕξει λοιπὸν παραμυθίαν;

12. Καὶ ταῦτα νῦν λέγω, οὐ τῶν παρόντων καταγινώσκων, μὴ γένοιτο· πέπεισμαι γὰρ ὅτι καθαροὶ τοῦ πάθους ὑμεῖς τυγχάνετε διὰ τὴν τοῦ Θεοῦ χάριν καὶ τούτου μέγιστον ποιοῦμαι δεῖγμα τὴν ἐνταῦθα μετὰ προθυμίας ὑμῶν συνέλευσιν, τὴν σπουδὴν τὴν περὶ τὴν ἀκρόασιν τῆς πνευματικῆς ταύτης διδασκαλίας. Οὐδὲ γὰρ ἔνι τὸν μὴ νήφοντα καὶ ἐγρηγορότα θείων λογίων ἐπιθυμεῖν. Ἀλλὰ ταῦτα λέγω βουλόμενος δι' ὑμῶν καὶ τοὺς ἄλλους ἅπαντας παιδεύεσθαι καὶ ὑμᾶς ἀσφαλεστέρους γενέσθαι ὥστε μηδέποτε ἁλῶναι τούτῳ τῷ πάθει.

13. Οἱ γὰρ τοιοῦτοι καὶ αὐτῶν τῶν ἀλόγων ἂν εἶεν ἀλογώτεροι. Καὶ πῶς; Ἐγὼ λέγω. Τὰ ἄλογα ἐπειδὰν διψῇ μέχρι τῆς χρείας τὴν ἐπιθυμίαν ἵστησι καὶ οὐκ ἄν ποτε ἀνάσχοιτο ὑπερβῆναι τὴν χρείαν· ἄνθρωποι δὲ οἱ λογικοὶ οὐ τοῦτο σκοποῦσιν ὅπως τὸ δίψος παραμυθήσωνται, ἀλλ' ὅπως ὑποβρύχιοι γενόμενοι χαλεπώτερον ἑαυτοῖς ἐργάσωνται τὸ ναυάγιον. Καθάπερ γὰρ πλοῖον ὑπέραντλον γεγονὸς ταχέως καταβαπτίζεται, οὕτω καὶ ἄνθρωπος ὑπερβὰς τῆς χρείας τοὺς ὅρους καὶ μεῖζον ἐπιθεὶς τὸ φορτίον τῇ γαστρὶ κατέδυσεν αὐτοῦ τὴν διάνοιαν καὶ τῆς ψυχῆς τὴν εὐγένειαν ἐλυμήνατο.

14. Διὸ πολλὴν ὑμᾶς προσήκει ποιεῖσθαι τὴν φροντίδα, ἀγαπητοί, ὥστε τοὺς πλησίον διορθοῦν καὶ ἐξαρπάζειν τοῦ κλυδωνίου τούτου, ἵνα μὴ μόνον ὑπὲρ τῶν καθ' ἑαυτοὺς ἀλλὰ καὶ τῆς ἑτέρων

4. Α' Κορ. 6,9–10.

ἐξαπατᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτρες, οὔτε μοιχοί, οὔτε ἀρσενοκοῖτες, οὔτε μέθυσοι θὰ κληρονομήσουν τὴ βασιλεία τοῦ Θεοῦ»[4]. Ἀλλ' ἴσως θὰ μποροῦσε νὰ πεῖ κάποιος· τί λοιπόν; Καὶ ὁ εἰδωλολάτρης καὶ ὁ μοιχὸς καὶ ὁ μέθυσος ἀποκλείονται ὅμοια ἀπὸ τὴ βασιλεία τῶν οὐρανῶν; Μὴ θέλεις, ἀγαπητέ, νὰ τὰ μάθεις αὐτὰ ἀπὸ μένα. Γιατὶ ἐγὼ διάβασα θεῖο νόμο ποὺ λέγει αὐτά· μὴν ἀσχολεῖσαι λοιπὸν μὲ τὸ ἂν ὁ μέθυσος τιμωρεῖται μὲ τὴν ἴδια τιμωρία μ' ἐκείνους, ἀλλὰ πρόσεχε ἐκεῖνο, ὅτι ὅμοια στερεῖται τὴ βασιλεία μὲ ἐκείνους· καὶ ἐκεῖνος ποὺ θ' ἀποκλεισθεῖ ἀπὸ αὐτήν, ποιά παρηγοριὰ θὰ ἔχει στὸ ἑξῆς;

12. Καὶ αὐτὰ τὰ λέγω τώρα ὄχι γιὰ νὰ κατηγορήσω ἐσᾶς τοὺς παρόντες· μακριὰ μιὰ τέτοια σκέψη· γιατὶ εἶμαι ἀπόλυτα βέβαιος ὅτι σεῖς μὲ τὴ χάρη τοῦ Θεοῦ εἶσθε καθαροὶ ἀπὸ τὸ πάθος καὶ μέγιστη ἀπόδειξη γι' αὐτὸ θεωρῶ τὴν πρόθυμη προσέλευσή σας ἐδῶ, τὸ ζῆλο σας γιὰ τὴν ἀκρόαση αὐτῆς τῆς πνευματικῆς διδασκαλίας. Γιατὶ δὲν εἶναι δυνατὸ νὰ ἐπιθυμεῖ θεῖα λόγια ἐκεῖνος ποὺ δὲν εἶναι νηφάλιος καὶ δὲν ἐπαγρυπνεῖ γιὰ τὴν ψυχή του. Ἀλλ' αὐτὰ τὰ λέγω θέλοντας μέσω ἐσᾶς καὶ ὅλοι οἱ ἄλλοι νὰ διδάσκονται, καὶ σεῖς νὰ γίνετε ἀσφαλέστεροι, ὥστε ποτὲ νὰ μὴ κυριευθεῖτε ἀπὸ αὐτὸ τὸ πάθος.

13. Πραγματικὰ οἱ κυριευμένοι ἀπ' αὐτὸ γίνονται πιὸ ἀνόητοι καὶ ἀπὸ τὰ ἴδια τὰ ἄλογα ζῶα. Καὶ πῶς συμβαίνει αὐτό; Ἐγὼ θὰ σᾶς τὸ πῶ. Τὰ ἄλογα ζῶα ὅταν διψοῦν πίνουν μόνο ὅσο χρειάζεται καὶ δὲν θὰ ἦταν δυνατὸ ποτὲ νὰ ὑπερβοῦν τὴν ἀνάγκη, ἐνῶ οἱ λογικοὶ ἄνθρωποι δὲν βλέπουν πῶς νὰ ἱκανοποιήσουν τὴ δίψα, ἀλλὰ πῶς, ἀφοῦ βουτηχθοῦν ὁλόκληροι μέσα στὸ κρασί, νὰ κάμουν ἔτσι φοβερότερο τὸ ναυάγιο γιὰ τὸν ἑαυτό τους. Γιατί, ὅπως ἕνα πλοῖο καταβυθίζεται ἀμέσως ἂν καταπλημμυρισθεῖ ἀπὸ τὰ νερά, ἔτσι καὶ ὁ ἄνθρωπος, ἂν ὑπερβεῖ τὰ ὅρια τῆς ἀνάγκης καὶ φορτώσει τὴν κοιλιά του μὲ μεγαλύτερο βάρος, καταβύθισε τὴ διάνοιά του καὶ κατάστρεψε τὴν εὐγένεια τῆς ψυχῆς του.

14. Γι' αὐτὸ πρέπει, ἀγαπητοί, νὰ καταβάλλετε μεγάλη φροντίδα, ὥστε νὰ διορθώνετε τοὺς πλησίον σας καὶ νὰ τοὺς διασώζετε ἀπὸ τὸν καταποντισμὸ αὐτό, γιὰ νὰ λάβετε μεγάλο μισθὸ ὄχι μόνο

σωτηρίας πολὺν κομίσησθε τὸν μισθόν. Οὕτω καὶ Παῦλος ἔλεγε· «μηδεὶς τὸ ἑαυτοῦ ζητείτω ἀλλὰ τὸ τοῦ πλησίον συμφέρον». Καὶ πάλιν· «οἰκοδομεῖτε εἷς τὸν ἕνα». Μὴ τοίνυν τοῦτο ἴδῃς ὅτι αὐτὸς ὑγιαίνεις καὶ ἀπήλλαξαι τῆς νόσου, ἀλλὰ πολλὴν ποιοῦ τὴν φροντίδα καὶ τὴν μέριμναν ὥστε καὶ τὸ μέλος τὸ σὸν ἐλευθερωθῆναι τῆς ἐντεῦθεν βλάβης καὶ τὴν νόσον διαφυγεῖν. Μέλη γάρ ἐσμεν ἀλλήλων «καὶ εἴτε πάσχει ἓν μέλος συμπάσχειν χρὴ πάντα τὰ μέλη καὶ εἴτε δοξάζεται ἓν μέλος συγχαίρειν δεῖ πάντα τὰ μέλη».

15. Οὐ τοσαύτης ὑμῖν παραινέσεως καὶ συμβουλῆς ἦν χρεία κατὰ τὸν τῆς ἁγίας τεσσαρακοστῆς καιρὸν ὅση νῦν. Τότε μὲν γὰρ ἡ τῆς νηστείας ὑπόθεσις καὶ ἄκοντας ὑμᾶς ἐσωφρόνιζε, νυνὶ δὲ δέδοικα καὶ φοβοῦμαι τὴν ἄδειαν καὶ τὴν ἐκ ταύτης τικτομένην ῥαθυμίαν. Πρὸς οὐδὲν γὰρ οὕτως ἄχρηστον ἡ ἀνθρωπίνη φύσις ὡς πρὸς ἄνεσιν· διὸ καὶ ὁ φιλάνθρωπος Δεσπότης ἄνωθεν καὶ ἐκ προοιμίων ὥσπερ χαλινιόν τινα ἐπιθεὶς τῷ τῶν ἀνθρώπων γένει πόνῳ καὶ ταλαιπωρίᾳ τὸν ἄνθρωπον κατεδίκασε, πολλὴν τῆς σωτηρίας ἡμῶν τὴν πρόνοιαν ποιούμενος.

16. Διηνεκῶς γὰρ δεόμεθα χαλινοῦ ὥστε εὔτακτα βαδίζειν, ἐπεὶ καὶ Ἰουδαῖοι ἐντεῦθεν τὴν ἄνωθεν ὀργὴν ἐπεσπάσαντο. Ὅτε γὰρ πολλῆς ἀπέλαυσαν τῆς ἀνέσεως καὶ ἐν ἀδείᾳ γεγόνασι, τῆς σκληρᾶς δουλείας ἀπαλλαγέντες τῆς ἐν Αἰγύπτῳ, δέον πλείονα τὴν εὐχαριστίαν ποιεῖν καὶ τὴν δοξολογίαν σπουδαιότερον ἀναφέρειν τῷ δεσπότῃ καὶ εὐγνώμονας γίνεσθαι περὶ τὸν τοσαύτας εὐεργεσίας εἰς αὐτοὺς καταθέμενον, οἱ δὲ τὸ ἐναντίον ἐποίησαν καὶ ὑπὸ πολλῆς ἀνέσεως ἐξετραχηλίσθησαν. Διά τοι τοῦτο κατηγοροῦσα αὐτῶν ἡ θεία Γραφή φησιν· «ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, ἐλιπάνθη καὶ ἐπαχύνθη καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος».

17. Μετὰ γὰρ τὰ πολλὰ θαύματα ἐκεῖνα καὶ τὰ σημεῖα τὰ παράδοξα καὶ τῆς θαλάττης τὴν διάβασιν καὶ τὸν τῶν Αἰγυπτίων ὄλε-

5. Α' Κορ. 10,24.
6. Α' Θεσ. 5,11.
7. Α' Κορ. 12,25-26.
8. Δευτ. 32,15.

γιὰ ἐκεῖνα ποὺ κάμνετε γιὰ τὸν ἑαυτό σας ἀλλὰ καὶ γιὰ τὴ σωτηρία τῶν ἄλλων. Αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «κανένας νὰ μὴ ζητεῖ τὸ δικό του συμφέρον, ἀλλὰ τὸ συμφέρον τοῦ πλησίον του»[5]. Καὶ πάλι· «οἰκοδομεῖτε ὁ ἕνας τὸν ἄλλο»[6]. Μὴ βλέπεις λοιπὸν αὐτό, ὅτι δηλαδὴ σὺ ὁ ἴδιος εἶσαι ὑγιὴς καὶ ὅτι ἀπαλλάχθηκες ἀπὸ τὴ νόσο, ἀλλὰ δεῖχνε μεγάλη φροντίδα καὶ μέριμνα, ὥστε καὶ τὸ μέλος τὸ δικό σου νὰ ἐλευθερωθεῖ ἀπὸ τὴ βλάβη αὐτὴ καὶ νὰ διαφύγει τὴ νόσο. Γιατὶ εἴμαστε μέλη ὁ ἕνας τοῦ ἄλλου «καὶ ὅταν πάσχει ἕνα μέλος πρέπει νὰ συμπάσχουν ὅλα τὰ μέλη, καὶ ὅταν τιμᾶται ἕνα μέλος πρέπει νὰ χαίρονται μαζὶ μ' αὐτὸ ὅλα τὰ μέλη»[7].

15. Δὲν χρειαζόσασταν τόσες παραινέσεις καὶ συμβουλὲς κατὰ τὸν καιρὸ τῆς ἁγίας τεσσαρακοστῆς ὅσες χρειάζεσθε τώρα. Γιατὶ τότε ὁ σκοπὸς τῆς νηστείας σᾶς σωφρόνιζε καὶ χωρὶς νὰ τὸ θέλετε, ἐνῶ τώρα ἀνησυχῶ τρομερὰ καὶ φοβᾶμαι τὴν ἄνεση καὶ τὴν ἀδιαφορία ποὺ γεννιέται ἀπ' αὐτήν. Πραγματικὰ ἀπὸ τίποτε δὲν ἀχρηστεύεται τόσο ἡ ἀνθρώπινη φύση, ὅσο ἀπὸ τὴν ἄνεση· γι' αὐτὸ καὶ ὁ φιλάνθρωπος Κύριος ἀπὸ τὴν ἀρχὴ καὶ ἀπὸ τὴν πρώτη στιγμὴ θέτοντας στὸ γένος τῶν ἀνθρώπων σὰν κάποιο χαλινάρι τὸν πόνο καὶ τὴν ταλαιπωρία μὲ τὰ ὁποῖα καταδίκασε τὸν ἄνθρωπο, ἐπιδεικνύει μεγάλη πρόνοια γιὰ τὴ σωτηρία μας.

16. Πάντοτε χρειαζόμαστε χαλινάρι γιὰ νὰ βαδίζομε φρόνιμα, γιατὶ καὶ οἱ Ἰουδαῖοι ἐξ αἰτίας αὐτῆς ἀπέσπασαν τὴν οὐράνια ὀργή. Ὅταν δηλαδή, ἀφοῦ ἀπαλλάχθηκαν ἀπὸ τὴ σκληρὴ δουλεία τῶν Αἰγυπτίων, ἀπόλαυσαν μεγάλη ἄνεση καὶ βρῆκαν τὴν ἐλευθερία τους, ἐνῶ ἔπρεπε νὰ εὐχαριστοῦν περισσότερο τὸν Κύριο, ν' ἀναπέμπουν μὲ μεγαλύτερη προθυμία τὴ δοξολογία πρὸς αὐτὸν καὶ νὰ δείχνουν εὐγνωμοσύνη πρὸς ἐκεῖνον ποὺ χάρισε σ' αὐτοὺς τόσες εὐεργεσίες, ὅμως αὐτοὶ ἔκαμαν τὸ ἀντίθετο καὶ ἐκτράπηκαν καὶ παραφέρθηκαν ἐξ αἰτίας τῆς μεγάλης ἀνέσεώς τους. Γι' αὐτὸ λοιπὸν ἡ θεία Γραφὴ λέγει κατηγορώντας τους· «ἔφαγε ὁ Ἰακὼβ καὶ χόρτασε καὶ λιπάνθηκε καὶ παχύνθηκε καὶ κλώτσησε τὸν εὐεργέτη του ὁ ἀγαπημένος»[8].

17. Πραγματικὰ μετὰ τὰ πολλὰ ἐκεῖνα θαύματα καὶ τὰ παράδοξα σημεῖα, τὴ διάβαση τῆς θάλασσας καὶ τὴν ἐξολόθρευση τῶν

θρον καὶ τὴν ξένην καὶ καινὴν τοῦ μάννα τροφήν, ἔτι ἔναυλον ἔχοντες τῶν εὐεργεσιῶν τὴν μνήμην, ἐπειδὴ ἐν πολλῇ ἀνέσει γεγόνασι, λήθην ἁπάντων ἐκείνων ποιησάμενοι μόσχον κατασκευάσαντες προσεκύνουν λέγοντες· «οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου». Ὢ τῆς ἀγνωμοσύνης, ὢ τῆς πολλῆς ἀναισθησίας! Τοιοῦτον γὰρ αὐτῶν ἀεὶ τὸ ἔθος καὶ ὅταν μὲν ἀνέσεως λάβωνται κατὰ κρημνῶν φέρονται καὶ ἐπιλανθάνονται τοῦ εὐεργέτου· ὅταν δὲ μικρὸν στενοχωρηθῶσι, τότε συστέλλονται καὶ ταπεινοῦνται. Διὸ καὶ ὁ μακάριος Δαβὶδ τοῦτο δηλῶν ἔλεγεν· «ὅταν ἀπέκτεννεν αὐτούς», τότε ἐξεζήτουν αὐτόν».

18. Ἀλλὰ τοιοῦτο τῶν ἀγνωμόνων οἰκετῶν καὶ τῶν ἀναισθήτων Ἰουδαίων τὸ ἔθος. Ἡμεῖς δέ, παρακαλῶ, διηνεκῶς τὰς τοῦ Θεοῦ δωρεὰς ἐπὶ τῆς διανοίας στρέφοντες καὶ ἀναμιμνησκόμενοι τῶν εὐεργεσιῶν αὐτοῦ τὸ μέγεθος καὶ τὸ πλῆθος, εὐγνώμονες γινώμεθα καὶ διὰ παντὸς τὸν τῶν ἀγαθῶν ἡμῖν αἴτιον ἐπιγινώσκωμεν καὶ ἀξίαν τῶν εὐεργεσιῶν τὴν πολιτείαν ἐπιδειξώμεθα καὶ καθ' ἑκάστην ἡμέραν τῆς ἑαυτῶν ψυχῆς τὴν ὑγίειαν πραγματευώμεθα. Καὶ μάλιστα ὑμεῖς οἱ πρόσφατον τῆς θείας καταξιωθέντες μυσταγωγίας καὶ τὰ τῶν ἁμαρτημάτων ἀποθέμενοι φορτία καὶ λαμπρὰν τὴν στολὴν περιβαλόμενοι· καὶ τί λέγω λαμπρὰν στολήν; Οἱ τὸν Χριστὸν αὐτὸν ἐνδεδυμένοι καὶ τὸν τῶν ὅλων Δεσπότην ἔνοικον δεξάμενοι, ἀξίαν τοῦ ἐνοικοῦντος τὴν πολιτείαν ἐπιδείξασθαι, ἵνα καὶ πλείονα τὴν ἄνωθεν χάριν ἐπισπάσησθε καὶ μιμηταὶ γενέσθαι σπουδάσητε τοῦ προτέρου μὲν διώκτου μετὰ δὲ ταῦτα ἀποστόλου γενομένου.

19. Ὃς ἡνίκα μὲν ἐβαπτίσθη καὶ τῷ φωτὶ τῆς ἀληθείας κατηυγάσθη, εὐθέως μὲν καὶ οὕτω μέγας γέγονε, πολλῷ δὲ μείζων ἐγένετο τοῦ χρόνου προϊόντος. Ἐπειδὴ γὰρ τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε, τὸν ζῆλον, τὴν προθυμίαν, τὸ φρόνημα τὸ γενναῖον, τὸν πόθον τὸν ζέοντα, τὴν ὑπεροψίαν τῶν παρόντων, ἐπέρρει αὐτῷ λοιπὸν καὶ τὰ παρὰ τῆς τοῦ Θεοῦ χάριτος μετὰ πολλῆς τῆς δαψιλείας. Καὶ ὁ πρὸ

9. Ἐξ. 33,4. 10. Ψαλμ. 77,34.

Αἰγυπτίων καθὼς καὶ τὴν παράξενη καὶ καινούργια ἐκείνη τροφὴ τοῦ μάννα, ἐνῶ ἀκόμη ἠχοῦσε στ' αὐτιά τους ἡ ἀνάμνηση τῶν εὐεργεσιῶν, ἐπειδὴ βρέθηκαν μέσα σὲ μεγάλη ἄνεση, ἀφοῦ ξέχασαν ὅλα ἐκεῖνα, κατασκεύασαν μόσχο καὶ τὸν προσκυνοῦσαν λέγοντας· «αὐτοὶ εἶναι, Ἰσραήλ, οἱ θεοί σου, ποὺ σὲ ἔβγαλαν ἀπὸ τὴ γῆ τῆς Αἰγύπτου»[9]. Πὼ πὼ ἀγνωμοσύνη, πὼ πὼ ἀναισθησία φοβερή! Τέτοια πάντοτε ἦταν ἡ συμπεριφορά τους· ὅταν ἀπολάμβαναν ἄνεση ὁδηγοῦνταν πρὸς τὸ γκρεμὸ καὶ ξεχνοῦσαν τὸν εὐεργέτη, ἐνῶ ὅταν ἀντιμετώπιζαν ἔστω καὶ μικρὴ στενοχώρια, τότε συνέρχονταν καὶ ἔδειχναν ταπεινοφροσύνη. Γι' αὐτὸ καὶ ὁ μακάριος Δαβὶδ γιὰ νὰ δηλώσει αὐτὸ ἔλεγε· «ὅταν θανάτωνε αὐτούς, τότε ἐπιζητοῦσαν αὐτόν»[10].

18. Τέτοια λοιπὸν ἦταν ἡ διαγωγὴ τῶν ἀχάριστων δούλων καὶ τῶν ἀναίσθητων Ἰουδαίων. Ἐμεῖς ὅμως, παρακαλῶ, περιστρέφοντας διαρκῶς στὸ νοῦ μας τὶς δωρεὲς τοῦ Θεοῦ καὶ ἐνθυμούμενοι τὸ μέγεθος καὶ τὸ πλῆθος τῶν εὐεργεσιῶν αὐτοῦ, ἂς γινόμαστε εὐγνώμονες καὶ ἀναγνωρίζοντας πάντοτε τὸν αἴτιο τῶν ἀγαθῶν πρὸς ἐμᾶς ἂς ἐπιδείξομε καὶ συμπεριφορὰ ἄξια τῶν εὐεργεσιῶν, καὶ ἂς ἀσχολούμαστε καθημερινὰ μὲ τὴν ὑγεία τῆς ψυχῆς μας. Καὶ πρὸ πάντων σεῖς ποὺ πρόσφατα καταξιωθήκατε νὰ λάβετε τὴ θεία μυσταγωγία, ἀφοῦ ἀποθέσατε τὰ φορτία τῶν ἁμαρτημάτων καὶ ντυθήκατε τὴ λαμπρὴ στολή· καὶ τί λέγω τὴ λαμπρὴ στολή; Σεῖς ποὺ ντυθήκατε τὸν ἴδιο τὸ Χριστὸ καὶ δεχθήκατε νὰ κατοικήσει μέσα μας ὁ Κύριος τῶν ὅλων, ἐπιδείξατε πολιτεία ἀντάξια αὐτοῦ ποὺ κατοικεῖ μέσα σας, γιὰ νὰ ἀποσπάσετε καὶ περισσότερο τὴν οὐράνια χάρη, φροντίζοντας νὰ γίνετε μιμητὲς ἐκείνου ποὺ προηγουμένως ἦταν διώκτης, μετὰ ὅμως ἔγινε ἀπόστολος.

19. Ἐκεῖνος μόλις βαπτίσθηκε καὶ καταφωτίσθηκε μὲ τὸ φῶς τῆς ἀλήθειας, ἀμέσως βέβαια ἔγινε καὶ ἔτσι μεγάλος, πολὺ πιὸ μεγάλος ὅμως ἔγινε μὲ τὸ πέρασμα τοῦ χρόνου. Ἐπειδὴ πρόσφερε δηλαδὴ ὅλα ὅσα ἐξαρτῶνταν ἀπὸ τὸν ἑαυτό του, ὅπως τὸν ζῆλο, τὴν προθυμία, τὸ γενναῖο φρόνημα, τὸν θερμὸ πόθο, τὴν περιφρόνηση τῶν παρόντων, ἀπέρρευσαν στὴ συνέχεια σ' αὐτὸν μὲ μεγάλη ἀφθονία καὶ τὰ τῆς χάριτος τοῦ Θεοῦ. Καὶ ἐκεῖνος ποὺ πρὶν ἀπ'

τούτου ἀκάθεκτον τὴν μανίαν ἐπιδεικνύμενος καὶ πανταχοῦ διατρέχων καὶ διὰ πάντων πολεμῶν τῷ τῆς εὐσεβείας λόγῳ, ἐπειδὴ ἐπέγνω τὴν τῆς ἀληθείας ὁδόν, εὐθέως καὶ συνέχυνε τοὺς ἀγνώμονας Ἰουδαίους καὶ «διὰ θυρίδος ἐν σαργάνῃ», ἐχαλᾶτο ἵνα δυνηθῇ διαφυγεῖν τῶν μαινομένων Ἰουδαίων τὴν ὠμότητα. Εἴδετε ἀθρόαν μεταβολήν; εἴδετε τοῦ Πνεύματος τὴν χάριν πῶς αὐτοῦ τὴν ψυχὴν μετερρύθμισε, πῶς αὐτοῦ τὴν γνώμην μετέβαλε, πῶς καθάπερ πῦρ εἰς ἀκάνθας ἐμπεσόν, οὕτως ἡ τοῦ Πνεύματος χάρις ἐπεισελθοῦσα καὶ τῶν ἁμαρτημάτων τὰς ἀκάνθας ἠφάνισε καὶ ἀδάμαντος αὐτὸν στερρότερον εἰργάσατο;

20. Τοῦτον καὶ ὑμεῖς μιμήσασθε, παρακαλῶ, καὶ δυνήσεσθε οὐ πρὸς δύο καὶ τρεῖς καὶ δέκα ἡμέρας καὶ εἴκοσι μόνον καλεῖσθαι νεοφώτιστοι, ἀλλὰ καὶ δέκα καὶ εἴκοσι καὶ τριάκοντα παρελθόντων ἐτῶν καὶ διὰ πάσης, ὡς εἰπεῖν, τῆς ζωῆς ταύτης ἀξιοῦσθαι τῆς προσηγορίας. Ἐὰν γὰρ τὸ ἐν ἡμῖν φῶς, τοῦ Πνεύματος λέγω τὴν χάριν, σπουδάζωμεν διὰ τῆς τῶν ἀγαθῶν ἔργων πράξεως φαιδρότερον ἀπεργάζεσθαι ὥστε μηδέποτε κατασβεσθῆναι, διὰ παντὸς τοῦ χρόνου ταύτης ἀπολαύσομεν τῆς προσηγορίας. Ὥσπερ γὰρ ἔστι τὸν νήφοντα καὶ ἐγρηγορότα καὶ ἀξίαν πολιτείαν ἐπιδεικνύμενον διηνεκῶς εἶναι νεοφώτιστον, οὕτω πάλιν ἔστι καὶ μετὰ μίαν ἡμέραν ῥᾳθυμήσαντα ἀνάξιον γενέσθαι ταύτης τῆς προσηγορίας.

21. Ἐπεὶ καὶ ὁ μακάριος Παῦλος διὰ τῆς μετὰ ταῦτα ἀρετῆς πλείονα τὴν ἄνωθεν ἐπισπασάμενος ῥοπήν, διηνεκῶς ἐν τῇ φαιδρότητι ταύτῃ διέμεινε, λαμπρότερον ἐν αὐτῷ τῆς ἀρετῆς τὸ φῶς ἐργαζόμενος. Ὁ δὲ Σίμων ἐκεῖνος ὁ μάγος, ἐπειδὴ μετανοήσας ἐπὶ τὴν διὰ τοῦ βαπτίσματος δωρεὰν ἔδραμε καὶ τῆς χάριτος μὲν ἀπέλαυσε καὶ τῆς φιλοτιμίας τῆς δεσποτικῆς, οὐκ ἀξίαν δὲ γνώμην εἰσήνεγκεν ἀλλὰ πολλὴν τὴν ῥᾳθυμίαν ἐπεδείξατο, ἀθρόον ἔρημος ἐγένετο τῆς τοσαύτης δωρεᾶς ὡς καὶ συμβουλὴν δέξασθαι παρὰ τοῦ πρώτου τῶν ἀποστόλων διὰ μετανοίας τὸ μέγεθος τοῦ πλημμελήματος ἰάσασθαι· «μετανόησον» γάρ, φησίν, «ἀπὸ τῆς κα-

αὐτὸ ἔδειχνε ἀσταμάτητη τὴ μανία του, τρέχοντας παντοῦ καὶ πολεμώντας τὸ λόγο τῆς εὐσέβειας, μόλις γνώρισε τὴν ὁδὸ τῆς ἀλήθειας, ἀμέσως καὶ σύγχυση προκάλεσε στοὺς ἀχάριστους Ἰουδαίους καὶ κατεβαζόταν ἀπὸ κάποιο παράθυρο τοῦ τείχους μέσα σὲ καλάθι, γιὰ νὰ μπορέσει νὰ διαφύγει τὴ σκληρότητα τῶν μανιασμένων Ἰουδαίων. Εἴδατε ξαφνικὴ μεταβολή; εἴδατε τοῦ Πνεύματος τὴ χάρη, πῶς ἄλλαξε τὴν ψυχή του, πῶς μετέβαλε τὴ γνώμη του, πῶς ἡ χάρη τοῦ Πνεύματος ἀφοῦ εἰσῆλθε στὴν ψυχή του, σὰν τὴ φωτιὰ ἀκριβῶς ποὺ πέφτει στ' ἀγκάθια, καὶ τὰ ἀγκάθια τῶν ἁμαρτημάτων ἐξαφάνισε καὶ κατέστησε αὐτὸν ἰσχυρότερο ἀπὸ διαμάντι;

20. Αὐτὸν μιμηθεῖτε καὶ σεῖς, παρακαλῶ, καὶ θὰ μπορέσετε νὰ ὀνομάζεσθε νεοφώτιστοι ὄχι μόνο δυὸ καὶ τρεῖς καὶ δέκα καὶ εἴκοσι ἡμέρες, ἀλλὰ καὶ δέκα καὶ εἴκοσι καὶ τριάντα χρόνια νὰ περάσουν καὶ σ' ὅλη σας τὴ ζωή, ὅπως θὰ μπορούσαμε νὰ ποῦμε, θὰ εἶσθε ἄξιοι τῆς ὀνομασίας αὐτῆς. Γιατί, ἂν φροντίζομε νὰ κάμνομε μὲ τὶς πράξεις τῶν ἀγαθῶν ἔργων λαμπρότερο τὸ φῶς ποὺ ὑπάρχει μέσα μας, ἐννοῶ τὴ χάρη τοῦ Πνεύματος, ὥστε νὰ μὴ σβησθεῖ ποτέ, σ' ὅλη τὴ διάρκεια αὐτῆς τῆς ζωῆς θ' ἀπολαύσομε αὐτὴ τὴν ὀνομασία. Γιατί, ὅπως ἀκριβῶς εἶναι δυνατὸ ἐκεῖνος ποὺ εἶναι προσεκτικὸς καὶ ἐπάγρυπνος καὶ δείχνει ἐπάξια τῆς χάριτος τοῦ Πνεύματος πολιτεία νὰ εἶναι διαρκῶς νεοφώτιστος, ἔτσι πάλι εἶναι δυνατὸ καὶ μετὰ ἀπὸ μιὰ ἡμέρα, ἀφοῦ δείξει ἀδιαφορία, νὰ γίνει ἀνάξιος αὐτῆς τῆς ὀνομασίας.

21. Γιατὶ καὶ ὁ μακάριος Παῦλος, ἀφοῦ μὲ τὴν μετέπειτα ἀρετή του ἀπέσπασε μεγαλύτερη τὴν οὐράνια βοήθεια, διέμεινε διαρκῶς μέσα στὴ λαμπρότητα αὐτή, κάμνοντας λαμπρότερο τὸ φῶς τῆς ἀρετῆς ποὺ ὑπῆρχε μέσα του. Ἐνῶ ὁ Σίμων ὁ μάγος ἐκεῖνος, ἀφοῦ μετανόησε καὶ ἔτρεξε στὴ δωρεὰ τοῦ βαπτίσματος, ἀπόλαυσε καὶ τὴ χάρη τοῦ Πνεύματος καὶ τὴ δεσποτικὴ γενναιοδωρία, ἐπειδὴ ὅμως δὲν πρόσφερε στὴ συνέχεια ἐπάξια γνώμη, ἀλλ' ἔδειξε μεγάλη ἀδιαφορία, ἀμέσως ἔχασε τὴν τόσο μεγάλη δωρεά, ὥστε νὰ φτάσει στὸ σημεῖο καὶ νὰ δεχθεῖ συμβουλὴ ἀπὸ τὸν πρῶτο τῶν ἀποστόλων, γιὰ νὰ θεραπεύσει μὲ τὴ μετάνοια τὸ μέγεθος τοῦ

κίας σου ταύτης, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου».

22. Ἀλλὰ μὴ γένοιτό τινα τῶν ἐνταῦθα συνειλεγμένων τοιοῦτόν τι ὑποστῆναί ποτε, ἀλλὰ κατὰ τὸν μακάριον Παῦλον πάντας εἰς τοσαύτην ἐπιδοῦναι τὴν ἀρετὴν ὡς δαψιλεστέρας ἀξιωθῆναι τῆς παρὰ τοῦ Δεσπότυο φιλοτιμίας. Μὴ γὰρ τὰ τυχόντα ἐστίν, ἀγαπητέ, ὧν ἠξιώθημεν; πᾶσαν ἀνθρωπίνην ὑπερβαίνει διάνοιαν, νικᾷ τὸν λογισμὸν τὸν ἡμέτερον τῶν δεδωρημένων τὸ μέγεθος. Ἐννόησον γάρ μοι ὅσην ἀρχὴν ἐνεπιστεύθης καὶ οἷον ἀξίωμα ἔλαβες παρὰ τοῦ τῶν ὅλων βασιλέως. Ὁ πρότερον γὰρ δοῦλος, ὁ αἰχμάλωτος, ὁ προσκεκρουκώς, εἰς υἱοθεσίαν ἀθρόον ἀνηνέχθης. Οὐκοῦν μὴ ῥᾳθυμήσῃς μηδὲ συγχωρήσῃς ἀφαιρεθῆναί σου τοῦτο τὸ ἀξίωμα μηδὲ ἔρημόν σε γενέσθαι τοῦ πλούτου τούτου τοῦ πνευματικοῦ. Ἐὰν γὰρ σὺ μὴ βουληθῇς, οὐδείς ποτε ἀφελέσθαι δυνήσεται τὰ παρὰ τοῦ Θεοῦ σοι δεδωρημένα.

23. Καίτοι ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων τοῦτο οὐκ ἔνι. Ὅταν γάρ τις ἀξιώματός τινος τύχῃ παρὰ τοῦ τῆς γῆς βασιλέως, οὐκ ἐν τῇ αὐτοῦ γνώμῃ κεῖται ἡ ἀφαίρεσις, ἀλλ' ὁ τὴν ἀξίαν παρασχὼν αὐτὸς καὶ τῆς ἀφαιρέσεώς ἐστι κύριος καὶ ὅτε βούλεται γυμνοῖ τῆς ἀξίας τὸν εἰληφότα καὶ ἰδιώτην ἀθρόον ἀπεργάζεται καὶ παραλύει τῆς ἀρχῆς. Ἐπὶ δὲ τοῦ βασιλέως τοῦ ἡμετέρου τοὐναντίον ἅπαν· τὸ γὰρ ἀξίωμα διὰ τὴν αὐτοῦ φιλανθρωπίαν ἅπαξ ἡμῖν δωρηθέν, τὴν υἱοθεσίαν λέγω, τὸν ἁγιασμόν, τοῦ Πνεύματος τὴν χάριν, εἰ μὴ ῥᾳθυμήσαιμεν, οὐδεὶς οὐδέποτε ἡμῶν ἀφελέσθαι ταῦτα δυνήσεται. Καὶ τί λέγω ἀφαλέσθαι; ἐὰν γὰρ ἴδῃ εὐγνώμονας γεγενημένους παρὰ τὰ ἤδη παρασχεθέντα καὶ προσθήκην ἡμῖν ἐργάζεται καὶ μετὰ πολλῆς τῆς φιλοτιμίας πάλιν αὔξει τὰς παρ' ἑαυτοῦ δωρεάς.

24. Εἰδότες τοίνυν ὅτι μετὰ τὴν τοῦ Θεοῦ χάριν ἐν ἡμῖν κεῖται τὸ πᾶν καὶ ἐν τῇ σπουδῇ τῇ ἡμετέρᾳ, εὐγνώμονες γενώμεθα περὶ τὰ ἤδη δωρηθέντα ἵνα καὶ μειζόνων ἑαυτοὺς ἀξίους καταστήσωμεν. Διὸ παρακαλῶ, οἵ τε πρόσφατον ἀξιωθέντες τῆς θείας δωρεᾶς

ἁμαρτήματός του· γιατὶ λέγει, «μετανόησε γιὰ τὴν κακία σου αὐτή, μήπως καὶ ἔτσι συγχωρηθεῖ αὐτὸ ποὺ σκέφθηκε ἡ καρδιά σου»[11].

22. Ἀλλ' εἴθε νὰ μὴ συμβεῖ νὰ πάθει ποτὲ κάτι τέτοιο κάποιος ἀπὸ τοὺς συγκεντρωμένους ἐδῶ, ἀλλ' ὅπως ὁ μακάριος Παῦλος νὰ ἐπιδείξετε ὅλοι σας τόση μεγάλη ἀρετή, ὥστε ν' ἀξιωθεῖτε νὰ λάβετε πλουσιότερη τὴ γενναιοδωρία τοῦ Κυρίου. Μήπως, ἀγαπητέ, εἶναι τυχαῖα ἐκεῖνα ποὺ ἀξιωθήκαμε; Τὸ μέγεθος ἐκείνων ποὺ μᾶς δωρήθηκαν ὑπερβαίνει κάθε ἀνθρώπινη διάνοια, νικᾶ τὸ λογισμό μας. Σκέψου, σὲ παρακαλῶ, πόση ἐξουσία σοῦ ἐμπιστεύθηκε καὶ ποιό ἀξίωμα ἔλαβες ἀπὸ τὸν βασιλιὰ τῶν ὅλων. Γιατὶ σὺ ὁ προηγουμένως δοῦλος, ὁ αἰχμάλωτος, ποὺ εἶχες προσκρούσει στὸν Κύριο, σὲ μιὰ στιγμὴ ἀνυψώθηκες στὸ ἀξίωμα τῆς υἱοθεσίας. Μὴ δείξεις λοιπὸν ἀδιαφορία, οὔτε νὰ ἐπιτρέψεις νὰ σοῦ ἀφαιρεθεῖ αὐτὸ τὸ ἀξίωμα, οὔτε ν' ἀπογυμνωθεῖς ἀπὸ αὐτὸν τὸν πνευματικὸ πλοῦτο. Γιατί, ἂν δὲ τὸ θελήσεις ἐσύ, κανένας δὲ θὰ μπορέσει ποτὲ νὰ σοῦ ἀφαιρέσει ἐκεῖνα ποὺ σοῦ ἔχουν δωρηθεῖ ἀπὸ τὸ Θεό.

23. Ἂν καὶ βέβαια στὰ ἀνθρώπινα πράγματα αὐτὸ δὲν εἶναι δυνατό. Γιατί, ὅταν κάποιος λάβει ἕνα ἀξίωμα ἀπὸ τὸ βασιλιὰ τῆς γῆς, ἡ ἀφαίρεση αὐτοῦ δὲν μπορεῖ νὰ γίνει μὲ τὴ θέλησή του, ἀλλ' ἐκεῖνος ποὺ τοῦ ἔδωσε τὸ ἀξίωμα αὐτὸς εἶναι κύριος καὶ τῆς ἀφαιρέσεως καὶ ὅταν θέλει ἀφαιρεῖ τὸ ἀξίωμα ἀπὸ ἐκεῖνον ποὺ τὸ ἔλαβε καὶ ἀμέσως τὸν κάμνει ἰδιώτη καὶ τοῦ στερεῖ τὴν ἐξουσία. Στὴν περίπτωση ὅμως τοῦ δικοῦ μας βασιλιᾶ συμβαίνει ἐντελῶς τὸ ἀντίθετο· γιατὶ τὸ ἀξίωμα ποὺ ἀπὸ τὴ φιλανθρωπία του μᾶς δώρησε μιὰ φορά, ἐννοῶ τὴν υἱοθεσία, τὸν ἁγιασμό, τὴ χάρη τοῦ Πνεύματος, ἂν δὲν δείξωμε ἀδιαφορία, δὲ θὰ μπορέσει κανένας ποτὲ νὰ μᾶς τὰ ἀφαιρέσει αὐτά. Καὶ γιατί λέγω νὰ μᾶς τὰ ἀφαιρέσει; Ἂν δεῖ νὰ δείχνομε εὐγνωμοσύνη γιὰ ἐκεῖνα ποὺ μᾶς δόθηκαν προσθέτει σ' αὐτὰ καὶ ἄλλα καὶ μὲ πολλὴ γενναιοδωρία πάλι αὐξάνει τὶς δωρεές του.

24. Γνωρίζοντας λοιπὸν ὅτι μετὰ τὴ χάρη τοῦ Θεοῦ τὸ πᾶν ἐξαρτᾶται ἀπὸ μᾶς καὶ ἀπὸ τὴ δική μας φροντίδα, ἂς δείχνομε εὐγνωμοσύνη γιὰ ἐκεῖνα ποὺ ἤδη μᾶς δωρήθηκαν, γιὰ νὰ καταστήσομε τοὺς ἑαυτούς μας ἄξιους γιὰ μεγαλύτερα. Γι' αὐτό, παρακα-

πολλὴν τὴν φυλακὴν ἐπιδείξασθε καὶ τὸ παρασχεθὲν ὑμῖν ἔνδυμα πνευματικὸν καθαρὸν καὶ ἀκηλίδωτον διαφυλάττετε, οἵ τε πάλαι ταύτης τυχόντες τῆς δωρεᾶς πολλὴν τοῦ βίου τὴν μεταβολὴν ἐπιδειξώμεθα. Ἔστι γάρ, ἔστιν ἐπάνοδος ἐὰν βουλώμεθα καὶ δυνατὸν εἰς τὴν προτέραν, ἐπανελθεῖν εὐμορφίαν καὶ φαιδρότητα ἐὰν μόνον τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν.

25. Ἐπὶ μὲν γὰρ τοῦ σωματικοῦ κάλλους ἀμήχανον τὴν ἅπαξ ἄμορφον γενομένην ὄψιν καὶ ὑπὸ γήρως ἢ ὑπὸ νόσου ἢ ὑπὸ ἑτέρας τινὸς σωματικῆς περιστάσεως τὸ πρότερον ἀπολέσασαν κάλλος εἰς ἀκμὴν πάλιν ἐπανελθεῖν. Φύσεως γάρ ἐστι τὸ πάθος καὶ διὰ τοῦτο ἀδύνατον πρὸς τὴν προτέραν ἐπανελθεῖν τῆς εὐμορφίας φαιδρότητα. Ἐπὶ δὲ τῆς ψυχῆς, ἐὰν βουλώμεθα, καὶ τοῦτο γενέσθαι δυνατὸν διὰ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ τὴν ἅπαξ καταρρυπωθεῖσαν καὶ διὰ τοῦ τῶν ἁμαρτημάτων πλήθους δυσειδῆ καὶ αἰσχρὰν γενομένην ταχέως ἐπὶ τὴν προτέραν ἐπανελθεῖν εὐμορφίαν, εἰ πολλὴν καὶ ἀκριβῆ τὴν μετάνοιαν ἐπιδειξαίμεθα.

26. Ἀλλὰ ταῦτα μὲν πρὸς ἐμαυτὸν λέγω καὶ τοὺς πάλαι τοῦ βαπτίσματος ἀξιωθέντας. Ὑμεῖς δὲ οἱ νέοι τοῦ Χριστοῦ στρατιῶται, ἐμοὶ πείσθητε, καὶ παντὶ τρόπῳ σπουδάσατε καθαρὸν ὑμῶν τὸ ἔνδυμα διατηρῆσαι· πολλῷ γὰρ βέλτιον ὑπὲρ τῆς φαιδρότητος νῦν ἔχειν τὴ μέριμναν καὶ τὴν φροντίδα ὥστε διηνεκῶς ἐν καθαρότητι διαμένειν καὶ μηδεμίαν δέξασθαι κηλῖδα ἢ ῥᾳθυμήσαντας ὕστερον δακρύειν καὶ κόπτεσθαι ὥστε τὸν ἐπιγενόμενον ἀποσμήξασθαι ῥύπον. Μὴ δὴ τὰ αὐτὰ ἡμῖν πάθητε, παρακαλῶ, ἀλλ' ἡ τῶν προλαβόντων ῥᾳθυμία ὑμῖν ἀσφαλείας ὑπόθεσις γενέσθω.

27. Καὶ καθάπερ στρατιῶται πνευματικοί, γενναῖοι καὶ ἐγρηγορότες, οὕτω καθ' ἑκάστην ἡμέραν ἀποσμήχετε τὰ ὅπλα ὑμῶν τὰ πνευματικά, ἵνα βλέπων ὁ πολέμιος τῶν ὅπλων τὴν ἀστραπὴν πόρρω γένηται καὶ μηδὲ πλησίον ἑστάναι νομίσῃ. Ὅταν γὰρ ἴδῃ

λῶ, καὶ σεῖς ποὺ πρόσφατα ἀξιωθήκατε νὰ λάβετε τὴ θεία δωρεὰ καταβάλατε μεγάλη προσπάθεια γιὰ τὴ διαφύλαξη αὐτῆς, διαφυλάσσοντας καθαρὸ καὶ ἀκηλίδωτο τὸ πνευματικὸ ἔνδυμα ποὺ σᾶς δόθηκε, καὶ ὅσοι πρὶν ἀπὸ καιρὸ λάβαμε αὐτὴ τὴ δωρεά, ἂς ἐπιδείξομε μεγάλη μεταβολὴ στὴ ζωή μας. Γιατὶ εἶναι δυνατή, εἶναι δυνατὴ ἡ ἐπιστροφὴ ἂν θέλομε καὶ εἶναι δυνατὸ νὰ ἐπιστρέψομε στὴν προηγούμενη ὀμορφιὰ καὶ λαμπρότητα, ἂν μόνο προσφέρομε ἐκεῖνα ποὺ ἐξαρτῶνται ἀπὸ μᾶς.

25. Στὴν περίπτωση δηλαδὴ τοῦ σωματικοῦ κάλλους εἶναι ἀδύνατο τὸ πρόσωπο ἐκεῖνο ποὺ ἔγινε ἄσχημο καὶ ἔχασε τὸ προηγούμενο κάλλος του ἢ ἀπὸ γηρατειὰ ἢ ἀπὸ ἀσθένεια ἢ ἀπὸ κάποια ἄλλη σωματικὴ περίσταση νὰ ἐπανέλθει στὴν προηγούμενη ἀκμή του. Γιατὶ τὸ πάθος εἶναι ἀποτέλεσμα τῆς φύσεως καὶ γι' αὐτὸ εἶναι ἀδύνατο νὰ ἐπανέλθει στὴν προηγούμενη λαμπρότητα τῆς ὀμορφιᾶς. Στὴν περίπτωση ὅμως τῆς ψυχῆς, ἂν θέλομε, κι' αὐτὸ εἶναι δυνατὸ νὰ γίνει, ἐξ αἰτίας τῆς ἀπερίγραπτης φιλανθρωπίας τοῦ Θεοῦ, καὶ ἡ ψυχὴ ἐκείνη ποὺ καταρρυπώθηκε καὶ ἐξ αἰτίας τοῦ πλήθους τῶν ἁμαρτημάτων ἔγινε ἄσχημη καὶ αἰσχρή, εἶναι δυνατὸ ἀμέσως νὰ ἐπανέλθει στὴν προηγούμενη ὀμορφιά της, ἂν ἐπιδείξομε μεγάλη καὶ εἰλικρινῆ μετάνοια.

26. Ἀλλ' αὐτὰ τὰ λέγω γιὰ τὸν ἑαυτό μου καὶ γιὰ ἐκείνους ποὺ ἀξιώθηκαν νὰ βαπτισθοῦν ἀπὸ παλαιά. Σεῖς ὅμως οἱ νέοι στρατιῶτες τοῦ Χριστοῦ δεῖξτε πίστη στὰ λόγια μου καὶ φροντίστε μὲ κάθε τρόπο νὰ διατηρήσετε καθαρὸ τὸ ἔνδυμά σας· γιατὶ εἶναι πολὺ καλύτερα νὰ μεριμνᾶτε καὶ νὰ φροντίζετε τώρα γιὰ τὴ λαμπρότητά του, ὥστε νὰ παραμένει διαρκῶς καθαρὸ καὶ νὰ μὴ δεχθεῖ καμιὰ κηλίδα, παρὰ ν' ἀδιαφορήσετε τώρα καὶ ὕστερα νὰ κλαῖτε καὶ νὰ θρηνεῖτε γιὰ νὰ καθαρίσετε τὸ ρύπο ποὺ προξενήθηκε. Μὴ λοιπὸν πάθετε, παρακαλῶ, τὰ ἴδια μὲ μᾶς, ἀλλ' ἂς σᾶς γίνει ἀφορμὴ ἀσφάλειας ἡ ἀδιαφορία τῶν πρὶν ἀπὸ σᾶς.

27. Καὶ σὰν πνευματικοὶ στρατιῶτες, γενναῖοι καὶ ἐπάγρυπνοι, ἔτσι καθημερινὰ νὰ καθαρίζετε τὰ ὅπλα σας τὰ πνευματικά, ὥστε, βλέποντας ὁ ἐχθρός τὴ λάμψη τῶν ὅπλων σας, ν' ἀπομακρυνθεῖ ἀπὸ κοντά σας καὶ νὰ μὴ θελήσει οὔτε κοντά σας νὰ σταθεῖ. Γιατί,

μὴ μόνον ἀστράπτοντα τὰ ὅπλα ἀλλὰ καὶ ὑμᾶς πανταχόθεν πεφραγμένους καὶ τὸν τῆς διανοίας ὑμῶν θησαυρὸν καθάπερ οἶκόν τινα μετὰ ἀκριβείας ἠσφαλισμένον, ἐγκαλυψάμενος ἄπεισιν, εἰδὼς ὡς οὐδὲν αὐτῷ πλέον ἔσται κἂν μυριάκις ἐπιθέσθαι ἐπιχειρήσῃ. Εἰ γὰρ καὶ ἀναίσχυντός ἐστι καὶ ἰταμὸς καὶ θηρίου παντὸς πικρότερος, ἀλλ' ὁρῶν ὑμῶν τὴν παντευχίαν τὴν πνευματικὴν καὶ τὴν ἰσχὺν τὴν παρὰ τοῦ Πνεύματος ὑμῖν δεδομένην, ἀκριβέστερον τὴν οἰκείαν ἀσθένειαν καταμανθάνων μετὰ πολλῆς τῆς αἰσχύνης ἀφίσταται, σφόδρα καταγνοὺς ἑαυτοῦ καὶ γινώσκων ὡς ἀνηνύτοις ἐπιχειρεῖ.

28. Νήφωμεν τοίνυν ἅπαντες, παρακαλῶ, καὶ οἱ πάλαι τῆς δωρεᾶς ταύτης ἀξιωθέντες, ὥστε δυνηθῆναι εἰς τὴν προτέραν εὐμορφίαν ἐπανελθεῖν καὶ τὸν ἐπιγενόμενον ἀποκαθήρασθαι ῥύπον, καὶ οἱ πρόσφατον τῆς φιλοτιμίας ἀπολαύσαντες τῆς βασιλικῆς πολλὴν τὴν ἀγρυπνίαν καὶ τὴν ἀσφάλειαν ἐπιδείξασθε, ὥστε ἐν διηνεκεῖ καθαρότητι διαμένειν καὶ μηδεμίαν ῥυτίδα ἢ σπίλον δέξασθαι ἐκ τῆς τοῦ διαβόλου μηχανῆς, ἀλλ' ὡσανεὶ παρόντος τούτου καὶ πλησίον ἑστῶτος καὶ τὰ τῆς πονηρίας ἐξακοντίζοντος βέλη, οὕτω πανταχόθεν ἑαυτοὺς περιφράττωμεν καὶ μετὰ πολλῆς αὐτῷ τῆς σπουδῆς ἀντιταττώμεθα, πολλὴν τῆς οἰκείας σωτηρίας ποιούμενοι τὴν πρόνοιαν, ἵνα καὶ τὰς ἐκείνου μηχανὰς διαφυγεῖν δυνηθῶμεν καὶ αὐτοὶ ἄτρωτοι διαμείναντες τὴν ἄνωθεν συμμαχίαν ἐπισπασώμεθα, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὅταν δεῖ ὄχι μόνο τὰ ὅπλα σας ἀστραφτερά, ἀλλὰ καὶ σᾶς νὰ εἶστε ἀπὸ παντοῦ περιφραγμένοι καὶ τὸν θησαυρὸ τῆς διάνοιάς σας ἀσφαλισμένο προσεκτικά, σὰν ἀκριβῶς κάποιον οἶκο, θὰ φύγει κρύβοντας τὸ πρόσωπό του, γνωρίζοντας ὅτι δὲν θὰ ἐπιτύχει τίποτε περισσότερο κι ἂν ἀκόμη ἐπιχειρήσει ἀμέτρητες ἐπιθέσεις. Ἂν καὶ βέβαια εἶναι ἀδιάντροπος καὶ θρασὺς καὶ πιὸ μοχθηρὸς ἀπὸ κάθε θηρίο, ἀλλὰ βλέποντας τὴν πνευματικὴ πανοπλία σας καὶ τὴ δύναμη ποὺ σᾶς δόθηκε ἀπὸ τὸ Πνεῦμα, διαπιστώνοντας ἀκριβέστερα τὴν ἀδυναμία του ἀπομακρύνεται μὲ μεγάλη ντροπή, καταδικάζοντας τὸν ἑαυτό του καὶ γνωρίζοντας ὅτι ἐπιχειρεῖ ἀκατόρθωτα.

28. Ἂς εἴμαστε λοιπόν, παρακαλῶ, ὅλοι προσεκτικοί, καὶ ὅσοι ἀξιωθήκαμε νὰ λάβομε ἀπὸ παλαιὰ τὴ δεωρεὰ αὐτή, ὥστε νὰ μπορέσομε νὰ ξαναβροῦμε τὴν παλιά μας ὀμορφιὰ ἀφοῦ καθαρίσομε τὸ ρύπο ποὺ μᾶς δημιουργήθηκε, καὶ ὅσοι πρόσφατα ἀπολαύσατε τὴ βασιλικὴ γενναιοδωρία, δείξατε μεγάλη ἐπαγρύπνηση καὶ αὐξήσατε τὴν ἀσφάλεια, ὥστε νὰ μένετε διαρκῶς καθαροὶ καὶ νὰ μὴ δεχθεῖτε καμιὰ ρυτίδα ἢ κηλίδα ἀπὸ τὶς μηχανορραφίες τοῦ διαβόλου, ἀλλά, σὰν αὐτὸς νὰ εἶναι παρὼν καὶ νὰ στέκεται πλησίον καὶ νὰ ἐξακοντίζει τὰ βέλη τῆς πονηρίας, ἔτσι ἀπὸ παντοῦ ἂς περιφράσσομε τὸν ἑαυτό μας καὶ ἂς ἀντιτασσόμαστε ἀπέναντί του μὲ μεγάλη προθυμία, δείχοντας μεγάλη φροντίδα καὶ τὴ σωτηρία μας, ὥστε καὶ τὶς μηχανορραφίες ἐκείνου νὰ μπορέσομε ν' ἀποφύγομε, καὶ ἀφοῦ διαμείνομε ἄτρωτοι, ν' ἀποσπάσομε τὴν οὐράνια βοήθεια, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΚΑΤΗΧΗΣΙΣ ΣΤ'

ΕΠΙΤΗΜΗΣΙΣ ΠΡΟΣ ΤΟΥΣ ΚΑΤΑΛΙΠΟΝΤΑΣ ΤΗΝ ΣΥΝΑΞΙΝΚ ΚΑΙ ΕΙΣ ΤΑΣ ΙΠΠΟΔΡΟΜΙΑΣ ΚΑΙ ΤΑ ΘΕΑΤΡΑ ΑΠΕΛΘΟΝΤΑΣ ΚΑΙ ΟΣΗΝ ΠΡΟΣΗΚΕΙ ΤΩΝ ΡΑΘΥΜΟΥΝΤΩΝ ΑΔΕΛΦΩΝ ΠΟΙΕΙΣΘΑΙ ΤΗΝ ΕΠΙΜΕΛΕΙΑΝ· ΚΑΙ ΕΙΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ

1. Πάλιν ἱπποδρομίαι καὶ θέατρα σατανικὰ καὶ ὁ σύλλογος ἡμῖν ἐλάττων γίνεται. Διὰ τοῦτο κἀγὼ δεδοικὼς τὴν ἀπὸ τῆς ἀνέσεως καὶ ἀδείας ῥαθυμίαν προλαβὼν παρῄνεσα καὶ παρεκάλεσα τὴν ὑμετέραν ἀγάπην μήτε τὸν συλλεγέντα πλοῦτον ἀπὸ τῆς νηστείας ἐκχεῖν μήτε τὴν ἀπὸ τῶν σατανικῶν θεάτρων λύμην προστρίψασθαι, καὶ ὡς ἔοικεν οὐδὲν ἡμῖν κέρδος ἀπὸ τῆς παραινέσεως γέγονεν. Ἰδοὺ γάρ τινες τῶν ἀκηκοότων τῆς παρ' ἡμῶν διδασκαλίας παρασυρέντες σήμερον καὶ τὴν ἀκρόασιν ταύτην τὴν πνευματικὴν καταλιπόντες ἐκεῖ δεδραμήκασι, πάντα ὑφ' ἓν ἀπὸ τῆς διανοίας τῆς ἑαυτῶν ῥίψαντες, τῆς ἁγίας τεσσαρακοστῆς τὴ μνήμην, τῆς ἀναστασίμου ἡμέρας τὴν σωτήριον ἑορτήν, τῶν θείων μυστηρίων τὴν φρικτὴν καὶ ἀπόρρητον κοινωνίαν, τῆς ἡμετέρας διδασκαλίας τὴν συνέχειαν.

2. Ποίᾳ τοίνυν, εἰπέ μοι, λοιπὸν προθυμίᾳ τῆς συνήθους ἅψομαι διδασκαλίας, ὁρῶν οὐδὲν πλέον κερδαίνοντας ἐκ τῶν παρ' ἡμῶν λεγομένων ἀλλ' ὅσῳ τὰ τῆς διδασκαλίας ἡμῖν ἐπιτείνεται τοσαύτῳ καὶ τὴν ῥᾳθυμίαν, ὡς εἰπεῖν, αὐξουμένην, ὅπερ καὶ ἡμῖν πλείονα τὴν



ΚΑΤΗΧΗΣΗ ΕΚΤΗ

ΕΠΙΤΙΜΗΣΗ ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΕΓΚΑΤΕΛΕΙΨΑΝ ΤΗ ΣΥΝΑΞΗ ΚΑΙ ΠΗΓΑΝ ΣΤΑ ΙΠΠΟΔΡΟΜΙΑ ΚΑΙ ΤΑ ΘΕΑΤΡΑ· ΕΠΙΣΗΣ ΓΙΑ ΤΗ ΦΡΟΝΤΙΔΑ ΠΟΥ ΠΡΕΠΕΙ ΝΑ ΔΕΙΧΝΟΥΜΕ ΓΙΑ ΤΟΥΣ ΑΔΙΑΦΟΡΟΥΣ ΑΔΕΛΦΟΥΣ ΚΑΙ ΣΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ

1. Πάλι ἱπποδρομίες καὶ θέατρα σατανικὰ καὶ ἡ συγκέντρωσή μας γίνεται μικρότερη. Γι' αὐτὸ καὶ ἐγώ, φοβούμενος τὴν ἀδιαφορία ποὺ δημιουργεῖται ἀπὸ τὴν ἄνεση καὶ τὴν ἀφοβία, σᾶς συμβούλευσα ἀπὸ πρὶν καὶ παρακάλεσα τὴν ἀγάπη σας οὔτε τὸν πλοῦτο ποὺ συγκεντρώσατε ἀπὸ τὴ νηστεία νὰ τὸν διασκορπίσετε, οὔτε νὰ προσθέσετε στὸν ἑαυτό σας τὴν ἀπὸ τὰ σατανικὰ θέατρα καταστροφή, καὶ ὅπως φαίνεται δὲν ἀποκομίσατε κανένα κέρδος. Γιατὶ νά, μερικοὶ ποὺ ἄκουσαν τὴ διδασκαλία μου ἐκείνη παρασύρθηκαν σήμερα καί, ἀφοῦ ἐγκατέλειψαν τὴν πνευματικὴ αὐτὴ ἀκρόαση, ἔτρεξαν ἐκεῖ, ἀπορρίπτοντας μέσα σὲ μιὰ στιγμὴ ἀπὸ τὴ σκέψη τους ὅλα, τὴν ἀνάμνηση δηλαδὴ τῆς ἁγίας τεσσαρακοστῆς, τὴ σωτήρια ἑορτὴ τῆς ἀναστάσιμης ἡμέρας, τὴν φρικτὴ καὶ ἀπόρρητη κοινωνία τῶν θείων μυστηρίων, τὴ συνέχεια τῆς δικῆς μου διδασκαλίας.

2. Μὲ ποιά λοιπόν, πές μου, προθυμία νὰ συνεχίσω πιὰ τὴ συνηθισμένη διδασκαλία, βλέποντας νὰ μὴ κερδίζετε τίποτε ἐπὶ πλέον ἀπὸ τὰ λεγόμενά μου, ἀλλὰ ὅσο περισσότερο παρατείνεται ἡ διδασκαλία μου, τόσο καὶ πιὸ πολὺ αὐξάνεται, ὅπως θὰ μποροῦσα νὰ πῶ, ἡ ἀδιαφορία σας, πράγμα ποὺ καὶ σὲ μένα κάμνει μεγα-

ὀδύνην ἐργάζεται καὶ ἐκείνοις μείζονα προξενεῖ τὴν κατάκρισιν. Μᾶλλον δὲ οὐκ ὀδύνη μόνον, ἀλλὰ καὶ μείζων ἡμῖν ἡ ἀθυμία γίνεται· καθάπερ γὰρ γηπόνος ἐπειδὰν ἴδῃ μετὰ τοὺς πολλοὺς πόνους καὶ τοὺς μόχθους μηδὲν ἄξιον τῶν πόνων τὴν γῆν παρέχουσαν ἀλλὰ πέτραν ἄγονον μιμουμένην, ὀκνηρότερος λοιπὸν καθίσταται πρὸς τὴν ταύτης ἐργασίαν, ὁρῶν εἰκῇ καὶ μάτην ἑαυτὸν πονούμενον, τὸν αὐτὸν δὴ τρόπον καὶ διδάσκαλος, ἐπειδὰν θεάσηται μετὰ τὴν πολλὴν ἐπιμέλειαν καὶ τὴν συνεχῆ διδασκαλίαν τοὺς μαθητευομένους ἐπὶ τῆς αὐτῆς ῥᾳθυμίας μένοντας, οὐκ ἄν ποτε δύναιτο μετὰ τῆς αὐτῆς προθυμίας τὴν πνευματικὴν διδασκαλίαν προΐεσθαι, καίτοι γε ἐνταῦθα οὐδὲ τῆς ἀμοιβῆς τῶν πόνων αὐτῷ ἐλαττουμένης ἀπὸ τῆς ῥᾳθυμίας τῶν ἀκροατῶν.

3. Οὐδὲ γὰρ ὅπερ ἔστιν ἐπὶ τῆς γῆς ἰδεῖν, τοῦτο καὶ ἐπὶ τῆς πνευματικῆς διδασκαλίας συμβαίνει. Ἐκεῖ μὲν γὰρ ὅταν ἡ γῆ διαψεύσηται, κεναῖς οἴκαδε χερσὶν ὁ γηπόνος ἀναχωρεῖ, οὐδεμίαν τῶν πόνων παραμυθίαν εὑρεῖν δυνηθείς, ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ κἂν ἐπὶ τῆς αὐτῆς ῥᾳθυμίας μένωσιν οἱ μαθητευόμενοι κἂν μηδεὶς ὠφελῆται ἐκ τῶν λεγομένων, ὅταν ὁ διδάσκαλος μηδὲν τῶν προσηκόντων εἰς αὐτὸν παραλίπῃ, καὶ οὕτω τὰς ἀμοιβὰς τῶν πόνων μετὰ δαψιλείας κομίζεται, τοῦ φιλανθρώπου Θεοῦ οὐ διὰ τὴν ἐκείνων ῥᾳθυμίαν ὑποτεμνομένου τῶν πόνων τοὺς μισθούς, ἀλλὰ κἄν τε ἀκούουσι κἄν τε μὴ ἀκούωσι, δαψιλεῖς παρέχοντος τὰς ἀντιδόσεις.

4. Ἀλλ' ἐπειδὴ οὐ τοῦτο σκοποῦμεν μόνον εἰ τὰ τῶν μισθῶν ἀκέραια ἡμῖν μένει καὶ τὰ τῶν ἀντιδόσεων, ἀλλὰ καὶ τὸ ὑμέτερον κέρδος καὶ τὴν ὠφέλειαν τὴν ὑμετέραν περὶ πολλοῦ ποιούμεθα, οἰκείαν ζημίαν κρίνοντες τὴν ὑμετέραν ῥᾳθυμίαν, διὰ τοῦτο καὶ ἀκρωτηριάζεσθαι ἡμῖν λογιζόμεθα τὰ τῆς ἡδονῆς καὶ μάλιστα ὅταν ἐννοήσωμεν ὅτι τοῦτο αὐτὸ πλείονος κατακρίσεως αἴτιον γίνεται τοῖς μετὰ τοσαύτην παραίνεσιν ἐπὶ τῆς αὐτῆς ῥᾳθυμίας μένουσι καὶ μηδὲν κερδαίνειν βουλομένοις ἀπὸ τῆς συνεχοῦς διδασκαλίας.

5. Ὅπερ δὲ καὶ ὁ Χριστὸς ἔλεγε περὶ τῶν Ἰουδαίων· «εἰ μὴ

λύτερο τὸν πόνο καὶ σ' ἐκείνους προξενεῖ μεγαλύτερη κατάκριση; Ἢ καλύτερα δὲν μοῦ προξενεῖ μόνο πόνο, ἀλλὰ καὶ ἡ λύπη μου γίνεται μεγαλύτερη. Γιατί, ὅπως ἀκριβῶς ὁ γεωργὸς ὅταν δεῖ μετὰ τοὺς πολλοὺς κόπους καὶ μόχθους νὰ μὴ παρέχει ἡ γῆ τίποτε ἄξιο τῶν κόπων του, ἀλλὰ νὰ εἶναι ἄγονη σὰν πέτρα, γίνεται στὴ συνέχεια πιὸ ἀπρόθυμος γιὰ τὴν καλλιέργεια αὐτῆς, βλέποντας τὸν ἑαυτό του ἄδικα καὶ στὰ χαμένα νὰ κοπιάζει. Κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ ὁ δάσκαλος, ὅταν δεῖ τοὺς μαθητές του μετὰ τὴ μεγάλη φροντίδα καὶ τὴ συνεχῆ διδασκαλία νὰ δείχνουν τὴν ἴδια ἀδιαφορία, δὲ θὰ μπορέσει ποτὲ στὴ συνέχεια μὲ τὴν ἴδια προθυμία νὰ συνεχίσει τὴν πνευματικὴ διδασκαλία, ἂν καὶ βέβαια στὴν περίπτωση αὐτὴ δὲν μειώνεται ἡ ἀμοιβὴ γιὰ τοὺς κόπους του ἀπὸ τὴν ἀδιαφορία τῶν ἀκροατῶν.

3. Γιατὶ στὴν περίπτωση τῆς πνευματικῆς διδασκαλίας δὲν συμβαίνει τὸ ἴδιο μὲ ἐκεῖνο ποὺ συμβαίνει μὲ τὴ γῆ. Στὴν περίπτωση δηλαδὴ τῆς γῆς ὅταν αὐτὴ διαψεύσει τὶς ἐλπίδες ὁ γεωργὸς γυρίζει στὸ σπίτι μὲ ἄδεια χέρια, μὴ μπορώντας νὰ βρεῖ καμιὰ παρηγοριὰ γιὰ τοὺς κόπους του, ἐνῶ ἐδῶ δὲν συμβαίνει τὸ ἴδιο, ἀλλὰ κι ἂν ἀκόμη δείχνουν οἱ μαθητὲς τὴν ἴδια ἀδιαφορία, κι ἂν ἀκόμη δὲν ὠφελεῖται κανένας ἀπὸ τὰ λεγόμενα, ὅταν ὁ δάσκαλος δὲν παραλείπει τίποτε ἀπὸ ἐκεῖνα ποὺ πρέπει νὰ κάμνει, καὶ τότε ἀπολαμβάνει πλουσιοπάροχα τὶς ἀμοιβὲς τῶν κόπων του, γιατὶ ὁ φιλάνθρωπος Θεὸς δὲν μειώνει τὶς ἀμοιβὲς τῶν κόπων του ἐξ αἰτίας τῆς ἀδιαφορίας ἐκείνων, ἀλλ' εἴτε ἀκούουν εἴτε δὲν ἀκούουν, παρέχει πλούσιες τὶς ἀνταμοιβές.

4. Ἀλλ' ἐπειδὴ δὲν σκέπτομαι αὐτὸ μόνο, ἐὰν μᾶς ἐπιφυλάσσονται ἀκέραια τὰ τῶν μισθῶν καὶ τῶν ἀνταμοιβῶν, ἀλλὰ μ' ἐνδιαφέρει πάρα πολὺ καὶ τὸ δικό σας κέρδος καὶ ἡ δική σας ὠφέλεια, θεωρώντας ζημιά μου τὴ δική σας ἀδιαφορία, γι' αὐτὸ ἀναλογίζομαι ὅτι καὶ μειώνεται ἡ δική μου ἡδονὴ καὶ μάλιστα ὅταν σκεφθῶ ὅτι αὐτὸ ἀκριβῶς θὰ γίνει αἰτία μεγαλύτερης καταδίκης γιὰ ἐκείνους ποὺ μετὰ ἀπὸ τόσες συμβουλὲς δείχνουν τὴν ἴδια ἀδιαφορία καὶ δὲν θέλουν νὰ κερδίσουν τίποτε ἀπὸ τὴ συνεχῆ διδασκαλία.

5. Καὶ αὐτὸ ἀκριβῶς ποὺ ἔλεγε ὁ Χριστὸς γιὰ τοὺς Ἰουδαίους,

ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν», τοῦτο καὶ ἡμῖν ἁρμόσει νῦν λέγειν περὶ τῶν προτιμησάντων τῆς ἐνταῦθα συνελεύσεως τὴν ἔξω διατριβὴν καὶ τὰς ἐπιβλαβεῖς συνουσίας καὶ τὰς ἱπποδρομίας καὶ τὰ τοῦ διαβόλου θέατρα. Εἰ μὴ προλαβόντες τοσαύτην ἐποιησάμεθα τὴν παραίνεσιν, διὰ παντὸς τοῦ χρόνου ἐνηχοῦντες, παρακαλοῦντες καθάπερ τὰ παιδία τὰ μικρά, οὕτω καθ' ἑκάστην ἡμέραν διὰ τῆς συνεχοῦς διδασκαλίας προτρεπόμενοι ἐπὶ τὴν τῆς ἀρετῆς ὁδόν, δεικνύντες τῆς κακίας τὴν λύμην, διεγείροντες πρὸς τὴν τῶν ἤδη ἐπταισμένων διόρθωσιν, εἰ μὴ τοίνυν προλαβόντες ταῦτα ἅπαντα πεποιήκαμεν, τάχα ἄν τις αὐτοὺς καὶ συγγνώμης ἠξίωσε.

6. Νυνὶ δὲ ποίαν ἕξουσι ἀπολογίαν; τίς αὐτοῖς συγγνώμης μεταδώσει, ὅταν μὴ μόνον αὐτοὶ πολλὴν ἐκ τῆς τοσαύτης ῥᾳθυμίας τὴν βλάβην δέχωνται ἀλλὰ καὶ ἑτέροις σκανδάλου ὑπόθεσις γίνωνται, καὶ μήτε ὁ γέρων εἰς ἔννοιαν λαμβάνῃ τῆς ἡλικίας τὸν χρόνον, τῆς τελευτῆς τὴν ἔξοδον, τοῦ φορτίου τῶν ἤδη ἡμαρτημένων τὸ μέγεθος, ἀλλὰ καθ' ἑκάστην ἡμέραν αὔξῃ τὰ πλημμελήματα καὶ τοῖς νέοις τὴν ἡλικίαν διδάσκαλος ῥᾳθυμίας γίνηται; Πότε γάρ, εἰπέ μοι, ὁ τοιοῦτος δυνήσεται τοῦ παιδὸς τὴν ῥᾳθυμίαν διορθῶσαι καὶ τὸν νέον ἀκοσμοῦντα σωφρονίσαι, αὐτὸς οὐδὲ ὑπὸ τοῦ χρόνου τῆς ἡλικίας σωφρονιζόμενος καὶ μέλλων εὐθύνας ὑπέχειν οὐ μόνον ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀλλὰ καὶ ὑπὲρ ὧν ἑτέροις ῥᾳθυμίας διδάσκαλος γίνεται, μηδὲ οὕτως ἀπέχεται τῆς πονηρᾶς ταύτης συνηθείας;

7. Ὥσπερ γὰρ ὁ τὴν ἀρετὴν μετιὼν οὐ μόνον ὑπὲρ τῶν οἰκείων πόνων ἀναμένει τὰς ἀμοιβὰς ἀλλὰ καὶ τῆς ἑτέρων ὠφελείας καρποῦται τὸν μισθόν, πολλοὺς εἰς ζῆλον καὶ μίμησιν ἄγων τῆς οἰκίας ἀρετῆς, τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ τὴν κακίαν μετιόντες μείζους ὑπέχουσι τὰς εὐθύνας τῷ καὶ ἑτέροις ῥᾳθυμίας ὑπόθεσις γίνεσθαι. Τί οὖν λοιπὸν τοῖς νέοις ἐγκαλέσομεν, τῶν γεγηρακότων εἰς τοσαύτην ῥᾳθυμίαν ἀποκλινάντων καὶ μηδὲ τῆς παραινέσεως τῆς

1. Ἰω. 15,22.

«ἂν δὲν ἐρχόμουν καὶ δὲν τοὺς μιλοῦσα, ἁμαρτία δὲ θὰ εἶχαν· τώρα ὅμως δὲν ἔχουν δικαιολογία γιὰ τὴν ἁμαρτία»[1], αὐτὸ ταιριάζει καὶ ἐγὼ νὰ πῶ τώρα γιὰ ἐκείνους ποὺ προτίμησαν ἀντὶ τῆς ἐδῶ συγκεντρώσεως τὶς ἔξω διασκεδάσεις, τὶς ἐπιβλαβεῖς συγκεντρώσεις, τὶς ἱπποδρομίες καὶ τὰ θέατρα τοῦ διαβόλου. Ἂν δὲν φρόντιζα ἀπὸ πρὶν νὰ τοὺς συμβουλεύσω τόσο πολύ, ὅλο τὸν καιρὸ νὰ φωνάζω καὶ νὰ τοὺς παρακαλῶ σὰν τὰ μικρὰ παιδιά, ἔτσι καθημερινὰ νὰ τοὺς προτρέπω μὲ τὴ συνεχῆ διδασκαλία πρὸς τὴν ὁδὸ τῆς ἀρετῆς, δείχνοντας τῆς κακίας τὴν καταστροφή, διαγείροντάς τους νὰ διωρθώσουν τὰ πταίσματα ποὺ ἤδη διέπραξαν, ἂν λοιπὸν δὲν τὰ εἶχα κάνει ὅλα αὐτὰ ἀπὸ πρίν, ἴσως κάποιος θὰ μποροῦσε νὰ τοὺς συγχωρήσει.

6. Τώρα ὅμως ποιά δικαιολογία θὰ ἔχουν; ποιός θὰ τοὺς δώσει συγχώρηση, ὅταν ὄχι μόνο αὐτοὶ δέχονται μεγάλη βλάβη ἀπὸ τὴν τόσο μεγάλη ἀδιαφορία, ἀλλὰ γίνονται καὶ σ' ἄλλους ἀφορμὴ σκανδάλου, καὶ οὔτε ὁ γέρος σκέπτεται τὴν ἡλικία του, τὸ πλησίασμα τοῦ θανάτου του, τὸ μέγεθος τῶν ἁμαρτημάτων ποὺ μέχρι τώρα διέπραξε, ἀλλὰ καθημερινὰ αὐξάνει τὰ πλημμελήματα καὶ γίνεται στοὺς νέους κατὰ τὴν ἡλικία δάσκαλος ἀδιαφορίας; Πές μου λοιπόν, πότε ὁ ἄνθρωπος αὐτὸς θὰ μπορέσει νὰ διορθώσει τὴν ἀδιαφορία τοῦ παιδιοῦ καὶ νὰ σωφρονίσει τὸν νέο ποὺ κάμνει ἄκοσμη ζωή, τὴ στιγμὴ ποὺ αὐτὸς δὲ σωφρονίζεται οὔτε ἀπὸ τὸ χρόνο τῆς ἡλικίας του, καί, ἐνῶ πρόκειται νὰ λογοδοτήσει ὄχι μόνο γιὰ τὰ ὅσα διέπραξε ὁ ἴδιος, ἀλλὰ καὶ γιὰ ἐκεῖνα μὲ τὰ ὁποῖα ἔγινε στοὺς ἄλλους δάσκαλος ἀδιαφορίας, οὔτε ἔτσι ἀπομακρύνεται ἀπὸ τὴν κακὴ αὐτὴ συνήθεια;

7. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ ἀσκεῖ τὴν ἀρετὴ δὲν περιμένει τὴν ἀμοιβὴ μόνο τῶν κόπων του, ἀλλὰ καρποῦται καὶ τὸν μισθὸ τῆς ὠφέλειας τῶν ἄλλων, ὁδηγώντας πολλοὺς σὲ ζῆλο καὶ μίμηση μὲ τὴ δική του ἀρετή, κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ ἐκεῖνοι ποὺ ζοῦν μέσα στὴν κακία θὰ κριθοῦν περισσότερο ὑπεύθυνοι γιὰ τὸ ὅτι γίνονται ἀφορμὴ ἀδιαφορίας καὶ στοὺς ἄλλους. Πῶς λοιπὸν νὰ κατηγορήσομε πιὰ τοὺς νέους, τὴ στιγμὴ ποὺ οἱ γέροντες ἔφθασαν σὲ τόση ἀδιαφορία, καὶ δὲν ἀκοῦν οὔτε καὶ τὴν ἀπο-

ἀποστολικῆς ἀκουόντων τῆς λεγούσης, «ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ»;

8. Εἶδες σπλάγχνα ἀποστολικὰ οἵαν συμβουλὴν εἰσήγαγε, δεδοικὼς σφόδρα καὶ τρέμων διὰ τοὺς ἐκ τῆς ἡμετέρας ῥᾳθυμίας βλαπτομένους καὶ εἰδὼς ὡς οὐ μικρὸς κείσεται κίνδυνος τοῖς τὴν ἑτέρων ῥᾳθυμίαν ἐπιτείνουσι; Διὸ καὶ ἑτέροις παραινῶν διὰ πάντων τῆς ἀρετῆς ποιεῖσθαι πρόνοιαν ἔλεγεν· «εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε». Σκόπει μοι παραίνεσιν ἀκριβεστάτην. Πάντα, φησίν, ἅπερ μεταχειρίζῃ καὶ διαπράττῃ, ῥίζαν καὶ ὑπόθεσιν ταύτην ἐχέτω τὸ εἰς δόξαν Θεοῦ συντείνειν καὶ μηδὲν γινέσθω παρὰ σοῦ ὃ μὴ ταύτην ἔχει τὴν ὑπόθεσιν. «Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ἕτερον ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε».

9. Καὶ πῶς ἔστι, φησίν, εἰς δόξαν Θεοῦ ἐσθίειν καὶ πίνειν; Ὅταν καθήμενος ἐπὶ τῆς τραπέζης εὐχαριστῇς τῷ δεδωκότι, ὅταν ἐπιγινώσκῃς τὸν χορηγόν, ὅταν μηδεμίαν βιωτικὴν ἐπεισαγάγῃς διάλεξιν, ἀλλὰ μετὰ πολλῆς τῆς σωφροσύνης τὴν χρείαν τοῦ σώματος πληρώσας καὶ τὴν ἀμετρίαν καὶ τὴν ἀδηφαγίαν ἐκκλίνας, ἀναστὰς εὐχαριστήσῃς τῷ τὴν τροφὴν παρασχόντι εἰς σύστασιν ἡμετέραν, τότε εἰς δόξαν Θεοῦ πάντα ἐποίησας. «Εἴτε γὰρ ἐσθίετε», φησίν, «εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε».

10. Θέα μοι πῶς διὰ τῆς βραχείας ταύτης λέξεως πάντα τὸν βίον ἡμῶν συμπεριέλαβεν· εἰπὼν γὰρ «εἴτε τι ποιεῖτε», πᾶσαν ἡμῶν τὴν ζωὴν ἑνὶ ῥήματι περιέκλεισε, βουλόμενος ἡμᾶς πανταχοῦ μηδὲν πρὸς ἀνθρωπίνην δόξαν ἀφορῶντας διαπράττεσθαι τῶν τῆς ἀρετῆς ἔργων. Καὶ οὐ τοῦτο μόνον, ἀλλ' εἰπών, «εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε», καὶ ἕτερον ἡμῖν αἰνίττεται, τὸ πάντῃ τῶν τῆς κακίας ἔργων ἀπέχεσθαι καὶ μηδὲν πράττειν ὃ μὴ φέρει δόξαν τῷ κοινῷ πάντων Δεσπότῃ. Κἂν τε οὖν ἀρετὴν μετίω-

2. Α' Κορ. 10,32. 3. Α' Κορ. 10,31.

στολικὴ συμβουλὴ ποὺ λέγει, «μὴ γίνεσθε αἰτία πτώσεως στοὺς Ἰουδαίους, στοὺς ἐθνικοὺς καὶ στὴν Ἐκκλησία τοῦ Θεοῦ»[2];

8. Εἶδες σπλάχνα ἀποστολικὰ ποιά συμβουλὴ ἔδωσε, φοβούμενος ὑπερβολικὰ καὶ τρέμοντας γιὰ ἐκείνους ποὺ βλάπτονται ἀπὸ τὴ δική μας ἀδιαφορία καὶ γνωρίζοντας ὅτι δὲν ἐπιφυλάσσεται μικρὸς κίνδυνος γιὰ ἐκείνους ποὺ αὐξάνουν τὴν ἀδιαφορία τῶν ἄλλων; Γι' αὐτό, προτρέποντάς τους καὶ μὲ ἄλλες συμβουλὲς ὥστε μὲ ὅλα νὰ φροντίζουν γιὰ τὴν ἀρετή, ἔλεγε· «εἴτε τρώγετε, εἴτε πίνετε, εἴτε κάμνετε κάτι ἄλλο, ὅλα νὰ τὰ κάμνετε γιὰ τὴ δόξα τοῦ Θεοῦ»[3]. Πρόσεχε, σὲ παρακαλῶ, συμβουλὴ ἀκριβέστατη. Ὅλα, λέγει, ὅσα ἐνεργεῖς καὶ κάμνεις, ἂς ἔχουν ρίζα καὶ αἰτία αὐτό, τὸ νὰ συντελοῦν στὴ δόξα τοῦ Θεοῦ καὶ τίποτε νὰ μὴ γίνεται ἀπὸ σένα ποὺ νὰ μὴ ἔχει αὐτὸ σὰν αἰτία. «Εἴτε λοιπὸν τρώγετε, εἴτε πίνετε, εἴτε κάμνετε κάτι ἄλλο, ὅλα νὰ τὰ κάμετε γιὰ τὴ δόξα τοῦ Θεοῦ».

9. Καὶ πῶς εἶναι δυνατό, λέγει, νὰ τρώγει κανεὶς καὶ νὰ πίνει γιὰ τὴ δόξα τοῦ Θεοῦ; Ὅταν κάθεσαι στὸ τραπέζι καὶ εὐχαριστεῖς ἐκεῖνον ποὺ σοῦ ἔδωσε τὰ ἀγαθά, ὅταν ἀναγνωρίζεις τὸν χορηγό, ὅταν δὲν κάμνεις καμιὰ συζήτηση σ' αὐτὸ γιὰ κοσμικὰ πράγματα, ἀλλά, ἀφοῦ μὲ πολλὴ σωφροσύνη ἱκανοποιήσεις τὴν ἀνάγκη τοῦ σώματος, ἀποφεύγοντας τὸ πέρα ἀπὸ τὸ μέτρο καὶ τὴν πολυφαγία, σηκωθεῖς καὶ εὐχαριστήσεις ἐκεῖνον ποὺ ἔδωσε τὴν τροφὴ γιὰ τὴ συντήρησή μας, τότε ὅλα τὰ ἔκαμες γιὰ τὴ δόξα τοῦ Θεοῦ. Γιατὶ λέγει, «εἴτε τρώγετε, εἴτε πίνετε, εἴτε κάμνετε κάτι ἄλλο, ὅλα νὰ τὰ κάμνετε γιὰ τὴ δόξα τοῦ Θεοῦ».

10. Πρόσεχε, σὲ παρακαλῶ, πῶς μὲ τὰ σύντομα αὐτὰ λόγια συμπεριέλαβε ὅλη τὴ ζωή μας· γιατί, μὲ τὸ νὰ πεῖ, «εἴτε κάμνετε κάτι ἄλλο», περιέκλεισε μέσα σὲ μιὰ φράση ὅλη τὴ ζωή μας, θέλοντας μ' αὐτὸ νὰ μᾶς πεῖ, ὅτι παντοῦ κανένα ἀπὸ τὰ ἔργα τῆς ἀρετῆς δὲν πρέπει νὰ τὸ κάμνομε ἀποβλέποντας σὲ δόξα ἀνθρώπινη. Καὶ ὄχι αὐτὸ μόνο, ἀλλὰ λέγοντας, «εἴτε κάμνετε κάτι ἄλλο, ὅλα νὰ τὰ κάμνετε γιὰ τὴ δόξα τοῦ Θεοῦ», καὶ κάτι ἄλλο μᾶς ὑπαινίσσεται, τὸ νὰ ἀπέχομε τελείως ἀπὸ τὰ ἔργα τῆς κακίας καὶ νὰ μὴ κάμνομε τίποτε ποὺ δὲν προσφέρει δόξα στὸν κοινὸ Κύριο ὅλων.

μεν, τοῦτο σκοπῶμεν πρὸ πάντων τὸν παρὰ τοῦ μόνου Θεοῦ ἔπαινον κομίζεσθαι καὶ μηδεὶς ἡμῖν ἔσται λόγος τῆς παρὰ τῶν ἀνθρώπων εὐφημίας, κἄν τε ῥᾳθυμῶμεν, ἐκεῖνο ἡμᾶς φοβείτω καὶ τὸν λογισμὸν ἡμῶν συστελλέτω, τὸ κριτήριον ἐκεῖνο λέγω τὸ ἀδέκαστον, καὶ ἡ τῆς φοβερᾶς ἐκείνης ἡμέρας ἐπέλευσις καὶ τὸ εἰς βλασφημίαν τοῦ Θεοῦ τείνειν τὰ παρ' ἡμῶν γινόμενα. Ὥσπερ οὖν ἐπὶ τῶν τὴν ἀρετὴν μετιόντων φησί, «τοὺς δοξάζοντάς με δοξάσω», οὕτως ἄκουε πάλιν τοῦ προφήτου λέγοντος· «οὐαὶ ὑμῖν ὅτι δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν».

11. Ὁρᾷς πόση τοῦ ῥήματος ἡ ἀγανάκτησις; Πῶς δὲ ἔστι δοξάσαι τὸν Θεόν; Διὰ τοῦ εἰς δόξαν τοῦ Θεοῦ ζῆν καὶ οὕτως ἡμῶν λάμπειν τὸν βίον καθάπερ καὶ ἀλλαχοῦ ἔλεγε· «λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Οὐδὲν γὰρ οὕτω ποιεῖ δοξάζεσθαι τὸν Δεσπότην τὸν ἡμέτερον ὡς ἀρίστη πολιτεία. Καθάπερ γὰρ τὸ ἡλιακὸν φῶς ταῖς οἰκείαις ἀκτῖσι καταυγάζει τῶν ὁρώντων τὰς ὄψεις, οὕτω καὶ ἀρετὴ πάντας τοὺς ὁρῶντας ἐπισπωμένη πρὸς τὴν ἑαυτῆς θέαν, εἰς δοξολογίαν κινεῖ τοῦ Δεσπότου τοὺς εὖ φρονοῦντας. Πάντα τοίνυν ἂν πράττωμεν, οὕτως αὐτὰ πράττωμεν ὡς εἰς δοξολογίαν κινεῖν ἕκαστον τῶν ὁρώντων· φησὶ γάρ· «εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε».

12. Οἷόν τι λέγω; Κἂν συντυχεῖν τινί ποτε βουληθῇς, μὴ τοὺς ἐν εὐμερίαις καὶ τῇ περιφανείᾳ τῇ κατὰ τὸν κόσμον τυγχάνοντας θεραπεύειν σπούδαζε, ἀλλὰ τοὺς ἐν θλίψεσι, τοὺς ἐν περιστάσεσι, τοὺς ἐν δεσμωτηρίοις, τοὺς πανταχόθεν ἐρήμους καὶ μηδεμιᾶς ἀπολαύοντας παρακλήσεως. Ἐκείνων τὴν συντυχίαν περὶ πολλοῦ ποιοῦ· πολὺ γὰρ ἐξ ἐκείνων δέξῃ τὸ κέρδος καὶ φιλοσοφώτερος μᾶλλον

---

4. Α' Βασ. 2,30.
5. Ἠσ. 52,5 καὶ πρβλ. Ἰεζ. 36,20.
6. Ματθ. 5,16.

Εἴτε λοιπὸν ἀσκοῦμε τὴν ἀρετή, σ' αὐτὸ ν' ἀποβλέπομε πρὸ πάντων, στὸ ν' ἀποσποῦμε τὸν ἔπαινο μόνο ἀπὸ τὸ Θεὸ καὶ νὰ μὴ μᾶς ἐνδιαφέρει καθόλου ὁ ἔπαινος ἐκ μέρους τῶν ἀνθρώπων, εἴτε πάλι δείχνομε ἀδιαφορία, ἐκεῖνο νὰ μᾶς φοβίζει καὶ νὰ ταπεινώνει τὸ λογισμό μας, ἐννοῶ τὸ ἀδέκαστο ἐκεῖνο κριτήριο, καὶ ὁ ἐρχομὸς τῆς φοβερῆς ἐκείνης ἡμέρας καὶ τὸ νὰ γίνονται τὰ ἔργα μας αἰτία νὰ βλασφημεῖται ὁ Θεός. Ὅπως ἀκριβῶς δηλαδὴ λέγει γιὰ ἐκείνους ποὺ ἀσκοῦν τὴν ἀρετή, «θὰ δοξάσω ἐκείνους ποὺ μὲ δοξάζουν»[4], ἔτσι ἄκουε πάλι τὸν προφήτη ποὺ λέγει· «ἀλλοίμονό σας, γιατὶ ἐξ αἰτίας σας βλασφημεῖται τὸ ὄνομά μου μεταξὺ τῶν ἐθνικῶν»[5].

11. Βλέπεις πόση ἀγανάκτηση δείχνει ὁ λόγος αὐτός; Καὶ πῶς εἶναι δυνατὸ νὰ δοξάσομε τὸ Θεό; Μὲ τὸ νὰ ζοῦμε γιὰ τὴ δόξα τοῦ Θεοῦ καὶ νὰ λάμπει ἔτσι ἡ ζωή μας, ὅπως ἀκριβῶς καὶ ἀλλοῦ ἔλεγε· «ἂς λάμψει τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ βρίσκεται στοὺς οὐρανούς»[6]. Πραγματικὰ τίποτε δὲν συντελεῖ τόσο στὸ νὰ δοξάζεται ὁ Κύριός μας ὅσο ὁ ἄριστος τρόπος ζωῆς. Γιατί, ὅπως ἀκριβῶς τὸ ἡλιακὸ φῶς καταφωτίζει μὲ τὶς ἀκτίνες του τὰ πρόσωπα ἐκείνων ποὺ τὸ βλέπουν, ἔτσι καὶ ἡ ἀρετὴ ἀποσπώντας πρὸς τὸν ἑαυτό της ὅλους ἐκείνους ποὺ τὴ βλέπουν, ὁδηγεῖ ἐκείνους ποὺ σκέπτονται συνετὰ στὴ δοξολογία τοῦ Κυρίου. Ὅλα λοιπὸν ἐκεῖνα ποὺ πράττομε, ἔτσι νὰ τὰ πράττομε, ὥστε νὰ ὁδηγοῦν τὸν καθένα ἀπὸ ἐκείνους ποὺ βλέπουν στὴ δοξολογία τοῦ Θεοῦ· γιατὶ λέγει· «εἴτε κάμνετε κάτι ἄλλο, ὅλα νὰ τὰ κάμνετε γιὰ τὴ δόξα τοῦ Θεοῦ».

12. Τί ἐννοῶ μ' αὐτὸ ποὺ λέγω; Ἂν θελήσεις κάποτε νὰ συναναστρεφεῖς κάποιον, φρόντιζε νὰ προσφέρεις τὶς ὑπηρεσίες σου ὄχι σ' ἐκείνους ποὺ εὐημεροῦν καὶ ἀπολαμβάνουν τὴν κοσμικὴ λαμπρότητα, ἀλλὰ σ' ἐκείνους ποὺ ζοῦν μέσα στὶς θλίψεις, ποὺ ἀντιμετωπίζουν δύσκολες καταστάσεις, ποὺ βρίσκονται στὶς φυλακές, ποὺ εἶναι ἀπὸ παντοῦ ἔρημοι καὶ δὲν ἀπολαμβάνουν καμιὰ παρηγοριά. Ἐκείνων τὴ συναστροφὴ νὰ θεωρεῖς καλύτερη ἀπ' ὅλες· γιατὶ θὰ λάβεις ἀπὸ ἐκείνους μεγάλο κέρδος, θὰ γίνεις περισσότερο

ἔσῃ καὶ εἰς δόξαν Θεοῦ τὸ πᾶν ἐργάσῃ. Κἂν ἐπισκέπτεσθαι δέῃ ὀρφανοὺς καὶ χήρας καὶ τοὺς ἐν πολλῇ εὐτελείᾳ τυγχάνοντας μᾶλλον προτίμα τῶν ἐν δόξῃ καὶ περιφανείᾳ. Αὐτὸς γάρ ἐστιν ὁ εἰρηκώς· «ἐγώ ἐμι Πατὴρ ὀρφανῶν καὶ κριτὴς χηρῶν». Καὶ πάλιν· «κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήραν καὶ δεῦτε καὶ διαλεχθῶμεν, λέγει Κύριος».

13. Κἂν ἁπλῶς ἐπὶ τῆς ἀγορᾶς παραγενέσθαι βούλῃ, μνημόνευε τῆς ἀποστολικῆς παραινέσεως τῆς λεγούσης· «εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε». Μὴ εἰς ἀνοήτους καὶ ἐπιβλαβεῖς συνουσίας τὸν καιρὸν ἀνάλισκε, ἀλλὰ πρὸς τὸν τοῦ Θεοῦ οἶκον τὸν δρόμον ποιοῦ, ἵν' ὁμοῦ τὸ σῶμα καὶ ἡ ψυχὴ μεγίστην δέξηται τὴν ὠφέλειαν. Κἂν διαλεγώμεθα πρός τινας, μετ' ἐπιεικείας καὶ πολλῆς τῆς πραότητος τοῦτο ποιῶμεν καὶ μὴ ἀνεχώμεθα βιωτικὰς καὶ οὐδὲν ὄφελος ἐχούσας διαλέξεις ἀποτείνειν, ἀλλὰ τοιαῦτα διαλέγεσθαι ἃ καὶ τοῖς ἀκούουσι πολλὴν παρέξει τὴν ὠφέλειαν καὶ ἡμᾶς πάσης μέμψεως ἐλευθερώσει.

14. Ταῦτα οὐχ ἁπλῶς ἐκίνησα νῦν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἀλλ' ἵνα μάθητε ὅσης ἡμῖν ἀσφαλείας δεῖ εἰ βουλόμεθά τινα ποιεῖσθαι φροντίδα τῆς σωτηρίας τῆς ἡμετέρας καὶ ὅσης εἰσὶ καταγνώσεως ἄξιοι οἱ τῆς ἐνταῦθα συνελεύσεως καὶ τῆς πνευματικῆς ταύτης διδασκαλίας προτιμῶντες τὰς ἔξω διατριβὰς καὶ τὰς ἀνοήτους καὶ ἐπιβλαβεῖς συνουσίας καὶ τὰς ἱπποδρομίας καὶ τὰ σατανικὰ καὶ ὀλέθρια θέατρα καὶ οὐδὲ τοῦ μακαρίου Παύλου ἀκούοντες λέγοντος· «ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ».

15. Ποία γὰρ τοῖς τοιούτοις λείπεται συγγνώμη, τίς δὲ ἀπολογία ὅταν ὁ Χριστιανὸς καὶ τῆς ἐντεῦθεν μετέχων διδασκαλίας καὶ τῶν φρικτῶν καὶ ἀπορρήτων μυστηρίων ἀπολαύων μεταξὺ τοῦ Ἰουδαίου καὶ τοῦ Ἕλληνος ἀναστρέφηται κἀκείνοις χαίρῃ οἷς καὶ ἐκεῖνοι ἥδονται; Πότε δυνησόμεθα λοιπόν, εἰπέ μοι, τὸν πλανώμενον εἰς τὴν ἀλήθειαν χειραγωγῆσαι καὶ εἰς τὴν εὐσέβειαν ἐπισπά-

---

8. Ψαλμ. 67,6.
9. Ἠσ. 1,17.
10. Α' Κορ. 10,32.

εὐσεβὴς καὶ ἐνάρετος καὶ τὸ κάθε τι ποὺ θὰ κάμνεις θὰ τὸ κάμνεις γιὰ τὴ δόξα τοῦ Θεοῦ. Κι ἂν χρειασθεῖ νὰ ἐπισκεφθεῖς κάποιον, νὰ προτιμᾶς ἀντὶ ἐκείνων ποὺ εἶναι ἔνδοξοι καὶ λαμπροί, τὰ ὀρφανὰ καὶ τὶς χῆρες καὶ ἐκείνους ποὺ ζοῦν μέσα σὲ μεγάλη φτώχεια. Γιατὶ αὐτὸς εἶναι ἐκεῖνος ποὺ εἶπε· «ἐγὼ εἶμαι Πατέρας τῶν ὀρφανῶν καὶ κριτὴς τῶν χηρῶν»[8]. Καὶ πάλι· «κρίνατε ὀρφανὸ καὶ ἀποδῶστε τὸ δίκιο στὴ χήρα καὶ ἐλᾶτε νὰ συνομιλήσομε, λέγει ὁ Κύριος»[9].

13. Ἂν πάλι θέλεις νὰ πᾶς ἁπλῶς στὴν ἀγορά, νὰ θυμᾶσαι τὴν ἀποστολικὴ συμβουλὴ ποὺ λέγει· «εἴτε κάμνετε κάτι ἄλλο, ὅλα νὰ τὰ κάμνετε γιὰ τὴ δόξα τοῦ Θεοῦ». Μὴ ξοδεύεις τὸν καιρὸ σὲ ἀνώφελες καὶ ἐπιβλαβεῖς συναναστροφές, ἀλλὰ δρόμο νὰ ἔχεις ἐκεῖνον ποὺ ὁδηγεῖ στὸν οἶκο τοῦ Θεοῦ, γιὰ νὰ δέχεται συγχρόνως μὲ τὸ σῶμα καὶ ἡ ψυχὴ μέγιστη ὠφέλεια. Ἐπίσης ὅταν συνομιλοῦμε μὲ κάποιους νὰ τὸ κάμνομε αὐτὸ μὲ καλωσύνη καὶ πολλὴ πραότητα καὶ νὰ μὴ ἀνεχόμαστε νὰ τοὺς μιλᾶμε γιὰ κοσμικὰ πράγματα ποὺ δὲν ἔχουν κανένα ὄφελος, ἀλλὰ τέτοιες νὰ εἶναι οἱ συνομιλίες μας μαζί τους, ὥστε καὶ σ' ἐκείνους ποὺ ἀκοῦν νὰ παρέχουν μεγάλη ὠφέλεια καὶ ἐμᾶς νὰ μᾶς ἀπαλλάξουν ἀπὸ κάθε κατηγορία.

14. Αὐτὰ δὲν τὰ εἶπα σήμερα στὴν ἀγάπη σας ἔτσι τυχαῖα, ἀλλὰ γιὰ νὰ μάθετε πόσο ἀσφαλεῖς πρέπει νὰ εἴμαστε ἐὰν θέλομε νὰ φροντίζομε γιὰ τὴ σωτηρία μας καὶ πόσης καταδίκης ἄξιοι εἶναι ἐκεῖνοι ποὺ προτιμοῦν ἀντὶ τῆς ἐδῶ συγκεντρώσεως καὶ τῆς πνευματικῆς διδασκαλίας τὶς κοσμικὲς διασκεδάσεις, τὶς ἀνώφελες καὶ ἐπιβλαβεῖς συναναστροφές, τὶς ἱπποδρομίες, καὶ τὰ σατανικὰ καὶ καταστρεπτικὰ θέατρα καὶ δὲν ἀκοῦν τὸν μακάριο Παῦλο ποὺ λέγει· «μὴ γίνεσθε αἰτία πτώσεως οὔτε στοὺς Ἰουδαίους οὔτε στοὺς ἐθνικοὺς οὔτε στὴν Ἐκκλησία τοῦ Θεοῦ»[10].

15. Ποιά λοιπὸν συγγνώμη ὑπολείπεται γι' αὐτούς, ποιά δικαιολογία, ὅταν ὁ Χριστιανὸς καὶ ποὺ μετέχει στὴν ἐδῶ διδασκαλία καὶ ἀπολαμβάνει τὰ φρικτὰ καὶ ἀπόρρητα μυστήρια, συναναστρέφεται τὸν Ἰουδαῖο καὶ τὸν ἐθνικὸ καὶ χαίρεται μ' ἐκεῖνα μὲ τὰ ὁποῖα εὐχαριστοῦνται ἐκεῖνοι; Πότε θὰ μπορέσομε πιά, πές μου, νὰ καθοδηγήσομε τὸν πλανώμενο στὴν ἀλήθεια καὶ νὰ τὸν προσ-

σασθαι τοσαύτῃ ραθυμίᾳ κεχρημένον; Πῶς δὲ οὐχ ἁρμόσει καὶ ἡμῖν εἰπεῖν πρὸς τοὺς τοιούτους ὅπερ ὁ μακάριος Παῦλος ἔλεγε πρὸς τοὺς ἐν Κορίνθῳ εἰς τοὺς ναοὺς τοὺς εἰδωλικοὺς εἰσιόντας μετὰ τὸ δέξασθαι τὸν τῆς εὐσεβείας λόγον; «Ἐάν τις ἴδῃ σέ», φησί, «τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλίῳ κατακείμενον».

16. Ἡμεῖς δὲ μικρὸν ὑπαλλάξαντες ἐροῦμεν· 'ἐάν τις ἴδῃ σὲ τὸν ἔχοντα γνῶσιν εὐσεβείας ἐν ταῖς ἀνονήτοις ἐκείναις καὶ ἐπιβλαβέσι συνουσίαις διημερεύοντα, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ σπουδαιότερον τὰ τοιαῦτα μεταδιώκειν;' Ὅπερ γὰρ ὁ μακάριος ἐκεῖνος ἔλεγεν, ἀναστέλλων τοὺς ἀπαραφυλάκτως μετὰ τὴν τῆς εὐσεβείας γνῶσιν τοῖς εἰδωλίοις παραβάλλοντας καὶ σκανδάλου τοῖς λοιποῖς αἰτίους γινομένους, τοῦτο καὶ ἡμεῖς νῦν εὐκαίρως ἐροῦμεν πρὸς τοὺς εἰς τὰ παράνομα ἐκεῖνα συνέδρια τρέχοντας καὶ τὰς ἔξω διατριβὰς προτιμῶντας τῆς ἐνταῦθα συνελεύσεως.

17. Ἀλλὰ τί τὸ κέρδος τῶν τοσούτων ἐγκλημάτων ὅταν οἱ ὑπεύθυνοι μὴ ἀκούωσι μηδὲ παρῶσι τούτων λεγομένων; Μᾶλλον δὲ οὐδὲ οὕτως ἡμῖν ἀνόνητος ἔσται ἡ παραίνεσις. Δυνατὸν γὰρ διὰ τῆς ὑμετέρας συνέσεως ἅπαντα αὐτοὺς μετὰ ἀκριβείας μαθεῖν, καὶ φυγεῖν μὲν τοῦ διαβόλου τὸ δέλεαρ, ἐπανελθεῖν δὲ ἐπὶ τὴν τροφὴν τὴν πνευματικήν. Οὕτω καὶ ἰατροὶ ποιοῦσιν· ἐπειδὰν γὰρ τοὺς ἀρρώστους ἐπισκέπτωνται, οὐκ ἐκείνοις μόνοις τὰ περὶ τῆς θεραπείας διαλέγονται, ἀλλὰ καὶ τοῖς παρεστῶσι καὶ ὑγιαίνουσι καὶ τῷ κάμνοντι προσήκουσι πάντα διατάττονται, κἀκείνοις ἐγχειρίσαντες τὴν τούτων ἐπιμέλειαν, οὕτως ἐξίασιν ὡς τὸ πᾶν κατορθώσαντες. Καὶ ἡμεῖς τοίνυν, εἰ καὶ μὴ πάρεισιν οἱ κάμνοντες, ἀλλ' ὑμῖν τοῖς ὑγιαίνουσι τὰ περὶ τῆς ἰατρείας ἐκείνων ἐγχειρίζομεν καὶ τὴν ὀδύνην τῆς ἡμετέρας ψυχῆς ἐκκαλύπτομεν, ἵν' ὑμεῖς λοιπὸν φροντίσητε τῆς σωτηρίας τῶν οἰκείων μελῶν καὶ πληρώσητε διὰ τῶν ἐρ-

11. Α' Κορ. 8,10.

ελκύσομε στὴν εὐσέβεια τὴ στιγμὴ ποὺ τὸν κατέχει τόση ἀδιαφορία; Καὶ πῶς δὲν εἶναι ταιριαστὸ καὶ ἐγὼ νὰ πῶ πρὸς αὐτοὺς ἐκεῖνο ποὺ ἔλεγε ὁ μακάριος Παῦλος πρὸς ἐκείνους τοὺς πιστοὺς τῆς Κορίνθου ποὺ ἔμπαιναν στοὺς εἰδωλολαρικοὺς ναοὺς μετὰ τὸν λόγο τῆς εὐσέβειας ποὺ εἶχαν δεχθεῖ; «ἂν κάποιος», λέγει, «δεῖ ἐσένα ποὺ ἔχεις λάβει τὴν ἀληθῆ γνώση νὰ κάθεσαι σὲ εἰδωλολατρικὸ τραπέζι»[11].

16. Ἀλλ' ἐγώ, ἀλλάζοντας αὐτὸ λίγο, θὰ πῶ· 'ἂν κάποιος δεῖ ἐσένα, ποὺ ἔχεις γνωρίσει τὴν εὐσέβεια, νὰ περνᾶς τὴν ἡμέρα σου στὶς ἀνώφελες καὶ ἐπιβλαβεῖς ἐκεῖνες συναναστροφές, δὲ θὰ παροτρυνθεῖ ἡ συνείδησή του, τὴ στιγμὴ ποὺ εἶναι ἀσθενής, νὰ ἐπιδιώκει μὲ μεγαλύτερη προθυμία αὐτά;' Γιατὶ ἐκεῖνο ποὺ ὁ μακάριος ἐκεῖνος ἔλεγε, ἐμποδίζοντας ἐκείνους ποὺ ἔπαιρναν μέρος, χωρὶς καμιὰ προφύλαξη καὶ μετὰ τὴ γνώση τῆς εὐσέβειας, στὰ εἰδωλολατρικὰ τραπέζια καὶ γίνονταν αἰτία σκανδάλου στοὺς ἄλλους, αὐτὸ καὶ ἐγὼ θὰ πῶ τώρα μὲ τὴν εὐκαιρία αὐτὴ πρὸς ἐκείνους ποὺ τρέχουν πρὸς τὶς παράνομες ἐκεῖνες συγκεντρώσεις καὶ προτιμοῦν ἀπὸ τὴν ἐδῶ συγκέντρωση τὶς κοσμικὲς διασκεδάσεις.

17. Ἀλλὰ πιό τὸ ὄφελος ἀπὸ αὐτὲς τὶς κατηγορίες ὅταν οἱ ὑπεύθυνοι δὲν ἀκοῦν οὔτε εἶναι παρόντες ἐδῶ ποὺ λέγονται αὐτά; Ἢ καλύτερα οὔτε ἔτσι θὰ εἶναι ἀνώφελη ἡ παραίνεσή μου. Γιατὶ εἶναι δυνατὸ μὲ τὴ δική σας σύνεση νὰ τὰ μάθουν αὐτοὶ ὅλα αὐτὰ μὲ λεπτομέρεια, ὥστε καὶ ν' ἀποφύγουν τὸ δόλο τοῦ διαβόλου, καὶ νὰ ἐπιστρέψουν στὴν πνευματικὴ τροφή. Τὸ ἴδιο κάμνουν καὶ οἱ γιατροί· ὅταν δηλαδὴ ἐπισκέπτονται τοὺς ἀρρώστους δὲν συζητοῦν μόνο μὲ ἐκείνους γιὰ τὰ σχετικὰ μὲ τὴ θεραπεία τους, ἀλλὰ καὶ μὲ τοὺς παραβρισκομένους καὶ ὑγιεῖς, δίνοντας στοὺς συγγενεῖς τοῦ ἀρρώστου ὅλες τὶς ἐντολές, καὶ ἀφοῦ ἀναθέσουν σ' ἐκείνους τὴ φροντίδα αὐτῶν, τότε ἀναχωροῦν, σὰν νὰ κατόρθωσαν τὸ πᾶν. Καὶ ἐγὼ λοιπόν, ἂν καὶ δὲν εἶναι παρόντες οἱ ἀσθενεῖς, ἀναθέτω σὲ σᾶς τοὺς ὑγιεῖς τὰ τῆς θεραπείας ἐκείνων καὶ σᾶς φανερώνω τὴν ὀδύνη τῆς ψυχῆς μου, ὥστε στὸ ἑξῆς νὰ φροντίσετε σεῖς γιὰ τὴ σωτηρία τῶν μελῶν σας καὶ νὰ ἐκπληρώσετε μὲ τὰ ἔργα

γων τὴν ἀποστολικὴν παραίνεσιν τὴν λέγουσαν· «εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε».

18. Ὅταν γὰρ ἐξελθὼν ἐντεῦθεν ἔργον ποιήσῃ τοῦ ἀδελφοῦ τὴν σωτηρίαν καὶ μὴ μόνον ἐγκαλέσῃς μηδὲ ἐπιτιμήσῃς, ἀλλὰ καὶ συμβουλεύσῃς καὶ παρακαλέσῃς καὶ δείξῃς τῆς μὲν ἔξω διατριβῆς τὴν βλάβην, τῆς δὲ ἐντεῦθεν διδασκαλίας τὸ κέρδος καὶ τὴν ὠφέλειαν, εἰς δόξαν Θεοῦ τὸ πᾶν εἰργάσω καὶ διπλοῦν σαυτῷ τὸν μισθὸν κατεσκεύασας, ὑπέρ τε ὧν αὐτὸν τῆς οἰκείας σωτηρίας τοσαύτην ποιῇ τὴν ὠφέλειαν καὶ ὑπὲρ ὧν τὸ μέλος τὸ σὸν ἰατρεῦσαι ἐσπούδασας. Τοῦτο τῆς Ἐκκλησίας τὸ καύχημα, τοῦτο τοῦ Σωτῆρος τὸ παράγγελμα, τὸ μὴ τὰ ἑαυτῶν μόνον σκοπεῖν ἀλλὰ καὶ τὰ τοῦ πλησίον.

19. Ἐννόησον γὰρ εἰς ὅσον ἀξίωμα ἑαυτὸν ἀνάγει ὁ τοῦ ἀδελφοῦ τὴν σωτηρίαν περὶ πολλοῦ ποιούμενος· κατὰ δύναμιν ἀνθρωπίνην τὸν Θεὸν ὁ τοιοῦτος μιμεῖται. Ἄκουε γὰρ διὰ τοῦ προφήτου τί λέγει· «ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου ὡς στόμα μου ἔσται». Ὁ τὸν ἠμελημένον, φησίν, ἀδελφὸν σπουδάζων διασῶσαι καὶ ἐξαρπᾶσαι τῆς φάρυγγος τοῦ διαβόλου, κατὰ δύναμιν ἀνθρωπίνην ἐμὲ μιμεῖται. Τί τούτου ἴσον γένοιτ' ἄν; Τοῦτο πάντων τῶν κατορθωμάτων μεῖζον, τοῦτο πάσης τῆς ἀρετῆς τὸ κεφάλαιον.

20. Καὶ μάλα εἰκότως· εἰ γὰρ ὁ Χριστὸς τὸ αἷμα ἐξέχεε τὸ ἑαυτοῦ διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ βοᾷ Παῦλος λέγων ἐπὶ τῶν τὰ σκάνδαλα παρεχόντων καὶ καταβλαπτόντων τῶν ὁρώντων τὴν συνείδησιν, ὅτι ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει δι' ὃν ὁ Χριστὸς ἀπέθανεν, εἰ τοίνυν ὁ Δεσπότης σου δι' αὐτὸν τὸ αἷμα ἐξέχεε, πῶς οὐ δίκαιον ἕκαστον ἡμῶν κἂν γοῦν τὴν διὰ τῶν λόγων παραίνεσιν εἰσφέρειν καὶ χεῖρα ὀρέγειν τοῖς ἀπὸ ῥᾳθυμίας εἰς τὰς τοῦ διαβόλου παγίδας ἐμπεπτωκόσιν; Ἀλλ' ὅτι μὲν τοῦτο ποιήσητε φιλόστοργοί τινες ὄντες περὶ τὰ μέλη τὰ ὑμέτερα καὶ μετὰ πάσης

12. Φιλ. 2,4.
13. Ἱερ. 15,19.

τὴν ἀποστολικὴ συμβουλὴ ποὺ λέγει· «εἴτε τρώγετε, εἴτε πίνετε, εἴτε κάμνετε κάτι ἄλλο, ὅλα νὰ τὰ κάμνετε γιὰ τὴ δόξα τοῦ Θεοῦ».

18. Ὅταν δηλαδὴ βγαίνοντας ἀπὸ ἐδῶ θέσεις σὰν ἔργο τὴ σωτηρία τοῦ ἀδελφοῦ καὶ δὲν τὸν κατηγορήσεις μόνο οὔτε καὶ τὸν ἐπιτιμήσεις, ἀλλὰ καὶ τὸν συμβουλεύσεις καὶ τὸν παρακαλέσεις καὶ δείξεις τὴ βλάβη τῆς κοσμικῆς διασκεδάσεως καθὼς καὶ τὸ κέρδος καὶ τὴν ὠφέλεια τῆς ἐδῶ διδασκαλίας, ἔκαμες τὸ πᾶν γιὰ τὴ δόξα τοῦ Θεοῦ καὶ ἑτοίμασες διπλὸ τὸ μισθὸ γιὰ τὸν ἑαυτό σου, καὶ γιὰ ἐκεῖνα ποὺ ἔκαμες πρὸς ὄφελος τῆς δικῆς σου σωτηρίας, καὶ γιὰ τὴ φροντίδα ποὺ ἔδειξες γιὰ τὴ θεραπεία τοῦ δικοῦ σου μέλους. Αὐτὸ εἶναι τῆς Ἐκκλησίας τὸ καύχημα, αὐτὸ τὸ παράγγελμα τοῦ Σωτήρα, τὸ νὰ μὴ φροντίζομε δηλαδὴ μόνο γιὰ τὰ δικά μας, ἀλλὰ καὶ γιὰ τοῦ πλησίον μας[12].

19. Πραγματικὰ σκέψου σὲ πόσο μεγάλο ἀξίωμα ἀνεβάζει τὸν ἑαυτό του ἐκεῖνος ποὺ δείχνει μεγάλο ἐνδιαφέρον γιὰ τὴ σωτηρία τοῦ ἀδελφοῦ του· ὁ ἄνθρωπος αὐτὸς μιμεῖται, κατὰ δύναμη ἀνθρώπινη, τὸ Θεό. Γιατὶ ἄκουε τί λέγει μέσω τοῦ προφήτη· «ἐκεῖνος ποὺ ξεχωρίζει τὸν ἀληθινὸ λόγο ἀπὸ τὸν ψευδῆ, θὰ εἶναι σὰν στόμα μου»[13]. Ἐκεῖνος, λέγει, ποὺ φροντίζει νὰ σώσει τὸν ἀδιάφορο ἀδελφὸ καὶ νὰ τὸν ἁρπάξει ἀπὸ τὸν φάρυγγα τοῦ διαβόλου, μιμεῖται, ὅσο εἶναι ἀνθρώπινα δυνατό, ἐμένα. Τί θὰ μποροῦσε νὰ ἐξισωθεῖ μ' αὐτό; Αὐτὸ εἶναι μεγαλύτερο ἀπὸ ὅλα τὰ κατορθώματα, αὐτὸ εἶναι τὸ ἀποκορύφωμα ὅλης τῆς ἀρετῆς.

20. Καὶ πάρα πολὺ σωστά· γιατί, ἂν ὁ Χριστὸς ἔχυσε τὸ αἷμα του γιὰ τὴ σωτηρία μας καὶ βροντοφωνάζει ὁ Παῦλος, λέγοντας γιὰ ἐκείνους ποὺ προκαλοῦν σκάνδαλα καὶ βλάπτουν ἔτσι πάρα πολὺ τὴ συνείδηση ἐκείνων ποὺ τὰ βλέπουν, ὅτι θὰ χαθεῖ ὁ πνευματικὰ ἀδύναμος ἀδελφὸς γιὰ τὸν ὁποῖο πέθανε ὁ Χριστός, ἐξ αἰτίας τῆς δικῆς σου γνώσεως, ἂν λοιπὸν ὁ Κύριός σου ἔχυσε γι' αὐτὸν τὸ αἷμά του, πῶς δὲν εἶναι δίκαιο ὁ καθένας μας νὰ προσφέρει ἔστω καὶ τὴν μὲ τὰ λόγια παραίνεση καὶ ν' ἁπλώνει χέρι βοήθειας σ' ἐκείνους ποὺ ἀπὸ ἀδιαφορία πέφτουν στὶς παγίδες τοῦ διαβόλου; Ἀλλὰ τὸ ὅτι μερικοὶ θὰ τὸ κάμετε αὐτὸ ἀπὸ φιλοστοργία πρὸς τὰ μέλη σας καὶ μὲ κάθε προθυμία θὰ ἐπαναφέρετε τοὺς

σπουδῆς ἐπανάξετε τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους πρὸς τὴν κοινὴν μητέρα, πάνυ πέπεισμαι εἰδὼς ὅτι διὰ τὴν τοῦ Θεοῦ χάριν συνετοὶ ὄντες δύνασθε καὶ ἄλλους νουθετεῖν.

21. Βούλομαι δὲ λοιπὸν πρὸς τοὺς νεοφωτίστους τρέψαι τὸν λόγον· νεοφωτίστους δὲ λέγω οὐ τοὺς πρόσφατον ἀξιωθέντας τῆς δωρεᾶς τῆς πνευματικῆς ἀλλὰ τοὺς πρὸ ἐνιαυτοῦ καὶ πρὸ πλείονος χρόνου. Εἰ γὰρ βούλοιντο, δυνήσονται καὶ οὗτοι διηνεκῶς ταύτης ἀπολαύειν τῆς προσηγορίας. Ἡ γὰρ νεότης αὕτη γῆρας οὐκ ἐπίσταται, νόσῳ οὐχ ὑπόκεινται, ἀθυμίᾳ οὐχ ἁλίσκεται, χρόνῳ οὐκ ἀμαυροῦται, οὐδενὶ εἴκει, οὐχ ὑπ' οὐδενὸς ἡττᾶται, εἰ μὴ ὑπὸ ἁμαρτίας μόνης. Τὸ γὰρ βαρὺ ταύτης γῆρας ἡ ἁμαρτία.

22. Καὶ ἵνα μάθῃς ὅτι πάντων αὕτη βαρυτέρα, ἄκουε τοῦ προφήτου λέγοντος· «ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ». Οὐ μόνον δὲ βαρεῖα τυγχάνει, ἀλλὰ καὶ δυσώδης. Ἐπήγαγε γάρ· «προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου». Εἶδες οὐ μόνον βαρεῖαν ἀλλὰ καὶ δυσώδη τὴν ἁμαρτίαν; Μάνθανε καὶ πόθεν αὕτη τίκτεται διὰ τῶν ἐπαγομένων· «ἀπὸ προσώπου» γάρ, φησί, «τῆς ἀφροσύνης μου». Ἄρα ἀφροσύνη πάντων αἰτία ἡμῖν τῶν κακῶν. Ἔστιν οὖν καὶ γέροντα ὄντα κατὰ τὴν τοῦ σώματος ἡλικίαν, καὶ νέον ὄντα κατὰ τὴν τοῦ σώματος ἡλικίαν νέον εἶναι καὶ νεοφώτιστον κατὰ τὴν τῆς χάριτος ἀκμήν, καὶ νέον ὄντα κατὰ τὸ σῶμα γεγηρακέναι κατὰ τὸ τῶν ἁμαρτημάτων πλῆθος. Ἔνθα γὰρ ἂν αὕτη εἴσοδον λάβῃ, πολὺν τὸν σπῖλον, πολλὴν τὴν ῥυτίδα ἐργάζεται.

23. Διὸ παρακαλῶ καὶ τοὺς πρόσφατον τοῦ βαπτίσματος ἀξιωθέντας καὶ τοὺς πρὸ τούτου τῆς δωρεᾶς ἐπιτυχόντας, τοὺς μὲν ἀποσμήχειν δι' ἐξομολογήσεως καὶ δακρύων καὶ μετανοίας ἀκριβεστάτης τὸν προλαβόντα ῥύπον, τοὺς δὲ τὴν φαιδρότητα διατηρεῖν ἀνθοῦσαν καὶ τῆς ψυχῆς τὸ κάλλος περισκοπεῖν ὥστε μηδεμίαν ῥανίδα δέξασθαι ῥύπον ἐμποιῆσαι δυναμένην. Οὐχ ὁρᾶτε τοὺς τὴν

14. Ψαλμ. 37,5.
15. Ψαλμ. 37,6.

ἀδελφούς σας στὴν κοινὴ μητέρα, εἶμαι ἀπόλυτα βέβαιος, γνωρίζοντας ὅτι, ἐπειδὴ μὲ τὴ χάρη τοῦ Θεοῦ εἶστε συνετοί, μπορεῖτε κι' ἄλλους νὰ νουθετεῖτε.

21. Τώρα θέλω νὰ μεταφέρω τὸ λόγο πρὸς τοὺς νεοφώτιστους· καὶ νεοφώτιστους ὀνομάζω ὄχι ἐκείνους ποὺ πρόσφατα ἀξιώθηκαν τῆς πνευματικῆς δωρεᾶς, ἀλλὰ καὶ ἐκείνους ποὺ δέχθηκαν αὐτὴν πρὶν ἀπὸ ἕνα καὶ περισσότερα χρόνια. Πραγματικά, ἂν θέλουν, θὰ μπορέσουν καὶ αὐτοὶ ν' ἀπολαμβάνουν γιὰ πάντα αὐτὴ τὴν ὀνομασία. Γιατὶ αὐτὴ ἡ νεότητα δὲν γνωρίζει γηρατειά, δὲν ὑπόκειται σὲ ἀσθένεια, δὲν κυριεύεται ἀπὸ λύπη, δὲν ἀμαυρώνεται ἀπὸ τὸ χρόνο, δὲν ὑποχωρεῖ σὲ τίποτε, δὲν νικιέται ἀπὸ κανένα, παρὰ μόνο ἀπὸ τὴν ἁμαρτία. Πραγματικὰ τὰ βαριὰ γηρατειὰ αὐτῆς εἶναι ἡ ἁμαρτία.

22. Καὶ γιὰ νὰ μάθεις ὅτι αὐτὴ εἶναι βαρύτερη ἀπὸ ὅλα, ἄκουε τὸν προφήτη ποὺ λέγει· «σὰν βαρὺ φορτίο ἔπεσαν βαρειὲς ἐπάνω μου»[14]. Καὶ δὲν εἶναι μόνο βαρειά, ἀλλὰ καὶ βρωμερή. Γιατὶ πρόσθεσε· «βρώμησαν καὶ σάπησαν τὰ ἀπὸ τὶς ἁμαρτίες μου τραύματα»[15]. Εἶδες τὴν ἁμαρτία ποὺ δὲν εἶναι μόνο βαρειὰ ἀλλὰ καὶ βρωμερή; Μάθε καὶ ἀπὸ ποῦ γεννιέται αὐτὴ ἀπὸ αὐτὰ ποὺ προσθέτει· γιατὶ λέγει, «ἐξ αἰτίας τῆς ἀφροσύνης μου»[15]. Ἑπομένως αἰτία ὅλων τῶν ἁμαρτιῶν μας εἶναι ἡ ἀφροσύνη. Εἶναι λοιπὸν δυνατὸ νὰ εἶναι κανεὶς καὶ γέροντας ὡς πρὸς τὴν ἡλικία τοῦ σώματος καὶ νὰ εἶναι νέος καὶ νεοφώτιστος ὡς πρὸς τὴν ἀκμὴ τῆς χάριτος, καὶ νὰ εἶναι νέος ὡς πρὸς τὸ σῶμα καὶ νὰ ἔχει γεράσει ἐξ αἰτίας τοῦ πλήθους τῶν ἁμαρτημάτων. Γιατὶ ὅπου συμβεῖ νὰ μπεῖ αὐτή, προξενεῖ πολλὲς κηλίδες καὶ πολλὲς ρυτίδες.

23. Γι' αὐτὸ παρακαλῶ καὶ ἐκείνους ποὺ πρόσφατα ἀξιώθηκαν νὰ λάβουν τὸ βάπτισμα καὶ ἐκείνους ποὺ ἔλαβαν τὴ δωρεὰ αὐτὴ πρὶν ἀπὸ χρόνο, ὥστε οἱ δεύτεροι ἀπ' αὐτοὺς νὰ καθαρίζουν τὸ ρύπο ποὺ προξενήθηκε μέχρι τώρα μὲ τὴν ἐξομολόγηση, τὰ δάκρυα καὶ τὴν εἰλικρινῆ μετάνοια, ἐνῶ οἱ πρῶτοι νὰ διατηροῦν ἀνθηρὴ τὴ λαμπρότητα καὶ νὰ προσέχουν τὸ κάλλος τῆς ψυχῆς, ὥστε νὰ μὴ δεχθεῖ καμιὰ κηλίδα ποὺ νὰ μπορεῖ νὰ προξενήσει ρύπο. Δὲ βλέπετε ἐκείνους ποὺ φοροῦν τὴ λαμπρὴ ἐνδυμασία,

λαμπρὰν ἐσθῆτα περιβαλλομένους ὅσην σπουδὴν ποιοῦνται βαδίζοντες ἐπὶ τῆς ἀγορᾶς μήπου ρανὶς βορβόρου ἐξακοντισθεῖσα λυμήνηται τοῦ ἱματίου τὸ κάλλος, καίτοι οὐδεμία ἐντεῦθεν ἂν γένοιτο βλάβη τῇ ψυχῇ· ἱμάτιον γάρ ἐστι καὶ ὑπὸ σητὸς ἀναλισκόμενον καὶ ὑπὸ χρόνου δαπανώμενον, ἄλλως δὲ καὶ ρυπωθὲν εὐκόλως ὕδατι ἀποκαθαιρόμενον. Ἐπὶ δὲ τῆς ψυχῆς εἰ γένοιτό ποτε, ὃ μὴ γένοιτο, καὶ δέξεταί τινα κηλῖδα ἢ διὰ γλώττης ἢ διὰ λογισμῶν τῶν ἐν τῇ διανοίᾳ τικτομένων, πολλὴ εὐθέως ἡ λύμη ἐπεισέρχεται, πολὺ τοῦ φορτίου τὸ βάρος, πολλὴ ἡ δυσωδία.

24. Διὰ τοῦτο δεδοικὼς κἀγὼ τοῦ ἐχθροῦ τὰς μηχανὰς συνεχῆ ποιοῦμαι τὴν παραίνεσιν, ἵνα τὴν νυμφικὴν στολὴν ἀκραιφνῆ διατηρήσητε καὶ μετὰ ταύτης ἀεὶ εἰς τὸν γάμον εἰσίητε τοῦτον τὸν πνευματικόν. Ὅτι γὰρ γάμος πνευματικός ἐστι τὰ ἐνταῦθα τελούμενα, ὅρα πῶς καθάπερ ἐπὶ τῶν γάμων τούτων τῶν ἀνθρωπίνων μέχρις ἑπτὰ ἡμερῶν αἱ παστάδες εἰσὶ τεταμέναι, οὕτω καὶ ἡμεῖς ἐν τοσαύταις ἡμέραις τὴν παστάδα ταύτην τὴν πνευματικὴν ὑμῖν τείνομεν, τὴν τράπεζαν ὑμῖν παρατιθέντες τὴν μυστικήν, τὴν μυρίων γέμουσαν ἀγαθῶν. Καὶ τί λέγω ἑπτὰ ἡμέρας; Ἐὰν βούλησθε νήφειν καὶ ἐγρηγορέναι, διὰ παντὸς τοῦ χρόνου αὗται ὑμῖν αἱ παστάδες εἰσὶ τεταμέναι, μόνον ἐὰν τὸ ἔνδυμα ὑμῶν τὸ νυμφικὸν ἀκέραιον καὶ φαιδρὸν διατηρήσητε.

25. Οὕτω γὰρ καὶ τὸν νυμφίον εἰς ἔρωτα πλείονα ἐπισπάσεσθε καὶ αὐτοὶ τοῦ χρόνου προϊόντος λαμπρότεροι καὶ φαιδρότεροι φανήσεσθε, τῆς χάριτος ἐπὶ πλεῖον αὐξανομένης διὰ τῆς τῶν ἀγαθῶν πράξεων ἐργασίας. Γένοιτο δὲ πάντας ἡμᾶς καὶ τῆς ἤδη παρασχεθείσης δωρεᾶς ἀξίαν τὴν φυλακὴν ἐπιδείξασθαι καὶ τῆς ἄνωθεν φιλανθρωπίας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πόσο προσέχουν ὅταν βαδίζουν μέσα στὴν ἀγορά, μὴ τυχὸν καὶ ἐκσφενδονισθεῖ καμιὰ σταγόνα βούρκου καὶ καταστρέψει τὸ κάλλος τῆς ἐνδυμασίας, ἂν καὶ βέβαια καμιὰ βλάβη δὲν θὰ ἦταν δυνατὸ νὰ προξενηθεῖ ἀπ' αὐτὸ στὴν ψυχή· γιατὶ ἔνδυμα εἶναι ποὺ καὶ καταστρέφεται ἀπὸ τὸ σκῶρο καὶ φθείρεται ἀπὸ τὸ χρόνο, ἀλλὰ καὶ ἂν λερωθεῖ εὔκολα καθαρίζεται μὲ τὸ νερό. Στὴν περίπτωση ὅμως τῆς ψυχῆς ἐὰν ἤθελε συμβεῖ ποτέ, πράγμα ποὺ εὔχομαι νὰ μὴ συμβεῖ, νὰ δεχθεῖ κάποια κηλίδα ἢ μὲ τὴ γλώσσα ἢ μὲ τοὺς λογισμοὺς ποὺ γεννιένται μέσα στὸ νοῦ, προξενεῖται ἀμέσως μεγάλη καταστροφή, καὶ εἶναι μεγάλο τὸ βάρος τοῦ φορτίου καὶ μεγάλη ἡ βρωμιά.

24. Γι' αὐτὸ καὶ ἐγὼ φοβούμενος τὰ τεχνάσματα τοῦ ἐχθροῦ, σᾶς ἀπευθύνω συνέχεια συμβουλές, ὥστε νὰ διατηρήσετε καθαρὴ τὴ νυφικὴ στολὴ καὶ μ' αὐτὴν πάντοτε νὰ εἰσέρχεσθε σ' αὐτὸν τὸν πνευματικὸ γάμο. Τὸ ὅτι βέβαια εἶναι πνευματικὸς γάμος τὰ ὅσα τελοῦνται ἐδῶ, πρόσεχε πῶς, ὅπως ἀκριβῶς στὴν περίπτωση τῶν ἀνθρωπίνων αὐτῶν γάμων οἱ γαμήλιες γιορτὲς διαρκοῦν ἑπτὰ ἡμέρες, ἔτσι κι ἐμεῖς συνεχίζομε αὐτὴ τὴν πνευματικὴ γιορτὴ ἐπὶ τόσες ἡμέρες, παραθέτοντάς σας τὴ μυστικὴ αὐτὴ τράπεζα, τὴ γεμάτη ἀπὸ ἄπειρα ἀγαθά. Καὶ τί λέγω ἑπτὰ ἡμέρες; Ἐὰν θέλετε νὰ εἶσθε προσεκτικοὶ καὶ ἐπάγρυπνοι, θὰ διαρκοῦν σ' ὅλο τὸ χρόνο τῆς ζωῆς σας αὐτὲς οἱ πνευματικὲς γιορτές, ἀρκεῖ μόνο νὰ διατηρήσετε ἀκέραιο καὶ λαμπρὸ τὸ νυφικὸ ἔνδυμά σας.

25. Γιατὶ ἔτσι καὶ τὸν νυμφίο θὰ προσελκύσετε σὲ μεγαλύτερο ἔρωτα καὶ σεῖς οἱ ἴδιοι μὲ τὸ πέρασμα τοῦ χρόνου θὰ φανεῖτε λαμπρότεροι καὶ φαιδρότεροι, ἐφόσον μὲ τὴν ἐπιτέλεση τῶν ἀγαθῶν πράξεων θὰ αὐξάνεται περισσότερο ἡ χάρη τοῦ Θεοῦ. Εὔχομαι ὅλοι μας καὶ τὴ δωρεὰ ποὺ μᾶς δόθηκε νὰ τὴ διαφυλάξομε ἐπάξια, καὶ ν' ἀξιωθοῦμε ν' ἀπολαύσομε τὴν οὐράνια φιλανθρωπία, μὲ τὴ χάρη καὶ τοὺς οἰκτιρμοὺς τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη, καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΚΑΤΗΧΗΣΙΣ Ζ'

ΟΤΙ ΜΕΓΙΣΤΗΣ ΩΦΕΛΕΙΑΣ ΗΜΙΝ ΥΠΟΘΕΣΙΣ ΓΙΝΕΤΑΙ ΤΑ ΛΕΙΨΑΝΑ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΚΑΙ ΟΤΙ ΔΕΙ ΥΠΕΡΟΡΑΝ ΤΩΝ ΒΙΩΤΙΚΩΝ ΑΠΑΝΤΩΝ ΚΑΙ ΤΩΝ ΠΝΕΥΜΑΤΙΚΩΝ ΕΧΕΣΘΑΙ ΚΑΙ ΟΣΟΝ ΑΓΑΘΟΝ ΕΥΧΗ ΚΑΙ ΕΛΕΗΜΟΣΥΝΗ· ΚΑΙ ΕΙΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ

1. Πολλὴν καὶ διάφορον περὶ τὸ τῶν ἀνθρώπων γένος ἐπιδεικνύμενος τὴν ἑαυτοῦ πρόνοιαν ὁ φιλάνθρωπος Θεὸς οὐ μόνον τὴν κτίσιν ἅπασαν ἐδημιούργησε καὶ τὸν οὐρανὸν ἐξέτεινε καὶ τὴν θάλασσαν ἥπλωσε καὶ ἥλιον ἀνῆψε καὶ σελήνην φαίνειν παρεσκεύασε καὶ τὴν γῆν πρὸς οἴκησιν ἐχαρίσατο καὶ τὰ ἀπὸ τῆς γῆς ἅπαντα πρὸς διατροφὴν καὶ σύστασιν τῶν ἡμετέρων παρέσχε σωμάτων, ἀλλὰ καὶ τῶν ἁγίων μαρτύρων ἡμῖν τὰ λείψανα κεχάρισται, καὶ τὰς ψυχὰς αὐτὸς λαβών, «δικαίων», γάρ, φησί, «ψυχαὶ ἐν χειρὶ Θεοῦ», τὰ σώματα ἡμῖν τέως κατέλιπεν ἱκανὴν παράκλησιν καὶ παραμυθίαν, ἵνα παρὰ τοὺς τάφους τῶν ἁγίων τούτων γινόμενοι, εἰς ζῆλον καὶ μίμησιν διεγειρώμεθα καὶ διὰ τῆς ὄψεως ὑπόμνησιν λαμβάνωμεν τῶν αὐτοῖς κατορθωμένων καὶ τῶν ἐπὶ τοῖς κατορθώμασιν ἀμοιβῶν τῶν ἀποκειμένων.

2. Μέγα γὰρ ὄφελος ταῖς ἡμετέραις ψυχαῖς ἐντεῦθεν προσγίνεται ἐὰν νήφωμεν· οὐδὲ γὰρ οὕτω λόγος παιδεῦσαι δύναται καὶ πρὸς φιλοσοφίαν ἐναγανεῖν καὶ τὴν τῶν παρόντων ὑπεροψίαν ὡς τὰ πάθη



ΚΑΤΗΧΗΣΗ ΕΒΔΟΜΗ

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΜΑΣ ΓΙΝΟΝΤΑΙ ΠΡΟΞΕΝΑ ΜΕΓΑΛΗΣ ΩΦΕΛΕΙΑΣ ΤΑ ΛΕΙΨΑΝΑ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΚΑΙ ΟΤΙ ΠΡΕΠΕΙ ΝΑ ΠΕΡΙΦΡΟΝΟΥΜΕ ΟΛΑ ΤΑ ΚΟΣΜΙΚΑ ΚΑΙ ΝΑ ΕΠΙΔΙΩΚΟΜΕ ΤΑ ΠΝΕΥΜΑΤΙΚΑ ΑΓΑΘΑ· ΕΠΙΣΗΣ ΠΟΣΟ ΜΕΓΑΛΟ ΑΓΑΘΟ ΕΙΝΑΙ Η ΠΡΟΣΕΥΧΗ ΚΑΙ Η ΕΛΕΗΜΟΣΥΝΗ, ΚΑΙ ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ

1. Δείχνοντας ὁ φιλάνθρωπος Θεὸς μεγάλη καὶ διάφορη τὴν πρόνοιά του πρὸς τὸ ἀνθρώπινο γένος δὲν δημιούργησε μόνο τὴν κτίση, ἐξέτεινε τὸν οὐρανό, ἅπλωσε τὴ θάλασσα, ἄναψε τὸν ἥλιο καὶ ὅρισε τὴ σελήνη νὰ φωτίζει, χάρισε τὴ γῆ γιὰ κατοίκηση καὶ ἔδωσε ὅλα τὰ προϊόντα τῆς γῆς γιὰ τὴ διατροφὴ καὶ συντήρηση τῶν σωμάτων μας, ἀλλὰ μᾶς χάρισε καὶ τὰ λείψανα τῶν ἁγίων μαρτύρων, καὶ ἀφοῦ ἔλαβε αὐτὸς τὶς ψυχὲς αὐτῶν, γιατὶ λέγει, «οἱ ψυχὲς τῶν ἁγίων βρίσκονται στὰ χέρια τοῦ Θεοῦ»[1], ἄφησε σὲ μᾶς μεγάλη παρηγοριὰ καὶ ἐνίσχυση τὰ σώματα αὐτῶν, ὥστε, ἐρχόμενοι στοὺς τάφους αὐτῶν τῶν ἁγίων, νὰ διεγειρόμαστε σὲ ζῆλο καὶ μίμηση αὐτῶν, καὶ βλέποντάς τους νὰ θυμόμαστε τὰ κατορθώματά αὐτῶν καὶ τὶς ἀμοιβὲς ποὺ τοὺς ἐπιφυλάσσονται γιὰ τὰ κατορθώματά τους.

2. Πραγματικὰ μεγάλη ὠφέλεια προξενεῖται ἀπὸ ἐδῶ στὶς ψυχές μας ἂν προσέχομε· γιατὶ δὲν μπορεῖ λόγος νὰ μᾶς διδάξει καὶ νὰ μᾶς ὁδηγήσει σὲ εὐσέβεια καὶ περιφρόνηση τῶν παρόντων

1. Σοφ. Σολ. 3,1.

τῶν μαρτύρων σάλπιγγος λαμπροτέραν ἀφιέντα φωνὴν καὶ πᾶσι διὰ τῶν πραγμάτων δεικνύντα τῆς ἀμοιβῆς τῶν ἐνταῦθα πόνων τὸ μέγεθος καὶ τῆς ἀντιδόσεως τὴν ὑπερβολήν. Ὅσον γὰρ λείπεται λόγος πράξεως τοσοῦτον τὰ παρ' ἡμῶν λεγόμενα τῆς παρὰ τῶν ἁγίων τούτων διδασκαλίας.

3. Ὅταν τοίνυν ἐνταῦθα παραγενόμενος, ἀγαπητέ, ἀναλογίσῃ τῇ διανοίᾳ ὅτι ὁ δῆμος οὗτος ἅπας μετὰ τοσαύτης σπουδῆς συντρέχειν ἐπείγεται ὥστε τὴν κόνιν περιπτύξασθαι καὶ τὴν ἐντεῦθεν εὐλογίαν καρπώσασθαι, πῶς οὐχὶ μετάρσιος γενήσῃ λοιπὸν τῇ διανοίᾳ καὶ τὸν ἴσον ζῆλον τῷ μάρτυρι ἐπιδείξασθαι σπεύσεις, ὥστε καὶ αὐτὸς τῶν αὐτῶν ἀξιωθῆναι ἀμοιβῶν; Ἐννόησον γάρ, εἰ παρ' ἡμῶν τῶν συνδούλων ἐνταῦθα τοσαύτης ἀπολαύουσι τιμῆς, πόσης καὶ ἡλίκης ἀπολαύσονται παρὰ τῷ Δεσπότῃ τῆς παρρησίας ἐν ἐκείνῃ τῇ φοβερᾷ ἡμέρᾳ, ὅτε μέλλουσι τῶν ἀκτίνων τῶν ἡλιακῶν φαιδρότερον ἀπολάμπειν; «τότε» γάρ, φησίν, «ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος».

4. Εἰδότες τοίνυν τῆς παρρησίας αὐτῶν τὸ μέγεθος, πρὸς αὐτοὺς ἀεὶ καταφεύγωμεν καὶ τὴν παρ' αὐτῶν συμμαχίαν λαμβάνωμεν. Εἰ γὰρ ἄνθρωποι πρὸς τὸν ἐπὶ γῆς βασιλέα παρρησίαν ἔχοντες πολλὰ καὶ μεγάλα δύνανται τοὺς ἐπ' αὐτοὺς καταφεύγοντας ὠφελεῖν, πολλῷ μᾶλλον οὗτοι οἱ ἅγιοι οἱ πρὸς τὸν τῶν οὐρανῶν βασιλέα τὴν παρρησίαν κτησάμενοι διὰ τῶν οἰκείων παθημάτων τὰ μέγιστα ἡμᾶς ὀνήσουσι, μόνον ἐὰν ἡμεῖς τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν· τότε γὰρ μάλιστα καὶ ἡ παρ' αὐτῶν προστασία ὠφελῆσαι ἡμᾶς δυνήσεται, ἐὰν μὴ ῥαθυμῶμεν ἀλλὰ καὶ αὐτοὶ σπουδάζωμεν τῇ προσεδρείᾳ καὶ τῇ περὶ τὸν βίον ἐπιμελείᾳ τὴν φιλανθρωπίαν ἐφ' ἑαυτοῖς ἐπισπάσασθαι τοῦ Δεσπότου.

5. Ὡς πρὸς ἰατροὺς τοίνυν πνευματικοὺς ἐπὶ τούτους συνεχῶς καταφεύγωμεν. Διὰ γὰρ τοῦτο τὰ σώματα αὐτῶν κατέλιπεν ἡμῖν ὁ ἀγαθὸς Δεσπότης, ἵν', ἐνταῦθα παραγενόμενοι καὶ τῇ τῆς ψυχῆς διαθέσει ταῦτα περιπτυσσόμενοι, μεγίστην ἐντεῦθεν λαμβάνωμεν

2. Ματθ. 13,43.

ἀγαθῶν, ὅσο τὰ πάθη τῶν μαρτύρων πού, ἀφήνοντας φωνὴ λαμπρότερη ἀπὸ τὴ σάλπιγγα, δείχνουν σ' ὅλους ἀπὸ τὰ ἴδια τὰ πράγματα τὸ μέγεθος τῆς ἀμοιβῆς τῶν ἐδῶ κόπων καὶ τὴν ὑπερβολὴ τῆς ἀνταποδόσεως. Γιατί, ὅσο ὑπολείπεται ὁ λόγος ἀπὸ τὴν πράξη, τόσο ἀπέχουν τὰ λεγόμενά μου ἀπὸ τὴ διδασκαλία αὐτῶν τῶν ἁγίων.

3. Ὅταν λοιπόν, ἀγαπητέ, ἐρχόμενος ἐδῶ σκεφθεῖς ὅτι ὅλο αὐτὸ τὸ πλῆθος τρέχει ἐδῶ μὲ τόση προθυμία γιὰ ν' ἀσπασθεῖ τὴ σκόνη τῶν μαρτύρων καὶ νὰ καρπωθεῖ τὴν εὐλογία ἀπ' αὐτούς, πῶς δὲ θ' ἀνυψωθεῖς πνευματικὰ στὴ συνέχεια καὶ δὲν θὰ προσπαθήσεις νὰ δείξεις τὸν ἴδιο ζῆλο μὲ τὸν μάρτυρα, ὥστε καὶ σὺ ὁ ἴδιος ν' ἀξιωθεῖς τὶς ἴδιες ἀμοιβές; Γιατὶ σκέψου, ἂν ἀπολαμβάνουν ἐδῶ τόση τιμὴ ἀπὸ ἐμᾶς τοὺς συνδούλους τους, πόση καὶ τί λογῆς παρρησία θ' ἀπολαύσουν ἀπὸ τὸν Κύριο κατὰ τὴ φοβερὴ ἐκείνη ἡμέρα, κατὰ τὴν ὁποία θὰ λάμπουν λαμπρότερα ἀπὸ τὶς ἀκτίνες τοῦ ἥλιου; γιατὶ λέγει, «τότε οἱ δίκαιοι θὰ λάμψουν σὰν τὸν ἥλιο»[2].

4. Γνωρίζοντας λοιπὸν τὸ μέγεθος τῆς παρρησίας αὐτῶν, ἂς καταφεύγομε πάντοτε πρὸς αὐτοὺς καὶ ἂς παίρνομε τὴ βοήθεια ἀπ' αὐτούς. Γιατί, ἂν ἄνθρωποι, ποὺ ἔχουν παρρησία πρὸς τὸν ἐπίγειο βασιλιά, μποροῦν νὰ προσφέρουν πολλὴ καὶ μεγάλη ὠφέλεια σ' ἐκείνους ποὺ καταφεύγουν σ' αὐτούς, πολὺ περισσότερο αὐτοὶ οἱ ἅγιοι, ποὺ ἀπέκτησαν τὴν παρρησία πρὸς τὸν βασιλιὰ τῶν οὐρανῶν μὲ τὰ παθήματά τους, θὰ μᾶς ὠφελήσουν τὰ μέγιστα, ἀρκεῖ μόνο νὰ προσφέρομε ἐκεῖνο ποὺ ἐξαρτᾶται ἀπὸ μᾶς· γιατὶ τότε πρὸ πάντων θὰ μπορέσει νὰ μᾶς ὠφελήσει ἡ προστασία ἐκ μέρους αὐτῶν, ἂν δὲν δείχνομε ἀδιαφορία ἀλλὰ φροντίζομε καὶ οἱ ἴδιοι μὲ τὴν διαρκῆ προσπάθεια καὶ τὴν προσεκτικὴ ζωή μας ν' ἀποσπάσομε γιὰ μᾶς τὴ φιλανθρωπία τοῦ Κυρίου.

5. Ἂς καταφεύγομε λοιπὸν συνέχεια πρὸς αὐτοὺς σὰν πρὸς γιατροὺς πνευματικούς. Γιατὶ γι' αὐτὸ ὁ ἀγαθὸς Κύριος μᾶς ἄφησε τὰ σώματά τους, ὥστε, ἐρχόμενοι ἐδῶ καὶ ἀσπαζόμενοι αὐτὰ μὲ τὴ διάθεση τῆς ψυχῆς, νὰ λαμβάνομε μέγιστη θεραπεία καὶ τῶν ψυχικῶν καὶ τῶν σωματικῶν ἀσθενειῶν μας. Πραγματικὰ ἂν ἐρχόμα-

τὴν ἰατρείαν καὶ τῶν ψυχικῶν καὶ τῶν σωματικῶν ἀρρωστημάτων. Ἐὰν γὰρ μετὰ πίστεως παραγενώμεθα, κἂν ψυχικὸν ἔχωμεν πάθος κἂν σωματικόν, κατάλληλον τὴν θεραπείαν δεξάμενοι οὕτως ἐπαναστρέψομεν.

6. Καίτοι ἐπὶ μὲν τῶν σωματικῶν παθῶν πολλάκις καὶ ἀποδημίαν ἔνι στείλασθαι μακρὰν ὥστε τῶν τοῦ ἰατροῦ χειρῶν τυχεῖν καὶ χρήματα καταβαλεῖν καὶ πολλὰ ἕτερα ἐπινοῆσαι τὰ δυνάμενα πεῖσαι ἐκεῖνον τὴν ἀπὸ τῆς οἰκείας τέχνης ἐπιστήμην εἰσενεγκεῖν καὶ τῷ πάθει παραμυθίαν εὑρέσθαι. Ἐνταῦθα δὲ οὐδενὸς ἡμῖν τούτων δεῖ, οὐχ ὁδοιπορίας μακρᾶς, οὐ καμάτου, οὐ πολλῆς περιόδου, οὐ δαπάνης χρημάτων, ἀλλ' ἀρκεῖ πίστιν εἰσενεγκόντα γνησίαν καὶ δάκρυα θερμὰ προχέαντα μετὰ νηφούσης ψυχῆς παραχρῆμα καὶ τῇ ψυχῇ τὴν ἰατρείαν εὑρεῖν καὶ τοῦ σώματος τὴν θεραπείαν κομίσασθαι.

7. Εἶδες ἰατρῶν δύναμιν; εἶδες φιλοτιμίαν; εἶδες τέχνην οὐ νικωμένην ὑπὸ νοσημάτων; Καὶ γὰρ ἐπὶ τῶν σωματικῶν παθῶν πολλάκις ἐνίκησε τοῦ ἰατροῦ τὴν τέχνην ἡ δυσκολία τῆς νόσου. Ἐνταῦθα δὲ οὐδὲν ἔστι τοιοῦτον ὑποπτεῦσαί ποτε, ἀλλ', ἐὰν μετὰ πίστεως τὴν πρόσοδον ποιώμεθα, παραχρῆμα τὴν ὠφέλειαν καρπούμεθα. Καὶ μὴ θαυμάσῃς, ἀγαπητέ· ὁ γὰρ φιλάνθρωπος Δεσπότης, ἐπειδὴ δι' αὐτὸν καὶ τὴν εἰς αὐτὸν ὁμολογίαν ἅπαντα ὑπέμειναν καὶ μέχρις αἵματος ἀντικατέστησαν πρὸς τὴν ἁμαρτίαν ἀποδυσάμενοι, βουλόμενος αὐτοὺς καὶ διὰ τούτου λαμπροτέρους ἀποφῆναι καὶ τὴν δόξαν αὐτῶν ἐπὶ πλέον αὐξῆσαι καὶ ἐν τῷ ἐπικήρῳ τούτῳ βίῳ, εἰς τιμὴν αὐτῶν τοῖς μετὰ πίστεως προσιοῦσι τὰς δωρεὰς φιλοτιμεῖται.

8. Καὶ ὅτι οὐ ῥήματα μόνον εἰσὶ τὰ παρ' ἡμῶν λεγόμενα ἀλλὰ καὶ αὐτὴ μαρτυρεῖ τῶν πραγμάτων ἡ πεῖρα, καὶ ὑμεῖς εὖ οἶδ' ὅτι ἐρεῖτε καὶ μαρτυρήσετε. Ποία γὰρ γυνὴ ἐν ἀποδημίᾳ τὸν ἄνδρα ἔχουσα καὶ δυσχεραίνουσα ἐπὶ τῷ χωρισμῷ παραγενομένη ἐνταῦθα καὶ διὰ τῶν ἁγίων μαρτύρων τὴν ἱκεσίαν προσαγαγοῦσα τῷ τῶν ὅλων Δεσπότῃ, οὐχὶ θᾶττον ἐπανήγαγε τοῦτον ἐκ τῆς μακρᾶς ἀποδημίας; καὶ ἑτέρα πάλιν ὁρῶσα τὸν ἑαυτῆς παῖδα ὑπὸ ἀρρωστίας χαλεπῆς πολιορκούμενον καὶ σπαραττομένη ὥσπερ εἰπεῖν

στε ἐδῶ μὲ πίστη, εἴτε ἔχομε πάθος ψυχικὸ εἴτε σωματικό, θὰ ἐπιστρέψομε ἀφοῦ λάβομε τὴν κατάλληλη θεραπεία.

6. Ἂν καὶ βέβαια στὴν περίπτωση τῶν σωματικῶν παθῶν πρέπει κανεὶς πολλὲς φορὲς καὶ νὰ ταξιδέψει μακριὰ γιὰ νὰ βρεῖ τὸ γιατρὸ καὶ χρήματα νὰ πληρώσει καὶ πολλὰ ἄλλα νὰ μηχανευθεῖ μὲ τὰ ὁποῖα θὰ μπορέσει νὰ τὸν πείσει νὰ τοῦ προσφέρει τὶς ἰατρικές του γνώσεις, ὥστε νὰ βρεῖ ἀνακούφιση στὸ πάθος του. Ἐνῶ ἐδῶ τίποτε ἀπ' αὐτὰ δὲν χρειαζόμαστε, οὔτε μακρινὴ ὁδοιπορία, οὔτε κόπο, οὔτε πολὺ χρόνο, οὔτε χρήματα νὰ ξοδέψομε, ἀλλ' ἀρκεῖ νὰ προσφέρει κανεὶς γνήσια πίστη καὶ νὰ χύσει θερμὰ δάκρυα μὲ ψυχὴ νηφάλια καὶ ἀμέσως νὰ βρεῖ καὶ τὴ γιατρειὰ τῆς ψυχῆς καὶ νὰ ἐπιτύχει τὴ θεραπεία τοῦ σώματος.

7. Εἶδες δύναμη γιατρῶν; εἶδες γενναιοδωρία; εἶδες τέχνη ποὺ δὲν νικιέται ἀπὸ ἀσθένειες; Γιατὶ στὴν περίπτωση τῶν σωματικῶν παθῶν πολλὲς φορὲς νίκησε τὴν τέχνη τοῦ γιατροῦ ἡ δυσκολία τῆς νόσου. Ἐδῶ ὅμως δὲν εἶναι δυνατὸ νὰ σκεφθεῖ ποτὲ κανεὶς κάτι τέτοιο, ἀλλ', ἂν ἐρχόμασε ἐδῶ μὲ πίστη, ἀμέσως καρπούμαστε τὴν ὠφέλεια. Καὶ μὴν ἀπορήσεις, ἀγαπητέ· γιατὶ ὁ φιλάνθρωπος Κύριος, ἐπειδὴ ὑπέμειναν ὅλα γι' αὐτὸν καὶ γιὰ τὴν πίστη τους πρὸς αὐτὸν καὶ ἀντιστάθηκαν πρὸς τὴν ἁμαρτία, ὥστε καὶ τὸ αἷμα τους νὰ χύσουν, θέλοντας καὶ γι' αὐτὸ νὰ τοὺς καταστήσει λαμπρότερους καὶ ν' αὐξήσει περισσότερο τὴ δόξα τους καὶ σ' αὐτὴ τὴν πρόσκαιρη ζωή, πρὸς τιμὴ αὐτῶν παρέχει πλούσιες τὶς δωρεές του σ' ἐκείνους ποὺ προσέρχονται σ' αὐτοὺς μὲ πίστη.

8. Καὶ ὅτι δὲν εἶναι μόνο λόγια τὰ λεγόμενά σου, ἀλλὰ τὸ ἐπιβεβαιώνει αὐτὸ καὶ ἡ ἴδια ἡ πείρα τῶν πραγμάτων, γνωρίζω πολὺ καλὰ ὅτι καὶ σεῖς θὰ τὸ πεῖτε καὶ θὰ τὸ ἐπιβεβαιώσετε. Γιατὶ ποιά γυναίκα ποὺ βρισκόταν ὁ ἄνδρας της στὴν ξενιτειὰ καὶ ὑπόφερε γιὰ τὸ χωρισμό της ἀπ' αὐτόν, δὲν ἐπανέφερε αὐτὸν σὲ πάρα πολὺ σύντομο χρόνο ἀπὸ τὴ μακρινὴ ἀποδημία ἐρχόμενη ἐδῶ καὶ ἀπευθύνοντας μέσω τῶν ἁγίων μαρτύρων τὴν παράκλησή της πρὸς τὸν Κύριο τῶν ὅλων; καὶ ἄλλη πάλι βλέποντας τὸ παιδί της νὰ πολιορκεῖται ἀπὸ φοβερὴ ἀρρώστια καὶ νιώθοντας νὰ σπαράσσονται, ὅπως θὰ λέγαμε, καὶ νὰ ξεσχίζονται τὰ σπλάχνα της, δὲν ἀπομάκρυνε ἀμέσως τὴν ἀρρώστια καὶ ἔγινε αἰτία νὰ ἐπανεύρει ὁ ἄρρω-

καὶ διακοπτομένη τὰ σπλάγχνα, ἐνταῦθα ἀφικομένη καὶ θερμὰ δάκρυα ἀφεῖσα καὶ διεγείρασα εἰς τὴν ὑπὲρ αὐτῆς δέησιν τοὺς ἁγίους τούτους, τοὺς τοῦ Χριστοῦ λέγω στεφανίτας, οὐκ εὐθέως τὴν νόσον ἀπήλασε καὶ πρὸς ὑγίειαν τὸν ἄρρωστον ἐπανελθεῖν παρεσκεύασε;

9. Πολλοὶ δὲ καὶ περιστάσεσι πραγμάτων περιπεπτωκότες καὶ κινδύνους ἀφορήτους αὐτοῖς ὁρῶντες ἐπικρεμαμένους, ἐνταῦθα ἀφικόμενοι καὶ τὴν προσευχὴν ἐκτενῆ ποιησάμενοι, πάντων ἐκείνων τῶν δεινῶν τὴν πεῖραν διέφυγον. Καὶ τί λέγω σωματικὰ νοσήματα καὶ πραγμάτων περιστάσεις; Πολλοὶ καὶ ὑπ' αὐτοῦ τοῦ διαβόλου τυραννούμενοι καὶ ὑπὸ παθῶν ψυχικῶν πολιορκούμενοι, πρὸς τοὺς πνευματικοὺς τούτους ἰατροὺς παραγεγονότες καὶ εἰς μνήμην ἐλθόντες τῶν οἰκείων πλημμελημάτων καὶ τῷ λόγῳ γυμνώσαντες αὐτῶν, ὡς εἰπεῖν, τὰ ἕλκη, τοσαύτην ἐντεῦθεν ἐδέξαντο τὴν παραμυθίαν ὡς αἴσθησιν εὐθέως λαβεῖν καὶ κουφότερον ἐργάσασθαι αὐτῶν τὸ συνειδὸς καὶ μετὰ πολλῆς τῆς πληροφορίας οἴκαδε ἐπανελθεῖν.

10. Καθάπερ γὰρ πηγὰς πνευματικὰς δαψιλῆ τὰ νάματα προχέειν δυναμένας, οὕτω τὰς τῶν ἁγίων μαρτύρων θήκας ὁ Δεσπότης ἡμῖν κεχάρισται. Καὶ ὥσπερ αἱ πηγαὶ τῶν ὑδάτων πᾶσιν ἀδεῶς πρόκεινται τοῖς ἀρύεσθαι βουλομένοις τὰ ἐκεῖθεν νάματα καὶ ὅσον ἂν ὑποδέξασθαι δύνηται τοῦ ἀγγείου τὸ μέγεθος, τοσοῦτον λαβὼν ἄπεισιν ὁ βουλόμενος, τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῶν πηγῶν τούτων τῶν πνευματικῶν ἔστιν ἰδεῖν. Καὶ αὗται γὰρ αἱ πηγαὶ πᾶσίν εἰσιν ἀνειμέναι καὶ οὐδεμία ἐστὶν ἐνταῦθα προσώπων διαφορά, ἀλλὰ κἂν πλούσιος ᾖ τις κἂν πένης, κἂν δοῦλος κἂν ἐλεύθερος, κἂν ἀνὴρ κἂν γυνή, τοσοῦτον μέτρον ὑποδέχεται ἐκ τῶν θείων τούτων ναμάτων ὅσον ἐὰν μέγεθος προθυμίας εἰσενεγκεῖν σπουδάσῃ.

11. Ὅπερ γάρ ἐστιν ἐκεῖ τὰ ἀγγεῖα πρὸς τὴν τῶν ὑδάτων ὑποδοχήν, τοῦτο ἐνταῦθα ἡ διάνοια καὶ ἡ ζέουσα προθυμία καὶ ἡ μετὰ νήψεως πρόσοδος. Ὁ γὰρ οὕτω προσιὼν εὐθέως τὰ μυρία κομίζεται ἀγαθά, τῆς τοῦ Θεοῦ χάριτος ἀοράτως αὐτοῦ κουφιζούσης τὸ συνειδὸς καὶ πολλὴν τὴν πληροφορίαν παρεχομένης καὶ παρασκευαζούσης τῆς γῆς ἀπαλλάττεσθαι καὶ πρὸς τὸν οὐρανὸν μεθορ-

στος τὴν ὑγεία του, ἀφοῦ ἦρθε ἐδῶ, ἔχυσε θερμὰ δάκρυα καὶ παρακάλεσε τοὺς ἁγίους αὐτούς, ἐννοῶ τοὺς στεφανοφορημένους τοῦ Χριστοῦ, νὰ παρακαλέσουν αὐτὸν γι' αὐτήν;

9. Πολλοὶ πάλι ποὺ βρέθηκαν σὲ δύσκολες περιστάσεις, βλέποντας νὰ κρέμονται ἀπὸ πάνω τους φοβεροὶ κίνδυνοι, ἀφοῦ ἦρθαν ἐδῶ καὶ ἀπηύθυναν ἐκτενῆ προσευχή, διέφυγαν τὴ δοκιμασία ὅλων ἐκείνων τῶν δεινῶν. Καὶ γιατί ὁμιλῶ γιὰ σωματικὰ νοσήματα καὶ περιστάσεις πραγμάτων; Πολλοὶ ποὺ τυραννοῦνταν ἀπὸ τὸν ἴδιο τὸ διάβολο καὶ πολιορκοῦνταν ἀπὸ ψυχικὰ πάθη, ἀφοῦ προσῆλθαν πρὸς τοὺς πνευματικοὺς αὐτοὺς γιατροὺς καὶ ἔφεραν στὴ μνήμη τους τὰ ἁμαρτήματά τους καὶ ἀπογύμνωσαν, ὅπως θὰ λέγαμε, μὲ τὰ λόγια τὰ ἕλκη τους, τόση ἀνακούφιση δέχθηκαν ἀπὸ ἐδῶ, ὥστε νὰ αἰσθανθοῦν αὐτὴν ἀμέσως, νὰ γίνει ἐλαφρότερη ἡ συνείδησή τους, καὶ νὰ ἐπιστρέψουν στὸ σπίτι τους μὲ μεγάλη βεβαιότητα γι' αὐτό.

10. Γιατὶ ὁ Κύριος μᾶς χάρισε τοὺς τάφους τῶν ἁγίων σὰν ἀκριβῶς πνευματικὲς πηγές, ποὺ ἔχουν τὴ δύναμη νὰ μᾶς παρέχουν πλούσια τὰ νάματά τους. Καὶ ὅπως ἀκριβῶς οἱ πηγὲς τῶν ὑδάτων βρίσκονται στὴ διάθεση ὅλων ἐκείνων ποὺ θέλουν νὰ λάβουν τὸ νερὸ ἀπ' αὐτές, καὶ φεύγει ὁ καθένας ἀφοῦ λάβει τὸ νερὸ ποὺ μπορεῖ νὰ χωρέσει τὸ δοχεῖο του, τὸ ἴδιο πράγμα μπορεῖ κανεὶς νὰ δεῖ νὰ συμβαίνει καὶ στὶς πηγὲς αὐτὲς τὶς πνευματικές. Γιατὶ κι αὐτὲς οἱ πηγὲς βρίσκονται στὴ διάθεση ὅλων καὶ δὲν ὑπάρχει ἐδῶ καμμιὰ διαφορὰ προσώπων, ἀλλ' εἴτε εἶναι κανεὶς πλούσιος εἴτε φτωχὸς εἴτε δοῦλος εἴτε ἐλεύθερος εἴτε ἄνδρας εἴτε γυναίκα, τόση εἶναι ἡ ποσότητα τῶν θείων ναμάτων ποὺ δέχεται, ὅσο φροντίσει νὰ εἶναι τὸ μέγεθος τῆς προθυμίας ποὺ προσφέρει.

11. Γιατὶ ἐκεῖνο ποὺ εἶναι ἐκεῖ τὰ δοχεῖα ποὺ δέχονται τὸ νερό, αὐτὸ εἶναι ἐδῶ ἡ διάθεση, ἡ θερμὴ προθυμία καὶ προσέλευση μὲ νηφαλιότητα. Γιατὶ ἐκεῖνος ποὺ προσέρχεται ἐδῶ ἔτσι, ἀμέσως λαμβάνει τὰ μύρια ἀγαθά, ἀφοῦ ἡ χάρη τοῦ Θεοῦ ἀνακουφίζει ἀόρατα τὴ συνείδησή του, παρέχει μεγάλη τὴ βεβαιότητα γιὰ τὴ θεραπεία καὶ τὴν προετοιμάζει πλέον ν' ἀπομακρύνεται ἀπὸ τὰ γήϊνα καὶ νὰ ἀνυψώνεται πρὸς τὸν οὐρανό. Γιατὶ εἶναι δυνατὸ κανεὶς νὰ

μίζεσθαι. Δυνατὸν γὰρ καὶ σώματι περιπεπλεγμένον μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν ἀλλὰ τὰ ἐν τοῖς οὐρανοῖς ἅπαντα φαντάζεσθαι καὶ τὰ ἐκεῖ περισκοπεῖν διηνεκῶς.

12. Διὰ τοῦτο καὶ Παῦλος γράφων ἔλεγεν ἀνθρώποις σαρκὶ συμπεπλεγμένοις καὶ ἐν τῷ μέσῳ στρεφομένοις καὶ γυναικὸς καὶ παίδων φροντίζουσιν, «τὰ ἄνω φρονεῖτε». Εἶτα, ἵνα μάθωμεν τί βούλεται αὐτῷ ἡ παραίνεσις αὕτη καὶ τί ἐστι τὰ ἄνω φρονεῖν, ἐπήγαγεν· «οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος». Ἐκεῖνα, φησί, βούλομαι ὑμᾶς φρονεῖν τὰ δυνάμενα ὑμῶν ἐκεῖ μεταστῆσαι τὸν λογισμόν, τὰ ἀφιστῶντα ὑμᾶς τῶν ἐν τῇ γῇ πραγμάτων. «Καὶ γὰρ τὸ πολίτευμα ὑμῶν ἐν οὐρανῷ ὑπάρχει». Ἔνθα οὖν ἀπεγράφητε, φησίν, ἐκεῖ τὸν νοῦν ὑμῶν ἅπαντα μεταγαγεῖν σπουδάσατε κἀκεῖνα βουλεύεσθε καὶ πράττειν ἃ τῆς ἐκεῖ πολιτείας ὑμᾶς ἀξίους ἀποφῆναι δυνήσεται.

13. Καὶ ἵνα μὴ νομίσωμεν αὐτὸν ἀδύνατά τινα ἐπιτάττειν καὶ ὑπερβαίνοντα τὴν φύσιν τὴν ἡμετέραν, πάλιν δευτεροῖ τὴν παραίνεσιν καί φησι· «τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς». Τί ἐστιν ὃ βούλεται ἡμᾶς παιδεῦσαι; Μὴ ταῦτα, φησί, φρονεῖτε τὰ τῆς γῆς ἄξια. Τίνα δέ ἐστι τὰ τῆς γῆς ἄξια; Τὰ μηδὲν ἔχοντα μόνιμον, τὰ πρὶν ἢ φανῆναι ἀφιπτάμενα, τὰ μηδὲν ἔχοντα βέβαιον μηδὲ ἀκίνητον, τὰ τῷ παρόντι βίῳ συγκαταλυόμενα, τὰ πρὶν ἢ ἀνθῆσαι μαραινόμενα, τὰ φθορᾷ ὑποκείμενα. Τοιαῦτα γὰρ ἅπαντα τὰ ἀνθρώπινα κἂν πλοῦτον εἴπῃς κἂν δυναστείαν κἂν δόξαν κἂν σώματος ὥραν κἂν ἅπασαν τοῦ βίου τὴν εὐημερίαν.

14. Διὰ τοῦτο καὶ λέξει τοιαύτῃ ἐχρήσατο εἰπών, «μὴ τὰ ἐπὶ τῆς γῆς», τῷ ὀνόματι τῆς γῆς τὴν πολλὴν αὐτῶν εὐτέλειαν ἐνδείξασθαι βουλόμενος. Μὴ τοίνυν ταῦτα φρονεῖτε, φησίν, ἀλλὰ τὰ ἄνω· ἀντὶ τῶν ἐπὶ τῆς γῆς, τῶν εὐτελῶν τούτων καὶ παρατρεχόντων, τὰ ἄνω φρονεῖτε, φησί, τὰ ἐν τοῖς οὐρανοῖς, τὰ ἀκίνητα, τὰ τῷ διηνεκεῖ αἰῶνι συμπαρεκτεινόμενα, τὰ τοῖς τῆς πίστεως ὀφθαλμοῖς ὁρώμενα, τὰ τέλος οὐκ ἐπιστάμενα, τὰ διαδοχὴν οὐκ εἰδότα, τὰ πέρας οὐκ

---

3. Κολ. 3,2.
4. Κολ. 3,1.
4α. Φιλ. 3,20.

περιβάλλεται ἀπὸ σῶμα καὶ νὰ μὴ ἔχει τίποτε τὸ κοινὸ πρὸς τὴ γῆ, ἀλλὰ νὰ σκέπτεται ὅλα τὰ οὐράνια καὶ ν' ἀσχολεῖται διαρκῶς μὲ τὰ ἐκεῖ.

12. Γι' αὐτὸ καὶ ὁ Παῦλος γράφοντας ἔλεγε σ' ἀνθρώπους ποὺ ἔφερναν σάρκα, ποὺ ζοῦσαν μέσα στὸν κόσμο καὶ φρόντιζαν γιὰ γυναίκα καὶ παιδιά, «νὰ σκέπτεσθε τὰ οὐράνια πράγματα»[3]. Ἔπειτα, γιὰ νὰ μάθεις τί θέλει νὰ πεῖ μ' αὐτὴ τὴ συμβουλὴ καὶ τί σημαίνει νὰ σκέπτεται κανεὶς τὰ οὐράνια, πρόσθεσε «ὅπου ὁ Χριστὸς κάθεται στὰ δεξιὰ τοῦ Θεοῦ»[4]. Ἐκεῖνα, λέγει, θέλω νὰ σκέπτεσθε, ποὺ μποροῦν νὰ μεταφέρουν τὴ σκέψη σας ἐκεῖ, ποὺ σᾶς ἀπομακρύνουν ἀπὸ τὰ γήϊνα πράγματα. «Γιατὶ ἡ πατρίδα σας βρίσκεται στὸν οὐρανό»[4α]. Ἐκεῖ λοιπόν, λέγει, ποὺ πολιτογραφηθήκατε, ἐκεῖ φροντίσατε νὰ μεταφέρετε ὅλη τὴ σκέψη σας καὶ ἐκεῖνα νὰ σκέπτεσθε καὶ νὰ πράττετε ποὺ θὰ μπορέσουν νὰ σᾶς καταστήσουν ἄξιους τῆς ἐκεῖ πολιτείας.

13. Καὶ γιὰ νὰ μὴ νομίσομε ὅτι αὐτὸς προστάσσει πράγματα ἀδύνατα καὶ ποὺ ὑπερβαίνουν τὴ φύση μας, πάλι ἐπαναλαμβάνει τὴ συμβουλὴ καὶ λέγει· «νὰ σκέπτεσθε τὰ οὐράνια καὶ ὄχι τὰ ἐπίγεια». Ποιό εἶναι αὐτὸ ποὺ θέλει νὰ μᾶς διδάξει; Μὴ σκέπτεσθε, λέγει, αὐτὰ ποὺ εἶναι ἄξια τῆς γῆς. Καὶ ποιά εἶναι τὰ ἄξια τῆς γῆς; Ἐκεῖνα ποὺ δὲν ἔχουν τίποτε τὸ μόνιμο, ἐκεῖνα ποὺ πρὶν φανοῦν πετοῦν καὶ χάνονται, ἐκεῖνα ποὺ δὲν ἔχουν τίποτε τὸ σίγουρο καὶ ἀκίνητο, ἐκεῖνα ποὺ ἐξαφανίζονται μαζὶ μὲ τὴν παρούσα ζωή, ἐκεῖνα ποὺ προτοῦ ἀνθήσουν μαραίνονται, ἐκεῖνα ποὺ ὑπόκεινται στὴ φθορά. Γιατὶ τέτοια εἶναι ὅλα τὰ ἀνθρώπινα, εἴτε πεῖς τὸν πλοῦτο, εἴτε τὴν ἐξουσία, εἴτε τὴ δόξα, εἴτε τὴν ὡραιότητα τοῦ σώματος, εἴτε ὅλη τὴν εὐημερία τῆς ζωῆς.

14. Γι' αὐτὸ καὶ χρησιμοποίησε τέτοια λέξη, λέγοντας, «ὄχι τὰ τῆς γῆς», θέλοντας μὲ τὸ ὄνομα τῆς γῆς νὰ δείξει τὴ μεγάλη εὐτέλεια αὐτῶν. Μὴ σκέπτεσθε λοιπὸν αὐτά, λέγει, ἀλλὰ τὰ οὐράνια· ἀντὶ γιὰ τὰ πράγματα τῆς γῆς, αὐτὰ τὰ εὐτελῆ καὶ ποὺ φεύγουν καὶ χάνονται, νὰ σκέπτεσθε, λέγει, τὰ πράγματα τοῦ οὐρανοῦ, ποὺ εἶναι ἀκίνητα, ποὺ ἐπεκτείνονται στὸν διαρκῆ αἰώνα, ποὺ βλέπονται μὲ τὰ μάτια τῆς πίστεως, ποὺ δὲν γνωρίζουν τέλος, ποὺ δὲν γνωρί-

ἔχοντα. Περὶ ἐκεῖνα βούλομαι διηνεκῶς ὑμῶν στρέφεσθαι τὸν λογισμόν. Ἡ γὰρ ἐν τούτοις μελέτη τῆς γῆς ἀπαλλάττει καὶ πρὸς τὸν οὐρανὸν μεθίστησι.

15. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· «ὅπου ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ». Ἡ γὰρ ψυχὴ ἐπειδὰν τὴν ἔννοιαν δέξηται τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, καθάπερ ἀπολυθεῖσα τῶν συνδέσμων τοῦ σώματος, μετάρσιος, ὡς εἰπεῖν, γίνεται καὶ καθ' ἑκάστην ἡμέραν ἐκείνων τὴν ἀπόλαυσιν φανταζομένη, οὐδὲ ἔννοιαν λαβεῖν δύναται τῶν ἐν τῇ γῇ πραγμάτων, ἀλλὰ πάντα καθάπερ ὄναρ καὶ σκιὰν παρατρέχει, ἐκεῖ τεταμένον ἔχουσα διηνεκῶς τὸν λογισμὸν κἀκεῖνα μονονουχὶ ὁρᾶν νομίζουσα τοῖς τῆς πίστεως ὀφθαλμοῖς καὶ ἐφ' ἑκάστης πρὸς τὴν ἐκείνων ἀπόλαυσιν ἐπειγομένη.

16. Ἀκούσωμεν τοίνυν τῆς παραινέσεως τοῦ μακαρίου τούτου τοῦ θαυμαστοῦ τῆς οἰκουμένης διδασκάλου, τοῦ καλοῦ παιδοτρίβου, τοῦ γεωργοῦ τῶν ἡμετέρων ψυχῶν, κἀκεῖνα φρονῶμεν ἅπερ αὐτὸς συνεβούλευσεν· οὕτω γὰρ δυνησόμεθα καὶ τῶν παρόντων ἀπολαύειν καὶ τῶν μελλόντων ἐπιτυχεῖν. Ἐὰν γὰρ ἐκεῖνα ζητῶμεν προηγουμένως, καὶ ταῦτα ἐν προσθήκης ἕξομεν μέρει· «ζητεῖτε» γάρ, φησί, «τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Μὴ τοίνυν ἅπερ ἐν προσθήκης μέρει ὑπέσχετο ἡμῖν παρέξειν, ταῦτα προηγουμένως ζητῶμεν, ἵνα μή, ἐναντία τῇ δεσποτικῇ παραινέσει διαπραττόμενοι, ἑκατέρων ἐκπέσωμεν. Μὴ γὰρ ἀναμένει τὴν παρ' ἡμῶν ὑπόμνησιν ὁ Δεσπότης καὶ τότε ἡμῖν τὰς παρ' ἑαυτοῦ παρέχει δωρεάς; Οἶδεν ὧν χρείαν ἔχομεν πρὸ τοῦ ἡμᾶς αἰτῆσαι αὐτόν. Ἂν τοίνυν ἴδῃ περὶ ἐκεῖνα τὴν σπουδὴν ἡμᾶς ἔχοντας, κἀκείνων ἡμῖν τὴν ἀπόλαυσιν χαριεῖται καὶ ταῦτα μετὰ δαψιλείας παρέξει ἅπερ ἐν προσθήκης μέρει φιλοτιμεῖσθαι ὑπέσχετο. Ζητῶμεν οὖν, παρακαλῶ, τὰ πνευματικὰ προηγουμένως καὶ τὰ ἄνω φρονῶμεν, μὴ τὰ ἐπὶ τῆς γῆς, ἵνα κἀκείνων ἐπιτύχωμεν καὶ τούτων ἀπολαύσωμεν.

17. Ἐπειδὴ καὶ οἱ ἅγιοι οὗτοι μάρτυρες, ἐπεὶ τὰ ἄνω ἐφρόνησαν

5. Ματθ. 6,21.
6. Ματθ. 6,33.

ζουν διαδοχὴ καὶ ποὺ δὲν ἔχουν τέλος. Γύρω ἀπὸ ἐκεῖνα θέλω νὰ στρέφετε διαρκῶς τὴ σκέψη σας. Γιατὶ ἡ μελέτη αὐτῶν ἀπαλλάσσει ἀπὸ τὴ γῆ καὶ μεταφέρει πρὸς τὸν οὐρανό.

15. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε· «ὅπου βρίσκεται ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ βρίσκεται καὶ ἡ καρδιά του»[5]. Ὅταν δηλαδὴ ἡ ψυχὴ σκεφθεῖ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά, σὰν ἀκριβῶς νὰ λύθηκε ἀπὸ τὰ δεσμὰ τοῦ σώματος, πετάει ψηλά, ὅπως θὰ λέγαμε, καὶ καθημερινὰ σκέπτεται τὴν ἀπόλαυση ἐκείνων, χωρὶς κἂν νὰ μπορεῖ νὰ συλλογισθεῖ τὰ πράγματα τῆς γῆς, ἀλλὰ ὅλα τὰ περιφρονεῖ σὰν ἀκριβῶς ὄνειρο καὶ σκιά, ἔχοντας ἐκεῖ προσηλωμένη διαρκῶς τὴ σκέψη καὶ νομίζοντας ὅτι ἐκεῖνα μόνο βλέπει μὲ τὰ μάτια τῆς πίστεως καὶ βιάζεται καθημερινὰ νὰ φθάσει στὴν ἀπόλαυση ἐκείνων.

16. Ἂς ἀκούσομε λοιπὸν τὴ συμβουλὴ τοῦ μακάριου αὐτοῦ καὶ θαυμαστοῦ δασκάλου τῆς οἰκουμένης, τοῦ καλοῦ παιδαγωγοῦ, τοῦ γεωργοῦ τῶν ψυχῶν μας, καὶ ἂς σκεπτόμαστε ἐκεῖνα ποὺ αὐτὸς συμβούλευσε· γιατὶ ἔτσι θὰ μπορέσομε καὶ τὰ παρόντα πράγματα ν' ἀπολαύσομε καὶ τὰ μέλλοντα νὰ ἐπιτύχομε. Ἂν δηλαδὴ ζητοῦμε πρῶτα ἐκεῖνα, καὶ αὐτὰ θὰ μᾶς προστεθοῦν ἐν μέρει· γιατὶ λέγει, «ζητεῖτε τὴ βασιλεία τοῦ Θεοῦ καὶ τὴ δικαιοσύνη αὐτοῦ καὶ ὅλα αὐτὰ θὰ σᾶς δοθοῦν ἐπιπρόσθετα»[6]. Ἂς μὴ ζητοῦμε λοιπὸν νὰ μᾶς δώσει πρῶτα ἐκεῖνα ποὺ ὑποσχέθηκε νὰ μᾶς τὰ δώσει ὑπὸ μορφὴ προσθήκης, γιὰ νὰ μὴ συμβεῖ, ἐνεργώντας ἀντίθετα μὲ τὴ δεσποτικὴ συμβουλή, νὰ χάσομε καὶ τὰ δύο. Μήπως δηλαδὴ ὁ Κύριος περιμένει τὴ δική μας ὑπόμνηση καὶ τότε μᾶς παρέχει τὶς δωρεές του; Γνωρίζει ἐκεῖνα ποὺ χρειαζόμαστε προτοῦ ἐμεῖς τοῦ τὰ ζητήσομε. Ἂν λοιπὸν δεῖ ἡ ὅλη μας φροντίδα νὰ καταβάλλεται γιὰ ἐκεῖνα, καὶ μᾶς χαρίσει τὴν ἀπόλαυση ἐκείνων, καὶ αὐτὰ θὰ μᾶς τὰ δώσει μὲ ἀφθονία, τὰ ὁποῖα μᾶς ὑποσχέθηκε νὰ μᾶς τὰ δώσει ὑπὸ μορφὴ προσθήκης. Ἂς ζητοῦμε λοιπόν, παρακαλῶ, τὰ πνευματικὰ πρῶτα καὶ ἂς σκεπτόμαστε τὰ οὐράνια καὶ ὄχι τὰ πράγματα τῆς γῆς, ὥστε καὶ ἐκεῖνα νὰ ἐπιτύχομε καὶ αὐτὰ ν' ἀπολαύσομε.

17. Γιατὶ καὶ οἱ ἅγιοι αὐτοὶ μάρτυρες, ἐπειδὴ σκέφθηκαν τὰ οὐ-

καὶ τῆς γῆς ὑπερεῖδον κἀκεῖνα ἐζήτησαν, διὰ τοῦτο κἀκείνων μετὰ δαψιλείας ἐπέτυχον καὶ τῆς ἐνταῦθα τιμῆς καθ' ἑκάστην ἡμέραν ἀπολαύουσιν, εἰ καὶ μὴ δέονται ταύτης καθάπαξ αὐτῆς ὑπεριδόντες, ἀλλ' ὅμως διὰ τὴν ὠφέλειαν τὴν ἡμετέραν προσίενται τὴν παρ' ἡμῶν τιμὴν καὶ μὴ δεόμενοι, ἵν' ἡμεῖς τὴν παρ' αὐτῶν εὐλογίαν καρπώσασθαι δυνηθῶμεν.

18. Καὶ ἵνα μάθῃς ὅπως ὑπερεῖδον πάντων τῶν ἐν τῷ παρόντι βίῳ ἵνα δυνηθῶσιν ἐπιτυχεῖν τῶν ἀθανάτων ἐκείνων ἀγαθῶν, ἐννόει μοι, ἀγαπητέ, τῷ λογισμῷ ὅτι ὁρῶντες τοῖς σωματικοῖς ὀφθαλμοῖς τὸν τύραννον πῦρ πνέοντα καὶ θήγοντα τοὺς ὀδόντας καὶ λέοντος σφοδρότερον τὴν μανίαν ἐπιδεικνύμενον καὶ πῦρ καὶ τήγανα καὶ λέβητας ὑποκαιομένους παρασκευάζοντα καὶ πάντα ποιοῦντα ὥστε περιγενέσθαι καὶ καταπαλαῖσαι αὐτῶν τὸν λογισμόν, καταλιπόντες οὗτοι τὰ ἐπὶ τῆς γῆς ἅπαντα, τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὸν βασιλέα τῶν οὐρανῶν ἐθεώρουν καὶ τῶν ἀγγέλων τὸν δῆμον παρεστῶτα καὶ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθὰ ἐφαντάζοντο.

19. Καὶ τὸ φρόνημα ἐκεῖ μεταστήσαντες, οὐδενὶ τῶν ὁρωμένων λοιπὸν ἐπεστρέφοντο· ἀλλὰ καὶ τῶν δημίων τὰς χεῖρας ὁρῶντες καταξαινούσας αὐτῶν τὰς σάρκας καὶ τὸ πῦρ τοῦτο τὸ αἰσθητὸν βλέποντες ἀναπτόμενον καὶ τοὺς ἄνθρακας ἐκπηδῶντας, αὐτοὶ τὸ τῆς γεέννης πῦρ ἑαυτοῖς ὑπέγραφον καὶ οὕτω τὸν λογισμὸν αὐτῶν νευρώσαντες ἥλλοντο λοιπόν, ὡς εἰπεῖν, πρὸς τὰ δεινά, οὐ τὴν παροῦσαν ὀδύνην τὴν ἐγγινομένην τῷ σώματι λογιζόμενοι ἀλλὰ πρὸς τὴν διηνεκῆ ἀνάπαυσιν σπεύδοντες. Καὶ κατὰ τὴν παραίνεσιν τοῦ μακαρίου τούτου τὰ ἄνω φροντοῦντες, διετέλουν οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. Καὶ οὐδὲν τῶν ὁρωμένων κατεπλήττοντο, ἀλλὰ πάντα παρέτρεχον ὡς ὄναρ καὶ σκιὰν αὐτὰ ἡγούμενοι, διὰ τὸ πτερωθῆναι αὐτῶν τὸν λογισμὸν τῇ τῶν μελλόντων ἐπιθυμίᾳ.

20. Διά τοι τοῦτο καὶ ὁ μακάριος οὗτος εἰδὼς τῆς τοιαύτης συμβουλῆς τὴν ἰσχὺν ἔλεγε· «τὰ ἄνω φρονεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος». Ὅρα διδασκάλου σύνεσιν, ποῦ ἀνή-

---

7. Κολ. 3,1-2.

ράνια καὶ ἀφοῦ περιφρόνησαν τὰ ἐπίγεια ζήτησαν ἐκεῖνα, γι' αὐτὸ καὶ ἐκεῖνα ἐπέτυχαν μὲ ἀφθονία καὶ καθημερινὰ ἀπολαμβάνουν τιμὲς ἐδῶ, ἂν καὶ δὲν χρειάζονται αὐτὲς γιατὶ τὶς περιφρόνησαν μιὰ γιὰ πάντα, ἀλλ' ὅμως γιὰ δική μας ὠφέλεια δέχονται τὴν ἐκ μέρους μας τιμή, ἂν καὶ δὲν τὴν χρειάζονται, γιὰ νὰ μπορέσομε ἐμεῖς νὰ καρπωθοῦμε τὴν εὐλογία τους.

18. Καὶ γιὰ νὰ μάθεις πῶς περιφρόνησαν ὅλα τῆς παρούσας ζωῆς γιὰ νὰ μπορέσουν νὰ ἐπιτύχουν τὰ ἀθάνατα ἐκεῖνα ἀγαθά, σκέψου, ἀγαπητέ, σὲ παρακαλῶ, ὅτι, ἂν καὶ ἔβλεπαν μὲ τὰ σωματικὰ μάτια τὸν τύραννο νὰ πνέει φωτιά, νὰ τρίζει τὰ δόντια του καὶ νὰ δείχνει τὴ μανία του πιὸ φοβερὰ κι ἀπ' τὸ λιοντάρι, καὶ νὰ ἑτοιμάζει φωτιὰ καὶ τηγάνια καὶ καζάνια ποὺ ἔβραζαν καὶ ὅλα νὰ τὰ κάμνει ὥστε νὰ κατανικήσει καὶ νὰ καταβάλει τὸ λογισμό τους, ἀφοῦ αὐτοὶ περιφρόνησαν ὅλα τὰ ἐπίγεια, ἔβλεπαν μὲ τὰ μάτια τῆς πίστεως τὸ βασιλιὰ τῶν οὐρανῶν καὶ τὸ πλῆθος τῶν ἀγγέλων νὰ στέκεται δίπλα του, φέροντας στὴ σκέψη τους τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά.

19. Καὶ ἀφοῦ μετέφεραν ἐκεῖ τὴ σκέψη τους, τίποτε πλέον ἀπὸ τὰ ὁρατὰ δὲν πρόσεχαν· ἀλλὰ καὶ ἐνῶ ἔβλεπαν τὰ χέρια τῶν δημίων νὰ ξεσχίζουν τὶς σάρκες τους καὶ τὴν ὑλικὴ αὐτὴ φωτιὰ ν' ἀνάβει καὶ τὰ ἀναμμένα κάρβουνα νὰ πηδοῦν ψηλά, αὐτοὶ ἔφερναν στὴ σκέψη τους τὸ πῦρ τῆς γέεννας, καὶ ἀφοῦ ἔτσι εἶχαν δυναμώσει τὴ σκέψη τους, προχωροῦσαν, ὅπως θὰ λέγαμε, πλέον οἱ ἴδιοι πρὸς τὰ δεινά, σκεπτόμενοι ὄχι τὸν πόνο ποὺ προξενοῦνταν στὸ σῶμα τους, ἀλλ' ἔσπευδαν νὰ φθάσουν στὴν αἰώνια ἀνάπαυση. Καὶ σύμφωνα μὲ τὴ συμβουλὴ αὐτοῦ τοῦ μακάριου, σκεπτόμενοι τὰ οὐράνια, ἦταν σὰν νὰ βρίσκονταν ἐκεῖ ὅπου ὁ Χριστὸς κάθεται στὰ δεξιὰ τοῦ Θεοῦ. Καὶ τίποτε ἀπὸ τὰ ὅσα ἔβλεπαν δὲν τοὺς κατέπλησσε, ἀλλ' ὅλα τὰ περιφρονοῦσαν, θεωρώντας τα σὰν ὄνειρο καὶ σκιά, ἐπειδὴ εἶχε ἀναπτερωθεῖ ἡ σκέψη τους μὲ τὴν ἐπιθυμία τῶν μελλοντικῶν ἀγαθῶν.

20. Γι' αὐτὸ καὶ ὁ μακάριος αὐτός, γνωρίζοντας τὴ δύναμη αὐτῆς τῆς συμβουλῆς, ἔλεγε· «νὰ σκέπτεσθε τὰ οὐράνια, ὅπου ὁ Χριστὸς κάθεται στὰ δεξιὰ τοῦ Θεοῦ»[7]. Πρόσεχε δασκάλου σύνεση,

γαγεν ἀθρόον τοὺς αὐτῷ πειθομένους. Πάντας γὰρ διατεμὼν ἀγγέλους, ἀρχαγγέλους, θρόνους, κυριότητας, ἀρχάς, ἐξουσίας, πάσας τὰς ἀοράτους ἐκείνας δυνάμεις, τὰ χερουβίμ, τὰ σεραφίμ, παρ' αὐτὸν τὸν θρόνον τὸν βασιλικὸν ἔστησε τῶν πιστῶν τὰ φρονήματα· καὶ τοὺς ἐπὶ τῆς γῆς βαδίζοντας διὰ τῆς οἰκείας διδασκαλίας ἔπεισε μὲν ἀπαλλάττεσθαι τῶν συνδέσμων τοῦ σώματος, ἵπτασθαι δὲ καὶ παρ' αὐτὸν ἑστάναι τῇ διανοίᾳ τὸν τῶν ὅλων Κύριον.

21. Καὶ ἵνα μὴ νομίσωσι πάλιν οἱ ταῦτα ἀκούοντες ὑπερβαίνειν αὐτοὺς τὴν συμβουλὴν καὶ ἀδύνατα εἶναι τὰ ἐπιτάγματα καὶ ὑπὲρ τὴν ἀνθρωπίνην δύναμιν εἶναι τὸ τοιοῦτον φρόνημα ἀναλαβεῖν, εἰπών, «τὰ ἄνω φρονεῖτε μὴ τὰ ἐπὶ τῆς γῆς», ἐπήγαγεν, «ἀπεθάνετε γάρ». Ὢ ψυχῆς πεπυρωμένης καὶ πολὺν ἐχούσης τὸν πόθον περὶ τὸν Θεόν! «Ἀπεθάνετε γάρ», φησί, μονονουχὶ λέγων· τί κοινὸν ἔχετε πρὸς τὸν παρόντα βίον λοιπόν; τί κεχήνατε πρὸς τὰ τῆς γῆς πράγματα; «Ἀπεθάνετε», τουτέστι νεκροὶ γεγόνατε τῇ ἁμαρτίᾳ, καθάπαξ ἀπετάξασθε τῇ παρούσῃ ζωῇ.

22. Εἶτα, ἵνα μὴ θορυβηθῶσιν ἀκούοντες «ἀπεθάνετε», ταχέως ἐπήγαγε· «καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ». Ἡ ζωή, φησίν, ἡ ὑμετέρα νῦν οὐ φαίνεται, κέκρυπται γάρ· μὴ τοίνυν ὡς ζῶντες οὕτως ἐνεργεῖτε πρὸς τὰ τοῦ παρόντος βίου πράγματα, ἀλλ' ὡσανεὶ ἀποθανόντες καὶ νεκροὶ ὄντες οὕτω διάκεισθε. Εἰπέ γάρ μοι, μὴ ἔστι τὸν ἀποθάνοντα κατὰ τὸν βίον τοῦτον ἐνεργεῖν τι λοιπὸν εἰς τὰ παρόντα πράγματα; Οὐδαμῶς. Οὕτω, φησί, καὶ ὑμᾶς ἀποθανόντας καθάπαξ καὶ νεκρωθέντας τῇ ἁμαρτίᾳ διὰ τοῦ βαπτίσματος, ἀκόλουθον μηδὲν κοινὸν ἔχειν πρὸς τὰ τῆς σαρκὸς πάθη καὶ τὰ ἐπὶ τῆς γῆς πράγματα. «Ὁ παλαιὸς γὰρ ἡμῶν ἄνθρωπος», φησί, «συνεσταυρώθη καὶ ἐτάφη διὰ τοῦ βαπτίσματος». Μηδὲν τοίνυν τῶν ἐπὶ τῆς γῆς διαπράττεσθε μηδὲ ὡς ζῶντες ἐν τοῖς παροῦσι πράγμασιν ἐνεργεῖτε. Ἡ γὰρ ζωὴ ἡ ὑμετέρα νῦν μὲν κέκρυπται καὶ ἄδηλός ἐστι τοῖς ἀπίστοις, ἔσται δὲ καιρὸς ὅτε

8. Κολ. 3,3.

ποῦ ἀνέβεσε μέσα σὲ μιὰ στιγμὴ ἐκείνους ποὺ πιστεύουν σ' αὐτόν. Ἀφοῦ δηλαδὴ παραμέρισε ὅλους τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τοὺς θρόνους, τὶς κυριότητες, τὶς ἀρχές, τὶς ἐξουσίες, ὅλες τὶς ἀόρατες ἐκεῖνες δυνάμεις, τὰ χερουβίμ, τὰ σεραφίμ, ἔστησε τὰ φρονήματα τῶν πιστῶν δίπλα στὸν ἴδιο τὸ βασιλικὸ θρόνο, καὶ ἐκείνους ποὺ βαδίζουν ἐπάνω στὴ γῆ τοὺς ἔπεισε μὲ τὴ διδασκαλία του νὰ ἀπαλλάσσονται ἀπὸ τὰ δεσμὰ τοῦ σώματος καὶ νὰ πετοῦν καὶ νὰ στέκονται μὲ τὴ σκέψη τους δίπλα στὸν ἴδιο τὸν Κύριο τῶν ὅλων.

21. Καὶ γιὰ νὰ μὴ νομίσουν πάλι ὅσοι ἀκοῦν αὐτὰ ὅτι εἶναι ὑπερβολικὴ ἡ συμβουλή, ἀδύνατα τὰ προστάγματα καὶ ὅτι ξεπερνᾶ τὴν ἀνθρώπινη δύναμη τὸ νὰ φθάσει κανεὶς σὲ τέτοιο φρόνημα, ἀφοῦ εἶπε, «νὰ σκέπτεσθε τὰ οὐράνια καὶ ὄχι τὰ ἐπίγεια», πρόσθεσε, «γιατὶ ἔχετε πεθάνει»[8]. Πὼ πὼ ψυχὴ ὁλόθερμη καὶ γεμάτη ἀπὸ μεγάλο πόθο γιὰ τὸ Θεό. «Γιατὶ ἔχετε πεθάνει», λέγει· εἶναι σὰν νὰ λέγει· τί κοινὸ ἔχετε πλέον πρὸς τὴν παρούσα ζωή; Γιατί εἶσθε ἀπορροφημένοι ἀπὸ τὰ πράγματα τῆς γῆς; «Ἔχετε πεθάνει», δηλαδὴ νεκρωθήκατε ὡς πρὸς τὴν ἁμαρτία, ἀφοῦ μιὰ γιὰ πάντα ἀπαρνηθήκατε τὴν παρούσα ζωή.

22. Ἔπειτα, γιὰ νὰ μὴ ἀνησυχήσουν ἀκούοντας «ἔχετε πεθάνει», ἀμέσως πρόσθεσε· «καὶ ἡ ζωή σας ἔχει κρυβεῖ μὲ τὸ Χριστὸ στὸ Θεό»[8]. Ἡ ζωή σας, λέγει, τώρα δὲν φαίνεται, γιατὶ ἔχει κρυβεῖ· μὴ λοιπὸν συμπεριφέρεσθε ὡς πρὸς τὰ πράγματα τῆς παρούσας ζωῆς ὅπως οἱ ζωντανοί, ἀλλὰ νὰ συμπεριφέρεσθε σὰν νὰ ἔχετε πεθάνει καὶ εἶσθε νεκροί. Γιατὶ πές μου, σὲ παρακαλῶ, μήπως εἶναι δυνατὸ ἐκεῖνος ποὺ πέθανε καὶ ἔφυγε ἀπὸ τὴ ζωὴ αὐτὴ νὰ κάμνει κάτι ἀπὸ τὰ πράγματα τῆς παρούσας ζωῆς; Καθόλου. Ἔτσι λοιπόν, λέγει, καὶ σεῖς, ἀφοῦ μὲ τὸ βάπτισμα ἔχετε πεθάνει μιὰ γιὰ πάντα καὶ γίνατε νεκροὶ ὡς πρὸς τὴν ἁμαρτία, ἑπόμενο εἶναι νὰ μὴ ἔχετε τίποτε τὸ κοινὸ πρὸς τὰ πάθη τῆς σάρκας καὶ τὰ πράγματα τῆς γῆς. Γιατί, λέγει, «ὁ παλιὸς ἄνθρωπος σταυρώθηκε καὶ τάφηκε μὲ τὸ βάπτισμα»[9]. Τίποτε λοιπὸν μὴ κάμνετε ἀπὸ τὰ πράγματα τῆς παρούσας ζωῆς ὅπως οἱ ζωντανοί. Γιατὶ ἡ ζωή σας τώρα εἶναι κρυμμένη καὶ δὲν εἶναι φανερὴ στοὺς ἀπίστους, θὰ ἔρθει ὅμως

φανερὰ γενήσεται. Νῦν οὐκ ἔστιν ὑμέτερος ὁ καιρός· ἀποθανόντες τοίνυν καθάπαξε μὴ θελήσητε τὰ ἐπὶ τῆς γῆς φρονεῖν. Τὸ γὰρ τῆς ἀρετῆς ὑμῶν μέγεθος οὕτω μάλιστα διαδείκνυται ὅταν, τὸ φρόνημα τῆς σαρκὸς καταγωνισάμενοι ὡσανεὶ νεκροὶ τῷ βίῳ γεγενημένοι, οὕτω διάκεισθε πρὸς ἅπαντα τὰ βιωτικά.

23. Ἀκουέτωσαν ταῦτα καὶ οἱ πρόσφατον τῆς τοῦ βαπτίσματος δωρεᾶς ἀξιωθέντες καὶ ἡμεῖς ἅπαντες οἱ πάλαι ταύτης μετασχόντες τῆς χάριτος καὶ δεχώμεθα τὴν συμβουλὴν τοῦ τῆς οἰκουμένης διδασκάλου καὶ ἐννοήσωμεν οἵους εἶναι βούλεται τοὺς ἅπαξ τῶν ἀπορρήτων μυστηρίων μετόχους γεγενημένους, πῶς ἀλλοτρίους αὐτοὺς τοῦ παρόντος βίου, οὐχ ἵνα ἔξω τοῦ κόσμου τούτου καὶ μακράν που ἀποικισθῶσιν, ἀλλ' ἵνα ἐν τῷ μέσῳ στρεφόμενοι τῶν μακρὰν ὄντων μηδὲν διαφέρωσιν, ἀλλὰ φωστήρων δίκην διαλάμπωσι καὶ διὰ πραγμάτων δεικνύωσι τοῖς ἀπίστοις ὅτι εἰς ἑτέραν πολιτείαν ἑαυτοὺς μετέστησαν καὶ οὐδὲν κοινὸν ἔχουσι πρὸς τὴν γῆν καὶ τὰ ἐπὶ τῆς γῆς πράγματα.

24. Καὶ καθάπερ νῦν διὰ τῆς φαιδρᾶς ἐσθῆτος πᾶσι περίβλεπτοι τυγχάνετε καὶ δείκνυσιν ὑμῶν τῆς ἐν τῇ ψυχῇ καθαρότητος τὴν ὑπερβολὴν καὶ ἡ τῶν ἱματίων φαιδρότης, οὕτω καὶ τὸν ἑξῆς χρόνον καὶ ὑμᾶς τοὺς ἄρτι καταξιωθέντας τῆς δωρεᾶς καὶ πάντας τοὺς ἤδη τῆς αὐτῆς ὑμῖν ἀπολαύσαντας φιλοτιμίας, δίκαιον διὰ τῆς ἀρίστης πολιτείας πᾶσι καταδήλους γίνεσθαι καὶ φωτὸς δίκην καταυγάζειν πάντας τοὺς ὁρῶντας. Τὸ γὰρ ἔνδυμα τοῦτο τὸ πνευματικόν, εἰ βουληθείημεν αὐτοῦ τὴν φαιδρότητα διαφυλάττειν, ὅσον πρόεισιν ὁ χρόνος φαιδροτέραν τὴν λαμπηδόνα ἀφίησι καὶ πολλὴν τοῦ φωτὸς τὴν μαρμαρυγήν, ὅπερ ἐπὶ τῶν αἰσθητῶν ἱματίων οὐδέποτε συμβῆναι δυνατόν. Κἂν γὰρ μυριάκις πολλὴν αὐτῶν ποιώμεθα τὴν ἐπιμέλειαν, καὶ ὑπὸ τοῦ χρόνου δαπανᾶται καὶ παλαιωθέντα ἀφανίζεται καὶ κείμενα ὑπὸ σητῶν ἀναλίσκεται καὶ πολλὰ ἕτερά ἐστι τὰ λυμαινόμενα τὰ ἱμάτια ταῦτα τὰ αἰσθητά. Τὸ μέντοι τῆς

καιρὸς ποὺ θὰ γίνει φανερή. Τώρα δὲν εἶναι ὁ δικός σας καιρός· ἐπειδὴ πεθάνετε μιὰ γιὰ πάντα μὴ θελήσετε νὰ σκέπτεσθε τὰ πράγματα τῆς γῆς. Γιατὶ τὸ μέγεθος τῆς ἀρετῆς σας ἔτσι πρὸ πάντων γίνεται φανερό, μὲ τὸ ὅτι, ἀφοῦ κατανικήσατε τὸ σαρκικὸ φρόνημα καὶ γίνατε σὰν νεκροὶ ὡς πρὸς τὴ ζωή, συμπεριφέρεσθε πλέον ἔτσι ἀπέναντι σ' ὅλα τὰ κοσμικὰ πράγματα.

23. Ἂς τὰ ἀκοῦν αὐτὰ καὶ ἐκεῖνοι ποὺ ἀξιώθηκαν νὰ λάβουν πρόσφατα τὴ δωρεὰ τοῦ βαπτίσματος καὶ ὅλοι ἐμεῖς ποὺ δεχθήκαμε ἀπὸ παλαιὰ τὴ χάρη, ἂς δεχόμαστε τὴ συμβουλὴ τοῦ δασκάλου τῆς οἰκουμένης καὶ ἂς σκεφθοῦμε ποιοί θέλει νὰ εἶναι ἐκεῖνοι ποὺ ἔγιναν μιὰ γιὰ πάντα μέτοχοι τῶν ἀπορρήτων μυστηρίων, πῶς θέλει νὰ εἶναι ξένοι τῆς παρούσας ζωῆς, ὄχι φεύγοντας ἀπὸ τὸν κόσμο αὐτὸ καὶ κατοικώντας κάπου μακριά, ἀλλὰ ζώντας μέσα στὸν κόσμο νὰ μὴ διαφέρουν καθόλου ἀπὸ ἐκείνους ποὺ ζοῦν μακριὰ ἀπ' αὐτόν, ἀλλὰ νὰ λάμπουν σὰν τ' ἀστέρια καὶ μὲ τὰ ἔργα τους νὰ δείχνουν στοὺς ἀπίστους ὅτι ἐγκατέστησαν τοὺς ἑαυτούς τους σὲ ἄλλη πολιτεία καὶ ὅτι δὲν ἔχουν τίποτε τὸ κοινὸ πρὸς τὴ γῆ καὶ τὰ πράγματα τῆς γῆς.

24. Καὶ ὅπως ἀκριβῶς τώρα μὲ τὴ λαμπρὴ ἐνδυμασία σας εἴσαστε σ' ὅλους περίβλεπτοι καὶ δείχνει τὴν ὑπερβολικὴ καθαρότητα τῆς ψυχῆς σας καὶ ἡ λαμπρότητα τῶν ἐνδυμάτων, ἔτσι καὶ στὸν ἑξῆς χρόνο καὶ σεῖς ποὺ πρόσφατα ἀξιωθήκατε νὰ λάβετε τὴ δωρεὰ καὶ ὅλοι ἐκεῖνοι ποὺ ἀπὸ παλιὰ ἀπόλαυσαν τὴν ἴδια μὲ σᾶς γενναιοδωρία, πρέπει μὲ τὸν ἄριστο τρόπο ζωῆς σας νὰ γίνεσθε φανεροὶ σ' ὅλους καὶ σὰν φῶς νὰ φωτίζετε ὅλους ἐκείνους ποὺ σᾶς βλέπουν. Γιατὶ τὸ πνευματικὸ αὐτὸ ἔνδυμα, ἂν θελήσομε νὰ διαφυλάξομε τὴ λαμπρότητά του, ὅσο περνάει ὁ καιρὸς γίνεται ἡ λάμψη του λαμπρότερη καὶ ἡ ἀκτινοβολία τοῦ φωτός του μεγαλύτερη, πράγμα ποὺ δὲν εἶναι δυνατὸ νὰ συμβεῖ ποτὲ μὲ τὰ αἰσθητὰ ἐνδύματα. Γιατὶ κι ἂν ἀκόμη δείχνομε πάρα πολὺ μεγάλη φροντίδα γι' αὐτά, καὶ ἀπὸ τὸ χρόνο καταστρέφονται καὶ ἡ παλαιότητα τὰ ἐξαφανίζει καὶ φυλασσόμενα στὶς ἱματοθῆκες καταστρέφονται ἀπὸ τὸ σκόρο, καὶ πολλὰ ἄλλα εἶναι ἐκεῖνα ποὺ καταστρέφουν αὐτὰ τὰ ὑλικὰ ἐνδύματα. Ὅμως τὸ ἔνδυμα τῆς ἀρετῆς, ἂν φροντί-

ἀρετῆς ἔνδυμα, ἐὰν τὰ παρ' ἑαυτῶν εἰσφέρειν σπουδάζωμεν, οὔτε ῥύπον ποτὲ δέξεται οὔτε παλαιότητος πεῖραν λήψεται, ἀλλ' ὅσῳ ἂν ὁ χρόνος παρατρέχῃ τοσούτῳ μᾶλλον φαιδρότερον καὶ ἀκμαιότερον τὸ κάλλος καὶ τοῦ φωτὸς τὴν αὐγὴν ἐπιδείκνυσιν.

25. Εἶδες ἱματίου δύναμιν; εἶδες ἐνδύματος φαιδρότητα οὐ χρόνῳ εἴκουσαν, οὐχ ὑπὸ παλαιότητος ἀμαυρουμένην; εἶδες κάλλος ἀμήχανον; Σπουδάζωμεν τοίνυν, παρακαλῶ, τοῦτο τὸ κάλλος ἀκμάζον διατηρεῖν καὶ μάθωμεν ἀκριβῶς τίνα ἐστὶ τὰ δυνάμενα τοῦ κάλλους τούτου τὴν φαιδρότητα διατηρῆσαι. Τίνα οὖν ἐστι; Πρὸ πάντων εὐχὴ ἐκτενὴς καὶ εὐχαριστία ὑπὲρ τῶν ἤδη παρασχεθέντων καὶ παράκλησις ὑπὲρ τῆς τῶν δοθέντων ἀσφαλείας. Τοῦτο γὰρ ἡ σωτηρία ἡ ἡμετέρα, τοῦτο τὰ φάρμακον τῶν ἡμετέρων ψυχῶν, τοῦτο τὸ ἰατρεῖον τῶν παθῶν τῶν ἐν τῇ ψυχῇ τικτομένων. Εὐχὴ τὸ τεῖχος τῶν πιστῶν, εὐχὴ τὸ ὅπλον ἡμῶν τὸ ἀκαταγώνιστον, εὐχὴ τὸ καθάρσιον τῆς ἡμετέρας ψυχῆς, εὐχὴ ἡ ἀπολύτρωσις τῶν ἡμετέρων ἁμαρτημάτων, εὐχὴ ἡ ὑπόθεσις τῶν μυρίων ἀγαθῶν. Εὐχὴ γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ διάλεξις πρὸς τὸν Θεὸν καὶ ὁμιλία πρὸς τὸν τῶν ὅλων δεσπότην. Τί οὖν ἂν εἴη μακαριώτερον τοῦ καταξιουμένου συνεχῶς τῆς πρὸς τὸν Δεσπότην ὁμιλίας;

26. Καὶ ἵνα μάθῃς ὅσον ἐστὶ τοῦτο τὸ ἀγαθόν, ἐννόει μοι τοὺς περὶ τὰ παρόντα πράγματα ἐπτοημένους, τοὺς σκιᾶς οὐδὲν ἄμεινον διαφέροντας. Οἳ ἐπειδὰν ἴδωσί τινα συνεχῶς τῷ ἐπὶ τῆς γῆς βασιλεύοντι διαλεγόμενον, πῶς μέγαν τοῦτον εἶναι νομίζουσι καὶ μακαριστότατον ἀποφαίνουσι καὶ περιέπουσι ὡς θαυμαστόν τινα καὶ τῆς ἀνωτάτω τιμῆς ἠξιωμένον. Εἰ τοίνυν ὁ τοιοῦτος καίτοι γε ὁμογενεῖ διαλεγόμενος καὶ τῆς αὐτῆς αὐτῷ φύσεως κοινωνοῦντι καὶ περὶ βιωτικῶν καὶ ἐπικήρων πραγμάτων διεξιόντι οὕτω περίβλεπτος εἶναι νομίζεται, τί ἂν τις εἴποι περὶ τοῦ καταξιωθέντος τῷ Θεῷ διαλέγεσθαι οὐ περὶ τῶν ἐπὶ τῆς γῆς πραγμάτων ἀλλὰ περὶ τῆς τῶν ἁμαρτημάτων συγχωρήσεως, περὶ τῆς ἀφέσεως τῶν παρα-

ζομε νὰ κάμνομε ὅ,τι ἐξαρτᾶται ἀπὸ μᾶς, οὔτε θὰ λερωθεῖ ποτὲ οὔτε θὰ δοκιμάσει παλαιότητα, ἀλλ' ὅσο περνάει ὁ χρόνος τόσο περισσότερο δείχνει λαμπρότερη καὶ ἀκμαιότερη τὴν ὡραιότητα καὶ τὴν ἀκτινοβολία τοῦ φωτός του.

25. Εἶδες δύναμη ἐνδύματος; εἶδες λαμπρότητα ἐνδύματος ποὺ δὲν χάνεται ἀπὸ τὸ χρόνο οὔτε ἀμαυρώνεται ἀπὸ τὴν παλαιότητα; εἶδες ὡραιότητα ἀκαταγώνιστη; Ἂς φροντίζομε λοιπόν, παρακαλῶ, νὰ διατηροῦμε ἀκμαία αὐτὴν τὴν ὡραιότητα καὶ ἂς μάθομε ποιά εἶναι ἐκεῖνα ποὺ ἔχουν τὴ δύναμη νὰ διατηρήσουν τὴ λαμπρότητα αὐτῆς τῆς ὡραιότητας. Ποιά λοιπὸν εἶναι αὐτά; Πρὸ πάντων ἀδιάκοπη προσευχή, εὐχαριστία γιὰ τὰ ἀγαθὰ ποὺ ἤδη μᾶς ἔχουν δοθεῖ καὶ παράκληση ὥστε νὰ διασφαλισθοῦν τὰ ὅσα μᾶς δόθηκαν. Γιατὶ αὐτὸ εἶναι ἡ σωτηρία μας, αὐτὸ τὸ φάρμακο τῶν ψυχῶν μας, αὐτὸ τὸ ἰατρεῖο τῶν παθῶν ποὺ γεννιοῦνται στὴν ψυχή. Ἡ προσευχὴ εἶναι τὸ τεῖχος τῶν πιστῶν, ἡ προσευχὴ εἶναι τὸ ὅπλο μας τὸ ἀκαταγώνιστο, ἡ προσευχὴ εἶναι τὸ καθάρσιο τῆς ψυχῆς μας, ἡ προσευχὴ εἶναι ἡ ἀπολύτρωση τῶν ἁμαρτημάτων μας, ἡ προσευχὴ εἶναι ἡ αἰτία τῶν μυρίων ἀγαθῶν. Γιατὶ ἡ προσευχὴ δὲν εἶναι τίποτε ἄλλο, παρὰ διάλεξη μὲ τὸ Θεὸ καὶ συνομιλία μὲ τὸν Κύριο τῶν ὅλων. Τί λοιπὸν θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ μακάριο ἀπὸ ἐκεῖνον ποὺ ἀξιώνεται νὰ συνομιλεῖ συνέχεια μὲ τὸν Κύριο;

26. Καὶ γιὰ νὰ μάθεις πόσο μεγάλο εἶναι αὐτὸ τὸ ἀγαθό, σκέψου σὲ παρακαλῶ ἐκείνους ποὺ εἶναι προσηλωμένοι στὰ πράγματα τῆς παρούσας ζωῆς καὶ ποὺ δὲν διαφέρουν καθόλου ἀπὸ τὴ σκιά. Αὐτοὶ ὅταν δοῦν κάποιον νὰ συνομιλεῖ διαρκῶς μὲ τὸν ἐπίγειο βασιλιά, πῶς τὸν θεωροῦν μεγάλο, τὸν ἀποκαλοῦν μακαριότατο, τὸν βλέπουν μὲ μεγάλο θαυμασμὸ καὶ σὰν κάποιο ποὺ ἀξιώθηκε νὰ λάβει τὴν πιὸ μεγάλη τιμή. Ἂν λοιπὸν ὁ ἄνθρωπος αὐτὸς ἂν καὶ συνομιλεῖ μὲ ὁμογενῆ του καὶ ποὺ ἔχει τὴν ἴδια φύση μ' αὐτὸν καὶ ἡ συνομιλία του στρέφεται σὲ κοσμικὰ καὶ πρόσκαιρα πράγματα, θεωρεῖται τόσο περίβλεπτος, τί θὰ μποροῦσε νὰ πεῖ κανεὶς γιὰ ἐκεῖνον ποὺ καταξιώθηκε νὰ συνομιλεῖ μὲ τὸ Θεὸ ὄχι γιὰ τὰ πράγματα τῆς γῆς ἀλλὰ γιὰ τὴ συγχώρηση τῶν ἁμαρτημάτων, γιὰ τὴν

πτωμάτων, περὶ τῆς φυλακῆς τῶν ἤδη παρασχεθέντων, περὶ τῶν μελλόντων παρασχεθήσεσθαι, περὶ τῶν αἰωνίων ἀγαθῶν; Ὁ τοιοῦτος καὶ αὐτοῦ τοῦ τὸ διάδημα περικειμένου μακαριώτερος ἂν γένοιτο εἰ διὰ τῆς εὐχῆς ἐπισπάσαιτο τὴν ἄνωθεν ῥοπήν.

27. Αὕτη πρὸ πάντων δυνήσεται τοῦ ἐνδύματος τούτου τοῦ πνευματικοῦ τὴν φαιδρότητα διηνεκῶς ἡμῖν διαφυλάττειν καὶ μετὰ ταύτης ἡ δαψιλὴς ἐλεημοσύνη, τὸ κεφάλαιον τῶν ἡμετέρων ἀγαθῶν, ἡ σωτηρία τῶν ἡμετέρων ψυχῶν. Αὕτη ἡ συζυγία τὰ μυρία ἡμῖν ἀγαθὰ ἄνωθεν προξενῆσαι δύναται καὶ τὴν πυρὰν τῶν ἁμαρτημάτων σβέσαι τῶν ἡμετέρων ψυχῶν καὶ πολλὴν ἡμῖν παρασχεῖν τὴν παρρησίαν. Ταύτῃ τῇ συζυγίᾳ χρησάμενος ὁ Κορνήλιος εἰς τὸν οὐρανὸν τὰς εὐχὰς ἀνέπεμπε. Διὸ καὶ ἤκουσε παρὰ τοῦ ἀγγέλου· «αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ».

28. Εἶδες ἄνδρα ἐν χλανίδι καὶ ζώνῃ τὸν ἅπαντα βίον ἀναστρεφόμενον πόσην ἐντεῦθεν ἐκτήσατο τὴν παρρησίαν; Ἀκουέτωσαν οἱ ταῖς στρατείαις ἐγκατειλημμένοι καὶ μανθανέτωσαν ὡς οὐδὲν κώλυμα γίνεται πρὸς ἀρετὴν τῷ νήφειν βουλομένῳ ἀλλ᾽ ἔξεστι καὶ χλανίδα καὶ ζώνην περικειμένῳ καὶ γυναῖκα ἔχοντα καὶ παιδίων ἐπιμελούμενον καὶ οἰκετῶν φροντίζοντα καὶ ἀρχὴν ἐγκεχειρισμένον τῆς ἀρετῆς πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλλειαν. Ἰδοὺ γὰρ καὶ ὁ θαυμάσιος οὗτος καὶ χλανίδα καὶ ζώνην περικείμενος καὶ στρατιωτῶν ἄρχων, ἑκατόνταρχος γὰρ ἦν, ἐπειδὴ ἐβουλήθη καὶ ἔνηφε καὶ ἐγρηγορὼς ἦν, ὅσης ἀξιοῦται τῆς ἄνωθεν κηδεμονίας.

Καὶ ἵνα μάθῃς ἀκριβῶς ὅτι ἡ ἄνωθεν χάρις τότε ἡμῖν ἐφίπταται ἐπειδὰν αὐτοὶ τὰ παρ᾽ ἑαυτῶν πρότερον εἰσενέγκωμεν, ἄκουε τῆς ἱστορίας αὐτῆς. Ἐπειδὴ γὰρ προλαβὼν πολλὰς καὶ δαψιλεῖς τὰς ἐλεημοσύνας ἐποιήσατο καὶ μετ᾽ ἐκτενείας ταῖς προσευχαῖς προσεκαρτέρει, κατὰ τὴν ἐνάτην ὥραν, φησί, προσευχομένῳ αὐτῷ

---

10. Πράξ. 10,4.

ἄφεση τῶν παραπτωμάτων, γιὰ τὴ φύλαξη ἐκείνων ποὺ μᾶς δόθηκαν, γιὰ ἐκεῖνα ποὺ πρόκειται νὰ μᾶς δοθοῦν, γιὰ τὰ αἰώνια ἀγαθά; Ὁ ἄνθρωπος αὐτὸς θὰ μποροῦσε νὰ θεωρηθεῖ πιὸ μακάριος καὶ ἀπὸ ἐκεῖνον ποὺ φορεῖ τὸ βασιλικὸ στέμμα, ἐφόσον συμβεῖ μὲ τὴν προσευχὴ νὰ ἀποσπάσει τὴν οὐράνια βοήθεια.

27. Αὐτὴ πρὸ πάντων θὰ μπορέσει νὰ μᾶς διαφυλάξει διαρκῶς τὴ λαμπρότητα αὐτοῦ τοῦ πνευματικοῦ ἐνδύματος καὶ μαζὶ μ' αὐτὴν ἡ μὲ ἀφθονία γινόμενη ἐλεημοσύνη, τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν μας, ἡ σωτηρία τῶν ψυχῶν μας. Αὐτὸ τὸ ζευγάρι μπορεῖ νὰ μᾶς χαρίσει τὰ μύρια ἀγαθὰ τοῦ οὐρανοῦ, νὰ σβήσει τὴ φωτιὰ τῶν ἁμαρτημάτων τῶν ψυχῶν μας καὶ νὰ μᾶς χαρίσει μεγάλη παρρησία. Αὐτὸ τὸ ζευγάρι τῶν ἀρετῶν ἀφοῦ χρησιμοποίησε ὁ Κορνήλιος, ἀνέπεμπε τὶς προσευχές σου στὸν οὐρανό. Γι' αὐτὸ καὶ ἄκουσε ἀπὸ τὸν ἄγγελο· «οἱ προσευχές σου καὶ οἱ ἐλεημοσύνες σου ἀνέβηκαν στὸν οὐρανὸ γιὰ νὰ σὲ θυμηθεῖ ὁ Θεός»[10].

28. Εἶδες πόση παρρησία ἀπέκτησε ἀπ' αὐτὸ ὁ ἄνδρας ἐκεῖνος ποὺ πέρασε ὅλη τὴ ζωή του φορώντας μανδύα καὶ ζώνη στρατιωτική; Ἂς τὰ ἀκοῦν ἐκεῖνοι ποὺ εἶναι καταταγμένοι στὸ στρατὸ καὶ ἂς μάθουν ὅτι δὲν ὑπάρχει κανένα ἐμπόδιο γιὰ τὴν ἄσκηση τῆς ἀρετῆς σ' ἐκεῖνον ποὺ θέλει νὰ ζεῖ προσεκτικά, ἀλλ' εἶναι δυνατὸ καὶ νὰ φορεῖ μανδύα στρατιωτικὸ καὶ ζώνη, καὶ νὰ ἔχει γυναίκα, καὶ νὰ φροντίζει γιὰ τὰ παιδιά του καὶ τοὺς ὑπηρέτες, καὶ νὰ ἀσκεῖ ἐξουσία, καὶ παράλληλα νὰ φροντίζει πάρα πολὺ γιὰ τὴν ἀρετή. Γιατὶ νὰ καὶ ὁ θαυμάσιος αὐτὸς καὶ μανδύα φοροῦσε καὶ ζώνη καὶ ἐξουσίαζε στρατιῶτες, γιατὶ ἦταν ἑκατόνταρχος, ἐπειδὴ ὅμως θέλησε καὶ ἦταν προσεκτικὸς καὶ ἐπάγρυπνος, πόση κηδεμονία ἀξιώνεται νὰ δεχθεῖ ἀπὸ τὸν οὐρανό.

Καὶ γιὰ νὰ μάθεις μὲ ἀκρίβεια ὅτι ἡ οὐράνια χάρη τότε ἔρχεται σὲ μᾶς, ὅταν ἐμεῖς προσφέρομε ἐκεῖνα ποὺ ἐξαρτῶνται ἀπὸ μᾶς, ἄκουε τὴν ἱστορία αὐτή. Ἀφοῦ δηλαδὴ ἔκαμε προηγουμένως πολλὲς καὶ πλούσιες ἐλεημοσύνες καὶ ἐπέμενε στὶς μακροτενεῖς προσευχές, κατὰ τὴν ἐνάτη ὥρα, λέγει, ἐνῶ αὐτὸς προσευχόταν παρουσιάσθηκε ὁ ἄγγελος καὶ τοῦ εἶπε· «Κορνήλιε, οἱ προσευχὲς

ἐπιστὰς ἄγγελος εἶπεν· «Κορνήλιε, αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ».

29. Μὴ ἁπλῶς παραδράμωμεν τὸ λεχθέν, ἀλλ' ἐννοήσωμεν μετὰ ἀκριβείας τοῦ ἀνδρὸς τὴν ἀρετὴν καὶ τότε καταμάθωμεν τοῦ Δεσπότου τὴν φιλανθρωπίαν, πῶς οὐδένα περιορᾷ ἀλλ' ἔνθα ἂν ἴδῃ νήφουσαν ψυχὴν ἐκεῖ τὴν παρ' ἑαυτοῦ χάριν ἐπιδαψιλεύεται. Στρατιώτης ἄνθρωπος, οὐδεμιᾶς ἀπολαύων διδασκαλίας, ἐν πράγμασι βιωτικοῖς συμπεπλεγμένος, καθ' ἑκάστην ἡμέραν μυρία ἔχων τὰ περισπῶντα αὐτὸν καὶ ἀνθέλκοντα, οὐκ εἰς συμπόσια καὶ μέθην καὶ ἀδηφαγίαν τὸν ἑαυτοῦ βίον κατανήλισκεν, ἀλλ' εἰς προσευχὰς καὶ ἐλεημοσύνας καὶ τοσαύτην οἴκοθεν τὴν σπουδὴν ἐπεδείκνυτο καὶ οὕτω ταῖς εὐχαῖς προσήδρευε καὶ τὰς ἐλεημοσύνας δαψιλεῖς εἰργάζετο ὡς καὶ ὀπτασίας τοιαύτης ἄξιον ἑαυτὸν ἀποφῆναι.

30. Ποῦ νῦν εἰσιν οἱ τὰς πολυτελεῖς τραπέζας παρατιθέντες καὶ πολὺν τὸν ἄκρατον ἐγχεόμενοι καὶ διημερεύοντες ἐν τοῖς συμποσίοις καὶ οὔτε πρὸ τῆς ἑστιάσεως πολλάκις εὔχεσθαι αἱρούμενοι οὔτε μετὰ τὴν ἑστίασιν τὴν εὐχαριστίαν ἀναφέροντες, ἀλλὰ νομίζοντες πάντα αὐτοῖς ἐξεῖναι ἀδεῶς διαπράττεσθαι διὰ τὸ ἐν ἀρχαῖς εἶναι καὶ στρατιωτικοῖς καταλόγοις ἐναριθμεῖσθαι καὶ χλανίδα καὶ ζώνην περικεῖσθαι; Ὁράτωσαν τοῦ Κορνηλίου τούτου τὴν ἐν ταῖς εὐχαῖς προσεδρείαν, τὴν περὶ τὰς ἐλεημοσύνας δαψίλειαν, καὶ ἐγκαλυπτέσθωσαν.

31. Τάχα δὲ οὐκ ἐκείνοις μόνοις ἀξιόπιστος οὗτος γενήσεται διδάσκαλος, ἀλλὰ καὶ πᾶσιν ἡμῖν καὶ αὐτοῖς τοῖς τὸν τῶν μοναχῶν βίον ἐπανῃρημένοις καὶ τὴν ἐκκλησιαστικὴν λειτουργίαν ἀναδεδειγμένοις. Τίς γὰρ ἡμῶν ποτε δυνήσεται καυχήσασθαι ὅτι ἢ ἐν ταῖς εὐχαῖς τοσαύτην ἐπεδείξατο τὴν προσεδρείαν ἢ περὶ τὴν ἐλεημοσύνην οὕτω δαψιλὴς γέγονεν ὡς τοιαύτης ὀπτασίας ἄξιος γενέσθαι; Διό, παρακαλῶ, εἰ καὶ μὴ πρότερον, κἂν νῦν γοῦν ἅπαντες τοῦτον ζηλώσωμεν καὶ οἱ ἐν στρατείᾳ κατειλεγμένοι καὶ οἱ τὸν ἰδιωτικὸν βίον μετιόντες καὶ τῶν τοσούτων δωρεῶν ἀξιωθέντες, καὶ μὴ ἐλάττους γενώμεθα τοῦ μετὰ χλανίδος καὶ ζώνης τοσαύτην

καὶ οἱ ἐλεημοσύνες σου ἀνέβηκαν στὸν οὐρανὸ γιὰ νὰ τὶς θυμηθεῖ ὁ Θεός».

29. Ἂς μὴ προσπεράσομε ἐπιπόλαια αὐτὸ ποὺ λέχθηκε, ἀλλ' ἂς σκεφθοῦμε μὲ προσοχὴ τὴν ἀρετὴ τοῦ ἀνθρώπου καὶ τότε θὰ γνωρίσομε τὴ φιλανθρωπία τοῦ Κυρίου, πῶς δηλαδὴ κανένα δὲν παραβλέπει, ἀλλ' ὅταν δεῖ ψυχὴ νηφάλια, ἐκεῖ δίνει μὲ ἀφθονία μεγάλη τὴ χάρη του. Ἐνῶ ἦταν ἄνθρωπος στρατιώτης, χωρὶς ν' ἀπόλαυσε καμιὰ διδασκαλία, καὶ ἐνῶ ἦταν μπλεγμένος μὲ κοσμικὰ πράγματα καὶ καθημερινὰ εἶχε ἀμέτρητα ἐκεῖνα ποὺ τὸν προσέλκυαν καὶ τὸν ἐμπόδιζαν, δὲν κατανάλωνε τὴ ζωή του σὲ συμπόσια καὶ μέθες καὶ πολυφαγία, ἀλλὰ σὲ προσευχὲς καὶ ἐλεημοσύνες, καὶ τόση φροντίδα ἔδειχνε αὐτὸς ὁ ἴδιος καὶ μὲ τόση ἐπιμονὴ ἀνέπεμπε τὶς προσευχές του καὶ ἔκαμνε μὲ ἀφθονία τὶς ἐλεημοσύνες, ὥστε νὰ καταστήσει τὸν ἑαυτό τους ἄξιο μιᾶς τέτοιας ὀπτασίας.

30. Ποῦ εἶναι τώρα ἐκεῖνοι ποὺ παραθέτουν πλούσια τραπέζια καὶ δαπανοῦν πολὺ κρασί, ποὺ περνοῦν τὴν ἡμέρα τους στὰ συμπόσια καὶ πολλὲς φορὲς δὲν καταδέχονται νὰ προσεύχονται οὔτε καὶ πρὶν ἀπὸ τὸ φαγητὸ οὔτε καὶ μετὰ τὸ φαγητὸ νὰ εὐχαριστήσουν τὸ Θεό, ἀλλὰ νομίζουν ὅτι μποροῦν ὅλα νὰ τὰ κάμνουν χωρὶς φόβο ἐπειδὴ ἔχουν ἀξιώματα, εἶναι γραμμένοι σὲ στρατιωτικοὺς καταλόγους καὶ φοροῦν μανδύα καὶ ζώνη; Ἂς προσέξουν τοῦ Κορνηλίου αὐτοῦ τὴν ἐπιμονὴ στὶς προσευχές, τὴν ἀφθονία τῶν ἐλεημοσυνῶν καὶ ἂς ντραποῦν.

31. Καὶ ἴσως αὐτὸς γίνει δάσκαλος ἀξιόπιστος ὄχι μόνο σ' ἐκείνους, ἀλλὰ καὶ σ' ὅλους ἐμᾶς καὶ σ' ἐκείνους ποὺ προτίμησαν τὸν μοναχικὸ βίο καὶ ἔχουν ἀναλάβει τὴν ἐκκλησιαστικὴ ὑπηρεσία. Γιατὶ ποιός ἀπὸ μᾶς θὰ μπορέσει ποτὲ νὰ καυχηθεῖ ὅτι ἐπέδειξε τόση ἐπιμονὴ στὶς προσευχὲς ἢ ὅτι ἔκαμε τόσες ἄφθονες ἐλεημοσύνες, ὥστε νὰ καταστεῖ ἄξιος μιᾶς τέτοιας ὀπτασίας; Γι' αὐτό, παρακαλῶ, ἂν ὄχι προηγουμένως, ἔστω λοιπὸν καὶ τώρα ἂς μιμηθοῦμε ὅλοι μας αὐτὸν καὶ ἐκεῖνοι ποὺ εἶναι καταταγμένοι στὸ στρατό, καὶ ἐκεῖνοι ποὺ ἀκολουθοῦν τὸν ἰδιωτικὸ βίο, ἀφοῦ ἀξιωθήκαμε νὰ λάβομε τόσες δωρεές, καὶ ἂς μὴ γινόμαστε κατώτεροι ἀπὸ ἐκεῖνον ποὺ φοροῦσε στρατιωτικὸ μανδύα καὶ ζώνη καὶ ἐπέ-

ἐπιδειξαμένου τὴν ἀρετήν. Τότε γὰρ δυνησόμεθα καὶ τοῦ ἐνδύματος ἡμῶν τούτου τοῦ πνευματικοῦ τὸ κάλλος ἀκμάζον διατηρῆσαι εἰ τὴν συζυγίαν τούτων τῶν ἀρετῶν μετὰ ἀκριβείας ἐπιδειξαίμεθα·

32. Εἰ δὲ βούλεσθε, καὶ ἕτερα ταύταις προσθῶμεν τὰ συντελεῖν δυνατὰ πρὸς τὴν φυλακὴν καὶ τὴν ἀφθαρσίαν τούτου τοῦ ἐνδύματος, τὴν σωφροσύνην λέγω καὶ τὸν ἁγιασμόν· «εἰρήνην γὰρ διώκετε», φησίν, ὁ ἀπόστολος», καὶ τὸν ἁγιασμὸν οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον». Καὶ ταύτην τοίνυν μετὰ ἀκριβείας μετερχώμεθα, καθ' ἑκάστην ὥραν τοὺς λογισμοὺς ἡμῶν διερευνώμενοι καὶ μὴ ἀφέντες ῥύπον τινὰ ἢ κηλῖδα τὴν ψυχὴν δέξασθαι ἐκ τῶν πονηρῶν ἐνθυμήσεων.

33. Ἐὰν γὰρ οὕτω διακαθαίρωμεν ἡμῶν τὴν διάνοιαν καὶ πᾶσαν σπουδὴν περὶ τὴν ταύτης ἔχωμεν ἐπιμέλειαν, εὐκολώτερον καὶ τῶν ἄλλων περιεσόμεθα παθῶν καὶ οὕτω κατὰ μικρὸν εἰς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς ἥξομεν καὶ πολλὰ ἐντεῦθεν ἤδη ἑαυτοῖς προαποθέμενοι τὰ ἐφόδια τὰ πνευματικά, δυνησόμεθα καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιωθῆναι τῶν τεταμιευμένων τοῖς ἀγαπῶσιν αὐτόν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

11. Ἑβρ. 12,14.

δειξε τόση ἀρετή. Γιατὶ τότε θὰ μπορέσομε νὰ διατηρήσομε ἀκμαία καὶ τὴν ὡραιότητα αὐτοῦ τοῦ ἐνδύματός μας, ἂν ἀσκοῦμε μὲ προσοχὴ τὸ ζευγάρι αὐτῶν τῶν ἀρετῶν.

32. Ἂν πάλι θέλετε ἂς προσθέσομε σ' αὐτὲς καὶ ἄλλα ποὺ μποροῦν νὰ βοηθήσουν στὴ διαφύλαξη καὶ τὴν ἀφθαρσία αὐτοῦ τοῦ ἐνδύματος, ἐννοῶ τὴ σωφροσύνη καὶ τὸν ἁγιασμό· γιατὶ λέγει ὁ ἀπόστολος, «ἐπιδιώκετε τὴν εἰρήνη καὶ τὸν ἁγιασμό, χωρὶς τὰ ὁποῖα κανένας δὲν θὰ δεῖ τὸν Κύριο»[11]. Καὶ αὐτὴν λοιπὸν ἂς τὴν ἀσκοῦμε μὲ προσοχή, ἐξετάζοντας κάθε στιγμὴ τὶς σκέψεις μας καὶ μὴ ἀφήνοντας τὴν ψυχὴ νὰ δεχθεῖ κάποιον ρύπο ἢ κηλίδα ἀπὸ τὶς πονηρὲς σκέψεις.

33. Ἂν λοιπὸν καθαρίσομε ἔτσι τὸ νοῦ μας καὶ δείχνομε κάθε προθυμία ὡς πρὸς τὴ φροντίδα αὐτή, εὐκολότερα θὰ νικήσομε καὶ τὰ ἄλλα πάθη καὶ ἔτσι σιγὰ– σιγὰ θὰ φθάσομε στὴν ἴδια τὴν κορυφὴ τῆς ἀρετῆς, καί, ἀφοῦ συγκεντρώσομε ἐδῶ μὲ τὸν τρόπο αὐτὸ πολλὰ πνευματικὰ ἐφόδια, θὰ μπορέσομε ν' ἀξιωθοῦμε καὶ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά, ποὺ ἐπιφυλάσσονται γιὰ ἐκείνους ποὺ ἀγαποῦν αὐτόν, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχομε μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΚΑΤΗΧΗΣΙΣ Η'

ΑΠΟΔΟΧΗ ΚΑΙ ΕΠΑΙΝΟΣ ΕΙΣ ΤΟΥΣ ΑΠΟ ΤΗΣ ΠΕΡΙΟΙΚΙΔΟΣ παραγενομένους καὶ ὅτι τῶν δικαίων ἁπάντων ἐπαγγελίας αἰσθητὰς δεξαμένων καὶ ἀντὶ τῶν αἰσθητῶν τὰ νοητὰ φανταζομένων, ἡμεῖς ἀπεναντίας τῶν νοητῶν ἐπαγγελίαν δεξάμενοι περὶ τὰ αἰσθητὰ κεχήναμεν· καὶ ὅτι προσήκει καὶ ὑπὸ τὴν ἕω καὶ κατὰ τὴν ἑσπέραν ἐπὶ τὴν ἐκκλησίαν σπεύδοντας τὰς εὐχὰς ποιεῖσθαι καὶ τὰς ἐξομολογήσεις· καὶ εἰς τοὺς νεοφωτίστους

1. Ἱκανῶς ὑμᾶς εἱστίασαν ἐν ταῖς παρελθούσαις ἡμέραις οἱ καλοὶ διδάσκαλοι καὶ συνεχοῦς ἀπελαύσατε τῆς πνευματικῆς αὐτῶν παραινέσεως, δαψιλοῦς τῆς εὐλογίας μετασχόντες ἀπὸ τῶν λειψάνων τῶν ἁγίων μαρτύρων. Φέρε δὴ σήμερον λοιπὸν ἐπειδὴ λαμπρότερον ἡμῖν τὸ θέατρον ἀπειργάσαντο οἱ ἀπὸ τῆς χώρας πρὸς ἡμᾶς συρρεύσαντες, καὶ ἡμεῖς δαψιλεστέραν αὐτοῖς τράπεζαν παραθῶμεν τὴν πνευματικὴν τὴν πολλῆς ἀγάπης γέμουσαν, ἣν περὶ ἡμᾶς ἐπεδείξαντο. Ταύτην τοίνυν αὐτοῖς παρασχόντες τὴν ἀμοιβὴν καὶ ἀποδεξάμενοι τῆς περὶ ἡμᾶς διαθέσεως, πολλὴν περὶ αὐτοὺς τὴν φιλοξενίαν ἐπιδείξασθαι σπουδάσωμεν. Εἰ γὰρ αὐτοὶ τοσοῦτον ὁδοῦ μῆκος διανύσαι οὐκ ὤκνησαν, ὥστε διὰ τῆς ἑαυτῶν παρουσίας πολλὴν ἡμῖν παρασχεῖν τὴν εὐφροσύνην, πολλῷ μᾶλλον ἡμᾶς δίκαιον δαψιλεστέραν αὐτοῖς σήμερον παραθεῖναι τὴν πνευματικὴν ταύτην τροφήν, ἵν' ἐφόδια λαβόντες ἱκανὰ οὕτως ἐντεῦθεν οἴκαδε ἐπανέλθωσιν.

2. Ἀδελφοὶ γάρ εἰσιν ἡμέτεροι καὶ μέλη τυγχάνουσι τοῦ τῆς Ἐκκλησίας σώματος. Ὡς μέλη τοίνυν ἡμέτερα περιπτυξάμενοι οὕτω γνησίαν τὴν περὶ αὐτοὺς ἀγάπην ἐπιδειξώμεθα καὶ μὴ τοῦτο ἴδω-



ΚΑΤΗΧΗΣΗ ΟΓΔΟΗ

ΥΠΟΔΟΧΗ ΚΑΙ ΕΠΑΙΝΟΣ ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΗΡΘΑΝ ΑΠΟ ΤΑ περίχωρα καὶ περὶ τοῦ ὅτι ὅλοι οἱ δίκαιοι ἂν καὶ ἔλαβαν ὑποσχέσεις γιὰ ὑλικὰ ἀγαθά, αὐτοὶ σκέπτονταν καὶ ἀγωνίζονταν γιὰ τὰ πνευματικὰ ἀγαθά, ἐνῶ ἐμεῖς ἀντίθετα ἂν καὶ ἐλάβαμε ὑποσχέσεις γιὰ πνευματικὰ ἀγαθά, ἐπιδιώκομε μὲ μανία τὰ ὑλικά· ἐπίσης πρέπει καὶ τὸ πρωὶ καὶ τὴν ἑσπέρα νὰ πηγαίνομε στὴ ἐκκλησία γιὰ νὰ προσευχόμαστε καὶ νὰ ἐξομολογούμαστε, καθὼς καὶ γιὰ τοὺς νεοφώτιστους

1. Ἀρκετὴ πνευματικὴ τροφὴ σᾶς πρόσφεραν τὶς περασμένες ἡμέρες οἱ καλοὶ δάσκαλοί σας καὶ ἀπολαύσατε τὶς συνεχεῖς πνευματικές τους παραινέσεις, λαμβάνοντας πλούσια τὴν εὐλογία ἀπὸ τὰ λείψανα τῶν ἁγίων μαρτύρων. Ἐμπρὸς λοιπὸν σήμερα, ἐπειδὴ ἔκαμαν λαμπρότερη τὴ συγκέντρωσή μας ὅλοι αὐτοὶ ποὺ συγκεντρώθηκαν ἐδῶ ἀπὸ τὰ περίχωρα, ἂς παραθέσομε καὶ ἐμεῖς πλουσιότερο τὸ πνευματικὸ τραπέζι, γεμάτο ἀπὸ πολλὴ ἀγάπη τὴν ὁποία ἔδειξαν αὐτοὶ πρὸς ἐμᾶς. Προσφέροντάς τους λοιπὸν αὐτὴν τὴν ἀμοιβὴ καὶ ἀποδεχόμενοι τὴν καλὴ διάθεσή τους γιὰ μᾶς, ἂς φροντίσομε νὰ τοὺς παραθέσομε πλούσια τὴ φιλοξενία μας. Γιατί, ἂν αὐτοὶ δὲν δίστασαν νὰ διανύσουν τόση μεγάλη ἀπόσταση, ὥστε μὲ τὴν παρουσία τους νὰ μᾶς προσφέρουν μεγάλη εὐφροσύνη, πολὺ περισσότερο εἶναι δίκαιο νὰ τοὺς παραθέσομε ἐμεῖς σήμερα πλουσιότερη τὴν πνευματικὴ αὐτὴ τροφή, ὥστε, ἀφοῦ λάβουν ἱκανὰ ἐφόδια, νὰ ἐπιστρέψουν μ' αὐτὰ στὰ σπίτια τους.

2. Γιατὶ εἶναι δικοί μας ἀδελφοὶ καὶ μέλη τοῦ σώματος τῆς ἐκκλησίας. Ἀφοῦ λοιπὸν τοὺς ἀγκαλιάσομε σὰν δικά μας μέλη, ἔτσι ἂς δείξομε τὴ γνήσια ἀγάπη μας πρὸς αὐτοὺς καὶ ἂς μὴ προσέξομε

μεν ὅτι ἐνηλλαγμένην ἔχουσι τὴν διάλεξιν, ἀλλὰ τῆς ψυχῆς αὐτῶν τὴν φιλοσοφίαν μετὰ ἀκριβείας κατανοήσωμεν, μηδὲ ὅτι βάρβαρον ἔχουσι τὴν γλῶτταν, ἀλλὰ τὸ ἔνδον φρόνημα καταμάθωμεν καὶ ὅτι ἅπερ ἡμεῖς ἐν λόγοις φιλοσοφοῦντες διδάσκειν σπουδάζομεν, ταῦτα οὗτοι διὰ τῶν πραγμάτων ἐπιδείκνυνται, τὸν ἀποστολικὸν νόμον διὰ τῶν ἔργων πληροῦντες τὸν κελεύοντα ἀπὸ τῆς τῶν χειρῶν ἐργασίας τὴν καθημερινὴν πορίζεσθαι τροφήν.

3. Ἤκουσαν γὰρ τοῦ μακαρίου Παύλου λέγοντος, «κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί». Καὶ πάλιν· «ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται». Καὶ ταῦτα δι' αὐτῶν τῶν ἔργων πληροῦν σπουδάζοντες λαμπροτέραν τῶν λόγων ἀφιᾶσι φωνήν, διὰ τῶν πράξεων ἀξίους ἑαυτοὺς ἀποφαίνοντες καὶ τοῦ μακαρισμοῦ τοῦ παρὰ τοῦ Χριστοῦ· «μακάριος» γάρ, φησίν, «ὁ ποιήσας καὶ διδάξας». Ὅταν γὰρ ἡ διὰ τῶν ἔργων προηγῆται διδασκαλία οὐκέτι χρεία τῆς διὰ τῶν λόγων παιδεύσεως. Καὶ ἴδοις ἂν τούτων ἕκαστον νῦν μὲν παρὰ τὸ βῆμα ἑστῶτα τὸ ἱερὸν καὶ τοὺς θείους νόμους ἀναγινώσκοντα καὶ τοὺς ὑπηκόους ἐκπαιδεύοντα, νῦν δὲ περὶ τὴν τῆς γῆς ἐπιμέλειαν πονούμενον καί ποτε μὲν ἄροτρον ἕλκοντα καὶ τὰς αὔλακας τῆς γῆς ἀνατέμνοντα καὶ τὰ σπέρματα καταβάλλοντα καὶ τοῖς κόλποις αὐτῆς παρακατατιθέμενον, ποτὲ δὲ τὸ τῆς διδασκαλίας ἄροτρον μεταχειρίζοντα καὶ εἰς τὰς τῶν μαθητευομένων ψυχὰς τὸν σπόρον τῶν θείων μαθημάτων ἐναποτιθέμενον.

4. Μὴ τοίνυν πρὸς τὸ σχῆμα ἁπλῶς ὁρῶντες καὶ τῆς γλώττης τὴν διάλεξιν παρατρέχωμεν αὐτῶν τὴν ἀρετήν, ἀλλ' ἀκριβῶς αὐτῶν καταμάθωμεν τὸν βίον τὸν ἀγγελικόν, τὴν φιλόσοφον διαγωγήν. Πᾶσα γὰρ τρυφὴ καὶ ἀδηφαγία παρὰ τούτοις ἀπελήλαται· οὐ μόνον δὲ ταῦτα ἀλλὰ καὶ ἡ λοιπὴ βλακεία ἡ ἐν ταῖς πόλεσι πολιτευομένη καὶ τοσαῦτα μόνον σιτοῦνται ὅσα πρὸς τὴν τῆς ζωῆς σύστασιν αὐτοῖς ἀρκέσαι δύναται, καὶ τὸν λοιπὸν ἅπαντα χρόνον ἐν ὕμνοις καὶ διηνεκέσιν εὐχαῖς τὴν ἑαυτῶν ἀπασχολοῦσι διάνοιαν καὶ ἐν τούτῳ τὴν ἀγγελικὴν διαγωγὴν μιμούμενοι.

1. Α' Κορ. 4,12. 2. Πράξ. 20,34. 3. Ματθ. 5,19.

αὐτό, τὸ ὅτι δηλαδὴ ἔχουν διαφορετικὴ γλώσσα ἀπὸ μᾶς, ἀλλὰ ἂς φέρομε προσεκτικὰ στὴ σκέψη μας τὴν εὐσέβεια τῆς ψυχῆς τους, οὔτε τὸ ὅτι ἔχουν βαρβαρικὴ γλώσσα, ἀλλὰ ἂς σκεφθοῦμε τὰ ἐσωτερικὰ φρονήματά τους καὶ ὅτι ἐκεῖνα ποὺ ἐμεῖς φροντίζομε νὰ διδάσκομε γιὰ τὴν εὐσέβεια μὲ τὰ λόγια, αὐτὰ αὐτοὶ τὰ δείχνουν στὴν πράξη, ἐκπληρώνοντας μὲ τὰ ἔργα τους τὸν ἀποστολικὸ νόμο ποὺ παραγγέλλει μὲ τὴν καθημερινὴ ἐργασία τῶν χεριῶν νὰ ἐξασφαλίζομε τὴν τροφή μας.

3. Γιατὶ ἄκουσαν τὸν μακάριο Παῦλο ποὺ λέγει, «κοπιάζομε ἐργαζόμενοι μὲ τὰ ἴδια τὰ χέρια μας»[1]· καὶ πάλι· «ὅτι τὶς δικές μου ἀνάγκες καὶ τῶν συντρόφων μου τὶς ὑπηρέτησαν αὐτὰ τὰ χέρια»[2]. Καὶ φροντίζοντας αὐτὰ νὰ τὰ ἐφαρμόζουν μὲ τὰ ἔργα τους ἀφήνουν νὰ βγεῖ φωνὴ λαμπρότερη ἀπὸ τοὺς λόγους, παρουσιάζοντας τοὺς ἑαυτούς τους μὲ τὶς πράξεις ἄξιους τοῦ μακαρισμοῦ ποὺ λέχθηκε ἀπὸ τὸ Χριστό· γιατὶ λέγει, «μακάριος εἶναι ἐκεῖνος ποὺ πράττει καὶ διδάσκει»[3]. Ὅταν δηλαδὴ προηγεῖται ἡ διδασκαλία μὲ τὰ ἔργα δὲν χρειάζεται τότε ἡ διδασκαλία μὲ τὰ λόγια. Καὶ θὰ μποροῦσες νὰ δεῖς τὸν καθένα ἀπ' αὐτοὺς ἄλλοτε νὰ στέκεται δίπλα στὸ ἱερὸ βῆμα καὶ νὰ διαβάζει τοὺς θείους νόμους καὶ νὰ διδάσκει αὐτοὺς ποὺ τὸν ἀκοῦν, ἄλλοτε πάλι νὰ κοπιάζει γιὰ τὴν καλλιέργεια τῆς γῆς πότε σύροντας τὸ ἄροτρο καὶ ἀνοίγοντας τὰ αὐλάκια τῆς γῆς καὶ ρίχνοντας μέσα σ' αὐτὰ τὰ σπέρματα καὶ ἐμπιστευόμενος αὐτὰ στοὺς κόλπους αὐτῆς, καὶ πότε νὰ χρησιμοποιεῖ τὸ ἄροτρο τῆς διδασκαλίας καὶ νὰ ἐναποθέτει μέσα στὶς ψυχὲς τῶν μαθητῶν του τὸν σπόρο τῶν θείων μαθημάτων.

4. Ἂς μὴ παραβλέπομε λοιπὸν τὴν ἀρετὴ αὐτῶν προσέχοντας ἁπλῶς τὸ ἐξωτερικὸ σχῆμα τῶν λόγων τους, ἀλλ' ἂς γνωρίσομε μὲ ἀκρίβεια τὴν ἀγγελικὴ ζωή τους, τὴ γεμάτη φιλοσοφικότητα διαγωγή τους. Γιατὶ κάθε μορφὴ τρυφῆς καὶ πολυφαγίας ἀπομακρύνθηκε ἀπ' αὐτούς· καὶ ὄχι μόνο αὐτὰ ἀλλὰ καὶ ἡ ὑπόλοιπη βλακεία ποὺ συνηθίζεται στὶς πόλεις, καὶ τόσα μόνο τρώγουν, ὅσα μποροῦν νὰ ἐπαρκέσουν γιὰ τὴ διατήρηση τῆς ζωῆς τους, ἐνῷ τὸν ὑπόλοιπο χρόνο ἀπασχολοῦν τὴ σκέψη τους μὲ ὕμνους καὶ ἀσταμάτητες προσευχές, μιμούμενοι καὶ ὡς πρὸς αὐτὸ τὸν ἀγγελικὸ τρόπο ζωῆς.

5. *Καθάπερ γὰρ ἐκείναις ταῖς ἀσωμάτοις δυνάμεσιν ἓν τούτο μόνον ἔργον ἐστὶ τὸ διὰ παντὸς ὑμνεῖν τὸν τῶν ὅλων δημιουργόν, τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ θαυμάσιοι οὗτοι ἄνδρες καὶ τοῦ σώματος τὴν χρείαν παραμυθοῦνται διὰ τὸ σαρκὶ συμπεπλέχθαι, καὶ τὸν ἄλλον ἅπαντα χρόνον τοῖς ὕμνοις καὶ ταῖς εὐχαῖς προσανέχουσι, πολλὰ χαίρειν εἰπόντες ταῖς βιωτικαῖς φαντασίαις καὶ διὰ τῆς ἀρίστης αὐτῶν πολιτείας τοὺς ὑπηκόους εἰς τὴν οἰκείαν μίμησιν ἐναγαγεῖν σπουδάζουσι. Τίς ἂν οὖν κατ' ἀξίαν τούτους μακαρίσειεν ὅτι τῆς ἔξωθεν παιδεύσεως μὴ μετέχοντες τὴν ἀληθῆ σοφίαν ἐπαιδεύθησαν, δεικνύντες ἐκεῖνο τὸ ἀποστολικὸν διὰ τῶν ἔργων πληρούμενον, «ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί»;*

6. *Ὅταν γὰρ ἴδῃς τὸν ἰδιώτην τοῦτον καὶ ἄγροικον καὶ μηδὲν εἰδότα πλέον ἢ τὰ κατὰ τὴν γεωργίαν καὶ τὴν τῆς γῆς ἐπιμέλειαν τῶν μὲν παρόντων οὐδένα ποιούμενον λόγον, πρὸς δὲ τὰ ἐν τοῖς οὐρανοῖς ἀποκείμενα ἀγαθὰ ἐπτερωμένον τὴν διάνοιαν καὶ φιλοσοφεῖν ἐπιστάμενον περὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν καὶ ταῦτα μετὰ ἀκριβείας εἰδότα ἅπερ οἱ φιλόσοφοι καὶ μέγα ἐπὶ τῷ πώγωνι καὶ τῇ βακτηρίᾳ φρονοῦντες οὐδὲ φαντασθῆναί ποτε ἠδυνήθησαν, πῶς οὐκ ἐναργῆ λήψῃ τῆς τοῦ Θεοῦ δυνάμεως τὴν ἀπόδειξιν; Πόθεν γάρ, εἰπέ μοι, ἄλλοθεν τούτοις ἡ τοσαύτη τῆς ἀρετῆς φιλοσοφία καὶ τὸ μὴ τοῖς ὁρωμένοις προσέχειν ἀλλὰ τὰ ἄδηλα καὶ ἀφανῆ καὶ τὰ ἐν ἐλπίσι τῶν φαινομένων καὶ ἐν χερσὶ ὄντων προτιθέναι; Τοῦτο γάρ ἐστι πίστις ὅταν τις τὰ ὑπὸ τοῦ Θεοῦ ἐπαγγελθέντα κἂν μὴ φαίνηται τούτοις τοῖς τοῦ σώματος ὀφθαλμοῖς, ἀξιοπιστότερα ἡγῆται τῶν φαινομένων καὶ πρὸ τῶν ὀφθαλμῶν κειμένων τῶν ἡμετέρων.*

7. *Οὕτως οἱ δίκαιοι πάντες εὐδοκίμησαν καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἠξιώθησαν. Οὕτως ὁ πατριάρχης Ἀβραὰμ ἀνεκηρύχθη παρὰ τοῦ Δεσπότου, τὴν ἀσθένειαν τῆς ἀνθρωπίνης φύσεως παραδραμὼν καὶ πρὸς τὴν δύναμιν τοῦ ἐπαγγειλαμένου πᾶσαν αὐτοῦ τείνας τὴν διάνοιαν. Διὸ καὶ ἀνακηρύττεται ὑπὸ τῆς θείας Γρα-*

4. Α' Κορ. 1,25.

5. Ὅπως ἀκριβῶς δηλαδὴ ἕνα μόνο εἶναι τὸ ἔργο ἐκείνων τῶν ἀσωμάτων δυνάμεων, τὸ νὰ ὑμνοῦν δηλαδὴ διαρκῶς τὸν δημιουργό, κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ οἱ θαυμάσιοι αὐτοὶ ἄνδρες καὶ τὶς ἀνάγκες τοῦ σώματος ἱκανοποιοῦν, ἐφόσον συνδέονται μὲ σῶμα, καὶ ὅλον τὸν ὑπόλοιπο χρόνο τους τὸν ἀφιερώνουν σὲ ὕμνους καὶ προσευχές, ἀφοῦ ἀποχαιρέτησαν μιὰ γιὰ πάντα τὶς κοσμικὲς φαντασίες καὶ μὲ τὸν ἄριστο τρόπο τῆς ζωῆς τους φροντίζουν νὰ ὁδηγήσουν πρὸς μίμησή τους τοὺς ὑποτακτικούς τους. Ποιός λοιπὸν θὰ μποροῦσε νὰ μακαρίσει αὐτοὺς ἐπάξια, γιατί, ἂν καὶ δὲν γνωρίζουν τὴν κοσμικὴ σοφία, γνώρισαν τὴν ἀληθινὴ σοφία, πραγματοποιώντας μὲ τὰ ἔργα τους ἐκεῖνο τὸ ἀποστολικό· «ὅτι τὸ μωρὸ τοῦ Θεοῦ εἶναι πιὸ σοφὸ ἀπὸ τὴ σοφία τῶν ἀνθρώπων»[4].

6. Ὅταν λοιπὸν δεῖς τὸν ἰδιώτη αὐτὸν καὶ ἁπλὸ ἄνθρωπο, ποὺ δὲν γνωρίζει τίποτε παραπάνω ἀπὸ τὴ γεωργία καὶ τὴν καλλιέργεια τῆς γῆς, νὰ μὴ δείχνει καμιὰ φροντίδα γιὰ τὰ πράγματα τῆς παρούσας ζωῆς, ἀλλὰ νὰ πετάει ἡ σκέψη του πρὸς τὰ ἀγαθὰ ποὺ ἐπιφυλάσσονται στὸν οὐρανὸ καὶ νὰ γνωρίζει νὰ φιλοσοφεῖ γιὰ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά, καὶ μάλιστα νὰ γνωρίζει μὲ λεπτομέρεια ἐκεῖνα ποὺ δὲν μπόρεσαν οὔτε κἂν νὰ τὰ φαντασθοῦν ποτὲ οἱ φιλόσοφοι ποὺ μεγαλοφρονοῦν γιὰ τὸ πηγούνι καὶ τὴ ράβδο τους, πῶς δὲ θὰ λάβεις καθαρὴ ἀπόδειξη τῆς δυνάμεως τοῦ Θεοῦ; Γιατὶ πές μου σὲ παρακαλῶ, ἀπὸ ποῦ ἀλλοῦ δόθηκε σ' αὐτοὺς ἡ τόση μεγάλη φιλοσοφία τῆς ἀρετῆς καὶ ἡ δύναμη νὰ μὴ προσέχουν τὰ ὁρατά, ἀλλὰ τὰ ἄγνωστα καὶ μὴ φανερὰ καὶ νὰ προτιμοῦν τὰ ἐλπιζόμενα ἀπὸ ἐκεῖνα ποὺ βλέπονται καὶ βρίσκονται στὰ χέρια τους; Γιατὶ αὐτὸ εἶναι πίστη, ὅταν κανεὶς θεωρεῖ πιὸ ἀξιόπιστα ἀπὸ ἐκεῖνα ποὺ βλέπονται καὶ βρίσκονται μπροστὰ στὰ μάτια μας ἐκεῖνα ποὺ ὑποσχέθηκε ὁ Θεὸς καὶ ποὺ δὲν βλέπονται μὲ τὰ μάτια τοῦ σώματος.

7. Ἔτσι ὅλοι οἱ δίκαιοι εὐδοκίμησαν καὶ ἀξιώθηκαν τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά. Ἔτσι ὁ πατριάρχης Ἀβραὰμ ἀνακηρύχθηκε ἀπὸ τὸν Κύριο, παραμερίζοντας τὴν ἀδυναμία τῆς ἀνθρώπινης φύσεως καὶ προσηλώνοντας ὅλη τὴ σκέψη του στὴ δύναμη ἐκείνου ποὺ τοῦ ἔδωσε τὴν ὑπόσχεση. Γι' αὐτὸ καὶ ἀνακηρύσσεται ἀπὸ τὴ

φῆς· «ἐπίστευσε» γάρ, φησίν, «Ἀβραὰμ τῷ Θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην». Διὰ τοῦτο καὶ ἐκ προοιμίων ἀκούσας, «ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω», μετὰ πολλῆς τῆς προθυμίας ὑπήκουσε καὶ τὸ ἐπιταχθὲν εἰς ἔργον ἤγαγε καὶ κατελίμπανε μὲν τὴν οἰκείαν γῆν ἔνθα κατασκηνώσας ἐτύγχανεν, ἐξείη δὲ οὐκ εἰδὼς ὅπου στήσεται. Ἀλλὰ τῶν δήλων καὶ ὡμολογημένων προετίμα τὸ κελευθὲν παρὰ τοῦ Δεσπότου καὶ οὐ μόνον οὐ περιεργάζετο τὸ πρόσταγμα οὐδὲ ἐταράττετο τὸν λογισμόν, ἀλλὰ πρὸς τὸ ἀξίωμα τοῦ κελεύσαντος ἀφορῶν, πάντα τὰ ἀνθρώπινα κωλύματα παραδραμών, ἑνὸς ἦν μόνου, τοῦ μηδὲν ἐλλιπεῖν τῶν προσταχθέντων.

8. Ταῦτα δὲ ἐγίνετο οὐ διὰ τὸν δίκαιον μόνον ἵνα δειχθῇ αὐτοῦ τῆς πίστεως τὸ μέγεθος, ἀλλ' ἵνα καὶ ἡμεῖς ζηλωταὶ γενώμεθα τοῦ πατριάρχου. Ἐπειδὴ γὰρ εἶδεν αὐτοῦ τὴν εὐγνώμονα ψυχήν, διὰ τοῦτο καθάπερ φωστῆρα λανθάνοντα καὶ κεκρυμμένον ἐβουλήθη εἰς τὴν Χαναναίαν αὐτὸν μεταστῆσαι, ἵνα τοὺς αὐτόθι πλανωμένους καὶ ὑπὸ τοῦ τῆς ἀγνοίας σκότους ἔτι πεπηρωμένην ἔχοντας τὴν διάνοιαν, εἰς τὸν τῆς εὐσεβείας χειραγωγήσῃ λόγον. Ὃ δὴ καὶ γέγονε καὶ δι' ἐκείνου λοιπὸν οὐχ οἱ τὴν Παλαιστίνην μόνον οἰκοῦντες ἀλλὰ καὶ οἱ τὴν Αἴγυπτον ἐμάνθανον καὶ τοῦ Θεοῦ τὴν περὶ αὐτὸν πρόνοιαν καὶ τοῦ δικαίου τὴν ἀρετήν. Ὅρα γὰρ αὐτοῦ τῆς μεγαλοψυχίας τὴν ὑπερβολήν, ὅπως πτερωθεὶς ὑπὸ τοῦ περὶ τὸν Θεὸν πόθου οὐ μέχρι τῶν ὁρωμένων ἵστατο οὐδὲ τοῖς ἐπαγγελθεῖσι μόνον προσεῖχεν, ἀλλὰ τὰ μέλλοντα ἐφαντάζετο. Καὶ τοῦ Θεοῦ γῆν ἀντὶ γῆς ἐπαγγειλαμένου καὶ εἰπόντος, «ἔξελθε ἐκ τῆς γῆς σου καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω», αὐτός, καταλιπὼν τὰ αἰσθητά, τῶν νοητῶν ἠφίετο.

9. Τάχα αἴνιγμα ὑμῖν εἶναι δοκεῖ τὸ εἰρημένον. Ἀλλὰ μὴ θορυβηθῆτε· ἐγὼ τὴν ἀπόδειξιν ἐπάγω ἵνα μάθητε ὅπως ὁ δίκαιος αἰσθητῶν ἐπαγγελίαν δεξάμενος περὶ τὰ νοητὰ τὴν ἐπιθυμίαν εἶχε. Πόθεν οὖν τοῦτο ἀκριβῶς εἰσόμεθα; Ἀκούσωμεν αὐτοῦ λέγοντος,

5. Ρωμ. 4,3. 6. Γεν. 12,1.

θεία Γραφή· γιατὶ λέγει· «πίστεψε ὁ Ἀβραὰμ στὸ Θεὸ καὶ λογαριάσθηκε αὐτὸ γιὰ τὴ δικαίωσή του»[5]. Γι' αὐτὸ καὶ ἀκούοντας ἀπὸ τὴν ἀρχή, «φύγε ἀπὸ τὴ χώρα σου καὶ ἀπὸ τοὺς συγγενεῖς σου καὶ ἀπὸ τὸν πατρικό σου οἶκο καὶ πήγαινε στὴ χώρα ποὺ θὰ σοῦ δείξω»[6], ὑπάκουσε μὲ μεγάλη προθυμία καὶ πραγματοποίησε τὴν ἐντολὴ ποὺ ἔλαβε, ἐγκαταλείποντας τὴ γῆ στὴν ὁποία ἦταν κατασκηνωμένος καὶ φεύγοντας χωρὶς νὰ ξέρει ποῦ θὰ σταματήσει. Ἀλλὰ ἀπὸ τὰ φανερὰ καὶ σίγουρα προτιμοῦσε τὸ πρόσταγμα τοῦ Κυρίου καὶ ὄχι μόνο δὲν περιεργαζόταν τὸ πρόσταγμα καὶ δὲν ταρασσόταν ὁ λογισμός του, ἀλλ' ἔχοντας στραμμένη ὅλη τὴν προσοχή του στὴν ἀξιοπιστία ἐκείνου ποὺ ἔδινε τὴν προσταγὴ καὶ παραβλέποντας ὅλα τὰ ἀνθρώπινα ἐμπόδια, γιὰ ἕνα πράγμα μόνο φρόντιζε, τὸ νὰ μὴ παραλείψει τίποτε ἀπὸ τὰ προσταχθέντα.

8. Καὶ αὐτὰ γίνονταν ὄχι μόνο γιὰ τὸν δίκαιο γιὰ νὰ δειχθεῖ τὸ μέγεθος τῆς πίστεώς του, ἀλλὰ γιὰ νὰ γίνομε καὶ ἐμεῖς μιμητὲς τοῦ πατριάρχη. Ἐπειδὴ δηλαδὴ γνώριζε τὴν εὐγνώμονα ψυχὴ αὐτοῦ, γι' αὐτὸ θέλησε νὰ τὸν μεταφέρει στὴ γῆ τῆς Χαναὰν σὰν κάποιο ἄγνωστο καὶ κρυμμένο ἀστέρι, γιὰ νὰ ὁδηγήσει στὴν ὁδὸ τῆς εὐσέβειας ἐκείνους ποὺ κατηκοῦσαν ἐκεῖ ζώντας μέσα στὴν πλάνη καὶ ἔχοντας τυφλὰ τὰ μάτια τῆς διάνοιάς τους ἐξ αἰτίας τοῦ σκότους τῆς ἄγνοιας. Πράγμα λοιπὸν ποὺ ἔγινε καὶ μέσω ἐκείνου γνώριζαν πλέον καὶ τὴν πρόνοια τοῦ Θεοῦ πρὸς αὐτὸν καὶ τὴν ἀρετὴ ἐκείνου ὄχι μόνο ἐκεῖνοι ποὺ κατοικοῦσαν στὴν Παλαιστίνη, ἀλλὰ καὶ οἱ κάτοικοι τῆς Αἰγύπτου. Πρόσεχε δηλαδὴ τὴν ὑπερβολικὴ μεγαλοψυχία του, πῶς, ἀφοῦ ἀναπτερώθηκε ἀπὸ τὸν πόθο γιὰ τὸ Θεό, δὲν σταματοῦσε σ' ἐκεῖνα ποὺ ἔβλεπε οὔτε πρόσεχε μόνο στὶς ὑποσχέσεις, ἀλλὰ σκεπτόταν καὶ τὰ μελλοντικά. Καὶ ἐνῶ ὁ Θεὸς τοῦ ὑποσχέθηκε γῆ ἀντὶ τῆς γῆς στὴν ὁποία ζοῦσε, λέγοντας, «φύγε ἀπὸ τὴ χώρα σου καὶ πήγαινε στὴ χώρα ποὺ θὰ σοῦ δείξω», αὐτός, ἀφήνοντας τὰ αἰσθητά, ἐπιδίωκε μὲ πόθο τὰ πνευματικά.

9. Ἴσως σᾶς φαίνεται αἰνιγματικὸ αὐτὸ ποὺ σᾶς εἶπα. Ἀλλὰ μὴν ἀνησυχεῖτε· ἐγὼ θὰ σᾶς δώσω τὶς ἀποδείξεις, γιὰ νὰ μάθετε πῶς ὁ δίκαιος, ἐνῶ ἔλαβε ὑποσχέσεις γιὰ αἰσθητά, αὐτὸς ἐπιθυμοῦσε τὰ πνευματικά. Ἀπὸ ποῦ λοιπὸν θὰ τὸ μάθομε αὐτὸ μὲ ἀκρίβεια; Ἂς ἀκούσομε αὐτὸν τὸν ἴδιο ποὺ λέγει, ἢ καλύτερα τὸν μα-

μᾶλλον δὲ τοῦ μακαρίου Παύλου, τοῦ τῆς οἰκουμένης διδασκάλου, τοῦ μετὰ ἀκριβείας ταῦτα ἅπαντα ἐπισταμένου, περὶ αὐτοῦ λέγοντος, οὐ περὶ αὐτοῦ δὲ μόνον ἀλλὰ καὶ περὶ τῶν δικαίων πάντων. Μνημονεῦσαι γάρ ποτε βουλόμενος τοῦ καταλόγου τῶν δικαίων οἷον τοῦ Ἀβραάμ, τοῦ Ἰσαάκ, τοῦ Ἰακὼβ φησι· «κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες μὴ κομισάμενοι τὰς ἐπαγγελίας ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς».

10. Τί λέγεις, ὦ μακάριε Παῦλε; Οὐκ ἔλαβον τὰς ἐπαγγελίας; οὐ τὴν Παλαιστίνην πᾶσαν κατέσχον; οὐ κύριοι τῆς γῆς γεγόνασι; Ναί, φησί· τὴν μὲν Παλαιστίνην εἰλήφασι καὶ τῆς γῆς τὴν κατάσχεσιν, ἀλλὰ τοῖς τῆς πίστεως ὀφθαλμοῖς περὶ ἕτερα τὴν ἐπιθυμίαν εἶχον. Ἐπήγαγεν οὖν λέγων· «οἱ γὰρ ταῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ζητοῦσι καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν ἐπουρανίου». Εἶδες αὐτῶν τὸν πόθον; εἶδες αὐτῶν τὴν ἐπιθυμίαν; εἶδες πῶς τοῦ Θεοῦ πανταχοῦ αἰσθητὰ ἐπαγγελομένου καὶ περὶ γῆς διαλεγομένου, οὗτοι ἐκείνην ἐζήτουν τὴν πατρίδα καὶ ἐκείνης ὠρέγοντο τῆς ἐπουρανίου; Διὰ γὰρ τοῦτο προσέθηκεν· «ἧς τεχνίτης ἐστὶ καὶ δημιουργὸς ὁ Θεός». Εἶδες πῶς τῶν νοητῶν ἐπεθύμουν καὶ ἐκεῖνα ἐφαντάζοντο τὰ μὴ τοῖς σωματικοῖς ὀφθαλμοῖς φαινόμενα ἀλλὰ τῇ πίστει νοούμενα;

11. Ἀλλ' ἐνταῦθα θορυβεῖταί μου ἡ διάνοια καὶ συγχεῖται ὁ λογισμός, ὅταν ἐννοήσω ὅτι ἀπεναντίας πᾶσι τούτοις ἡμεῖς ἐρχόμεθα. Καθάπερ γὰρ οἱ δίκαιοι οὗτοι αἰσθητῶν ἐπαγγελίαν δεξάμενοι περὶ τὰ νοητὰ τὴν ἐπιθυμίαν ἔσχον, οὕτως ἡμεῖς νοητῶν ἐπαγγελίαν δεξάμενοι περὶ τὰ αἰσθητὰ ἐπτοήμεθα καὶ οὐκ ἀκούομεν τοῦ μακαρίου Παύλου λέγοντος· «τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια». Καὶ πάλιν ἀλλαχοῦ δηλῶν ὅτι τοιαῦτά ἐστι τὰ ἡτοιμασμένα τοῖς ἀγαπῶσιν αὐτὸν λέγει· «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη». Ἡμεῖς δὲ καὶ μετὰ ταῦτα ἅπαντα περὶ τὰ παρόντα κεχήναμεν, τὸν πλοῦτον

7. Ἑβρ. 11,13.
8. Ἑβρ. 11,14–16. 9. Ἑβρ. 11,10. 10. Β' Κορ. 4,18. | 11. Α' Κορ. 2,9.

κάριο Παῦλο, τὸν δάσκαλο τῆς οἰκουμένης, ποὺ γνώριζε μὲ τόση ἀκρίβεια ὅλα αὐτά, νὰ λέγει γι' αὐτόν, καὶ ὄχι μόνο γι' αὐτόν, ἀλλὰ καὶ γιὰ ὅλους τοὺς δικαίους. Γιατί, θέλοντας κάποτε νὰ μνημονεύσει τὸν κατάλογο τῶν δικαίων, ὅπως τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, λέγει· «ὅλοι αὐτοὶ πέθαναν μὲ πίστη, χωρὶς νὰ ἐπιτύχουν τὶς ὑποσχέσεις, ἀλλὰ τὶς εἶδαν ἀπὸ μακριὰ καὶ τὶς ἀποδέχθηκαν καὶ ὁμολόγησαν ὅτι εἶναι ξένοι καὶ περαστικοὶ ἀπὸ τὴ γῆ»[7].

10. Τί λές, μακάριε Παῦλε; δὲν ἐπέτυχαν τὶς ὑποσχέσεις; δὲν κατέκτησαν ὅλη τὴν Παλαιστίνη; δὲν ἔγιναν κύριοι τῆς γῆς; Ναί, λέγει· κατέκτησαν τὴν Παλαιστίνη καὶ ἔγιναν κύριοι τῆς γῆς, ἀλλὰ μὲ τοὺς ὀφθαλμοὺς τῆς πίστεως ἀλλοῦ εἶχαν προσηλωμένη τὴν ἐπιθυμία τους. Πρόσθεσε λοιπὸν καὶ εἶπε· «γιατὶ ἐκεῖνοι ποὺ λέγουν αὐτά, δείχνουν ὅτι ζητοῦν τὴν πατρίδα τους, καὶ ἂν εἶχαν στὴ σκέψη τους ἐκείνην ἀπὸ τὴν ὁποία ἔφυγαν, θὰ μποροῦσαν νὰ ἐπιστρέψουν σ' αὐτήν· τώρα ὅμως ἐπιθυμοῦν καλύτερη, δηλαδὴ τὴν ἐπουράνια»[8]. Εἶδες τὸν πόθο αὐτῶν; εἶδες τὴν ἐπιθυμία τους; εἶδες πῶς ἐνῶ ὁ Θεὸς παντοῦ ὑπόσχεται αἰσθητὰ καὶ ὁμιλεῖ γιὰ τὴ γῆ, αὐτοὶ ζητοῦσαν ἐκείνη τὴν πατρίδα καὶ λαχταροῦσαν ἐκείνη τὴν ἐπουράνια; Γι' αὐτὸ πρόσθεσε· «τῆς ὁποίας τεχνίτης καὶ δημιουργὸς εἶναι ὁ Θεός»[9]. Εἶδες πῶς ἐπιθυμοῦσαν τὰ πνευματικὰ καὶ σκέπτονταν ἐκεῖνα ποὺ δὲν βλέπονται μὲ τὰ σωματικὰ μάτια ἀλλὰ γίνονται κατανοητὰ μὲ τὴν πίστη;

11. Ἀλλ' ἐδῶ ἀνησυχία καταπλημμυρίζει τὴ σκέψη μου καὶ σύγχυση τὸ λογισμό μου, ὅταν σκεφθῶ ὅτι ἐμεῖς ἐνεργοῦμε ἐντελῶς ἀντίθετα μὲ ὅλους αὐτούς. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνοι, ἐνῶ εἶχαν λάβει ὑποσχέσεις γιὰ αἰσθητά, αὐτοὶ ἐπιθυμοῦσαν τὰ πνευματικά, ἔτσι ἐμεῖς, ἐνῶ δεχθήκαμε ὑπόσχεση γιὰ πνευματικά, εἴμαστε προσηλωμένοι στὰ αἰσθητὰ καὶ δὲν ἀκοῦμε τὸν μακάριο Παῦλο ποὺ λέγει· «τὰ βλεπόμενα εἶναι πρόσκαιρα, ἐνῶ τὰ μὴ βλεπόμενα αἰώνια»[10]. Καὶ πάλι ἀλλοῦ, γιὰ νὰ δείξει ὅτι τέτοια εἶναι ἐκεῖνα ποὺ ἔχουν ἑτοιμασθεῖ γιὰ ἐκείνους ποὺ ἀγαποῦν αὐτόν, λέγει· «ἐκεῖνα ποὺ μάτι δὲν τὰ εἶδε καὶ αὐτὶ δὲν τὰ ἄκουσε καὶ σὲ καρδιὰ ἀνθρώπου δὲν ἀνέβηκαν»[11]. Ἐμεῖς ὅμως καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ εἴμαστε ἀπορροφημένοι ἀπὸ τὰ παρόντα πράγματα, ἐννοῶ τὸν πλοῦτο καὶ τὴ δόξα τῆς παρούσας ζωῆς, τὴν τρυφή, τὶς τιμὲς

λέγω καὶ τὴν δόξαν τοῦ παρόντος βίου, τὴν τρυφήν, τὰς τιμὰς τὰς παρὰ τῶν ἀνθρώπων· ταῦτα γὰρ δοκεῖ εἶναι τὰ λαμπρὰ τοῦ παρόντος βίου. 'Δοκεῖ', εἶπον, ἐπειδὴ σκιᾶς καὶ ὀνειράτων οὐδὲν διενήνοχε.

12. Καὶ γὰρ ὁ πλοῦτος αὐτὸς οὐδὲ μέχρι τῆς ἑσπέρας πολλάκις παρέμεινε τοῖς αὐτὸν κατέχειν οἰομένοις, ἀλλὰ καθάπερ δραπέτης ἀγνώμων ἀπὸ τούτου πρὸς ἕτερον μεθίσταται, καὶ γυμνοὺς καὶ ἐρήμους ἀφίησι τοὺς μετὰ πολλῆς τῆς σπουδῆς αὐτὸν περιέποντας· ὅτι δὲ καὶ κινδύνοις πολλάκις περιέβαλεν ἀφορήτοις τοὺς πολλὴν περὶ αὐτὸν τὴν ἐπιθυμίαν ἔχοντας αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα διδάσκαλος ἅπασι καθέστηκε. Τοιοῦτόν τί ἐστι καὶ ἡ δόξα ἡ ἀνθρωπίνη· ὁ γὰρ σήμερον λαμπρὸς καὶ ἐπίσημος παρὰ πᾶσι φαινόμενος ἀθρόον ἄτιμος γίνεται καὶ πᾶσιν εὐκαταφρόνητος.

13. Τί οὖν τούτων γένοιτ' ἂν οὐδαμινέστερον, τῶν πρὶν ἢ φανῆναι λέγω ἀφιπταμένων, τῶν οὐδέποτε ἱσταμένων ἀλλ' οὕτω ταχέως παρατρεχόντων τοὺς περὶ ταῦτα ἐπτοημένους; Καθάπερ γὰρ τὸν τροχὸν οὐδέποτε ἔστιν ἰδεῖν ἐπὶ τοῦ αὐτοῦ τῆς ἄντυγος μένοντα μέρους ἀλλὰ διηνεκῶς στρεφόμενον καὶ ἄνω καὶ κάτω περιαγόμενον, οὕτω καὶ ἐπὶ τῶν πραγμάτων ἔστιν ἰδεῖν. Ὀξύρροπος γὰρ τῶν ἀνθρωπίνων πραγμάτων ἡ μεταβολὴ καὶ ταχεῖα ἡ μετάπτωσις καὶ οὐδὲν βέβαιον οὐδὲ ἀκίνητον ἔχουσα, ἀλλὰ πάντα εὐπερίτρεπτα καὶ πολλὴν ἔχοντα τὴν πρὸς τὸ ἐναντίον ῥοπήν. Τί οὖν ἂν εἴη τούτων καταγελαστότερον τῶν πρὸς τὰ παρόντα κεχηνότων μὲν καὶ προσηλωμένων, τῶν δὲ διηνεκῶς ὄντως καὶ ἀεὶ μενόντων ταῦτα προτιμότερα ἡγουμένων;

14. Διὰ τοῦτο καὶ ὁ προφήτης σφοδρὰν τὴν κατηγορίαν ποιούμενος τῶν περὶ ταῦτα ἐπτοημένων φησίν· «ὡς ἑστῶτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα». Ὅρα πῶς ἑνὶ ῥήματι παραστῆσαι αὐτῶν ἐβουλήθη τὴν οὐδένειαν, οὐκ εἶπεν ὡς 'παρερχόμενα', οὐκ εἶπεν 'ὡς μεταβαλλόμενα', οὐκ εἶπεν 'ὡς παρατρέχοντα', ἀλλὰ τί; «ὡς φεύγοντα», τὸ τάχος αὐτῶν ἐνδείξασθαι βουλόμενος καὶ τὴν πολ-

12. Ἀμὼς 6,5.

ἐκ μέρους τῶν ἀνθρώπων· γιατὶ αὐτὰ θεωροῦνται ὅτι εἶναι τὰ λαμπρὰ τῆς παρούσας ζωῆς. Εἶπα 'φαίνονται', ἐπειδὴ δὲν διαφέρουν καθόλου ἀπὸ τὴ σκιὰ καὶ τὰ ὀνείρατα.

12. Καὶ πράγματι ὁ πλοῦτος αὐτὸς πολλὲς φορὲς δὲν παρέμεινε οὔτε μέχρι τὴν ἑσπέρα σ' ἐκείνους ποὺ νομίζουν ὅτι τὸν κατέχουν, ἀλλὰ σὰν ἀκριβῶς ἀχάριστος δραπέτης μεταπηδᾶ ἀπὸ τὸν ἕνα στὸν ἄλλο, ἀφήνοντας γυμνοὺς καὶ ἔρημους ἐκείνους ποὺ μὲ μεγάλη μανία φροντίζουν γι' αὐτόν. Τὸ ὅτι πάλι πολλὲς φορὲς περιέβαλε μὲ ἀφόρητους κινδύνους ἐκείνους ποὺ ἔχουν μεγάλη ἐπιθυμία γι' αὐτὸν ἡ ἴδια ἡ πείρα τῶν πραγμάτων ἔγινε δάσκαλος σ' ὅλους. Κάτι παρόμοιο εἶναι καὶ ἡ ἀνθρώπινη δόξα· γιατὶ ἐκεῖνος ποὺ σήμερα θεωρεῖται ἀπὸ ὅλους λαμπρὸς καὶ περιβόητος, μέσα σὲ μιὰ στιγμὴ χάνει ὅλη τὴν τιμή του καὶ γίνεται περιφρονητὸς ἀπὸ ὅλους.

13. Τί λοιπὸν θὰ μποροῦσε νὰ ὑπάρξει εὐτελέστερο ἀπὸ ἐκεῖνα, ἐννοῶ ἀπὸ ἐκεῖνα ποὺ πρὶν καλὰ καλὰ φανοῦν φεύγουν καὶ χάνονται, ποὺ δὲν παραμένουν ποτὲ σταθερὰ ἀλλὰ τόσο γρήγορα ἐγκαταλείπουν ἐκείνους ποὺ εἶναι κυριευμένοι ἀπ' αὐτά; Ὅπως ἀκριβῶς δηλαδὴ τὸν τροχὸ δὲν εἶναι δυνατὸ νὰ τὸν δεῖ κανεὶς νὰ μένει στὸ ἴδιο μέρος τῆς τροχιᾶς του, ἀλλὰ στρέφεται συνεχῶς καὶ κινεῖται γύρω γύρω, τὸ ἴδιο εἶναι δυνατὸ νὰ δεῖ κανεὶς καὶ στὰ ἀνθρώπινα πράγματα. Γιατὶ εἶναι πολὺ γρήγορη ἡ μεταβολὴ τῶν ἀνθρώπινων πραγμάτων καὶ ταχεία ἡ μετάπτωση ἀπὸ τὴ μιὰ κατάσταση στὴν ἄλλη, μὴ ἔχοντας τίποτε τὸ σταθερὸ καὶ ἀκίνητο, ἀλλ' ὅλα εἶναι εὐκολομετάβλητα καὶ πολὺ γρήγορα μεταπηδοῦν στὴν ἀντίθετη κατάσταση. Τί θὰ μποροῦσε λοιπὸν νὰ ὑπάρξει πιὸ καταγέλαστο ἀπὸ ἐκείνους ποὺ ἀπορροφῶνται ἀπὸ τὰ πράγματα τῆς παρούσας ζωῆς καὶ προσηλώνονται σ' αὐτὰ καὶ θεωροῦν αὐτὰ προτιμότερα ἀπὸ ἐκεῖνα ποὺ εἶναι διαρκῆ καὶ μένουν πάντοτε;

14. Γι' αὐτὸ καὶ ὁ προφήτης, κατηγορώντας πάρα πολὺ αὐστηρὰ ἐκείνους ποὺ προσηλώνονται σ' αὐτά, λέγει· «τὰ θεώρησαν σὰν μόνιμα καὶ ὄχι σὰν περαστικά»[12]. Πρόσεχε πῶς, θέλοντας μὲ ἕνα λόγο νὰ παραστήσει τὴ μηδαμινότητα αὐτῶν, δὲν εἶπε 'σὰν παρερχόμενα' ἀλλὰ τί; «σὰν φεύγοντα», θέλοντας νὰ δείξει τὴν ταχύτητα τῆς ἐξαφανίσεώς τους καὶ τὴ μεγάλη καὶ ξαφνικὴ μεταβολὴ

λὴν καὶ ἀθρόαν μεταβολὴν καὶ παιδεῦσαι ἡμᾶς μηδέποτε προστετηκέναι τοῖς ὁρωμένοις ἀλλ' ἐκείνοις μόνοις πεποιθέναι καὶ θαρρεῖν οἷς ἂν ὁ Θεὸς ἐπαγγέλληται.

15. Κἂν γὰρ μυρία κωλύματα ἐν τῷ μέσῳ γένηται, οὐχ οἷόν τέ ποτε διαπεσεῖν τὰ παρὰ τοῦ Θεοῦ ἐπαγγελθέντα. Ὥσπερ γὰρ αὐτὸς ἄτρεπτος τυγχάνει καὶ ἀναλλοίωτος καὶ ἀεὶ μένων καὶ διηνεκῶς, οὕτω καὶ αἱ ἐπαγγελίαι αὐτοῦ ἀδιάπτωτοι καὶ ἀκίνητοι τυγχάνουσι, πλὴν εἰ μήπου παρὰ ἔργον κωλυθῶσιν ἐλθεῖν. Ἐπὶ δὲ τῶν ἀνθρωπίνων πραγμάτων τὸ ἐναντίον συμβαίνει. Καθάπερ γὰρ φθαρτὴ καὶ ἐπίκηρός ἐστιν ἡ τῶν ἀνθρώπων φύσις, οὕτω καὶ αἱ παρὰ τῶν ἀνθρώπων εἰσὶ δωρεαὶ φθαρταὶ καὶ μαραινόμεναι. Καὶ εἰκότως· ἐπεὶ γὰρ φθαρτοὶ καὶ ἡμεῖς πάντες ἄνθρωποι καὶ τῶν ἀνθρωπίνων δωρεῶν ἡ φύσις τὴν ἡμετέραν φύσιν μιμεῖται. Ἐπὶ δὲ τῶν τοῦ Θεοῦ ἐπαγγελιῶν οὐδὲν ἔστι τοιοῦτον ὑποπτεῦσαί ποτε, ἀλλὰ τὰ ἐπαγγελθέντα ἐκεῖνα μόνα τὸ βέβαιον ἔχει καὶ ἀκίνητον καὶ πάγιον καὶ στερεόν.

16. Διό, παρακαλῶ, ἐκεῖνα ζητῶμεν τὰ ἀεὶ μένοντα καὶ μεταβολὴν οὐκ ἐπιδεχόμενα. Διὰ γὰρ τοῦτο ἐπίτηδες καὶ τὸν λόγον τοῦτον εἰς μέσον παρήγαγον, ἵνα κοινὴν πρὸς ἅπαντας ποιήσωμαι τὴν παραίνεσιν καὶ πρὸς τοὺς πάλαι μεμυημένους καὶ πρὸς τοὺς πρόσφατον τῆς τοῦ βαπτίσματος δωρεᾶς ἀξιωθέντας. Ἐπειδὴ τοίνυν ἐν ταῖς παρελθούσαις ἡμέραις παρὰ τοὺς τάφους τῶν ἁγίων μαρτύρων συνεχῶς παραγινόμενοι πολλὴν ἐκεῖθεν τὴν εὐλογίαν ἐκαρπωσάμεθα καὶ δαψιλοῦς ἀπελαύσαμεν τῆς διδασκαλίας, μέλλει δὲ λοιπὸν ἡ τῶν συνάξεων συνέχεια διακόπτεσθαι, ἀναγκαίως ὑπομιμνήσκω τὴν ὑμετέραν ἀγάπην ὥστε ἔναυλον ἔχειν τῆς τοσαύτης διδασκαλίας τὴν μνήμην καὶ τῶν βιωτικῶν ἁπάντων προτιμότερα ποιεῖσθαι τὰ πνευματικά.

17. Καὶ μετὰ πολλῆς τῆς σπουδῆς καὶ τὰς ὑπὸ τὸν ὄρθρον εὐχὰς καὶ ἐξομολογήσεις ἐνταῦθα παραγινομένους ἀποδιδόναι τῷ τῶν ὅλων Θεῷ καὶ εὐχαριστεῖν ὑπὲρ τῶν ἤδη παρασχεθέντων καὶ παρακαλεῖν πολλῆς ἀξιωθῆναι τῆς συμμαχίας πρὸς τὴν εἰς τὸ ἑξῆς φυλακήν· καὶ οὕτω μετὰ τὴν ἐντεῦθεν ἔξοδον μετὰ πάσης εὐλα-

καὶ νὰ μᾶς διδάξει νὰ μὴ προσκολλόμαστε ποτὲ στὰ ὁρατὰ πράγματα, ἀλλὰ νὰ στηρίζομε τὴν πεποίθηση καὶ τὴν ἐμπιστοσύνη μας σ' ἐκεῖνα μόνο ποὺ ὑπόσχεται ὁ Θεός.

15. Γιατί, κι ἂν ἀκόμη παρεμβληθοῦν ἀνάμεσά τους ἀμέτρητα ἐμπόδια, δὲν εἶναι ποτὲ δυνατὸ νὰ διαψευσθοῦν ἐκεῖνα ποὺ ὑποσχέθηκε ὁ Θεός. Ὅπως δηλαδὴ αὐτὸς εἶναι ἀμετάβλητος καὶ ἀναλλοίωτος καὶ μένει πάντοτε καὶ διαρκῶς, ἔτσι καὶ οἱ ὑποσχέσεις του εἶναι ἀμετάπτωτες καὶ ἀμετακίνητες, ἐκτὸς ἂν παρεμβληθοῦν ἐμπόδια γιὰ τὴν πραγματοποίησή τους. Στὴν περίπτωση ὅμως τῶν ἀνθρώπινων πραγμάτων συμβαίνει τὸ ἀντίθετο. Γιατί, ὅπως ἀκριβῶς εἶναι φθαρτὴ καὶ πρόσκαιρη ἡ ἀνθρώπινη φύση, ἔτσι καὶ οἱ ἀνθρώπινες δωρεὲς εἶναι φθαρτὲς καὶ μαραινόμενες. Καὶ πολὺ σωστά· γιατί, ἐφόσον ὅλοι ἐμεῖς οἱ ἄνθρωποι εἴμαστε φθαρτοὶ καὶ ἡ φύση τῶν ἀνθρώπινων δωρεῶν μιμεῖται τὴν δική μας φύση. Στὴν περίπτωση ὅμως τῶν ὑποσχέσεων τοῦ Θεοῦ δὲν εἶναι δυνατὸ νὰ σκεφθεῖ ποτὲ κανεὶς κάτι τέτοιο, ἀλλ' οἱ ὑποσχέσεις του ἐκεῖνες μόνο ἔχουν τὸ βέβαιο καὶ ἀμετακίνητο καὶ σταθερὸ καὶ στερεό.

Γι' αὐτό, παρακαλῶ, ἐκεῖνα νὰ ἐπιδιώκομε ποὺ μένουν πάντοτε καὶ δὲν ἐπιδέχονται μεταβολή. Γι' αὐτὸ ἐπίτηδες σᾶς τὰ εἶπα ὅλα αὐτὰ γιὰ νὰ δώσω τὴν ἴδια συμβουλὴ πρὸς ὅλους σας καὶ πρὸς ἐκείνους ποὺ βαπτίσθηκαν ἀπὸ παλιὰ καὶ πρὸς αὐτοὺς ποὺ ἀξιώθηκαν νὰ λάβουν πρόσφατα τὴ δωρεὰ τοῦ βαπτίσματος. Ἐπειδὴ λοιπὸν κατὰ τὶς προηγούμενες ἡμέρες προσερχόμενοι συνεχῶς στοὺς τάφους τῶν ἁγίων μαρτύρων καρπωθήκαμε ἀπὸ ἐκεῖ μεγάλη τὴν εὐλογία καὶ ἀπολαύσαμε πλούσια τὴ διδασκαλία, ἀλλὰ πρόκειται νὰ διακοπεῖ τώρα ἡ συνέχεια τῶν συνάξεων, κατ' ἀνάγκη τὰ ὑπενθυμίζω στὴν ἀγάπη σας, ὥστε νὰ ἔχετε ζωηρὰ ἐντυπωμένη στὴ μνήμη σας τὴ διδασκαλία αὐτὴ τὴν τόσο σπουδαία καὶ νὰ θεωρεῖτε τὰ πνευματικὰ προτιμότερα ἀπὸ ὅλα τὰ κοσμικὰ πράγματα.

17. Ἐπίσης νὰ ἔρχεσθε ἐδῶ μὲ μεγάλη προθυμία καὶ νὰ ἀναπέμπετε ἐδῶ πρὸς τὸ Θεὸ τῶν ὅλων τὶς πρωινὲς προσευχές σας καὶ τὶς ἐξομολογήσεις, νὰ τὸν εὐχαριστεῖτε γιὰ τὰ ἀγαθὰ ποὺ ἤδη σᾶς χάρισε καὶ νὰ τὸν παρακαλεῖτε ν' ἀξιωθεῖτε νὰ λάβετε μεγάλη βοήθεια γιὰ τὴ διαφύλαξη αὐτῶν στὴ συνέχεια, καὶ ἔτσι μετὰ τὴν

βείας τῶν προσηκόντων ἕκαστον ἅπτεσθαι πραγμάτων. Καὶ ὁ μὲν πρὸς τὴν ἀπὸ τῶν χειρῶν ἐργασίαν ἐπειγέσθω, ὁ δὲ εἰς τὸν τῆς στρατείας κατάλογον σπευδέτω, ἕτερος περὶ τὰ πολιτικὰ πράγματα· ἕκαστος μέντοι μετὰ φόβου καὶ ἀγωνίας τοῖς πράγμασι προσίτω καὶ τὸν τῆς ἡμέρας καιρὸν οὕτω διανυέτω ὡς ὀφείλων περὶ τὸν τῆς ἑσπέρας καιρὸν πάλιν ἐνταῦθα παραγενέσθαι καὶ τῆς ἡμέρας ἁπάσης τὸν λόγον ἀποδοῦναι τῷ Δεσπότῃ καὶ συγγνώμην αἰτῆσαι περὶ τῶν ἐπταισμένων. Οὐδὲ γὰρ οἷόν τε κἂν μυριάκις ἀσφαλισώμεθα μὴ πολλοῖς καὶ διαφόροις σφάλμασιν ὑπευθύνους ἡμᾶς καταστῆσαι· ἢ γὰρ ἀκαίρως τι ἐφθεγξάμεθα, ἢ ματαίαν ἀκοὴν παραδεξάμεθα, ἢ λογισμὸν ἀπρεπῆ κατὰ τὴν διάνοιαν ἐκινήσαμεν, ἢ προπετῶς εἴδομεν, ἢ μάτην καὶ εἰκῇ τὸν καιρὸν ἀναλώσαμεν καὶ εἰς οὐδὲν δέον.

18. Καὶ διὰ τοῦτο προσήκει ἡμᾶς καθ' ἑκάστην ἑσπέραν ὑπὲρ τούτων ἁπάντων τὴν συγγνώμην αἰτεῖν παρὰ τοῦ Δεσπότου καὶ ἐπὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καταφεύγειν καὶ παρακαλεῖν. Καὶ τῆς νυκτὸς τὸν καιρὸν μετὰ νήψεως ἡμᾶς διαγαγόντας, οὕτω πάλιν ἐπὶ τὴν ὑπὸ τὸν ὄρθρον ἐξομολόγησιν ἀπαντᾶν, ἵν' οὕτως ἕκαστος ἡμῶν τὸν ἑαυτοῦ βίον οἰκονομῶν, καὶ τοῦ παρόντος βίου τὸ πέλαγος ἀκινδύνως διαδραμεῖν δυνηθῇ καὶ τῆς παρὰ τοῦ Δεσπότου φιλανθρωπίας ἀξιωθῆναι. Καὶ ἐπειδὰν καιρὸς συνάξεως καλῇ, πάντων προτιμάσθω τὰ πνευματικὰ καὶ ἡ ἐνταῦθα συνέλευσις, ἵνα καὶ τὰ ἐν χερσὶν ἡμῖν μετὰ ἀσφαλείας οἰκονομῆται.

19. Ἐὰν γὰρ ταῦτα ἡμῖν ᾖ προηγούμενα, ἐν ἐκείνοις οὐδένα ἕξομεν πόνον, τοῦ φιλανθρώπου Θεοῦ πολλὴν ἡμῖν τὴν εὐμάρειαν ἐν αὐτοῖς παρέχοντος· ἐὰν δὲ τῶν πνευματικῶν ἀμελοῦντες περὶ ἐκεῖνα μόνα σπουδάζωμεν καὶ τῆς ψυχῆς οὐδένα ποιούμενοι λόγον περὶ τὰ βιωτικὰ διηνεκῶς στρεφώμεθα, καὶ τούτων ὑπομενοῦμεν τὴν ζημίαν καὶ ἐν ἐκείνοις οὐδὲν πλέον ἕξομεν. Μὴ τοίνυν ἀντιστρέφωμεν τὴν τάξιν, παρακαλῶ, ἀλλ', εἰδότες τοῦ Δεσπότου τοῦ ἡμετέρου τὴν ἀγαθότητα, αὐτῷ πάντα παραχωρῶμεν καὶ μὴ κατατείνωμεν ἑαυτοὺς ταῖς βιωτικαῖς φροντίσιν. Ὁ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παραγαγὼν διὰ τὴν οἰκείαν φιλανθρωπίαν, πολλῷ μᾶλλον τὴν λοιπὴν ἅπασαν ἡμῖν παρέξει πρόνοιαν· «οἶδε»,

ἀναχώρησή σας ἀπὸ ἐδῶ νὰ ἀρχίζετε ὁ καθένας τὴν ἐργασία σας μὲ κάθε εὐλάβεια. Ὁ ἕνας ἂς πηγαίνει στὴ χειρονακτικὴ ἐργασία του, ὁ ἄλλος ἂς πηγαίνει στὴ στρατιωτικὴ ὑπηρεσία του, καὶ ὁ ἄλλος στὶς πολιτικές του ἀσχολίες, ἀλλ' ὁ καθένας μὲ φόβο καὶ ἀγωνία νὰ ἀρχίζει τὴν ἐργασία του καὶ ἂς διανύει ἔτσι τὸν καιρὸ τῆς ἡμέρας, σὰν νὰ ὀφείλει κατὰ τὴν ἑσπερινὴ ὥρα πάλι νὰ ἔρθει ἐδῶ καὶ ν' ἀποδώσει λόγο στὸν Κύριο καὶ νὰ ζητήσει συγγνώμη γιὰ τὰ πταίσματά του. Γιατὶ δὲν εἶναι δυνατό, κι ἂν ἀκόμη λάβομε ἄπειρα ἀσφαλιστικὰ μέτρα, νὰ μὴ κάμομε πολλὰ καὶ διάφορα σφάλματα· ἢ δηλαδὴ θὰ ποῦμε κάτι τὸ ἀπρεπές, ἢ θ' ἀκούσομε λόγια ἀνόητα, ἢ θὰ κάνομε ἀπρεπεῖς σκέψεις στὸ νοῦ μας, ἢ θὰ δοῦμε ἀπρεπῆ θεάματα, ἢ θὰ ξοδέψομε τὸν καιρό μας ἄσκοπα καὶ στὰ χαμένα καὶ σὲ τίποτε τὸ ὠφέλιμο.

18. Καὶ γι' αὐτὸ πρέπει κάθε ἑσπέρα νὰ ζητοῦμε συγγνώμη γιὰ ὅλα αὐτὰ ἀπὸ τὸν Κύριο, νὰ καταφεύγομε στὴ φιλανθρωπία τοῦ Θεοῦ καὶ νὰ τὸν παρακαλοῦμε. Καὶ ἀφοῦ περάσομε τὴ νύχτα μὲ πολλὴ νηφαλιότητα, ἔτσι πάλι νὰ καταφεύγομε τὸ πρωὶ σὲ ἐξομολόγηση, ὥστε ρυθμίζοντας ὁ καθένας μας ἔτσι τὴ ζωή του, καὶ νὰ μπορέσομε νὰ περάσομε ἀκίνδυνα τὸ πέλαγος τῆς παρούσας ζωῆς καὶ ν' ἀξιωθοῦμε τῆς φιλανθρωπίας τοῦ Κυρίου. Καὶ ὅταν μᾶς καλεῖ ἡ ὥρα τῆς συνάξεως, νὰ προτιμοῦμε ἀπὸ ὅλα τὰ ἄλλα τὰ πνευματικὰ καὶ τὴν ἐδῶ σύναξή μας, γιὰ νὰ τακτοποιοῦνται μὲ ἀσφάλεια τὰ ὅσα ἔχομε ἀποκτήσει.

19. Ἐὰν λοιπὸν δίνομε προτεραιότητα σ' αὐτά, δὲν θὰ κοπιάσομε καθόλου γιὰ ἐκεῖνα, γιατὶ ὁ φιλάνθρωπος Θεὸς θὰ μᾶς προσφέρει μὲ μεγάλη ἀφθονία αὐτά· ἂν ὅμως, παραμελώντας τὰ πνευματικά, φροντίζομε μόνο γιὰ ἐκεῖνα καί, μὴ φροντίζοντας καθόλου γιὰ τὴν ψυχή μας, στρεφόμαστε διαρκῶς γύρω ἀπὸ τὰ κοσμικὰ πράγματα, καὶ θὰ ὑποστοῦμε τὴ ζημιὰ αὐτῶν καὶ ἀπὸ ἐκεῖνα δὲν θὰ ἔχομε κανένα κέρδος. Ἂς μὴ ἀντιστρέφομε, παρακαλῶ, τὴν τάξη τῶν πραγμάτων, ἀλλά, γνωρίζοντας τοῦ Κυρίου μας τὴν ἀγαθότητα, ἂς τὰ ἀναθέτομε ὅλα σ' αὐτὸν καὶ ἂς μὴ δένομε τόσο σφιχτὰ τὸν ἑαυτό μας μὲ τὶς κοσμικὲς φροντίδες. Γιατί, ἐκεῖνος ποὺ μᾶς ἔφερε στὴ ζωὴ ἀπὸ τὸ μηδὲν ἐξ αἰτίας τῆς φιλανθρωπίας του, πολὺ περισσότερο θὰ μᾶς προσφέρει ὅλη τὴν ἄλλη πρόνοιά του·

γάρ, φησίν, «ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν».

20. Διά τοι τοῦτο βούλεται ἡμᾶς πάσης τοιαύτης ἀπηλλάχθαι φροντίδος καὶ περὶ τὰ πνευματικὰ ἅπασαν ἔχειν τὴν σχολήν. Ζήτει γὰρ σύ, φησί, τὰ πνευματικὰ κἀγώ σοι μετὰ δαψιλείας παρέξω πάντα τὰ σωματικά. Ἐντεῦθεν καὶ οἱ δίκαιοι πάντες εὐδοκίμησαν. Ἀπὸ γὰρ τῆς τούτων ἀρετῆς καὶ ὁ λόγος ἡμῖν οὗτος εἰς μέσον ἤχθη· ἐλέγομεν γὰρ ὅτι αἰσθητῶν ἐπαγγελίαν ἐκεῖνοι δεξάμενοι πραγμάτων τὰ νοητὰ ἐπεζήτουν, ἡμεῖς δὲ ἀπεναντίας ἐκείνοις πράττομεν καὶ νοητῶν ἐπαγγελίαν ἔχοντες περὶ τὰ αἰσθητὰ κεχήναμεν.

21. Διά τοι τοῦτο, παρακαλῶ, κἂν νῦν γοῦν ἡμεῖς οἱ ἐν τῇ χάριτι, ἐκείνους μιμησώμεθα τοὺς οἴκοθεν καὶ πρὸ τοῦ νόμου ἀπὸ τῆς ἐν τῇ φύσει κειμένης διδασκαλίας πρὸς τοσοῦτον ἀρετῆς ὕψος φθάσαι δυνηθέντας, καὶ πᾶσαν τὴν σπουδὴν μεταθῶμεν ἐπὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν καὶ ἐναλλάξωμεν ἡμῶν τὰς φροντίδας καὶ καταμερίσωμεν τὴν μέριμναν καὶ τῆς μὲν ψυχῆς αὐτοὶ τὴν ἐπιμέλειαν ἀναδεξώμεθα, ἐπειδὴ τοῦτό ἐστι τὸ κυριώτερον ἐν ἡμῖν· τοῦ δὲ σώματος ἅπασαν τὴν φροντίδα καὶ τὴν μέριμναν τῷ κοινῷ πάντων Δεσπότῃ παραχωρῶμεν.

22. Καὶ τοῦτο γὰρ τῆς αὐτοῦ σοφίας καὶ τῆς ἀφάτου φιλανθρωπίας τεκμήριον μέγιστον ὅτι τοῦ μείζονος ἐν ἡμῖν, τῆς ψυχῆς λέγω, τὴν ἐπιμέλειαν ἡμῖν ἐνεχείρισε διδάσκων ἡμᾶς δι' αὐτῶν τῶν πραγμάτων ὅτι αὐτεξουσίους ἡμᾶς εἰργάσατο καὶ ἐφ' ἡμῖν εἶναι κατέλιπε καὶ τῇ γνώμῃ τῇ ἡμετέρᾳ καὶ τὸ τὴν ἀρετὴν ἑλέσθαι καὶ τὸ πρὸς τὴν κακίαν αὐτομολῆσαι· τῶν δὲ σωματικῶν ἁπάντων αὐτὸς ὑπέσχετο τὴν πρόνοιαν παρέξειν, ἐντρέψαι βουλόμενος καὶ διὰ τούτου τὴν ἀνθρωπείαν φύσιν ὥστε μὴ τῇ οἰκείᾳ πεποιθέναι δυνάμει μηδὲ νομίζειν δύνασθαί τι συνεισφέρειν πρὸς τὴν τοῦ παρόντος βίου σύστασιν.

23. Διὰ δὴ τοῦτο ἡμᾶς τοὺς λόγῳ τετιμημένους καὶ τοσαύτης ἀξιωθέντας προσεδρείας ἐπὶ τὴν τῶν ἀλόγων μίμησιν παρορμᾷ καί φησιν· «ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ ὅτι οὐ σπείρουσιν

γιατὶ λέγει, «γνωρίζει ὁ οὐράνιος Πατέρας σας ὅτι ἔχετε ἀνάγκη ἀπὸ ὅλα αὐτὰ προτοῦ τοῦ τὰ ζητήσετε»[13].

20. Γι' αὐτὸ λοιπὸν θέλει ν' ἀπαλλαχθοῦμε ἀπὸ κάθε τέτοια φροντίδα καὶ νὰ ἔχομε στραμμένη ὅλη τὴ φροντίδα μας στὰ πνευματικά. Γιατί, λέγει, ζήτα σὺ τὰ πνευματικὰ καὶ ἐγὼ θὰ σοῦ δώσω μὲ ἀφθονία ὅλα τὰ ὑλικά. Μ' αὐτὸ τὸν τρόπο εὐδοκίμησαν καὶ ὅλοι οἱ δίκαιοι. Γιατὶ ἀφορμὴ γιὰ τὸ λόγο μας αὐτὸ ὑπῆρξε ἡ ἀρετὴ αὐτῶν· λέγαμε δηλαδὴ ὅτι ἐκεῖνοι, ἂν καὶ ἔλαβαν ὑπόσχεση γιὰ ὑλικὰ πράγματα, ἐπιζητοῦσαν τὰ πνευματικά, ἐνῶ ἐμεῖς ἐνεργοῦμε ἀντίθετα μὲ ἐκείνους καὶ μολονότι ἐλάβαμε ὑπόσχεση γιὰ πνευματικά, προσηλωνόμαστε στὰ ὑλικὰ πράγματα.

21. Γι' αὐτὸ λοιπόν, παρακαλῶ, ἐμεῖς ποὺ ζοῦμε μέσα στὴ χάρη, ἂς μιμηθοῦμε ἐκείνους ποὺ μόνοι τους καὶ πρὶν ἀπὸ τὸ νόμο μπόρεσαν νὰ φθάσουν σὲ τόσο μεγάλο ὕψος ἀρετῆς ὁδηγούμενοι ἀπὸ τὴ διδασκαλία τῆς φύσεως, καὶ ἂς μεταφέρομε ὅλη τὴ φροντίδα μας στὴ φροντίδα τῆς ψυχῆς, ἀνταλλάσσοντας τὶς φροντίδες μας καὶ διαμοιράζοντας τὴ μέριμνά μας, ὥστε ἐμεῖς ν' ἀναλάβομε τὴ φροντίδα τῆς ψυχῆς, ἐπειδὴ αὐτὸ εἶναι τὸ κυριότερο μέρος μας, ἐνῶ ὅλη τὴ φροντίδα τοῦ σώματος καὶ τὴ μέριμνα ἂς τὴν ἀφήνομε στὸν κοινὸ Κύριο ὅλων μας.

22. Γιατὶ κι' αὐτὸ εἶναι μέγιστη ἀπόδειξη τῆς σοφίας αὐτοῦ καὶ τῆς ἀπερίγραπτης φιλανθρωπίας του, ὅτι δηλαδὴ τὴ φροντίδα τοῦ σπουδαιότερου μέρους μας τὴν ἐμπιστεύθηκε σ' ἐμᾶς, διδάσκοντάς μας μὲ τὰ ἴδια τὰ πράγματα ὅτι μᾶς ἔκαμε αὐτεξούσιους καὶ ἄφησε σ' ἐμᾶς καὶ στὴ θέλησή μας καὶ νὰ προτιμήσομε τὴν ἀρετὴ καὶ προσφύγομε πρὸς τὴν κακία, ἐνῶ ὅλα τὰ σωματικὰ ὑποσχέθηκε ὅτι θ' ἀποτελοῦν δική του φροντίδα, θέλοντας καὶ μ' αὐτὸ νὰ διδάξει τὴν ἀνθρώπινη φύση νὰ μὴ στηρίζει τὴν πεποίθησή της στὴ δική της δύναμη οὔτε νὰ νομίζει ὅτι μπορεῖ νὰ συνεισφέρει κάτι στὴν ὅλη συγκρότηση τῆς παρούσας ζωῆς.

23. Γι' αὐτὸ λοιπὸν ἐμᾶς, ποὺ ἔχομε τιμηθεῖ μὲ τὸ λογικὸ καὶ ἀξιωθήκαμε τόσης φροντίδας ἐκ μέρους του, μᾶς προτρέπει νὰ μιμηθοῦμε τὰ ἄλογα ζῶα καὶ λέγει· «κοιτᾶξτε τὰ πτηνὰ τοῦ οὐρανοῦ, ποὺ οὔτε σπέρνουν οὔτε θερίζουν οὔτε συγκεντρώνουν στὶς ἀποθῆκες τους, καὶ ὁ Πατέρας σας ὁ οὐράνιος τρέφει αὐτά»[14], καὶ εἶ-

13. Ματθ. 6,32. 14. Ματθ. 6,26.

οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀποθήκας καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά», ὡσεὶ ἔλεγεν· εἰ τῶν ἀλόγων τῶν πετεινῶν τοσαύτην ποιοῦμαι φροντίδα ὡς ἄσπαρτα καὶ ἀνήροτα αὐτοῖς ἅπαντα παρέχειν, πολλῷ μᾶλλον ὑμῶν τῶν λογικῶν πλείονα ποιήσομαι τὴν ἐπιμέλειαν, εἰ τὰ πνευματικὰ τῶν σαρκικῶν προτιμῆσαι ἕλοισθε. Εἰ γὰρ καὶ ταῦτα δι' ὑμᾶς παρήγαγον καὶ τὴν κτίσιν ἅπασαν, ἐγὼ δὲ καὶ τούτων τοσαύτην ποιοῦμαι τὴν πρόνοιαν, πόσης οὐκ ἂν ὑμᾶς ἀξιώσω τῆς κηδεμονίας δι' οὓς καὶ ταῦτα ἅπαντα παρήχθη;

24. Θαρρῶμεν τοίνυν, παρακαλῶ, τῇ τοῦ Θεοῦ ὑποσχέσει καὶ ὅλην ἡμῶν τὴν διάνοιαν τείνωμεν περὶ τὸν τῶν πνευματικῶν πόθον καὶ δεύτερα πάντα ἡγώμεθα τῆς τῶν μελλόντων ἀπολαύσεως, ἵνα καὶ τῶν παρόντων μετὰ δαψιλείας ἐπιτύχωμεν καὶ τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἀξιωθῆναι δυνηθῶμεν καὶ τῆς ἐν τῇ γεέννῃ τιμωρίας ἐλευθερωθῆναι. Μή μοι πάλιν εἰς ῥαθυμίαν καὶ ἀνοήτους διατριβὰς καὶ εἰς διεφθαρμένους συλλόγους καὶ εἰς συμπόσια καὶ μέθην καθημερινὴν ἅπας τῆς ἡμέρας ὁ καιρὸς καταναλισκέσθω, μὴ τὰ καλῶς συλλεγέντα διὰ τῆς μετὰ ταῦτα ἀμελείας διαρρυῆναι ποιήσωμεν, ἀλλὰ μετὰ ἀσφαλείας κατέχωμεν τὰ δωρηθέντα ἡμῖν ἅπαντα παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας.

25. Καὶ μάλιστα ὑμεῖς οἱ νεωστὶ τὸν Χριστὸν ἐνδυσάμενοι καὶ τοῦ Πνεύματος τὴν ἐπιφοίτησιν ὑποδεξάμενοι, καθ' ἑκάστην ἡμέραν, παρακαλῶ, ὑμῶν περισκοπεῖτε τοῦ ἐνδύματος τὴν φαιδρότητα ὥστε μηδαμοῦ σπίλον ἢ ῥυτίδα δέξασθαι μὴ διὰ λόγων ἀκαίρων, μὴ δι' ἀκοῆς ματαίας, μὴ διὰ λογισμῶν πονηρῶν, μὴ δι' ὀφθαλμῶν ἁπλῶς καὶ εἰκῇ τοῖς προστυγχάνουσιν ἐπιπηδώντων. Πανταχόθεν τοίνυν ἑαυτοὺς ἅπαντας τειχίζωμεν τῇ διηνεκεῖ μνήμῃ τῆς φοβερᾶς ἐκείνης ἡμέρας, ἵνα, ἐν φαιδρότητι διαμείναντες καὶ τὸ τῆς ἀφθαρσίας ἔνδυμα ἄσπιλον καὶ ἀκηλίδωτον διαφυλάξαντες, τῶν ἀπορρήτων ἐκείνων ἀξιωθῶμεν δωρεῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ναι σὰν νὰ ἔλεγε· 'ἂν δείχνω τόση φροντίδα γιὰ τὰ ἄλογα πτηνά, ὥστε νὰ δίνω σ' αὐτὰ ὅλα τὰ ἀναγκαῖα χωρὶς αὐτὰ νὰ ὀργώνουν καὶ νὰ σπέρνουν, πολὺ περισσότερο θὰ δείξω μεγαλύτερη φροντίδα γιὰ σᾶς τὰ λογικὰ πλάσματα, ἂν θελήσετε νὰ προτιμήσετε τὰ πνευματικὰ ἀπὸ τὰ ὑλικά. Γιατί, ἂν καὶ αὐτὰ τὰ δημιούργησα γιὰ σᾶς καθὼς καὶ ὅλη τὴν κτίση, καὶ φροντίζω τόσο πολὺ γι' αὐτά, πόσης φροντίδας δὲν θὰ κρίνω ἄξιους ἐσᾶς γιὰ τοὺς ὁποίους καὶ δημιουργήθηκαν ὅλα αὐτά;

24. Ἂς ἔχομε λοιπόν, παρακαλῶ, ἐμπιστοσύνη στὴν ὑπόσχεση τοῦ Θεοῦ καὶ ἂς συγκεντρώνομε ὅλη τὴ σκέψη μας στὸν πόθο τῶν πνευματικῶν, θεωρώντας δευτερεύοντα ὅλα μπροστὰ στὴν ἀπόλαυση τῶν μελλοντικῶν, ὥστε καὶ τὰ παρόντα νὰ ἐπιτύχομε μὲ ἀφθονία καὶ νὰ μπορέσομε ν' ἀξιωθοῦμε ν' ἀπολαύσομε τὰ ἀγαθὰ ἐκεῖνα ποὺ μᾶς ὑποσχέθηκε καὶ ν' ἀποφύγομε τὴν τιμωρία τῆς γέεννας. Ἂς μὴ ξοδεύομε λοιπὸν πάλι ὅλο τὸν καιρὸ τῆς ἡμέρας στὴν ἀδιαφορία, σὲ ἀνώφελες ἀπασχολήσεις, σὲ ἁμαρτωλὲς συγκεντρώσεις, σὲ φαγοπότια καὶ καθημερινὴ μέθη, γιὰ νὰ μὴ διασκορπίσομε μὲ τὴν ἀδιαφορία μας στὴ συνέχεια ἐκεῖνα ποὺ συγκεντρώσαμε καλῶς, ἀλλὰ ἂς φυλᾶμε μὲ ἀσφάλεια ὅλα ἐκεῖνα ποὺ μᾶς δωρήθηκαν ἀπὸ τὴ φιλανθρωπία τοῦ Θεοῦ.

25. Καὶ προπάντων σεῖς ποὺ πρὶν ἀπὸ λίγο ντυθήκατε τὸ Χριστὸ καὶ δεχθήκατε τὴν ἐπιφοίτηση τοῦ Πνεύματος, καθημερινά, παρακαλῶ, νὰ προσέχετε τὴ λαμπρότητα τοῦ ἐνδύματός σας, ὥστε νὰ μὴ δεχθεῖ κανένα στίγμα ἢ κηλίδα οὔτε ἀπὸ λόγους ἀπρεπεῖς, οὔτε ἀπὸ ἀκούσματα βλαβερά, οὔτε ἀπὸ πονηροὺς λογισμούς, οὔτε ἀπὸ τοὺς ὀφθαλμοὺς ποὺ πέφτουν ἐντελῶς ἀπερίσκεπτα στὰ θεάματα ποὺ συναντοῦν. Ἀπὸ παντοῦ λοιπὸν ἂς περιφρουροῦμε τὸν ἑαυτό μας μὲ τὴ συνεχῆ μνήμη τῆς φοβερῆς ἐκείνης ἡμέρας, ὥστε, παραμένοντας λαμπροὶ καὶ διατηρώντας ἄσπιλο καὶ ἀκηλίδωτο τὸ ἔνδυμα τῆς ἀφθαρσίας, ν' ἀξιωθοῦμε ν' ἀπολαύσομε τὶς ἀπόρρητες ἐκεῖνες δωρεές, τὶς ὁποῖες εὔχομαι ὅλοι μας νὰ ἐπιτύχομε μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΚΑΤΗΧΗΣΙΣ Θ'

ΠΡΟΣ ΤΟΥΣ ΜΕΛΛΟΝΤΑΣ ΦΩΤΙΖΕΣΘΑΙ

Καὶ διὰ τί λουτρὸ παλιγγενεσίας καὶ οὐκ ἀφέσεως ἁμαρτημάτων λέγεται, καὶ ὅτι ἐπικίνδυνον οὐ τὸ ἐπιορκεῖν μόνον, ἀλλὰ καὶ τὸ ὀμνύειν, κἂν εὐορκῶμεν

1. Ὡς ποθεινὸς καὶ ἐπέραστος τῶν νέων ἡμῖν ἀδελφῶν ὁ χορός· ἀδελφοὺς γὰρ ὑμᾶς ἐγὼ καὶ πρὸ τῶν ὠδίνων ἤδη καλῶ καὶ πρὸ τοῦ τόκου τὴν συγγένειαν τὴν πρὸς ὑμᾶς ἀσπάζομαι. Οἶδα γάρ, οἶδα σαφῶς εἰς ὅσην μὲν ἄγεσθαι μέλλετε τιμήν, εἰς ὅσην δὲ ἀρχήν· τοὺς δὲ ἀρχὴν μέλλοντας λαμβάνειν καὶ πρὸ τῆς ἀρχῆς εἰώθασι τιμᾶν ἅπαντες, διὰ τῆς θεραπείας εὔνοιαν ἑαυτοῖς προαποτιθέμενοι πρὸς τὸ μέλλον. Τοῦτο δὲ καὶ αὐτὸς ποιῶ νῦν· οὐ γὰρ εἰς ἀρχὴν ἄγεσθαι μέλλετε ψιλήν, ἀλλ' εἰς βασιλείαν αὐτήν· μᾶλλον δὲ οὐκ εἰς βασιλείαν ἁπλῶς, ἀλλ' εἰς αὐτὴν τῶν οὐρανῶν τὴν βασιλείαν. Διὰ τοῦτο ὑμῶν δέομαι καὶ ἀντιβολῶ, ἵνα μνησθῆτέ μου, ὅταν ἔλθητε εἰς βασιλείαν ἐκείνην, καὶ ὅπερ ὁ Ἰωσὴφ ἔλεγε πρὸς τὸν ἀρχιοινοχόον, «μνήσθητί μου, ὅταν εὖ σοι γένηται», τοῦτο κἀγὼ λέγω πρὸς ὑμᾶς ἄρτι, «μνήσθητέ μου ὅταν εὖ ὑμῖν γένηται»· οὐκ ἐνυπνίων ταύτην ἀπαιτῶ τὴν ἀμοιβὴν καθάπερ ἐκεῖνος· οὐ γὰρ ὀνείρατα ἦλθον διαλῦσαι ὑμῖν, ἀλλὰ τὰ ἐν τοῖς οὐρανοῖς διηγησόμενος πράγματα, καὶ εὐαγγέλια κομίζων ἀγαθῶν τοιούτων, «οἷα οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη»· τοιαῦτά ἐστιν «ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν».

1. Γεν. 40,14.
2. Α' Κορ. 2,9.



ΚΑΤΗΧΗΣΗ ΕΝΑΤΗ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΕΠΡΟΚΕΙΤΟ ΝΑ ΒΑΠΤΙΣΘΟΥΝ

Καὶ γιατί λέγεται λουτρὸ παλιγγενεσίας καὶ ὄχι ἀφέσεως ἁμαρτημάτων. Ἐπίσης ὅτι εἶναι ἐπικίνδυνο ὄχι μόνο νὰ ἐπιορκοῦμε ἀλλὰ καὶ νὰ ὁρκιζόμαστε, ἔστω καὶ ἂν τηροῦμε τοὺς ὅρκους

1. Πόσο ποθητὸς καὶ ἀξιαγάπητος εἶναι ὁ χορὸς τῶν νέων ἀδελφῶν μας· γιατὶ ἐγὼ σᾶς ὀνομάζω ἀδελφοὺς καὶ πρὶν ἀπὸ τοὺς πόνους τοῦ τοκετοῦ καὶ πρὶν ἀπο τὴ γέννησή σας χαιρετίζω μὲ χαρὰ τὴ συγγένειά μας πρὸς ἐσᾶς. Γιατὶ γνωρίζω, γνωρίζω πολὺ καλὰ πόση τιμὴ πρόκειται νὰ λάβετε καὶ πόση ἐξουσία· ἐκείνους ποὺ πρόκειται νὰ λάβουν ἐξουσία συνηθίζεται νὰ τοὺς τιμοῦν ὅλοι προτοῦ λάβουν τὴν ἐξουσία, ἐπιδιώκοντας μὲ τὶς τιμὲς αὐτὲς νὰ ἐξασφαλίσουν μελλοντικὰ τὴν εὔνοια αὐτῶν. Αὐτὸ κάμνω καὶ ἐγὼ τώρα· γιατὶ δὲν πρόκειται νὰ ὁδηγηθεῖτε σὲ μιὰ ἁπλῆ ἐξουσία, ἀλλὰ στὴν ἴδια τὴ βασιλεία· ἢ καλύτερα ὄχι ἁπλῶς στὴ βασιλεία, ἀλλὰ στὴν ἴδια τὴν οὐράνια βασιλεία. Γι' αὐτὸ σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω νὰ μὲ θυμηθεῖτε ὅταν θὰ πᾶτε στὴ βασιλεία ἐκείνη, καὶ ἐκεῖνο ποὺ ἔλεγε ὁ Ἰωσὴφ στὸν ἀρχιοινοχόο, «νὰ μὲ θυμηθεῖς ὅταν θὰ ξαναευτυχήσεις»[1], αὐτὸ λέγω καὶ ἐγὼ τώρα πρὸς ἐσᾶς, «θυμηθεῖτε με ὅταν θὰ βρεθεῖτε σ' αὐτὴν τὴν εὐτυχῆ κατάσταση». Δὲν ζητῶ αὐτὴν τὴν ἀμοιβὴ ἔναντι ὀνείρων, ὅπως ἐκεῖνος· γιατὶ δὲν ἦρθα νὰ ἐξηγήσω ὄνειρά σας ἀλλὰ νὰ σᾶς διηγηθῶ τὰ οὐράνια πράγματα, κομίζοντάς σας εὐαγγέλια τέτοιων ἀγαθῶν, «τὰ ὁποῖα οὔτε μάτι ἀνθρώπου εἶδε, οὔτε αὐτὶ ἄκουσε, οὔτε σὲ καρδιὰ ἀνθρώπου ἀνέβηκαν»· αὐτὰ εἶναι ἐκεῖνα «ποὺ ἑτοίμασε ὁ Θεὸς γιὰ ἐκείνους ποὺ τὸν ἀγαποῦν»[2].

2. Ὁ μὲν οὖν Ἰωσὴφ ἔλεγε πρὸς τὸν οἰνοχόον· «ἔτι τρεῖς ἡμέραι, καὶ ἀποκαταστήσει σε Φαραὼ εἰς τὴν ἀρχιοινοχοΐαν σου», ἐγὼ δὲ οὐ λέγω, 'ἔτι τρεῖς ἡμέραι, καὶ εἰς οἰνοχοΐαν ἐνεχθήσεσθε τυράννου', ἀλλ' 'ἔτι τριάκοντα ἡμέραι, καὶ ἀποκαταστήσει ὑμᾶς' οὐχὶ Φαραώ, 'ἀλλ' ὁ τῶν οὐρανῶν βασιλεὺς εἰς τὴν ἄνω πατρίδα, εἰς τὴν ἐλευθέραν Ἰερουσαλήμ, εἰς τὴν πόλιν τὴν ἐν τοῖς οὐρανοῖς'. Κἀκεῖνος μὲν ἔλεγεν, ὅτι «δώσεις τὸ ποτήριον εἰς χεῖρας τοῦ Φαραώ», ἐγὼ δὲ οὐ λέγω, 'ὅτι δώσετε τὸ ποτήριον εἰς χεῖρας τοῦ βασιλέως', ἀλλ' ὅτι αὐτὸς ὁ βασιλεὺς εἰς χεῖρα τὴν ὑμετέραν δώσει τὸ ποτήριον τὸ φρικτὸν καὶ πολλῆς γέμον δυνάμεως καὶ τῆς κτίσεως τιμιώτερον ἑκατέρας. Ἴσασιν οἱ μεμυημένοι τοῦ ποτηρίου τούτου τὴν ἰσχύν, εἴσεσθε δὲ καὶ ὑμεῖς μικρὸν ὕστερον. Μνήσθητε οὖν, ὅταν ἔλθητε εἰς τὴν βασιλείαν ἐκείνην, ὅταν τὸ ἱμάτιον τὸ βασιλικὸν ἀπολάβητε, ὅταν τὴν πορφύραν περιβάλησθε τὴν αἵματι βαφεῖσαν δεσποτικῷ, ὅταν διάδημα ἀναδήσησθε τῶν ἡλιακῶν ἀκτίνων φαιδροτέρας ἔχον πανταχόθεν ἐκπηδώσας λαμπηδόνας.

3. Τοιαῦτα γὰρ τοῦ νυμφίου τὰ ἕδνα, μείζονα μὲν τῆς ἡμετέρας ἀξίας, ἄξια δὲ τῆς αὐτοῦ φιλανθρωπίας· διὰ ταῦτα ὑμᾶς ἐντεῦθεν ἤδη καὶ πρὸ τῶν ἱερῶν ἐκείνων μακαρίζω παστάδων· οὐ μακαρίζω δὲ μόνον, ἀλλὰ καὶ ἐπαινῶ τὴν εὐγνωμοσύνην, ὅτι μὴ καθάπερ οἱ ῥᾳθυμότεροι τῶν ἀνθρώπων, ἐν ἐσχάταις ἀναπνοαῖς τῷ φωτίσματι προσήλθετε, ἀλλ' ἐντεῦθεν ἤδη καθάπερ οἰκέται εὐγνώμονες, μετὰ πολλῆς εὐνοίας ὑπακοῦσαι Δεσπότῃ παρεσκευασμένοι, τὸν αὐχένα τῆς ψυχῆς μετὰ πολλῆς ἐπιεικείας τε καὶ προθυμίας ὑπὸ τὴν ζεύγλην ἠγάγετε τοῦ Χριστοῦ, καὶ τὸν ζυγὸν ἐδέξασθε τὸν χρηστόν, καὶ τὸ φορτίον ἐλάβετε τὸ ἐλαφρόν. Εἰ γὰρ καὶ τὰ τῆς χάριτος ἴσα ὑμῖν καὶ τοῖς ἐν τῇ τελευτῇ μυσταγωγουμένοις, ἀλλὰ τὰ τῆς προαιρέσεως οὐκ ἴσα, οὐδὲ τὰ τῆς παρασκευῆς τῶν πραγμάτων. Ἐκεῖνοι μὲν γὰρ ἐν τῇ κλίνῃ λαμβάνουσιν, ὑμεῖς δὲ ἐν τοῖς κόλποις τῆς Ἐκκλησίας τῆς κοινῆς ἁπάντων ἡμῶν μητρός· κἀκεῖνοι μὲν ὀδυρόμενοι καὶ δακρύοντες, ὑμεῖς δὲ χαίροντες καὶ εὐφραινόμενοι· ἐκεῖνοι στένοντες, ὑμεῖς δὲ εὐχαριστοῦντες· κἀκεῖνοι

---

3. Γεν. 40,12.

2. Ὁ Ἰωσὴφ λοιπὸν ἔλεγε στὸν ἀρχιοινοχόο· «ἀκόμη τρεῖς ἡμέρες καὶ θὰ σὲ ἀποκαταστήσει ὁ Φαραὼ στὴν ἀρχιοινοχοΐα σου[3], ἐγὼ ὅμως δὲν λέγω 'ἀκόμη τρεῖς ἡμέρες καὶ θὰ ὁδηγηθεῖτε στὴν ὑπηρεσία τῆς οἰνοχοΐας τυράννου', ἀλλὰ 'ἀκόμη τριάντα ἡμέρες καὶ θὰ σᾶς ἀποκαταστήσει', ὄχι ὁ Φαραώ, 'ἀλλ' ὁ βασιλιὰς τῶν οὐρανῶν στὴν οὐράνια πατρίδα, στὴν ἐλεύθερη Ἰερουσαλήμ, στὴν πόλη τὴν οὐράνια'. Καὶ ἐκεῖνος βέβαια ἔλεγε, «θὰ προσφέρεις τὸ ποτήρι στὰ χέρια τοῦ Φαραώ»[3], ἐνῶ ἐγὼ δὲν λέγω 'ὅτι θὰ προσφέρετε τὸ ποτήρι στὰ χέρια τοῦ βασιλιᾶ', ἀλλ' ὅτι ὁ ἴδιος ὁ βασιλιὰς θὰ δώσει στὰ χέρια σας τὸ φρικτὸ ποτήρι, τὸ γεμάτο ἀπὸ πολλὴ δύναμη καὶ πολυτιμότερο καὶ ἀπὸ τὶς δύο κτίσεις (οὐράνια καὶ ἐπίγεια). Γνωρίζουν οἱ μυημένοι τὴ δύναμη αὐτοῦ τοῦ ποτηριοῦ, καὶ θὰ τὸ γνωρίσετε καὶ σεῖς μετὰ ἀπὸ λίγο. Νὰ μὲ θυμηθεῖτε λοιπὸν ὅταν ἔρθετε στὴ βασιλεία ἐκείνη, ὅταν λάβετε τὸ βασιλικὸ ἔνδυμα, ὅταν φορέσετε τὸ βασιλικὸ ἔνδυμα ποὺ βάφτηκε μὲ δεσποτικὸ αἷμα, ὅταν φορέσετε τὸ βασιλικὸ στέμμα στὸ κεφάλι σας ἀπὸ τὸ ὁποῖο ἐκπέμπονται ἀπὸ παντοῦ ἀκτινοβολίες λαμπρότερες ἀπὸ τὶς ἡλιακὲς ἀκτίνες.

3. Γιατὶ τέτοια εἶναι τὰ δῶρα τοῦ νυμφίου, μεγαλύτερα ἀπὸ τὴ δική μας ἀξία, καὶ ἄξια τῆς φιλανθρωπίας αὐτοῦ· γι' αὐτὰ ἤδη ἀπὸ τώρα καὶ πρὶν ἀπὸ τὴν εἴσοδό σας στοὺς νυφικοὺς ἐκείνους θαλάμους σᾶς μακαρίζω, καὶ δὲν σᾶς μακαρίζω μόνο, ἀλλὰ καὶ ἐπαινῶ τὴν εὐγνωμοσύνη σας, γιατὶ δὲν προσήλθατε στὸ βάπτισμα κατὰ τὶς τελευταῖες στιγμὲς τῆς ζωῆς σας, ὅπως ἀκριβῶς οἱ πιὸ ἀδιάφοροι ἀπὸ τοὺς ἀνθρώπους, ἀλλ' ἀπὸ τώρα ἤδη, σὰν ἀκριβῶς εὐγνώμονες δοῦλοι, ἕτοιμοι νὰ ὑπακούσετε μὲ πολλὴ ἀγάπη στὸν Κύριο, θέσατε τὸν αὐχένα τῆς ψυχῆς σας μὲ πολλὴ ἀνεκτικότητα καὶ προθυμία κάτω ἀπὸ τὴ ζεύγλα τοῦ Χριστοῦ, δεχθήκαμε τὸν καλὸ ζυγὸ καὶ ἀναλάβατε νὰ σηκώσετε τὸ ἐλαφρὸ φορτίο. Γιατί, ἂν καὶ τὰ δῶρα τῆς χάριτος εἶναι τὰ ἴδια σὲ σᾶς καὶ σὲ ἐκείνους ποὺ δέχονται τὸ βάπτισμα ἐνῶ εἶναι ἑτοιμοθάνατοι, ἀλλὰ δὲν εἶναι ἴσα τὰ τῆς προαιρέσεως, οὔτε ἡ προετοιμασία τῶν πραγμάτων. Γιατὶ ἐκεῖνοι παίρνουν τὸ βάπτισμα στὸ κρεββάτι τους, ἐνῶ σεῖς μέσα στοὺς κόλπους τῆς Ἐκκλησίας τῆς κοινῆς μητέρας ὅλων· καὶ ἐκεῖνοι βέβαια μὲ ὀδυρμοὺς καὶ δάκρυα, ἐνῶ σεῖς γεμάτοι χαρὰ καὶ εὐ-

πολλῷ κεκαρωμένοι τῷ πυρετῷ, ὑμεῖς δὲ πολλῆς ἐμπεπλησμένοι τῆς πνευματικῆς ἡδονῆς. Ὅθεν ἐνταῦθα μὲν ἅπαντα σύμφωνα τῇ δωρεᾷ, ἐκεῖ δὲ πάντα ἐναντία τῇ δωρεᾷ. Καὶ γὰρ θρῆνος καὶ ὀδυρμὸς πολὺς μυσταγωγουμένων, καὶ παιδία περιίσταται κλαίοντα, καὶ γυνὴ τὰς παρειὰς καταξαίνουσα, καὶ φίλοι κατηφεῖς, καὶ οἰκέται δακρύων γέμοντες, ὅλον τὸ τῆς οἰκίας σχῆμα χειμερινήν τινα καὶ ζοφώδη μιμεῖται ἡμέραν. Ἐὰν δὲ αὐτὴν τοῦ κατακειμένου τὴν καρδίαν ἀναπτύξῃς, σκυθρωποτέραν τούτων εὑρήσεις. Καθάπερ γὰρ ἄνεμοι μετὰ πολλῆς τῆς ρύμης ἐξεναντίας ἀλλήλοις ἐμβάλλοντες εἰς πολλὰ τὸ πέλαγος διατέμνουσι μέρη, οὕτω καὶ οἱ λογισμοὶ τῶν τότε κατεχόντων δεινῶν εἰς τὴν τοῦ κάμνοντος ἐμπίπτοντες ψυχήν, εἰς πολλὰς τὴν ἐκείνου διάνοιαν σχίζουσι φροντίδας. Ὅταν εἰς τὰ παιδία ἀπίδῃ, τὴν ὀρφανίαν αὐτῶν ἐννοεῖ· ὅταν πρὸς τὴν γυναῖκα ἀποβλέψῃ, τὴν χηρείαν λογίζεται· ὅταν ἴδῃ τοὺς οἰκέτας, τὴν ἐρημίαν ἁπάσης σκοπεῖ τῆς οἰκίας· ὅταν πρὸς ἑαυτὸν ἐπανέλθῃ, τῆς παρούσης ἑαυτὸν ἀναμιμνήσκει ζωῆς, καὶ ἀπορρήγνυσθαι μέλλων, πολὺ δέχεται τῆς ἀθυμίας τὸ νέφος. Τοιαυτη ἡ τοῦ μέλλοντος μυσταγωγεῖσθαι ψυχή.

4. Εἶτα μεταξὺ τῶν θορύβων καὶ τῆς ταραχῆς αὐτῆς, ἐπεισέρχεται ὁ ἱερεὺς αὐτοῦ τοῦ πυρετοῦ φοβερώτερος ὤν, καὶ τοῦ θανάτου τοῖς τοῦ κάμνοντος προσήκουσιν ἀπηνέστερος· τῆς γὰρ τοῦ ἰατροῦ φωνῆς τῆς ἀπογινωσκούσης τὴν ζωὴν τὴν ἐκείνου, μείζων ἀπόγνωσις εἶναι νομίζεται ἡ τοῦ πρεσβυτέρου εἴσοδος καὶ θανάτου σύμβολον εἶναι δοκεῖ τῆς αἰωνίου ζωῆς ἡ ὑπόθεσις. Ἀλλ᾽ οὔπω τὸν κολοφῶνα ἐπέθηκα τῶν κακῶν· μεταξὺ γὰρ θορυβούντων ἐπιτηδείων καὶ παρασκευαζομένων, πολλάκις ἔρημον ἀφεῖσα τὸ σῶμα ἀπεπήδησεν ἡ ψυχή, πολλοὺς δὲ καὶ παροῦσα οὐδὲν ὤνησεν. Ὅταν γὰρ μήτε τοὺς παρόντας ἐπιγινώσκῃ, μήτε φωνῆς ἀκούῃ, μήτε ἀποκρίνασθαι δύνηται τὰ ρήματα ἐκεῖνα, δι᾽ ὧν τὴν μακαρίαν συνθήκην πρὸς τὸν κοινὸν ἡμῶν ἁπάντων καταθήσεται Δεσπότην, ἀλλ᾽ ὥσπερ ξύλον ἀργὸν ἢ λίθος, ὁ φωτίζεσθαι μέλλων

φροσύνη· ἐκεῖνοι μὲ στεναγμούς, ἐνῶ σεῖς μὲ εὐχαρίστηση· ἐκεῖνοι ναρκωμένοι ἀπὸ τὸν πολὺ πυρετό, ἐνῶ σεῖς γεμάτοι ἀπὸ μεγάλη πνευματικὴ ἡδονή. Γι' αὐτὸ ἐδῶ ὅλα εἶναι σύμφωνα μὲ τὴ δωρεά. Γιατὶ τὴν ὥρα ποὺ δέχονται τὸ βάπτισμα ὑπάρχει καὶ πολὺς θρῆνος καὶ ὀδυρμός, καὶ τὰ παιδιὰ παραβρίσκονται ἐκεῖ καὶ κλαῖνε, καὶ ἡ γυναίκα καταξεσχίζει τὸ πρόσωπό της, καὶ οἱ φίλοι εἶναι καταλυπημένοι, καὶ οἱ δοῦλοι γεμάτοι ἀπὸ δάκρυα, καὶ ὅλη ἡ ὄψη τοῦ σπιτιοῦ μοιάζει μὲ κάποια χειμερινὴ καὶ σκοτεινὴ ἡμέρα. Καὶ ἂν ἀνοίξεις τὴν καρδιὰ τοῦ ἑτοιμοθάνατου θὰ τὴν βρεῖς πιὸ σκυθρωπὴ κι ἀπ' ὅλα αὐτά. Γιατί, ὅπως ἀκριβῶς ὅταν πνέουν ἄνεμοι μὲ μεγάλη ὁρμὴ καὶ μὲ ἀντίθετη μεταξύ τους κατεύθυνση, διαχωρίζουν σὲ πολλὰ μέρη τὸ πέλαγος, ἔτσι καὶ οἱ λογισμοὶ τῶν κακῶν ποὺ τοὺς κατέχουν, πέφτοντας μὲ ὁρμὴ στὴν ψυχὴ τοῦ ἀσθενοῦς, διασχίζουν σὲ πολλὲς φροντίδες τὴ σκέψη ἐκείνου. Ὅταν κοιτάξει τὰ παιδιά, σκέφτεται τὴν ὀρφάνια αὐτῶν· ὅταν ἀποβλέψει πρὸς τὴ γυναίκα του, ἀναλογίζεται τὴ χηρεία της· ὅταν κοιτάξει τοὺς δούλους, σκέπτεται τὴν ἐρήμωση ὅλης τῆς οἰκίας· ὅταν ἐπανέλθει στὸν ἑαυτό του, θυμᾶται την παρούσα ζωὴ καὶ ἐπειδὴ πρόκειται νὰ τὴν ἀποχωρισθεῖ, τὸν σκεπάζει μεγάλο σύννεφο λύπης. Τέτοια εἶναι ἡ ψυχὴ ἐκείνου ποὺ πρόκειται νὰ βαπτισθεῖ.

4. Στὴ συνέχεια καὶ μέσα στοὺς θορύβους καὶ τὴν ταραχὴ αὐτή, μπαίνει μέσα ὁ ἱερεὺς ὄντας φοβερότερος καὶ ἀπὸ τὸν ἴδιο τὸν πυρετὸ καὶ πιὸ σκληρὸς ἀπὸ τὸν θάνατο στοὺς συγγενεῖς αὐτοῦ· γιατὶ θεωρεῖται ὅτι εἶναι μεγαλύτερη ἀπελπισία ἡ εἴσοδος τοῦ πρεσβυτέρου, ἀπὸ τὰ λόγια τοῦ γιατροῦ ποὺ σκόρπισαν τὴν ἀπελπισία γιὰ τὴ ζωὴ ἐκείνου, καὶ θεωρεῖται ὅτι εἶναι σύμβολο τοῦ θανάτου ἡ ὑπόθεση τῆς αἰώνιας ζωῆς. Ἀλλὰ δὲν πρόσθεσα ἀκόμη τὸ ἀποκορύφωμα τῶν κακῶν· γιατὶ πολλὲς φορὲς ἡ ψυχή, μέσα στοὺς θορύβους τῶν ἐπιτηδείων καὶ ἐκείνων ποὺ κάμνουν τὶς προετοιμασίες, ἔφυγε καὶ ἄφησε ἔρημο τὸ σῶμα, ἐνῶ σὲ πολλοὺς καὶ ἐνῶ εἶναι παρούσα σὲ τίποτε δὲν τοὺς ὠφέλησε. «Γιατί, ὅταν οὔτε τοὺς παρόντες ἀναγνωρίζει, οὔτε φωνὴ ἀκούει, οὔτε μπορεῖ νὰ πεῖ τὰ λόγια ἐκεῖνα, μὲ τὰ ὁποῖα θὰ συνάψει τὴ μακάρια ἐκείνη συνθήκη μὲ τὸν κοινὸ Κύριο ὅλων μας, ἀλλὰ σὰν ἀκριβῶς ξύλο ἄχρηστο ἢ λίθος βρίσκεται ἐκεῖ ξαπλωμένος μὴ διαφέροντας καθόλου ἀπὸ

πρόκειται νεκροῦ μηδὲν διαφέρων, τί τῆς μυσταγωγίας ὄφελος ἐν ἀναισθησίᾳ τοσαύτῃ;

5. Τὸ γὰρ τοῖς ἱεροῖς τούτοις καὶ φρικτοῖς μέλλοντα προσιέναι μυστηρίοις ἐγρηγορέναι χρὴ καὶ διεγηγέρθαι, πάσης βιωτικῆς φροντίδος εἶναι καθαρόν, πολλῆς γέμειν σωφροσύνης, πολλῆς προθυμίας, πάντα τὸν μυστηρίων ἀλλότριον λογισμὸν ἐξορίζειν τῆς διανοίας, καὶ πάντοθεν καθαρὸν παρασκευάζειν τὸν οἶκον, ὥσπερ αὐτὸν ὑποδέχεσθαι μέλλονα τὸν βασιλέα. Τοιαύτη τῆς ὑμετέας διανοίας ἡ παρασκευή, τοιοῦτοι παρ' ὑμῖν οἱ λογισμοί, τοιαύτη τῆς ψυχῆς ἡ προαίρεσις. Τὴν μὲν οὖν ἀξίαν ἀμοιβὴν τῆς ἀρίστης ταύτης γνώμης ἀναμένετε παρὰ τοῦ Θεοῦ, τοῦ ταῖς ἀντιδόσεσι νικῶντος τοὺς τὴν ὑπακοὴν ἐπιδεικυμένους τὴν πρὸς αὐτόν. Ἐπειδὴ δὲ χρὴ καὶ τοῖς συνδούλοις τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν, καὶ τὰ παρ' ἡμῶν εἰσοίσομεν, μᾶλλον δὲ οὐδὲ ταῦτα ἡμέτερα, ἀλλὰ καὶ ταῦτα δεσποτικά. «Τί γὰρ ἔχεις», φησίν, «ὃ οὐκ ἔλαβες; Εἰ δὲ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;». Ἐβουλόμην μὲν πρῶτον ἁπάντων εἰπεῖν, τί δή ποτε παραδραμόντες ἡμῶν οἱ πατέρες ἅπαντα τὸν ἐνιαυτόν, ἐν τούτῳ τῷ καιρῷ μυσταγωγεῖσθαι τὰ τέκνα τῆς Ἐκκλησίας ἐνομοθέτησαν, καὶ τίνος ἕνεκεν μετὰ τὴν παρ' ἡμῶν διδασκαλίαν ὑπολύσαντες ὑμᾶς καὶ ἀποδύσαντες, γυμνοὺς καὶ ἀνυποδέτους μετὰ τοῦ χιτωνίσκου μόνου πρὸς τὰς τῶν ἐξορκιζόντων παραπέμπουσι φωνάς. Οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ καὶ τὸ σχῆμα καὶ τὸν καιρὸν ἐκεῖνοι τοῦτον ἡμῖν διετύπωσαν, ἀλλ' ἔχει ταῦτα ἀμφότερα μυστικόν τινα λόγον καὶ ἀπόρρητον. Καὶ τοῦτο ὑμῖν ἐβουλόμην εἰπεῖν· ὁρῶ δὲ ὅτι πρὸς ἕτερον ἀναγκαιότερον ἡμᾶς κατεπείγει νῦν ὁ λόγος. Ἀνάγκη γὰρ εἰπεῖν τί ποτέ ἐστι τὸ βάπτισμα καὶ τίνος ἕνεκεν εἰς τὸν βίον εἰσῆλθε τὸν ἡμέτερον καὶ πόσα κομίζει ἡμῖν τὰ ἀγαθά· ἀλλ', εἰ βούλεσθε, πρότερον περὶ τῆς προσηγορίας τοῦ μυστικοῦ τούτου καθαρμοῦ διαλεχθῶμεν.

6. Οὐ γάρ ἐστιν ἓν αὐτῷ ὄνομα, ἀλλὰ πολλὰ καὶ παντοδαπά· τὸ γὰρ καθάρσιον τοῦτο καλεῖται 'λουτρὸν παλιγγενεσίας'· «ἔσωσε γὰρ ἡμᾶς», φησί, «διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινίσεως Πνεύματος ἁγίου». Καλεῖται καὶ 'φώτισμα', καὶ τοῦτο Παῦλος

4. Α' Κορ. 4,7. 5. Τιτ. 3,5.

νεκρὸ ἐκεῖνος ποὺ πρόκειται νὰ βαπτισθεῖ, ποιά ἡ ὠφέλεια ἀπὸ τὴ μυσταγωγία τὴ στιγμὴ ποὺ βρίσκεται σὲ τόση ἀναισθησία;

5. Γιατὶ ἐκεῖνος ποὺ πρόκειται νὰ προσέλθει στὰ ἱερὰ αὐτὰ καὶ φρικτὰ μυστήρια πρέπει νὰ βρίσκεται σὲ ἐγρήγορση καὶ διέγερση, νὰ εἶναι καθαρὸς ἀπὸ κάθε βιωτικὴ φροντίδα, νὰ εἶναι γεμάτος ἀπὸ πολλὴ σωφροσύνη, πολλὴ προθυμία, νὰ ἀπομακρύνει ἀπὸ τὴ σκέψη του κάθε ξένο λογισμὸ πρὸς τὰ μυστήρια, καὶ ἀπὸ παντοῦ νὰ προετοιμάζει καθαρὸ τὸν οἶκο του, σὰν ἀκριβῶς νὰ πρόκειται νὰ ὑποδεχθεῖ τὸν βασιλιά. Τέτοια πρέπει νὰ εἶναι ἡ προετοιμασία τῆς σκέψεώς σας, τέτοιοι οἱ λογισμοί σας, τέτοια ἡ προαίρεση τῆς ψυχῆς σας . Τὴν ἄξια ἀμοιβὴ λοιπὸν τῆς ἄριστης αὐτῆς διαθέσεως περιμένετε νὰ τὴν πάρετε ἀπὸ τὸ Θεό, ποὺ μὲ τὶς ἀνταποδόσεις του ξεπερνᾶ κατὰ πολὺ ἐκείνους ποὺ δείχνουν ὑπακοὴ σ' αὐτόν. Ἐπειδὴ ὅμως πρέπει καὶ οἱ σύνδουλοι νὰ προσφέρουν ὅσα ἐξαρτῶνται ἀπ' αὐτούς, θὰ προσφέρομε καὶ τὰ δικά μας, ἢ καλύτερα ὄχι τὰ δικά μας, ἀλλὰ καὶ αὐτὰ εἶναι τοῦ Κυρίου. Γιατὶ λέγει, «τί ἔχεις ποὺ δὲν τὸ ἔλαβες;»[4]. Θὰ ἤθελα πρὶν ἀπὸ ὅλα νὰ πῶ, γιατὶ ἄραγε οἱ πατέρες μας, παρατρέχοντας ὅλο τὸ χρόνο, νομοθέτησαν κατ' αὐτὴν τὴν ὥρα νὰ βαπτίζονται τὰ τέκνα τῆς Ἐκκλησίας, καὶ γιὰ ποιό λόγο μετὰ τὴ διδασκαλία μας καὶ ἀφοῦ σᾶς ἀφαιρεθοῦν τὰ ὑποδήματα καὶ τὰ ἐνδύματα, παραπέμπεσθε γυμνοὶ καὶ ἀνυπόδετοι καὶ μόνο μὲ τὸ χιτωνίσκο πρὸς τὶς φωνὲς τῶν ἐξορκιστῶν. Γιατὶ δὲν ὅρισαν ἐκεῖνοι ἔτσι ἁπλὰ καὶ στὴν τύχη τὸν τρόπο αὐτὸ καὶ τὸν καιρό, ἀλλ' ἔχουν αὐτὰ καὶ τὰ δύο κάποιο λόγο μυστικὸ καὶ ἀπόρρητο. Ἤθελα κι αὐτὸ νὰ σᾶς τὸ πῶ· βλέπω ὅμως τώρα ὅτι ὁ λόγος μᾶς ὁδηγεῖ σὲ κάποιο ἄλλο πιὸ ἀναγκαῖο. Γιατὶ πρέπει νὰ ποῦμε τί τέλος πάντων εἶναι τὸ βάπτισμα καὶ γιὰ ποιό λόγο μπῆκε στὴ ζωή μας καὶ πόσα ἀγαθὰ μᾶς προσφέρει· ἀλλά, ἂν θέλετε, ἂς μιλήσομε πρῶτα γιὰ τὴν ὀνομασία αὐτοῦ τοῦ μυστικοῦ καθαρμοῦ.

6. Πράγματι αὐτὸ δὲν ἔχει μόνο ἕνα ὄνομα, ἀλλὰ πολλὰ καὶ διάφορα· τὸ καθάρσιο δηλαδὴ αὐτὸ ὀνμάζεται 'λουτρὸ παλιγγενεσίας'· γιατὶ λέγει, «μᾶς ἔσωσε μὲ τὸ λουτρὸ τῆς παλιγγενεσίας καὶ τῆς ἀνακαινίσεως τοῦ ἁγίου Πνεύματος»[5]. Καλεῖται καὶ 'φώτισμα', ὀνομάζοντας καὶ πάλι αὐτὸ ἔτσι ὁ Παῦλος· γιατὶ λέγει, «νὰ θυμᾶσθε τὶς περασμένες ἡμέρες, κατὰ τὶς ὁποῖες ἀφοῦ βαπτισθήκατε, ὑπο-

αὐτὸ πάλιν ἐκάλεσεν· «ἀναμιμνήσκεσθε γὰρ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων»· καὶ πάλιν, «ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας καὶ γευσαμένους τῆς δωρεᾶς τῆς ἐπουρανίου καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν». Καλεῖται καὶ 'βάπτισμα'· «ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε». Καλεῖται 'ταφή'· «συνετάφητε γὰρ αὐτῷ», φησί, «διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον». Καλεῖται 'περιτομή'· «ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ὑπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός». Καλεῖται 'σταυρός'· ὁ παλαιὸς γὰρ ἄνθρωπος ἡμῶν συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας». Ἔστι καὶ ἕτερα πλείονα τούτων εἰπεῖν ὀνόματα, ἀλλ' ἵνα μὴ τὸν καιρὸν ἅπαντα εἰς τὰς προσηγορίας τοῦ χαρίσματος ἀναλώσωμεν, φέρε ἐπὶ τὴν πρότερον προσηγορίαν ἐλθόντες καὶ ταύτης τὴν σημασίαν εἰπόντες καταπαύσωμεν τὸν λόγον· τέως δὲ ἀνωτέρω μικρὸν τὴν διδασκαλίαν ἑλκύσωμεν.

7. Ἔστι τὸ κοινὸν ἁπάντων ἀνθρώπων λουτρὸν τὸ διὰ τῶν βαλανείων, ὃ τὸν τοῦ σώματος ἀποσμήχειν εἴωθε ῥύπον· ἔστι δὲ καὶ λουτρὸν ἰουδαϊκόν, ἐκείνου μὲν σεμνότερον, τοῦ δὲ τῆς χάριτος πολὺ κατώτερον· καὶ αὐτὸ μὲν γὰρ σωματικὸν ἀποσμήχει ῥύπον, ἀλλ' οὐχ ἁπλῶς σωματικόν, ἀλλὰ καὶ συνειδότος ἁπτόμενον ἀσθενοῦς. Ἔστι γὰρ πολλὰ τῶν πραγμάτων, ἃ φύσει μὲν οὐκ ἔστιν ἀκάθαρτα, ἀπὸ δὲ τῆς ἀσθενείας τοῦ συνειδότος ἀκάθαρτα γίνεται. Καὶ καθάπερ ἐπὶ τῶν παιδίων τὰ προσωπεῖα καὶ τὰ λοιπὰ μορμολύκεια φύσει μὲν οὐκ ἔστι φοβερά, φοβερὰ δὲ εἶναι τοῖς παιδίοις δοκεῖ διὰ τὴν τῆς φύσεως ἀσθένειαν, οὕτω καὶ ἐπὶ τούτων ὧν εἴπον, οἷον τὸ νεκρῶν ἅψασθαι σωμάτων, φύσει μὲν οὐκ ἔστιν ἀκάθαρτον, ὅταν δὲ ἀσθενοῦς ἐπιλάβηται συνειδότος, ἀκάθαρτον ποιεῖ τὸν ἁψάμενον. Ὅτι γὰρ οὐκ ἔστιν ἀκάθαρτον φύσει τὸ πρᾶγμα, αὐτὸς ὁ ταῦτα διαταξάμενος Μωϋσῆς ἐδήλωσεν, ὁλόκληρον ἐπιφερόμενος μεθ' ἑαυτοῦ νεκρὸν τὸν Ἰωσήφ, καὶ μένων καθαρός. Διὰ τοῦτο καὶ Παῦλος ἡμῖν περὶ τῆς ἀκαθαρσίας ταύτης διαλεγόμενος τῆς οὐ φύσει γινομένης, ἀλλὰ δι' ἀσθένειαν τοῦ συνειδότος, οὐ-

6. Ἑβρ. 10,32.
7. Ἑβρ. 6,4 · 6.
8. Γαλ. 3,27.
9. Ρωμ. 6,4.
10. Κολ. 2,11.
11. Ρωμ. 6,6.

μείνατε μεγάλο ἀγώνα παθημάτων»[6]· καὶ πάλι, «εἶναι ἀδύνατο ἐκεῖνοι ποὺ φωτίσθηκαν μιὰ φορὰ καὶ γεύθηκαν τὴν ἐπουράνια δωρεά, καὶ στὴ συνέχεια ξέπεσαν ἀπὸ τὴ χάρη, νὰ ἀνακαινίζονται πάλι μὲ τὴ μετάνοια»[7]. Καλεῖται καὶ 'βάπτισμα'· γιατὶ λέγει, «ὅσοι βαπτισθήκατε στὸ ὄνομα τοῦ Χριστοῦ, ντυθήκατε τὸ Χριστό»[8]. Καλεῖται καὶ 'ταφή'· γιατὶ λέγει, «ταφήκατε μαζὶ μ' αὐτὸν καὶ πεθάνατε μὲ τὸ βάπτισμα»[9]. Καλεῖται καὶ 'περιτομή'· «στὸ ὄνομα τοῦ ὁποίου περιτμηθήκατε μὲ περιτομὴ ἀχειροποίητο, ἀποβάλλοντας τὸ σάρκινο σῶμα τὸ γεμάτο ἀπὸ ἁμαρτίες»[10]. Καλεῖται καὶ 'σταυρός'· γιατὶ λέγει, «ὁ παλιὸς ἄνθρωπός μας σταυρώθηκε, γιὰ νὰ καταργηθεῖ τὸ σῶμα τῆς ἁμαρτίας»[11]. Μποροῦμε καὶ πολλὰ ἄλλα ὀνόματα ν' ἀναφέρομε, ἀλλὰ γιὰ νὰ μὴ ξοδέψομε ὅλο τὸ χρόνο στὰ ὀνόματα τοῦ χαρίσματος, ἐμπρὸς ἂς ἔρθομε στὸ πρῶτο ὄνομα αὐτοῦ καὶ ἀφοῦ ποῦμε τὴ σημασία αὐτοῦ, ἂς σταματήσομε τὸ λόγο· πρῶτα ὅμως ἂς μεταφέρομε τὴ διδασκαλία λίγο πιὸ μπροστά.

7. Ὑπάρχει τὸ κοινὸ λουτρὸ ὅλων τῶν ἀνθρώπων ποὺ γίνεται στὰ δημόσια λουτρά, ποὺ συνήθως καθαρίζει τὴ βρωμιὰ τοῦ σώματος· ὑπάρχει καὶ τὸ ἰουδαϊκὸ λουτρό, ποὺ εἶναι σπουδαιότερο ἀπὸ ἐκεῖνο, πολὺ ὅμως πιὸ κατώτερο ἀπὸ τὸ λουτρὸ τῆς χάριτος· γιατὶ κι αὐτὸ καθαρίζει τὴ σωματικὴ βρωμιά, ὅμως ὄχι ἁπλῶς τὴ σωματική, ἀλλὰ φθάνει ἀκόμη καὶ στὸ καθάρισμα τῆς ἀσθενοῦς συνειδήσεως. Γιατὶ ὑπάρχουν πολλὰ πράγματα, ποὺ ἀπὸ τὴ φύση τους δὲν εἶναι βέβαια ἀκάθαρτα, γίνονται ὅμως ἀκάθαρτα ἐξ αἰτίας τῆς ἀσθένειας τῆς συνειδήσεως. Καὶ ὅπως ἀκριβῶς στὴν περίπτωση τῶν παιδιῶν τὰ προσωπεῖα καὶ τὰ ὑπόλοιπα φόβητρα δὲν εἶναι ἀπὸ τὴ φύση τους φοβερά, φαίνονται ὅμως στὰ παιδιὰ ὅτι εἶναι φοβερὰ ἐξ αἰτίας τῆς ἀδυναμίας τῆς φύσεώς τους, ἔτσι συμβαίνει καὶ μ' αὐτὰ ποὺ εἶπα, ὅπως τὸ νὰ ἀγγίσει κανεὶς νεκρὰ σώματα ἀπὸ τὴ φύση του αὐτὸ δεν εἶναι ἀκάθαρτο, ὅταν ὅμως αὐτὸ γίνει ἀπὸ ἄνθρωπο ποὺ ἔχει ἀσθενῆ συνείδηση, κάμνει αὐτὸ ἀκάθαρτον ἐκεῖνον ποὺ τὸ ἄγγιξε. Γιατί, τὸ ὅτι δὲν εἶναι ἀκάθαρτο ἀπὸ τὴ φύση του τὸ πράγμα, τὸ φανέρωσε ὁ ἴδιος ὁ Μωϋσῆς ποὺ διέταξε αὐτό, μεταφέροντας μαζί του ὁλόκληρο νεκρό, τὸν Ἰωσήφ, καὶ παραμένοντας καθαρός. Γι' αὐτὸ καὶ ὁ Παῦλος μιλώντας μας γιὰ την ἀκαθαρσία αὐτὴ ποὺ δὲν προέρχεται ἀπὸ τὴ φύση, ἀλλὰ δημιουρ-

τωσί πώς φησιν· «οὐδὲν κοινὸν δι' ἑαυτοῦ, εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι». Ὁρᾷς τὴν ἀκαθαρσίαν οὐκ ἀπὸ τῆς τοῦ πράγματος φύσεως, ἀλλ' ἀπὸ τῆς ἀσθενείας τοῦ λογισμοῦ γινομένην; Καὶ πάλιν, «πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι». Ὁρᾷς ὅτι οὐ τὸ ἐσθίειν, ἀλλὰ τὸ διὰ προσκόμματος ἐσθίειν, τοῦτο αἴτιον ἀκαθαρσίας;

8. Τὴν τοιαύτην κηλῖδα τὸ ἰουδαϊκὸν ἐξεκάθαρε λουτρόν, τὸ δὲ τῆς χάριτος οὐ τοιαύτην, ἀλλὰ τὴν ὄντως ἀκαθαρσίαν τὴν μετὰ τοῦ σώματος καὶ τῆς ψυχῆς πολλὴν ἐντεθεῖσαν τὴν κηλῖδα· οὐ γὰρ τοὺς νεκρῶν ἁψαμένους σωμάτων, ἀλλὰ τοὺς νεκρῶν πράξεων ἁψαμένους, τούτους ποιεῖ καθαρούς. Κἂν μαλακὸς κἂν πόρνος ᾖ τις κἂν εἰδωλολάτρης κἂν ὅ,τι ἂν ἐργασάμενος δεινὸν κἂν ἅπασαν τὴν ἐν ἀνθρώποις πονηρίαν ἔχων ᾖ, ἐμπεσὼν εἰς τὴν τῶν ὑδάτων κολυμβήθραν, τῶν ἡλιακῶν καθαρότερος ἀκτίνων ἄνεισιν ἀπὸ τῶν θείων ναμάτων. Καὶ ἵνα μὴ νομίσῃς κόμπον εἶναι τὰ λεγόμενα, ἄκουσον Παύλου λέγοντος περὶ τῆς τοῦ λουτροῦ δυνάμεως· «μὴ πλανᾶσθε· οὔτε εἰδωλολάτραι, οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι». Καὶ τί τοῦτο πρὸς τὰ εἰρημένα; Φησί· τὸ γὰρ ζητούμενον δεῖξαι, εἰ πάντα ἐκκαθαίρει ταῦτα ἡ τοῦ λουτροῦ δύναμις. Οὐκοῦν ἄκουσον τῶν ἑξῆς· «καὶ ταῦτά τινες ἦτε, ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν». Ἡμεῖς μὲν ὑπισχνούμεθα δεῖξαι ὑμῖν καθαροὺς πορνείας γινομένους ἁπάσης τοὺς τῷ λουτρῷ προσιόντας, ὁ δὲ λόγος πλέον ἀπέδειξεν, οὐ καθαροὺς μόνον, ἀλλὰ καὶ ἁγίους καὶ δικαίους γινομένους· οὐ γὰρ εἶπεν «ἀπελούσασθε», μόνον, ἀλλὰ καί, «ἡγιάσθητε», καὶ «ἐδικαιώθητε». Τί τούτου γένοιτ' ἂν παραδοξότερον, ὅταν πόνων καὶ ἱδρώτων χωρὶς καὶ κα-

12. Ρωμ. 14,14.
13. Ρωμ. 14,20.
14. Α' Κορ. 6,9–10.
15. Α' Κορ. 6,11.

γεῖται ἐξ αἰτίας τῆς ἀδυναμίας τῆς συνειδήσεως, λέγει τὸ ἑξῆς· «δὲν ὑπάρχει τίποτε ἀκάθαρτο ἀπὸ τὴ φύση του, ἀλλὰ κάτι εἶναι ἀκάθαρτο μόνο γιὰ ἐκεῖνον ποὺ τὸ θεωρεῖ τέτοιο»[12]. Βλέπεις ὅτι ἡ ἀκαθαρσία δὲν ὑπάρχει στὴ φύση τοῦ πράγματος, ἀλλὰ δημιουργεῖται ἀπὸ τὴν ἀδυναμία τοῦ λογισμοῦ; Καὶ πάλι, «ὅλα εἶναι καθαρά, ἀλλὰ κακὸ εἶναι κάτι γιὰ τὸν ἄνθρωπο ἐκεῖνο ποὺ τὸ τρώγει καὶ σκανδαλίζει ἄλλους»[13]. Βλέπεις ὅτι αἴτιο τῆς ἀκαθαρσίας δὲν εἶναι τὸ νὰ τρώγει κανείς, ἀλλὰ τὸ νὰ τρώγει καὶ νὰ σκανδαλίζει ἄλλους.

8. Αὐτὴν τὴν κηλίδα καθάριζε τὸ ἰουδαϊκὸ λουτρό, ἐνῶ τὸ λουτρὸ τῆς χάριτος δὲν καθαρίζει τέτοια, ἀλλὰ τὴν πραγματικὴ ἀκαθαρσία ποὺ ἐναποθέτει μεγάλη κηλίδα ὄχι μόνο στὸ σῶμα ἀλλὰ καὶ στὴν ψυχή· γιατὶ καθαρίζει ὄχι ἐκείνους ποὺ ἀγγίζουν νεκρὰ σώματα, ἀλλὰ ἐκείνους ποὺ ἐγγίζουν νεκρὲς πράξεις. Εἴτε λοιπὸν εἶναι κανεὶς θηλυπρεπής, εἴτε πόρνος, εἴτε εἰδωλολάτρης, εἴτε ἔχει διαπράξει ὁποιοδήποτε κακό, εἴτε ἔχει ὅλη τὴν ἀνθρώπινη κακία, μόλις μπεῖ μέσα στὴν κολυμβήθρα τῶν ὑδάτων, ἀνεβαίνει ἀπὸ ἐκεῖ γενόμενος ἀπὸ τὰ θεῖα νάματα πιὸ καθαρὸς καὶ ἀπὸ τὶς ἡλιακὲς ἀκτίνες. Καὶ γιὰ νὰ μὴ νομίσεις ὅτι εἶναι κομπασμὸς τὰ λεγόμενα, ἄκουσε τὸν Παῦλο ποὺ ὁμιλεῖ γιὰ τὴ δύναμη τοῦ λουτροῦ· «μὴ πλανᾶσθε· οὔτε εἰδωλολάτρες, οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε θηλυπρεπεῖς, οὔτε ἀρσενοκοῖτες, οὔτε πλεονέκτες, οὔτε μέθυσοι, οὔτε κακολόγοι, οὔτε ἅρπαγες θὰ κληρονομήσουν τὴ βασιλεία τοῦ Θεοῦ»[14]. Καὶ τί σχέση, λέγει, ἔχει αὐτὸ μὲ τὰ ὅσα λέχθηκαν· γιατὶ ἐκεῖνο ποὺ ζητοῦμε εἶναι νὰ δειχθεῖ, ἂν ἡ δύναμη τοῦ λουτροῦ τὰ καθαρίζει ὅλα αὐτά. Λοιπὸν ἄκουσε τὴ συνέχεια· «καὶ τέτοιοι ἤσασταν μερικοί, ἀλλὰ λουσθήκατε, ἁγιασθήκατε καὶ λάβατε τὴ δικαίωση, βαπτιζόμενοι στὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἁγίου Πνεύματος τοῦ Θεοῦ μας»[15]. Ἐγὼ ὑποσχέθηκα νὰ σᾶς δείξω ὅτι καθαρίζονται ἀπὸ κάθε πορνεία ἐκεῖνοι ποὺ προσέρχονται καὶ λαμβάνουν τὸ λουτρό, ὁ λόγος ὅμως ἀπέδειξε κάτι περισσότερο, ὅτι δὲν γίνονται μόνο καθαροί, ἀλλὰ καὶ ἅγιοι καὶ δίκαιοι· γιατὶ δὲν εἶπε μόνο «λουσθήκατε», ἀλλὰ καὶ «ἁγιασθήκατε» καὶ «δικαιωθήκατε». Τί θὰ μποροῦσε νὰ γίνει πιὸ παράδοξο ἀπ' αὐτό, ὅταν παρέχεται δικαιοσύνη χωρὶς κόπους καὶ ἱδρῶτες

τορθωμάτων δικαιοσύνη τικτομένη ᾖ; τοιαύτη γὰρ τῆς θείας δωρεᾶς ἡ φιλανθρωπία· χωρὶς ἱδρώτων ποιεῖ δικαίους. Εἰ γὰρ βασιλέως ἐπιστολή, γράμματα προτεθέντα ὀλίγα, μυρίων ὑπευθύνους ἐγκλημάτων ἀφίησιν ἐλευθέρους, ἑτέρους δὲ καὶ πρὸς τιμὴν ἄγει μεγίστην, πολλῷ μᾶλλον τὸ ἅγιον τοῦ Θεοῦ Πνεῦμα καὶ πάντα δυνάμενον, πάσης μὲν ἡμᾶς ἀπαλλάξει κακίας, πολλὴν δὲ ἡμῖν χαριεῖται δικαιοσύνην καὶ πολλῆς ἐμπλήσει τῆς παρρησίας. Καὶ καθάπερ σπινθὴρ μέσον εἰς πέλαγος ἀχανὲς ἐμπεσὼν εὐθέως ἀποσβεσθείη ἢ ἀφανὴς γένοιτο τῷ πλήθει τῶν ὑδάτων καταποντισθείς, οὕτω καὶ πᾶσα πνηρία ἀνθρωπίνη, ὅταν εἰς τὴν κολυμβήθραν ἐμπέσῃ τῶν θείων ναμάτων, ἐκείνου ταχύτερον καὶ εὐκολώτερον τοῦ σπινθῆρος καταποντίζεται καὶ ἀφανίζεται.

9. Καὶ τίνος ἕνεκεν, φησίν, εἰ τὰ ἁμαρτήματα ἡμῖν ἅπαντα ἀφίησι τὸ λουτρόν, οὐχὶ λουτρὸν ἀφέσεως ἁμαρτημάτων καλεῖται οὔτε λουτρὸν καθάρσεως, ἀλλὰ λουτρὸν παλιγγενεσίας; Ὅτι οὐχ ἁπλῶς ἡμῖν ἀφίησι τὰ ἁμαρτήματα, οὐδὲ ἁπλῶς ὡς ἂν εἰ ἄνωθεν ἐγεννήθημεν. Καὶ γὰρ ἄνωθεν ἡμᾶς δημιουργεῖ καὶ κατασκευάζει, οὐκ ἀπὸ γῆς διαπλάττον πάλιν, ἀλλ' ἐξ ἑτέρου στοιχείου τῆς τῶν ὑδάτων φύσεως δημιουργοῦν. Οὐ γὰρ ἁπλῶς ἀποσμήχει τὸ σκεῦος, ἀλλ' ὁλόκληρον αὐτὸ ἀναχωνεύει πάλιν. Τὰ μὲν γὰρ ἀποσμηχόμενα, κἂν μετὰ ἀκριβείας ἐκκαθαίρηται, ἔχει τῆς ποιότητος ἴχνη καὶ τῆς κηλῖδος φέρει τὰ λείψανα, τα δὲ εἰς χωνευτήριον ἐμπεσόντα καὶ διὰ τῆς φλογὸς ἀνανεωθέντα, πᾶσαν ἀποθέμενα ρυπαρίαν, τὴν αὐτὴν τοῖς νεοπαγέσιν ἀπὸ τῆς καμίνου προελθόντα τὴν λαμπηδόνα ἀφίησιν. Ὥσπερ οὖν ἀνδριάντα χρυσοῦν πολλῷ τῷ χρόνῳ καὶ τῷ καπνῷ καὶ τῇ κόνει καὶ ἰῷ ρυπωθέντα λαβών τις καὶ χωνεύσας καθαρώτατον ἡμῖν καὶ ἀστράπτοντα ἀποδίδωσιν, οὕτω καὶ τὴν φύσιν τὴν ἡμετέραν ὁ Θεὸς ἰωθεῖσαν τῷ τῆς ἁμαρτίας ἰῷ καὶ πολὺν δεξαμένην τὸν καπνὸν τὸν ἀπὸ τῶν πλημμελημάτων καὶ τὸ κάλλος ἀπολέσασαν, ὅπερ παρ' αὐτοῦ παρὰ τὴν ἀρχὴν ἐγκατέθηκε.

καὶ κατορθώματα; γιατὶ τέτοια εἶναι ἡ φιλανθρωπία τῆς θείας δωρεᾶς· κάμνει δίκαιους χωρὶς ἱδρῶτες. Γιατί, ἂν ἐπιστολὴ τοῦ βασιλιᾶ, ποὺ περιέχει λίγα γράμματα, ἐλευθερώνει ἀνθρώπους ποὺ εἶναι ὑπεύθυνοι γιὰ ἄπειρα ἐγκλήματα, καὶ ἄλλους πάλι τοὺς ὁδηγεῖ σὲ μέγιστη τιμή, πολὺ περισσότερο τὸ ἅγιο Πνεῦμα τοῦ Θεοῦ, ποὺ μπορεῖ νὰ τὰ κάμει ὅλα, θὰ μᾶς ἀπαλλάξει ἀπὸ κάθε κακία, καὶ παράλληλα θὰ μᾶς χαρίσει δικαιοσύνη, γεμίζοντάς μας ἀπὸ πολλὴ παρρησία. Καὶ ὅπως ἀκριβῶς ἂν ἕνας σπινθήρας πέσει μέσα στὸ ἀχανὲς πέλαγος ἀμέσως θὰ σβήσει ἢ θὰ χαθεῖ, καταποντιζόμενος ἀπὸ τὸ πλῆθος τῶν ὑδάτων, ἔτσι καὶ κάθε ἀνθρώπινη κακία ὅταν πέσει μέσα στὴν κολυμβήθρα τῶν θείων ναμάτων, καταποντίζεται καὶ ἐξαφανίζεται ταχύτερα καὶ εὐκολότερα ἀπὸ τὸν σπινθήρα.

9. Καὶ γιὰ ποιό λόγο, λέγει, ἂν τὸ λουτρὸ συγχωρεῖ ὅλα τὰ ἁμαρτήματά μας, δὲν ὀνομάζεται 'λουτρὸ ἀφέσεως ἁμαρτημάτων', οὔτε 'λουτρὸ καθάρσεως', ἀλλὰ «λουτρὸ παλιγγενεσίας»; Γιατὶ δὲν συγχωρεῖ ἁπλῶς τὰ ἁμαρτήματά μας, οὔτε ἁπλῶς καθαρίζει τὰ πλημμελήματά μας, ἀλλὰ τὸ κάμνει αὐτὸ σὰν νὰ γεννηθήκαμε ἀπὸ τὸν οὐρανό. Καὶ πράγματι οὐράνια εἶναι ἡ δύναμη ποὺ μᾶς δημιουργεῖ καὶ μᾶς κατασκευάζει, διαπλάσσοντάς μας ὄχι πάλι ἀπὸ τὴ γῆ, ἀλλὰ μᾶς δημιουργεῖ ἀπὸ ἄλλο στοιχεῖο, ἀπὸ τὴ φύση τῶν ὑδάτων. Γιατὶ δὲν ξεπλένει ἁπλῶς τὸ σκεῦος, ἀλλὰ λειώνει καὶ ἀναμορφώνει αὐτὸ ὁλόκληρο. Τὰ καθαριζόμενα δηλαδή, κι ἂν ἀκόμη καθαρισθοῦν μὲ μεγάλη προσοχή, μένουν τὰ ἴχνη τῆς ποιότητας καὶ φέρνουν τὰ λείψανα τῆς κηλίδας, ἐνῶ ἐκεῖνα ποὺ ρίχνονται στὸ χωνευτήρι καὶ λειώνουν ἀπὸ τὴ φωτιά, ἀποβάλλοντας κάθε βρωμιά, ἐκπέμπουν τὴν ἴδια λαμπρότητα μὲ τὰ καινούργια ποὺ βγῆκαν ἀπὸ τὸ καμίνι. Ὅπως ἀκριβῶς δηλαδὴ ἂν κάποιος πάρει ἕναν ἀνδριάντα χρυσό, ποὺ ἀπὸ τὸν πολὺ χρόνο, τὸν καπνό, τὴ σκόνη καὶ τὴ σκουριὰ γέμισε ἀπὸ ἀκαθαρσία, καὶ τὸν ρίξει στὸ χωνευτήρι μᾶς τὸν παραδίνει καθαρότατο καὶ ἀστραφτερό, ἔτσι καὶ τὴ φύση μας, ποὺ εἶχε σκουριάσει ἀπὸ τὴ σκουριὰ τῆς ἁμαρτίας καὶ εἶχε καπνισθεῖ πολὺ ἀπὸ τὸν καπνὸ τῶν πλημμελημάτων μας καὶ ἔχασε ἔτσι τὸ κάλλος της ποὺ ἔλαβε ἀπὸ τὴν ἀρχὴ ἀπὸ τὸ Θεό, ἀφοῦ τὴν πῆρε ὁ Θεὸς τὴν ἔριξε ἀπὸ τὴν ἀρχὴ στὸ χωνευτή-

λαβὼν ἄνωθεν ἐχώνευσε, καὶ καθάπερ εἰς χωνευτήριον ἐμβαλὼν τὰ ὕδατα καὶ τὴν τοῦ Πνεύματος ἐπαφεὶς χάριν ἀντὶ φλογός, εἶτα νεοπαγεῖς ἐκεῖθεν καὶ καινοὺς γενομένους ἀντιβλέψαι λοιπὸν ταῖς ἡλιακαῖς ἀκτῖσι μετὰ πολλῆς ἀνάγει τῆς λαμπρότητος, τὸν μὲν παλαιὸν συντρίψας ἄνθρωπον, νέον δὲ κατασκευάσας τοῦ προτέρου λαμπρότερον.

10. Καὶ ταύτην ἡμῖν τὴν συντριβὴν καὶ τὸν μυστικὸν τοῦτον καθαρμὸν αἰνιττόμενος ὁ πρφήτης ἄνωθεν ἔλεγεν· «ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς». Ὅτι γὰρ περὶ τῶν πιστῶν ὁ λόγος, ἡμῖν τὰ ἀνωτέρω δείκνυσι σαφῶς· «υἱός γάρ μου εἶ σύ», φησίν, «ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι τὰ ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς». Εἶδες πῶς τῆς ἐκ τῶν ἐθνῶν Ἐκκλησίας ἐμνημόνευσε καὶ τὴν πανταχοῦ τοῦ Χριστοῦ τεταγμένην βασιλείαν εἶπεν; Εἶτά φησι πάλιν· «ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ»· οὐ φορτικῇ, ἀλλ' ἰσχυρᾷ· «ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς». Ἰδοὺ καὶ τὸ λουτρὸν μυστικώτερον παρελήφθη· οὐ γὰρ εἶπεν ἁπλῶς 'σκεύη ὀστράκινα', ἀλλὰ «σκεύη κεραμέως». Ἀλλὰ προσέχετε. Τὰ μὲν ὀστράκινα σκεύη συντριβέντα οὐκ ἂν λάβοι διόρθωσιν, διὰ τὴν ἐκ τοῦ πυρὸς ἐγγενομένην αὐτοῖς ἅπαξ ἀντιτυπίαν· ὅτι δὲ τὰ σκεύη τοῦ κεραμέως οὐκ ἔστιν ὀστράκινα, ἀλλὰ πήλινα· ὅθεν καὶ διαστραφέντα ῥᾳδίως ἂν πρὸς τὸ δεύτερον ἐπανέλθῃ σχῆμα τῇ τοῦ τεχνίτου σοφίᾳ. Ὅταν μὲν οὖν συμφορὰν ἀνίατον λέγῃ, οὐ σκεύη κεραμέως φησίν, ἀλλὰ σκεῦος ὀστράκινον. Ὅτε γοῦν ἐβούλετο διδάξαι τὸν προφήτην καὶ τοὺς Ἰουδαίους, ὅτι συμφορᾷ ἀνιάτῳ παρέδωκε τὴν πόλιν, ἐκέλευσε λαβεῖν βίκον ὀστράκινον καὶ συντρίψαι ἔμπροσθεν παντὸς τοῦ δήμου καὶ εἰπεῖν, «οὕτως ἀπολεῖται ἡ πόλις καὶ συντριβήσεται». Ἐπειδὰν δὲ βούληται χρηστὰς αὐτοῖς ὑποτείνειν ἐλπίδας, εἰς κεραμεῖον κατάγει τὸν προφήτην, καὶ οὐ δείκνυσιν αὐτῷ σκεῦος ὀστράκινον, ἀλλὰ δείκνυσιν αὐτῷ σκεῦος πήλινον ἐν ταῖς χερσὶ τοῦ κεραμέως γινόμενον, διαπῖπτον, καὶ ἐπάγει λέγων·

16. Ψαλμ. 2,9.
17. Ψαλμ. 2,7.
18. Ψαλμ. 2,9.
19. Ἱερ. 19,11.

ρι, καὶ βάζοντας μέσα στὸ χωνευτήρι τὰ ὕδατα καὶ ἀντὶ τῆς φωτιᾶς στέλνοντας τὴ χάρη τοῦ Πνεύματος, ἀφοῦ μὲ τὸν τρόπο αὐτὸ ξαναδημιουργηθήκαμε καὶ γίναμε καινούργιοι, μᾶς βγάζει ἀπὸ ἐκεῖ στὴ συνέχεια μὲ μεγάλη λαμπρότητα καὶ ἴση πρὸς τὴ λαμπρότητα τῶν ἡλιακῶν ἀκτίνων, συντρίβοντας ἔτσι τὸν παλιὸ ἄνθρωπο καὶ κατασκευάζοντας νέο καὶ λαμπρότερο ἀπὸ τὸν προηγούμενο.

10. Αὐτὴ λοιπὸν τὴ συντριβή μας καὶ τὸν μυστικὸ αὐτὸ καθαρμὸ ὑπονοώντας ὁ προφήτης ἔλεγε ἀπὸ πρίν· «θὰ συντρίψεις αὐτοὺς σὰν τὸ σκεῦος τοῦ κεραμοποιοῦ»[16]. Τὸ ὅτι βέβαια ὁ λόγος αὐτὸς εἶναι γιὰ τοὺς πιστούς, μᾶς τὸ δείχνουν μὲ σαφήνεια τὰ λεγόμενα λίγο πιὸ πάνω· γιατὶ λέγει, «Υἱός μου εἶσαι σὺ καὶ ἐγὼ σήμερα σὲ γέννησα. Ζήτησε ἀπὸ μένα καὶ θὰ σοῦ δώσω σὰν κληρονομία ὅλα τὰ ἔθνη, θέτοντας κάτω ἀπὸ τὴν ἐξουσία σου ὅλη τὴ γῆ μέχρι τὰ πέρατα αὐτῆς»[17]. Εἶδες πῶς μνημόνευσε τὴν Ἐκκλησία ποὺ θὰ προερχόταν ἀπὸ τὰ ἔθνη καὶ ἀνέφερε τὴ βασιλεία τοῦ Χριστοῦ τὴν ἁπλωμένη παντοῦ; Ἔπειτα λέγει πάλι· «θὰ κυβερνήσεις αὐτοὺς μὲ ῥάβδο σιδερένια»[18]· ὄχι μὲ φορτική, ἀλλὰ μὲ ἰσχυρή· «σὰν σκεύη τοῦ κεραμοποιοῦ θὰ συντρίψεις αὐτούς». Νὰ καὶ τὸ λουτρὸ τοῦ βαπτίσματος ἀναφέρθηκε μὲ μυστικότερο τρόπο· γιατὶ δὲν εἶπε ἁπλῶς 'σκεύη ὀστράκινα', ἀλλὰ «σκεύη κεραμοποιοῦ». Ἀλλὰ προσέχετε. Τὰ ὀστράκινα σκεύη ἂν συντριβοῦν δὲν εἶναι δυνατὸ νὰ διορθωθοῦν, ἐξ αἰτίας τῆς σκληρότητας ποὺ δημιουργήθηκε σ' αὐτὰ μιὰ γιὰ πάντα ἀπὸ τὴ φωτιά· ἐνῶ τὰ σκεύη τοῦ κεραμοποιοῦ δὲν εἶναι ὀστράκινα, ἀλλὰ πήλινα· γι' αὐτὸ ὅταν πάθουν κάποια ζημιὰ εἶναι εὔκολο νὰ λάβουν δεύτερο σχῆμα μὲ τὴ σοφία τοῦ τεχνίτη. Ὅταν δηλαδὴ ὁμιλεῖ γιὰ συμφορὰ ἀθεράπευτη, δὲν ἀναφέρει σκεύη κεραμοποιοῦ, ἀλλὰ σκεῦος ὀστράκινο. Ὅταν λοιπὸν ἤθελε νὰ διδάξει τὸν προφήτη καὶ τοὺς Ἰουδαίους, ὅτι παρέδωσε τὴν πόλη σὲ συμφορὰ ἀθεράπευτη, πρόσταξε νὰ πάρει ὀστράκινη στάμνα καὶ νὰ τὴ σπάσει μπροστὰ σ' ὅλο τὸ λαὸ καὶ νὰ πεῖ, «ἔτσι θὰ συντριβεῖ καὶ θὰ καταστραφεῖ ἡ πόλη»[19]. Ὅταν ὅμως θέλει νὰ βάλει μέσα τους καλὲς ἐλπίδες, ὁδηγεῖ τὸν προφήτη σὲ κεραμοποιεῖο, καὶ δὲν τοῦ δείχνει σκεῦος ὀστράκινο, ἀλλὰ τοῦ δείχνει σκεῦος πήλινο ποὺ διαπλάσσεται ἀπὸ τὰ χέρια τοῦ κεραμοποιοῦ καὶ πέφτει κάτω, προσθέτοντας καὶ λέγοντας· «ἂν αὐ-

«εἰ ὁ κεραμεὺς οὗτος τὸ σκεῦος τὸ διαπεσὸν ἀναλαβὼν ἐρρύθμισε πάλιν, οὐ πολλῷ μᾶλλον ἐγὼ δυνήσομαι διαπεσόντας ὑμᾶς ἐπανορθῶσαι;». Δυνατὸν μὲν οὖν τῷ Θεῷ οὐχὶ πηλίνους ὄντας μόνον διορθῶσαι διὰ λουτροῦ παλιγγενεσίας ἀλλὰ καὶ τὴν τοῦ Πνεύματος δεξαμένους ἐνέργειαν καὶ διολισθήσαντας διὰ μετανοίας ἠκριβωμένης πρὸς τὸ ἀρχαῖον ἐπαναγαγεῖν. Ἀλλ' οὐ καιρὸς ὑμῖν τοὺς περὶ μετανοίας ἀκοῦσαι λόγους· μᾶλλον δὲ μηδέποτε γένοιτο καιρὸς εἰς χρείαν ὑμᾶς ἐκείνων ἐμπεσεῖν τῶν φαρμάκων, ἀλλ' ἀεὶ μένοιτε τὸ κάλλος καὶ τὴν λαμπρότητα, ἣν μέλλετε λαμβάνειν νῦν, ἀκέραιον διατηροῦντες.

11. Ἵνα οὖν ἀεὶ μένοιτε, φέρε καὶ περὶ πολιτείας ὑμῖν διαλεχθῶμεν ὀλίγα· ἐν γὰρ τῇ παλαίστρᾳ ταύτῃ ἀκίνδυνα τοῖς ἀθληταῖς τὰ πτώματα· πρὸς τοὺς γὰρ οἰκείους ἡ πάλη καὶ τοῖς σώμασι τῶν διδασκάλων ἐμμελετῶσιν ἅπαντα. Ὅταν δὲ ὁ τῶν ἀγώνων παραγένηται καιρός, ὅταν ἀνοιγῇ τὸ στάδιον, ὅταν τὸ θέατρον ἄνω καθήμενον ᾖ, ὅταν ὁ ἀγωνοθέτης παρῇ, ἀνάγκη λοιπὸν ἢ ῥαθυμήσαντας πεσεῖν καὶ μετὰ αἰσχύνης ἀναχωρῆσαι πολλῆς, ἢ σπουδάσαντας τῶν στεφάνων καὶ τῶν βραβείων ἐπιτυχεῖν. Οὕτω δὴ καὶ ἐφ' ὑμῶν, αἱ τριάκοντα ἡμέραι αὗται παλαίστρᾳ τινὶ προσεοίκασι καὶ γυμνασίοις καὶ μελέτῃ. Μάθωμεν ἐντεῦθεν ἤδη περιγενέσθαι τοῦ πονηροῦ δαίμονος ἐκείνου· πρὸς γὰρ ἐκεῖνον ἀποδύεσθαι μέλλομεν μετὰ τὸ βάπτισμα, πρὸς ἐκεῖνον πυκτεύειν καὶ μάχεσθαι. Μάθωμεν τοίνυν ἐντεῦθεν ἤδη τὰς λαβὰς ἐκείνου, πόθεν ἐστὶ πονηρός, πόθεν ἡμῖν εὐκόλως ἐπηρεάσαι δύναται, ἵνα τῶν ἀγώνων παραγενομένων μὴ ξενοπαθῶμεν μηδὲ θορυβώμεθα, καινὰ τὰ παλαίσματα ὁρῶντες, ἀλλ' ἤδη μεταξὺ ἡμῶν αὐτῶν μελετήσαντες καὶ τὰς μεθοδείας αὐτοῦ μαθόντες ἁπάσας, μετὰ τοῦ θαρρεῖν ἀψώμεθα τῶν παλαισμάτων πρὸς ἐκεῖνον.

12. Πάντοθεν μὲν οὖν ἐπηρεάζειν ἡμῖν εἴωθεν, μάλιστα διὰ τῆς γλώττης καὶ διὰ τοῦ στόματος. Οὐδὲν γὰρ οὕτως ἐπιτήδειον ὄργανον ἐκείνῳ πρὸς ἀπάτην καὶ ἀπώλειαν ἡμετέραν ὡς γλῶττα ἀκό-

20. Ἱερ. 18,6.

τὸς ὁ κεραμοποιὸς πῆρε τὸ σκεῦος ποὺ ἔπεσε καὶ τὸ διέπλασε πάλι, δὲν θὰ μπορέσω ἐγὼ πολὺ περισσότερο νὰ ἐπανορθώσω ἐσᾶς ποὺ πέσατε;»[20]. Μπορεῖ δηλαδὴ ὁ Θεὸς νὰ μᾶς διορθώσει μὲ τὸ λουτρὸ τῆς παλιγγενεσίας ὄχι μόνο ἂν εἴμαστε ἐμεῖς πήλινοι, ἀλλὰ καὶ ἀφοῦ διολισθήσομε μπορεῖ μὲ τὴν ἐνέργεια τοῦ ἁγίου Πνεύματος καὶ μὲ τὴν εἰλικρινῆ μετάνοιά μας νὰ μᾶς ἐπαναφέρει στὴν ἀρχική μας κατάσταση. Ἀλλὰ δὲν εἶναι τώρα καιρὸς ν' ἀκούσετε τοὺς περὶ μετανοίας λόγους· ἢ καλύτερα εὔχομαι νὰ μὴ βρεθεῖτε ποτὲ στὴν ἀνάγκη νὰ χρησιμοποιήσετε τὰ φάρμακα ἐκεῖνα, ἀλλὰ νὰ μένετε πάντοτε μὲ τὸ κάλλος καὶ τὴ λαμπρότητα ποὺ πρόκειται νὰ λάβετε τώρα, διατηρώντας αὐτὰ ἀκέραια.

11. Γιὰ νὰ διατηρεῖτε λοιπὸν πάντοτε αὐτήν, ἐμπρὸς νὰ ποῦμε λίγα καὶ γιὰ τὸν σωστὸ τρόπο ζωῆς· γιατὶ στὴν παλαίστρα αὐτὴ εἶναι ἀκίνδυνες οἱ πτώσεις τῶν ἀθλητῶν, ἀφοῦ ἡ πάλη γίνεται πρὸς γνωστούς τους καὶ ἡ ἐξάσκηση καὶ προετοιμασία τους γίνεται στὰ σώματα τῶν δασκάλων τους. Ὅταν ὅμως ἔρθει ἡ ὥρα τῶν ἀγώνων, ὅταν ἀνοίξει τὸ στάδιο, ὅταν οἱ θεατὲς κάθονται ψηλὰ στὶς θέσεις τους, ὅταν ὁ ἀγωνοθέτης εἶναι παρών, τότε πλέον κατ' ἀνάγκη ἢ θὰ πέσουν δείχνοντας ραθυμία καὶ θὰ φύγουν ἀπὸ τὴν παλαίστρα μὲ πολλὴ ντροπή, ἢ θ' ἀγωνισθοῦν μὲ μεγάλη προθυμία καὶ θὰ κερδίσουν ἔτσι τὰ στεφάνια καὶ τὰ βραβεῖα. Ἔτσι λοιπὸν συμβαίνει καὶ μὲ σᾶς· οἱ τριάντα αὐτὲς ἡμέρες μοιάζουν μὲ κάποια παλαίστρα, μὲ προετοιμασία καὶ μελέτη. Ἂς μάθομε λοιπὸν ἀπὸ τώρα νὰ νικᾶμε τὸν πονηρὸ ἐκεῖνο δαίμονα· γιατὶ ἐναντίον ἐκείνου πρόκειται μετὰ τὸ βάπτισμα νὰ ἀναλάβομε τὸν ἀγώνα, ἐναντίον ἐκείνου νὰ πυγμαχοῦμε καὶ νὰ πολεμοῦμε. Ἂς μάθομε λοιπὸν ἀπὸ τώρα τὶς λαβὲς ἐκείνου, ποιές εἶναι οἱ πονηριές του, ἀπὸ ποῦ μπορεῖ εὔκολα νὰ μᾶς βλάψει, ὥστε, ὅταν ἔρθει ἡ ὥρα τῶν ἀγώνων νὰ μὴ ξαφνιασθοῦμε οὔτε ν' ἀνησυχοῦμε, βλέποντας καινούργια παλαίσματα, ἀλλ' ἀφοῦ ἀπὸ τώρα μελετήσομε μεταξύ μας ὅλα αὐτὰ καὶ μάθομε ὅλες τὶς πανουργίες του, νὰ ξεκινήσομε μὲ θάρρος τοὺς ἀγῶνες ἐναντίον ἐκείνου.

12. Ἀπὸ παντοῦ λοιπὸν συνηθίζει νὰ μᾶς βλάπτει, πρὸ πάντων ὅμως μὲ τὴ γλώσσα καὶ μὲ τὸ στόμα. Γιατὶ τίποτε δὲν εἶναι τόσο κατάλληλο ὄργανο σ' ἐκεῖνον στὸ νὰ μᾶς ἐξαπατήσει καὶ νὰ μᾶς

λαστος καὶ στόμα ἀθύρωτον. Ἐντεῦθεν ἡμῖν τὰ πολλὰ πτώματα, ἐντεῦθεν ἡμῖν τὰ χαλεπὰ ἐγκλήματα. Καὶ τὴν μὲν εὐκολίαν τῶν ὀλισθημάτων διὰ τῆς γλώττης τις δηλῶν ἔλεγε· «πολλοὶ ἔπεσον διὰ μαχαίρας, ἀλλ' οὐ τοσοῦτοι ὅσοι διὰ γλώττης». Τὸ δὲ χαλεπὸν τοῦ πτώματος ἐμφαίνων πάλιν ὁ αὐτὸς εἶπεν· «ὀλίσθημα ἀπὸ ἐδάφους μᾶλλον ἢ ὀλίσθημα ἀπὸ γλώσσης». Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· βέλτιόν ἐστι, φησί, πεσεῖν καὶ συντριβῆναι τὸ σῶμα ἢ ρῆμα προέσθαι τοιοῦτον, ὃ τὴν ψυχὴν ἡμῶν ἀπόλλυσιν. Οὐ λέγει δὲ τὰ πτώματα μόνον, ἀλλὰ παραινεῖ πολλὴν ποιεῖσθαι πρόνοιαν, ὥστε μὴ ὑποσκελισθῆναι, οὕτως εἰπών· «ποίησον τῷ στόματί σου θύρας καὶ μοχλούς»· οὐχ ἵνα θύρας καὶ μοχλοὺς κατασκευάσωμεν, ἀλλ' ἵνα μετὰ πολλῆς τῆς ἀσφαλείας πρὸς τὰ ἄτοπα τῶν ρημάτων τὴν γλῶτταν ἀποκλείσωμεν. Καὶ πάλιν ἀλλαχοῦ δεικνύς, ὅτι μετὰ τῆς ἡμετέρας σπουδῆς καὶ πρὸ τῆς ἡμετέρας τῆς ἄνωθεν δεόμεθα ροπῆς, ὥστε τὸ θηρίον τοῦτο κατασχεῖν ἔνδον, πρὸς τὸν Θεὸν τὰς χεῖρας ἀνατείνας ὁ προφήτης ἔλεγεν· «ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς ἐπὶ τὰ χείλη μου». Ὁ δὲ τὰ πρότερον παραινέσας, πάλιν καὶ αὐτός φησι· «τίς δώσει ἐπὶ τῷ στόματί μου φυλακὴν καὶ ἐπὶ τῶν χειλέων μου σφραγῖδα πανοῦργον;». Ὁρᾷς ἕκαστον δεδοικότα τὰ πτώματα ταῦτα καὶ θρηνοῦντα καὶ συμβουλεύοντα καὶ εὐχόμενον πολλῆς ἀπολαῦσαι τὴν γλῶτταν φυλακῆς;

13. Καὶ τίνος ἕνεκεν, φησίν, εἰ τοσοῦτον ἡμῖν φέρει τὸν ὄλεθρον τοῦτο τὸ ὄργανον, ἐνέθηκεν ἡμῖν αὐτὸ παρὰ τὴν ἀρχὴν ὁ Θεός; Ὅτι καὶ πολλὴν ἔχει ὠφέλειαν· κἂν σπουδάζωμεν, ὠφέλειαν ἔχει μόνον, ὄλεθρον δὲ οὐδένα. Ἄκουσον γοῦν τί φησιν ὁ τὰ πρότερα ἐκεῖνα εἰπών· «ἐν χειρὶ γλώττης ζωὴ καὶ θάνατος». Καὶ ὁ Χριστὸς δὲ τὰ αὐτὰ δηλοῖ λέγων· «ἀπὸ τῶν λόγων σου κατακριθήσῃ, καὶ ἀπὸ τῶν λόγων σου δικαιωθήσῃ». Μέση γὰρ ἕστηκεν ἡ γλῶσσα

---

21. Σοφ. Σειρὰχ 28,18.
22. Σοφ. Σειρὰχ 20,18.
23. Σοφ. Σειρὰχ 28,25.
24. Ψαλμ. 140,2-3.
25. Σοφ. Σειρὰχ 22,27.
26. Παροιμ. 18,21.
27. Ματθ. 12,37.

καταστρέψει, ὅσο ἡ ἀκόλαστη γλώσσα καὶ τὸ ἀθύρωτο στόμα. Ἀπὸ ἐδῶ μᾶς προξενοῦνται οἱ πολλὲς πτώσεις, ἀπὸ ἐδῶ μᾶς συμβαίνουν τὰ φοβερὰ ἐγκλήματα. Καὶ αὐτὴν τὴν εὐκολία τῶν ὀλισθημάτων μὲ τὴ γλώσσα θέλοντας κάποιος νὰ δηλώσει, ἔλεγε· «πολλοὶ φονεύθηκαν ἀπὸ τὴν κόψη τοῦ μαχαιριοῦ, ὄχι ὅμως τόσοι ὅσοι ἔπεσαν ἀπὸ συκοφαντικὴ γλώσσα»[21]. Καὶ πάλι ὁ ἴδιος φανερώνοντας τὴ φοβερὴ πτώση εἶπε· «εἶναι προτιμότερη ἡ πτώση ἀπὸ γλίστρημα στὸ ἔδαφος παρὰ ἡ πτώση ἀπὸ συκοφαντικὴ γλώσσα»[22]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· εἶναι προτιμότερο, λέγει, νὰ πέσομε καὶ νὰ συντριβεῖ τὸ σῶμα μας, παρὰ νὰ βγεῖ ἀπὸ τὸ στόμα μας λόγος τέτοιος ποὺ καταστρέφει τὴν ψυχή μας. Καὶ δὲν μιλάει μόνο γιὰ τὶς πτώσεις, ἀλλὰ συμβουλεύει νὰ φροντίζομε πάρα πολύ, γιὰ νὰ μὴ παρασυρθοῦμε σὲ πτώση, λέγοντας τὰ ἑξῆς· «θέσε στὸ στόμα σου θύρες καὶ σύρτια»[23]· ὄχι γιὰ νὰ κατασκευάσομε θύρες καὶ σύρτια, ἀλλὰ γιὰ νὰ ἐμποδίσομε μὲ μεγάλη ἀσφάλεια τὴ γλώσσα μας πρὸς τὰ ἄπρεπα λόγια. Καὶ πάλι ἀλλοῦ γιὰ νὰ δείξει, ὅτι μαζὶ μὲ τὴ δική μας προσπάθεια χρειαζόμαστε καὶ μάλιστα περισσότερο ἀπὸ τὴ δική μας τὴ βοήθεια τοῦ Θεοῦ, ὥστε νὰ μπορέσομε νὰ συγκρατήσομε αὐτὸ τὸ θηρίο μέσα μας, ἀφοῦ ὕψωσε ὁ προφήτης τὰ χέρια πρὸς τὸ Θεὸ ἔλεγε· «δέξου τὴν ἀνύψωση τῶν χεριῶν μου σὰν θυσία ἑσπερινή. Θέσε, Κύριε, φρουρὰ στὸ στόμα μου καὶ θύρα γύρω ἀπὸ τὰ χείλη μου»[24]. Καὶ ἐκεῖνος ποὺ ἔδωσε τὶς προηγούμενες συμβουλές, λέγει πάλι ὁ ἴδιος· «ποιός θὰ θέσει φρουρὰ στὸ στόμα μου καὶ στὰ χείλη μου σφραγίδα ποὺ νὰ μὲ προστατεύει μὲ ἔξυπνο τρόπο;»[25]. Βλέπεις ὅτι ὁ καθένας φοβᾶται τὶς πτώσεις αὐτὲς καὶ ὅτι θρηνεῖ καὶ συμβουλεύει καὶ εὔχεται νὰ ἐπιτύχει μεγάλη περιφρούρηση στὴ γλώσσα του;

13. Καὶ γιὰ ποιό λόγο, λέγει, ἂν αὐτὸ τὸ ὄργανο μᾶς προξενεῖ τόση καταστροφή, τὸ ἔβαλε ὁ Θεὸς μέσα μας ἀπὸ τὴν ἀρχή; Ἐπειδὴ μᾶς παρέχει καὶ μεγάλη ὠφέλεια· καὶ ἂν προσέχομε μᾶς παρέχει μόνο ὠφέλεια καὶ καμιὰ καταστροφή. Ἄκουσε λοιπὸν τί λέγει ἐκεῖνος ποὺ εἶπε τὰ προηγούμενα· «στὴν ἐξουσία τῆς γλώσσας βρίσκεται ἡ ζωὴ καὶ ὁ θάνατος»[26]. Καὶ ὁ Χριστὸς πάλι δηλώνοντας τὰ ἴδια λέγει· «ἀπὸ τὰ λόγια σου θὰ καταδικασθεῖς καὶ ἀπὸ τὰ λόγια σου θὰ δικαιωθεῖς»[27]. Ἡ γλώσσα βρίσκεται στὴ μέση αὐτῶν

τῆς πρὸς ἑκάτερα χρήσεως· σὺ κύριος εἶ. Οὕτω καὶ τὸ ξίφος κεῖται μέσον· κἂν μὲν κατὰ τῶν πολεμίων χρήσῃ, σωτήριον τὸ ὄργανον γέγονεν, ἂν δὲ κατὰ σαυτοῦ τὴν πληγὴν ὠθήσῃς, οὐχ ἡ σιδήρου φύσις, ἀλλ᾽ ἡ σὴ παρανομία γίνεται τῆς σφαγῆς αἰτία. Οὕτω καὶ περὶ τῆς γλώττης λογισώμεθα· ξίφος ἐστὶν ἐν μέσῳ κείμενον· ἀκόνησον οὖν αὐτὴν κατὰ τῆς τῶν ἁμαρτημάτων τῶν σῶν κατηγορίας· μὴ κατὰ ἀδελφοῦ τὴν πληγὴν ὠθήσῃς. Διὰ τοῦτο διπλῷ τειχίῳ περιέβαλεν αὐτὴν ὁ Θεός, τῷ τῶν ὀδόντων διαφράγματι, καὶ τῇ τῶν χειλέων περιβολῇ, ἵνα μὴ ῥᾳδίως καὶ ἀπερισκέπτως ἐκφέρῃ τὰ ῥήματα τὰ μὴ προσήκοντα. Χαλίνωσον αὐτὴν ἔνδον. Ἀλλ᾽ οὐκ ἀνέχεται; Καὶ σωφρόνισον αὐτὴν διὰ τῶν ὀδόντων, ὥσπερ δημίοις τούτοις ἐκδοὺς αὐτῆς τὸ σῶμα καὶ ποιήσας δακεῖν· καὶ γὰρ βέλτιον αὐτὴν δηχθῆναι τοῖς ὀδοῦσι νῦν ἁμαρτάνουσαν, ἢ τότε ζητοῦσαν σταγόνα ὕδατος καὶ τηγανιζομένην μὴ τυχεῖν τῆς παραμυθίας. Πολλὰ μὲν οὖν καὶ ἄλλα ἁμαρτάνειν εἴωθε λοιδοροῦσα, βλασφημοῦσα, αἰσχρὰ προϊεμένη ῥήματα, συκοφαντοῦσα, ὀμνύουσα, ἐπιορκοῦσα.

14. Ἀλλ᾽ ἵνα μὴ πάντα ἀθρόον τήμερον ὑμῖν λέγοντες καταχώσωμεν ὑμῶν τὴν διάνοιαν, ἕνα τέως τίθεμεν ὑμῖν νόμον τὸν περὶ τῆς τῶν ὅρκων φυλακῆς, ἐκεῖνο προλέγοντες, ὅτι εἰ μὴ φύγητε τοὺς ὅρκους, οὐ λέγω τὰς ἐπιορκίας μόνον, ἀλλὰ καὶ τοὺς ἐπὶ τῷ δικαίῳ γινομένους εἰ μὴ φύγητε, οὐκ ἔτι περὶ ἑτέρας ὑποθέσεως ὑμῖν διαλεξόμεθα. Καὶ γὰρ ἄτοπον τοὺς μὲν τῶν γραμμάτων διδασκάλους μὴ δεύτερον τοῖς παιδίοις διδόναι μάθημα, ἕως ἂν τὸ πρότερον ἴδωσι καλῶς ἐμπαγὲν αὐτῷ τῇ μνήμῃ, ὑμᾶς δὲ τὰ πρότερον μαθήματα μὴ δυναμένους ἀπαγγεῖλαι μετὰ ἀκριβείας, ἕτερα προεμβαλεῖν πάλιν· οὐδὲ γὰρ ἕτερον τοῦτο, ἀλλ᾽ ἢ εἰς πίθον τετρημένον ἀντλεῖν. Ἵνα οὖν ἡμᾶς μὴ ἐπιστομίσητε, πολλὴν τοῦ πράγματος ποιήσασθε τὴν σπουδήν. Καὶ γὰρ χαλεπὸν τοῦτό ἐστι τὸ ἁμάρτημα, καὶ σφόδρα χαλεπόν· σφόδρα δέ ἐστι χαλεπόν, ὅτι οὐ δοκεῖ χαλε-

---

28. Λουκᾶ 16,24.

τῶν δύο χρήσεων· σὺ εἶσαι κύριος νὰ τὴ χρησιμοποιήσεις γιὰ τὴ μία ἢ τὴν ἄλλη. Κατὰ τὸν ἴδιο τρόπο βρίσκεται στὴ διάθεσή σου καὶ τὸ ξίφος· ἂν τὸ χρησιμοποιήσεις κατὰ τῶν ἐχθρῶν, σοῦ γίνεται σωτήριο ὄργανο, ἂν ὅμως τὸ ὠθήσεις ἐναντίον σου, τότε γίνεται αἰτία τῆς σφαγῆς σου ὄχι ἡ φύση τοῦ σιδήρου, ἀλλ' ἡ δική σου παρανομία. Τὸ ἴδιο νὰ σκεπτόμαστε καὶ γιὰ τὴ γλώσσα· εἶναι ξίφος ποὺ βρίσκεται ἀνάμεσα στὸ καλὸ καὶ τὸ κακό· ἀκόνησε λοιπὸν αὐτὴν ὥστε νὰ κατηγορεῖ τὰ ἁμαρτήματά σου· μὴ τὴν ὠθήσεις κατὰ τοῦ ἀδελφοῦ σου καὶ τὸν πληγώσεις. Γι' αὐτὸ μὲ διπλὸ τεῖχος τὴν περιέβαλε ὁ Θεός, μὲ τὸ διάφραγμα τῶν δοντιῶν καὶ μὲ τὸ περίφραγμα τῶν χειλέων, γιὰ νὰ μὴ λέγει εὔκολα καὶ ἀπερίσκεπτα τὰ ἀπρεπῆ λόγια. Χαλιναγώγησε αὐτὴν μέσα σου. Ἀλλὰ δὲν τὸ ἀνέχεται αὐτό; Σωφρόνισέ την καὶ μὲ τὰ δόντια, παραδίνοντάς την σ' αὐτὰ σὰν πρὸς δημίους, γιὰ νὰ τὴν δαγκώνουν ὅταν θέλει ν' ἁμαρτήσει· γιατὶ εἶναι προτιμότερο νὰ δαγκωθεῖ αὐτὴ τώρα ποὺ ἁμαρτάνει, παρὰ τότε νὰ ζητάει σταγόνα νεροῦ καὶ ἐνῶ θὰ κατακαίεται νὰ μὴ βρίσκει ἀνακούφιση[28]. Ἀλλὰ καὶ πολλὰ ἄλλα ἁμαρτήματα διαπράττει συνήθως ἡ γλώσσα, κακολογώντας, βλασφημώντας, λέγοντας αἰσχρὰ λόγια, συκοφαντώντας, κάμνοντας ὅρκους καὶ παραβαίνοντας αὐτούς.

14. Ἀλλὰ γιὰ νὰ μὴ σᾶς τὰ πῶ ὅλα μαζὶ σήμερα καὶ κατακλύσω τὸ νοῦ σας, σᾶς θέτω τώρα ἕνα μόνο νόμο, τὸν σχετικὸ μὲ τὴ φύλαξη τῶν ὅρκων, προλέγοντάς σας, πὼς ἂν δὲν ἀποφύγετε τοὺς ὅρκους, δὲν ἐννοῶ μόνο τὶς ἐπιορκίες, ἀλλ' ἂν δὲν ἀποφύγετε καὶ τοὺς ὅρκους ἐκείνους ποὺ γίνονται δίκαια, δὲν θὰ σᾶς μιλήσω ξανὰ γιὰ ἄλλο θέμα. Γιατὶ πραγματικὰ εἶναι παράλογο ἐνῶ οἱ δάσκαλοι τῶν γραμμάτων δὲν παραδίνουν δεύτερο μάθημα στὰ παιδιά, μέχρι ποὺ νὰ δοῦν ὅτι τὸ προηγούμενο ἐντυπώθηκε καλὰ στὴ μνήμη τους, ἐμεῖς, χωρὶς σεῖς νὰ μπορεῖτε νὰ διηγηθεῖτε μὲ ἀκρίβεια τὰ προηγούμενα μαθήματα, νὰ προσθέτομε πάλι ἄλλα σ' ἐκεῖνα· γιατὶ αὐτὸ δὲν εἶναι τίποτε ἄλλο, παρὰ ἄντληση νεροῦ σὲ τρυπημένο πιθάρι. Γιὰ νὰ μὴ μὲ ἀναγκάσετε λοιπὸν νὰ κλείσω τὸ στόμα μου, δείξατε μεγάλη φροντίδα γιὰ τὸ πράγμα αὐτό. Γιατὶ τὸ ἁμάρτημα αὐτὸ εἶναι φοβερὸ καὶ μάλιστα πάρα πολὺ φοβερό· καὶ εἶναι πάρα πολὺ φοβερό, γιατὶ δὲν θεωρεῖται ὅτι εἶναι φοβερό, καὶ

πὸν εἶναι, καὶ διὰ τοῦτο αὐτὸ δέδοικα, ἐπειδὴ οὐδεὶς αὐτὸ δέδοικε· διὰ τοῦτο ἀνίατόν ἐστι τὸ νόσημα, ἐπειδὴ οὐδὲ νόσημα εἶναι δοκεῖ· ἀλλ' ὥσπερ τὸ διαλέγεσθαι ἁπλῶς οὐκ ἔστιν ἔγκλημα, οὕτως οὐδὲ τοῦτο ἔγκλημα εἶναι δοκεῖ, ἀλλὰ μετὰ πολλῆς παρρησίας ἡ παρανομία αὕτη τολμᾶται· κἂν ἐγκαλέσῃ τις, εὐθέως γέλως ἕπεται καὶ χλευασία πολλή, οὐχὶ τοῖς ἐγκαλουμένοις ὑπὲρ τῶν ὅρκων, ἀλλὰ τοῖς διορθῶσαι τὸ νόσημα βουλομένοις. Διὰ τοῦτο μακρὸν ὑπὲρ τούτων ἀποτείνων τὸν λόγον, βαθεῖαν γὰρ ῥίζαν ἀνασπᾶσαι βούλομαι καὶ χρόνιον ἀπαλεῖψαι κακόν· οὐ λέγω τὰς ἐπιορκίας μόνον, ἀλλὰ καὶ τὰς εὐορκίας αὐτάς.

15. Ἀλλ' ὁ δεῖνα, φησίν, ἄνθρωπος ἐπιεικής, εἰς ἱερωσύνην τελῶν, πολλῇ σωφροσύνῃ καὶ εὐλαβείᾳ συζῶν. Μή μοι τὸν ἐπιεικῆ τοῦτον εἴπῃς, τὸν σώφρονα, τὸν εὐλαβῆ, τὸν εἰς ἱερωσύνην τελοῦντα· ἀλλ', εἰ βούλει, θὲς Πέτρον εἶναι τοῦτον ἢ Παῦλον ἢ καὶ ἄγγελον ἐξ οὐρανοῦ καταβάντα· οὐδὲ γὰρ οὕτως ἐπιστρέφομαι πρὸς τὴν ἀξίαν τῶν προσώπων. Νόμον γὰρ οὐχὶ δουλικόν, ἀλλὰ βασιλικὸν ἀναγινώσκω ἐγὼ περὶ τῶν ὅρκων. Ὅταν δὲ βασιλέως ἀναγινώσκηται γράμματα, ἅπαν τὸ τῶν δούλων ἀξίωμα ἡσυχαζέτω. Ἂν μὲν γὰρ ἔχῃς εἰπεῖν, ὅτι ὁ Χριστὸς ὀμνύναι ἐκέλευσεν, ἢ ὅτι ὁ Χριστὸς οὐ κολάζει τοῦτο γινόμενον, δεῖξον καὶ πείθομαι· εἰ δὲ μετὰ τοσαύτης ἀπείργει σπουδῆς καὶ τοσαύτην ὑπὲρ τοῦ πράγματος ποιεῖται πρόνοιαν, ὡς μετὰ τοῦ πονηροῦ στῆσαι τὸν ὀμνύοντα («τὸ γὰρ περισσὸν τούτων, τοῦ 'ναὶ' καὶ τοῦ 'οὔ'», φησίν, «ἐκ τοῦ διαβόλου ἐστί»), τί μοι τὸν δεῖνα καὶ τὸν δεῖνα προσάγεις εἰς μέσον; Οὐ γὰρ ἀπὸ ῥᾳθυμίας τῶν συνδούλων οἴσει τὴν ψῆφον ὁ Θεὸς ταύτην, ἀλλ' ἀπὸ τῆς ἐπιταγῆς τῶν αὐτοῦ νόμων. Ἐπέταξα, φησίν, ἔδει πεισθῆναι καὶ μὴ τὸν δεῖνα προβάλλεσθαι, μηδὲ ἀλλότρια περιεργάζεσθαι κακά. Ἐπεὶ ὁ μέγας Δαυὶδ ἥμαρτεν ἁμαρτίαν χαλεπήν· ἆρα οὖν ἀκίνδυνον ἡμῖν διὰ τοῦτο τὸ ἁμαρτάνειν, εἰπέ μοι; Διὰ τοῦτο μὲν οὖν τοῦτο ἀσφαλίζεσθαι χρὴ καὶ τὰ κατορθώματα τῶν ἁγίων μόνον ζηλοῦν· εἰ δέ που ῥᾳθυμία καὶ νόμου παράβασις, μετὰ

γι' αὐτὸ φοβᾶμαι, ἐπειδὴ κανένας δὲν τὸ φοβᾶται· γι' αὐτὸ εἶναι ἀθεράπευτο τὸ νόσημα, ἐπειδὴ οὔτε κἂν θεωρεῖται ὅτι εἶναι νόσημα· ἀλλά, ὅπως ἀκριβῶς δὲν εἶναι ἔγκλημα τὸ νὰ μιλάει κανεὶς ἁπλῶς, ἔτσι οὔτε αὐτὸ θεωρεῖται ὅτι εἶναι ἔγκλημα, ἀλλὰ μὲ πολλὴ ἀφοβία τολμᾶται αὐτὴ ἡ παρανομία· καὶ ἂν κάποιος κατηγορήσει αὐτό, ἀμέσως ἀκολουθοῦν γέλια καὶ χλευασμὸς μεγάλος, ὄχι γιὰ ἐκείνους ποὺ κατηγοροῦνται γιὰ τοὺς ὅρκους, ἀλλὰ γιὰ ἐκείνους ποὺ θέλουν νὰ διορθώσουν τὸ νόσημα. Γι' αὐτὸ σᾶς ἀπευθύνω μακρὺ λόγο γι' αὐτά, γιατὶ θέλω νὰ ξεριζώσω βαθειὰ ρίζα καὶ νὰ ἐξαλείψω χρόνιο κακό· δὲν ἐννοῶ μόνο τὶς ἐπιορκίες, ἀλλὰ καὶ τὶς ἴδιες τὶς εὐορκίες.

15. Ἀλλ' ὁ τάδε, λέγει, εἶναι ἄνθρωπος καλός, εἶναι ἱερωμένος καὶ ζεῖ μὲ πολλὴ σωφρσύνη καὶ εὐλάβεια. Μὴ μοῦ πεῖς αὐτὸν τὸν καλὸ ἄνθρωπο, τὸν σώφρονα, τὸν εὐλαβῆ καὶ ἱερωμένο, ἀλλά, ἂν θέλεις, ὑπόθεσε ὅτι αὐτὸς εἶναι ὁ Πέτρος ἢ ὁ Παῦλος ἢ καὶ ἄγγελος ποὺ κατέβηκε ἀπὸ τὸν οὐρανό· γιατὶ δὲν δίνω τόση προσοχὴ στὴν ἀξία τῶν προσώπων. Καθόσον ἐγὼ δὲν σᾶς διαβάζω γιὰ τοὺς ὅρκους νόμο δουλικό, ἀλλὰ βασιλικό. Ὅταν διαβάζονται τὰ γράμματα τοῦ βασιλιᾶ, ἂς παραμερίζεται ὁποιοδήποτε ἀξίωμα τῶν δούλων. Γιατί, ἂν μπορεῖς νὰ πεῖς ὅτι ὁ Χριστὸς πρόσταξε νὰ ὁρκιζόμαστε ἢ ὅτι ὁ Χριστὸς δὲν τιμωρεῖ αὐτὸ ὅταν γίνεται, δεῖξε μου ποῦ τὸ εἶπε καὶ θὰ πιστέψω· ἂν ὅμως μὲ τόση αὐστηρότητα ἀπαγόρευσε αὐτὸ καὶ δείχνει τόση φροντίδα γιὰ τὸ πράγμα αὐτό, ὥστε νὰ ἐξισώνει ἐκεῖνον ποὺ ὁρκίζεται μὲ τὸν πονηρὸ (γιατὶ λέγει, «τὸ περισσότερο ἀπ' αὐτά, ἀπὸ τὸ 'ναὶ' δηλαδὴ καὶ τὸ 'ὄχι' προέρχεται ἀπὸ τὸ διάβολο), γιατί μοῦ παρουσιάζεις τὸν τάδε καὶ τὸν τάδε; Γιατὶ ὁ Θεὸς δὲν θὰ ἐκδώσει τὴν ἀπόφασή του μὲ βάση τὴν ἀδιαφορία τῶν συνδούλων μας, ἀλλὰ μὲ βάση τὴν προσταγὴ τῶν νόμων του. Ἔδωσα ἐντολή, λέγει· ἔπρεπε νὰ ὑπακούσεις καὶ νὰ μὴ προβάλλεις σὰν δικαιολογία τὸν τάδε, οὔτε νὰ περιεργάζεσαι ξένα κακά. Ἐπειδὴ ὁ μέγας Δαυὶδ διέπραξε ἁμαρτία φοβερή, ἄραγε λοιπόν, πές μου, εἶναι γιὰ τὸ λόγο αὐτὸ ἀκίνδυνο σ' ἐμᾶς ν' ἁμαρτάνομε; Γι' αὐτὸ ἀκριβῶς πρέπει νὰ προφυλαγόμαστε καὶ νὰ μιμούμαστε μόνο τὰ κατορθώματα τῶν ἁγίων· ἂν ὅμως κάπου βλέπομε ἀδιαφορία καὶ παράβαση τοῦ νόμου, πρέπει νὰ τὴν ἀποφεύγομε μὲ

πολλῆς ἀποφεύγειν χρὴ τῆς σπουδῆς. Οὐ γὰρ πρὸς τοὺς συνδούλους ἡμῖν, ἀλλὰ πρὸς τὸν Δεσπότην ὁ λόγος ἐστὶ καὶ τούτῳ τὰς εὐθύνας δώσομεν τῶν βεβιωμένων ἁπάντων. Πρὸς ἐκεῖνο τοίνυν παρασκευαζώμεθα τὸ δικαστήριον· κἂν γὰρ μυριάκις θαυμαστὸς ᾖ καὶ μέγας ὁ τὸν νόμον παραβαίνων τοῦτον, δώσει πάντως τὴν τῇ παραβάσει κειμένην τιμωρίαν· οὐ γάρ ἐστι προσωπολήπτης ὁ Θεός.

16. Πῶς οὖν ἔστι καὶ τίνι τρόπῳ φυγεῖν τὸ ἁμάρτημα; Οὐ γὰρ δὴ μόνον ἔγκλημα χαλεπὸν χρὴ δεῖξαι, ἀλλὰ καὶ ὅπως ἂν ἀπαλλαγείημεν συμβουλεῦσαι. Ἔχεις γυναῖκα, ἔχεις οἰκέτην, ἔχεις παιδία καὶ φίλον καὶ συγγενῆ καὶ γείτονα; Πᾶσι τούτοις τὴν ἐπὶ τούτων ἐπίτρεψον φυλακήν. Χαλεπὸν ἡ συνήθεια, καὶ δεινὸν ὑποσκελίσαι, καὶ δυσφύλακτον, καὶ ἄκοντας ἡμᾶς πολλάκις καὶ οὐκ εἰδότας ἐμβάλλει; Οὐκοῦν ὅσῳ τῆς συνηθείας οἶδας τὴν δύναμιν, τοσούτῳ τῆς μὲν πονηρᾶς συνηθείας ἀπαλλαγῆναι σπούδασον, πρὸς δὲ τὴν ἑτέραν τὴν χρησιμωτάτην σεαυτὸν μετάστησον. Ὥσπερ γὰρ νῦν σπουδάζοντά σε καὶ φυλαττόμενον καὶ μεριμνῶντα καὶ φροντίζοντα ἴσχυσε πολλάκις ὑποσκελίσαι ἐκείνη, οὕτως ἂν εἰς τὴν ἀγαθὴν σαυτὸν συνήθειαν μεταστήσῃς τὴν τοῦ μὴ ὀμνύναι, οὐδὲ ἄκων οὐδὲ ῥᾳθυμῶν ἐμπεσεῖν δυνήσῃ ποτὲ πρὸς τὰ τῶν ὅρκων πτώματα· μέγα γὰρ ὄντως συνήθεια καὶ φύσεως ἔχει δύναμιν.

17. Ἵν' οὖν μὴ πονῶμεν συνεχῶς, ἑαυτοὺς εἰς συνήθειαν μεταστήσωμεν ἑτέραν καὶ ἕκαστον τῶν σοὶ συγγινομένων καὶ συνόντων ταύτην αἴτησαι τὴν χάριν, ἵνα συμβουλεύῃ καὶ παραινῇ φεύγειν τοὺς ὅρκους καὶ ἁλισκόμενον ἐλέγχῃ. Ἡ γὰρ παρ' αὐτῶν εἰς σὲ γινομένη φυλακὴ καὶ αὐτοῖς ἐστι συμβουλὴ καὶ παραίνεσις τοῦ κατορθώματος. Ὁ γὰρ ἐγκαλῶν ἑτέρῳ περὶ ὅρκων, οὐ ῥᾳδίως αὐτὸς εἰς τὸ βάραθρον ἐμπεσεῖται· βάραθρον γὰρ οὐ τὸ τυχὸν ἡ πολυορκία, οὐχ ὅταν περὶ τῶν ἐλαχίστων μόνον, ἀλλὰ καὶ ὅταν περὶ μεγί-

μεγάλη προσοχὴ καὶ προθυμία. Γιατὶ δὲ θὰ λογοδοτήσομε στοὺς συνδούλους μας, ἀλλὰ στὸν Κύριο καὶ σ' αὐτὸν θ' ἀπολογηθοῦμε γιὰ ὅλες τὶς πράξεις τῆς ζωῆς μας. Ἂς προετοιμαζόμαστε λοιπὸν γιὰ ἐκεῖνο τὸ δικαστήριο· γιατὶ κι ἂν ἀκόμη εἶναι σὲ ἀμέτρητο βαθμὸ σπουδαῖος καὶ μεγάλος ἐκεῖνος ποὺ παραβαίνει αὐτὸ τὸ νόμο, ὁπωσδήποτε θὰ ὑποστεῖ τὴν τιμωρία ποὺ ἐπιφυλάσσεται γιὰ τὴν παράβαση αὐτή· γιατὶ ὁ Θεὸς δὲν εἶναι προσωπολήπτης.

16. Πῶς λοιπὸν καὶ μὲ ποιό τρόπο εἶναι δυνατὸ ν' ἀποφύγομε τὸ ἁμάρτημα; Γιατὶ δὲν πρέπει νὰ δείξομε μόνο ὅτι εἶναι φοβερὸ ἁμάρτημα, ἀλλὰ καὶ νὰ συμβουλεύσομε πῶς θὰ μπορέσομε ν' ἀπαλλαγοῦμε ἀπ' αὐτό. Ἔχεις γυναίκα, ἔχεις δοῦλο, ἔχεις παιδιὰ καὶ φίλο καὶ συγγενῆ καὶ γείτονα; σ' ὅλους ἀνάθεσε τὴν προφύλαξη ἀπ' αὐτούς. Εἶναι φοβερὸ πράγμα ἡ συνήθεια καὶ μεγάλη ἡ δύναμή της γιὰ νὰ μᾶς ρίξει κάτω καὶ δύσκολα μπορεῖ κανεὶς νὰ προφυλαχθεῖ, καὶ πολλὲς φορὲς μᾶς ὁδηγεῖ στὴν παράβαση χωρὶς τὴ θέλησή μας καὶ χωρὶς νὰ τὸ γνωρίζομε; Λοιπὸν ὅσο περισσότερο γνωρίζεις τὴ δύναμη τῆς συνήθειας, τόσο περισσότερο φρόντισε ν' ἀπαλλαχθεῖς ἀπὸ τὴν κακὴ συνήθεια, καὶ μετάφερε τὸν ἑαυτό σου πρὸς τὴν ἄλλη ποὺ εἶναι πολὺ χρήσιμη. Γιατί, ὅπως τώρα, ἂν καὶ προσπαθεῖς καὶ προφυλάσσεσαι καὶ μεριμνᾶς καὶ φροντίζεις, κατόρθωσε ἐκείνη πολλὲς φορὲς νὰ σὲ ὑποσκελίσει, ἔτσι, ἂν μεταφέρεις τὸν ἑαυτό σου στὴν καλὴ συνήθεια, τὸ νὰ μὴ ὁρκίζεσαι δηλαδή, δὲν θὰ καταστεῖ ποτὲ δυνατὸ νὰ πέσεις στὰ παραπτώματα τοῦ ὅρκου οὔτε χωρὶς τὴ θέλησή σου οὔτε ἀπὸ ἀδιαφορία· γιατὶ πραγματικὰ εἶναι μεγάλο πράγμα ἡ συνήθεια καὶ ἔχει δύναμη φύσεως.

17. Γιὰ νὰ μὴ κοπιάζομε λοιπὸν συνέχεια, ἂς μεταφέρομε τὸν ἑαυτό μας σὲ ἄλλη συνήθεια καὶ αὐτὴ τὴ χάρη ζήτησε ἀπὸ τὸν καθένα ποὺ σὲ συναναστρέφεται καὶ ζεῖς μαζί τους, νὰ σὲ συμβουλεύει καὶ νὰ σὲ προτρέπει ν' ἀποφεύγεις τοὺς ὅρκους καὶ νὰ σὲ ἐλέγχει ὅταν κάμνεις αὐτούς. Γιατὶ ἡ προφύλαξη αὐτὴ ποὺ γίνεται σὲ σένα ἀπ' αὐτοὺς ἀποτελεῖ συμβουλὴ καὶ προτροπὴ καὶ σ' αὐτοὺς γιὰ νὰ κατορθώσουν αὐτό. Γιατὶ ἐκεῖνος ποὺ κατηγορεῖ ἄλλον γιὰ ὅρκους, δὲν θὰ πέσει ὁ ἴδιος εὔκολα στὸ βάραθρο· καὶ δὲν εἶναι τὸ τυχὸν βάραθρο ἡ πολυορκία, ποὺ γίνεται ὄχι μόνο γιὰ

στων γίνηται πραγμάτων. Ἡμεῖς δὲ καὶ λάχανα ὠνούμενοι, καὶ ὑπὲρ ὀβολῶν δύο φιλονεικοῦντες, καὶ πρὸς οἰκέτας ὀργιζόμενοι, καὶ ἀπειλοῦντες, τὸν Θεὸν πανταχοῦ καλοῦμεν μάρτυρα· καὶ ἄνθρωπον μὲν ἐλεύθερον, ἀξίαν τινὸς μετασχόντα ψιλῆς οὐκ ἂν ἐτόλμησας ὑπὲρ τοιούτων καλέσαι μάρτυρα ἐπ' ἀγορᾶς, ἀλλὰ κἂν ἐπιχειρήσης, δίκην δώσεις τῆς ὕβρεως, τὸν δὲ τῶν οὐρανῶν βασιλέα, τὸν τῶν ἀγγέλων Δεσπότην καὶ περὶ ὠνίων καὶ περὶ χρημάτων καὶ περὶ τῶν τυχόντων διαλεγόμενος ἕλκεις εἰς μαρτυρίαν· καὶ πῶς ταῦτα ἀνεκτά; Πόθεν οὖν ἀπαλλαγείημεν ἐκ τῆς πονηρᾶς ταύτης συνηθείας; Τοὺς φύλακας οὓς εἶπον περιστήσαντες, χρόνον ῥητὸν ὁρίσαντες ἑαυτοῖς πρὸς διόρθωσιν, καὶ καταδίκην ἐπιθέντες, εἰ τοῦ χρόνου παρελθόντος μὴ κατορθώσαιμεν τοῦτο. Πόσος ἡμῖν χρόνος ἀρκέσαι πρὸς τοῦτο; Οὐκ οἶμαι τοὺς σφόδρα νήφοντας καὶ διεγηγερμένους καὶ ὑπὲρ τῆς ἑαυτῶν ἀγρυπνοῦντας σωτηρίας πλέον ἡμερῶν δέκα δεηθήσεσθαι, ὥστε παντελῶς ἀπαλλαγῆναι τῆς πονηρᾶς τῶν ὅρκων συνηθείας. Εἰ δὲ μετὰ τὰς δέκα ἡμέρας ὀφθείημεν ὀμνύντες, δίκην ἑαυτοῖς ἐπιθῶμεν καὶ τιμωρίαν μεγίστην καὶ καταδίκην ὁρίσωμεν τῆς παραβάσεως. Τίς οὖν ἐστιν ἡ καταδίκη; Οὐκ ἔτι τοῦτο ὁρίζω ἐγώ, ἀλλ' ὑμᾶς αὐτοὺς ἀφίημι κυρίους τῆς ψήφου εἶναι.

18. Οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, μὴ μόνον ἐπὶ τῶν ὅρκων, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἐλαττωμάτων, καὶ χρόνον ὁρίζοντες ἑαυτῶν τιμωρίαις χαλεπωτάταις, εἴ ποτε περιπέσωμεν τούτοις, καθαροὶ πρὸς τὸν ἡμέτερον ἀπελευσόμεθα Δεσπότην, καὶ τῆς τοῦ πυρὸς γεέννης ἀπαλλαγησόμεθα, καὶ μετὰ παρρησίας στησόμεθα ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἀσήμαντα πράγματα ἀλλὰ καὶ γιὰ πάρα πολὺ μεγάλα πράγματα. Ἐμεῖς ὅμως καὶ ὅταν ἀγοράζομε λάχανα καὶ ὅταν φιλονεικοῦμε γιὰ δυὸ ὀβολούς, καὶ ὅταν ὀργιζόμαστε πρὸς τοὺς δούλους, καὶ ὅταν τοὺς ἀπειλοῦμε, παντοῦ καλοῦμε μάρτυρα τὸ Θεό· καὶ ἄνθρωπο βέβαια ἐλεύθερο, ποὺ ἔχει κάποιο μικρὸ ἀξίωμα, δὲν θὰ τολμοῦσες νὰ τὸν καλέσεις γιὰ τὴν ἀγορὰ τέτοιων πραγμάτων ὡς μάρτυρα, ἀλλὰ καὶ ἂν τὸ ἐπιχειρήσεις, θὰ τιμωρηθεῖς γιὰ τὴν προσβολὴ αὐτή, ἐνῶ τὸ βασιλιὰ τῶν οὐρανῶν, τὸν Κύριο τῶν ἀγγέλων, τὸν σύρεις μάρτυρα καὶ γιὰ ψώνια καὶ γιὰ χρήματα καὶ ὅταν μιλᾶς γιὰ τυχαῖα πράγματα· καὶ πῶς αὐτὰ θὰ εἶναι ἀνεκτά; Πῶς λοιπὸν θὰ μπορούσαμε ν' ἀπαλλαχθοῦμε ἀπὸ τὴν κακὴ αὐτὴ συνήθεια; Ἂν τοποθετήσομε γύρω μας τοὺς φύλακες ποὺ ἀνέφερα, ὁρίζοντάς τους καθορισμένο χρόνο γιὰ τὴ διόρθωσή μας, προσθέτοντας καὶ τιμωρία γιὰ τὸν ἑαυτό μας ἂν περάσει ὁ χρόνος καὶ δὲν τὸ ἐπιτύχομε αὐτό. Πόσος χρόνος θὰ μᾶς χρειασθεῖ γι'αὐτό; Δὲν νομίζω ὅτι θὰ χρειασθοῦν περισσότερες ἀπὸ δέκα ἡμέρες γιὰ ἐκείνους ποὺ εἶναι πάρα πολὺ νηφάλιοι καὶ διεγερμένοι καὶ ἐπαγρυπνοῦν γιὰ τὴ σωτηρία τους, ὥστε ν' ἀπαλλαχθοῦν τελείως ἀπὸ τὴν κακὴ συνήθεια τῶν ὅρκων. Ἂν ὅμως μετὰ ἀπὸ δέκα ἡμέρες συμβεῖ νὰ ὁρκισθοῦμε, ἂς ἐπιβάλομε στὸν ἑαυτό μας ποινὴ καὶ πολὺ μεγάλη τιμωρία, ὁρίζοντας καὶ καταδίκη γιὰ τὴν παράβαση. Ποιά λοιπὸν θὰ εἶναι ἡ καταδίκη; Αὐτὸ δὲν τὸ ὁρίζω ἐγὼ τώρα, ἀλλ' ἀφήνω σᾶς τοὺς ἴδιους κύριους νὰ τὸ ἀποφασίσετε.

18. Ἔτσι ἂς ρυθμίζομε τὰ σχετικὰ μὲ τὸν ἑαυτό μας, ὄχι μόνο ὡς πρὸς τοὺς ὅρκους, ἀλλὰ κι ὡς πρὸς τ' ἄλλα ἐλαττώματα, ὁρίζοντας καὶ χρόνο μὲ φοβερότατες τιμωρίες γιὰ τὸν ἑαυτό μας, ἂν ποτε περιπέσομε σ' αὐτά, καὶ ἔτσι θὰ μεταβοῦμε καθαροὶ πρὸς τὸν Κύριό μας καὶ θ' ἀπαλλαχθοῦμε ἀπὸ τὴ γέεννα τοῦ πυρὸς καὶ μὲ παρρησία θὰ σταθοῦμε μπροστὰ στὸ βῆμα τοῦ Χριστοῦ, τὴν ὁποία εὔχομαι ὅλοι μας νὰ ἐπιτύχομε, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα καὶ μαζὶ καὶ στὸ ἅγιο Πνεῦμα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΚΑΤΗΧΗΣΙΣ Γ'

ΠΡΟΣ ΤΟΥΣ ΜΕΛΛΟΝΤΑΣ ΦΩΤΙΖΕΣΘΑΙ

Καὶ περὶ γυναικῶν τῶν ἐν πλέγμασι καὶ χρυσῷ κατακοσμουσῶν ἑαυτάς· καὶ περὶ τῶν κληδονισμοῖς ἢ περιάπτοις ἢ ἐπῳδαῖς κεχρημένων, ἅπερ ἅπαντα ἀλλότρια Χριστιανισμοῦ

1. Τῶν πρῴην εἰρημένων πρὸς τὴν ὑμετέραν ἀγάπην πρότερον τοὺς καρποὺς παρεγενόμην ἀπαιτήσων ὑμᾶς. Οὐ γὰρ διὰ τοῦτο λέγομεν, ἵνα ἀκούσητε μόνον, ἀλλ' ἵνα καὶ μνημονεύητε τῶν εἰρημένων καὶ τὴν διὰ τῶν ἔργων ἐπίδειξιν ἡμῖν παράσχητε· μᾶλλον δὲ οὐχ ἡμῖν, ἀλλὰ τῷ Θεῷ τῷ τὰ ἀπόρρητα τῆς διανοίας εἰδότι. Διὰ τοῦτο καὶ κατήχησις λέγεται, ἵνα καὶ ἀπόντων ἡμῶν, ὁ λόγος ὑμῶν ἐνηχῇ ταῖς διανοίαις. Καὶ μὴ θαυμάσητε, εἰ δέκα ἡμερῶν διαγενομένων μόνον τοὺς καρποὺς ἤλθομεν ἀπαιτήσοντες τῶν σπερμάτων· καὶ γὰρ ἐν ἡμέρᾳ μιᾷ δυνατὸν ὁμοῦ καὶ σπέρματα καταβαλεῖν καὶ ἀμητὸν ποιήσασθαι· οὐ γὰρ οἰκείᾳ δυνάμει μόνον, ἀλλὰ καὶ τῇ παρὰ τοῦ Θεοῦ ῥοπῇ δυναμούμενοι, οὕτω πρὸς τοὺς ἀγῶνας καλούμεθα. Ὅσοι μὲν οὖν κατεδέξαντο τὰ εἰρημένα καὶ διὰ τῶν ἔργων ἐπλήρωσαν, μενέτωσαν ἐπεκτεινόμενοι πρὸς τὰ ἔμπροσθεν, ὅσοι δὲ οὐδέπω τῆς ἀγαθῆς ταύτης ἐργασίας ἥψαντο, ἐντεῦθεν ἀψάσθωσαν, ἵνα τὴν ἐκ τῆς ῥαθυμίας καταδίκην τῇ μετὰ ταῦτα προθυμίᾳ ἀποκρούσωνται. Ἔνι γάρ, ἔνι καὶ τὸν ἐρρᾳθυμηκότα σφόδρα μετὰ ταῦτα χρησάμενον τῇ προθυμίᾳ τοῦ παρελθόντος χρόνου πᾶσαν ἀναστῆσαι τὴν ζημίαν. Διό, φησί, «σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν



ΚΑΤΗΧΗΣΗ ΔΕΚΑΤΗ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΕΠΡΟΚΕΙΤΟ ΝΑ ΒΑΠΤΙΣΘΟΥΝ

Ἐπίσης γιὰ τὶς γυναῖκες ἐκεῖνες ποὺ στολίζονται μὲ πλεξοῦδες καὶ χρυσὰ κοσμήματα καὶ γιὰ ἐκείνους ποὺ χρησιμοποιοῦν μαντεῖες ἢ φυλαχτὰ ἢ ξόρκια, πράγματα ποὺ ὅλα εἶναι ξένα πρὸς τὸ Χριστιανισμὸ

1. Ἦρθα τώρα γιὰ νὰ σᾶς ζητήσω πρῶτα τοὺς καρποὺς ἐκείνων ποὺ εἶπα πρὸς τὴν ἀγάπη σας προηγουμένως. Γιατὶ δὲν τὰ λέγω γι' αὐτό, γιὰ νὰ τὰ ἀκούσετε μόνο, ἀλλὰ καὶ γιὰ νὰ ἔχετε στὴ μνήμη σας τὰ λεγόμενα καὶ νὰ μοῦ τὸ δείχνετε αὐτὸ μὲ τὰ ἔργα σας· ἢ καλύτερα ὄχι σὲ μένα, ἀλλὰ στὸ Θεὸ ποὺ γνωρίζει τὰ ἀπόρρητα τῆς σκέψεως. Γι' αὐτὸ καὶ λέγεται κατήχηση, ὥστε καὶ ὅταν ἐγὼ εἶμαι ἀπών, ὁ λόγος μου νὰ ἠχεῖ στὸ νοῦ σας. Καὶ μὴ ἀπορήσετε ποὺ ἦρθα μετὰ τὸ πέρασμα τῶν δέκα μόνο ἡμερῶν νὰ ζητήσω τοὺς καρποὺς τῶν σπερμάτων μου· γιατὶ εἶναι δυνατὸ σὲ μιὰ ἡμέρα συγχρόνως καὶ νὰ σπείρει κανεὶς καὶ νὰ θερίσει· γιατὶ καλούμαστε στοὺς ἀγῶνες ὄχι μόνο μὲ τὴ δύναμή μας, ἀλλ' ἐνισχυόμενοι καὶ ἀπὸ τὴ δύναμη τοῦ Θεοῦ. Ὅσοι λοιπὸν δέχθηκαν τὰ λεγόμενα καὶ τὰ πραγματοποίησαν, ἂς προχωρήσουν πρὸς τὰ ἐμπρὸς ὅσο μποροῦν περισσότερο, ἐνῶ ὅσοι δὲν ἄρχισαν ἀκόμη τὴν καλὴ αὐτὴ ἐργασία, ἂς ἀρχίσουν ἀπὸ τὴ στιγμὴ αὐτή, γιὰ νὰ ἀποφύγουν τὴν καταδίκη ἀπὸ τὴ ἀδιαφορία μὲ τὴν προθυμία τους στὴ συνέχεια. Γιατὶ εἶναι δυνατό, εἶναι δυνατὸ καὶ ἐκεῖνος ποὺ ἔδειξε μεγάλη ἀδιαφορία, δείχνοντας στὴ συνέχεια μεγάλη προθυμία, νὰ ἐπανορθώσει ὅλη τὴ ζημιὰ ἀπὸ τὸν περασμένο χρόνο. Γι' αὐτό, λέγει, «σήμερα, ἀκούσετε τὰ λόγια μου καὶ μὴ σκληρύνετε τὶς καρδιές

τῷ παραπικρασμῷ». Τοῦτο δὲ λέγει παραινῶν καὶ συμβουλεύων, μηδέποτε ἀπογινώσκειν, ἀλλ' ἕως ἂν ἐνταῦθα ὦμεν χρηστὰς ἔχειν τὰς ἐλπίδας, καὶ τῶν ἔμπροσθεν ἐπιλαμβάνεσθαι καὶ πρὸς τὸ βραβεῖον διώκειν τῆς ἄνω κλήσεως τοῦ Θεοῦ.

2. *Τοῦτο τοίνυν ποιήσωμεν καὶ τὰ ὀνόματα τῆς μεγάλης ταύτης ἐξετάσωμεν δωρεᾶς. Ὥσπερ γὰρ νοούμενον ἀξιώματος μέγεθος ῥᾳθυμοτέρους ποιεῖ τοὺς τιμωμένους, οὕτω γνωριζόμενον εὐχαρίστους καθίστησι καὶ σπουδαιοτέρους ἐργάζεται. Καὶ ἄλλως δὲ αἰσχρὸν ἂν εἴη καὶ καταγέλαστον τοσαύτης ἀπολαύοντας παρὰ τοῦ Θεοῦ τιμῆς, μηδὲ τὰ ὀνόματα αὐτῆς εἰδέναι, τί ποτε ἐνδείξασθαι βούλεται. Καὶ τί λέγω περὶ τῆς δωρεᾶς ταύτης; Ἂν γὰρ τὸ κοινὸν τοῦ γένους ἡμῶν ἐννοήσῃς ὄνομα, μεγίστην πρὸς ἀρετὴν λήψῃ διδασκαλίαν καὶ παράκλησιν. Τὸ γὰρ ἄνθρωπος τοῦτο ὄνομα οὐ κατὰ τοὺς ἔξωθεν ἡμεῖς ὁριζόμεθα, ἀλλ' ὡς ἡ θεία Γραφὴ ἐκέλευσεν. Ἄνθρωπος γάρ ἐστιν, οὐχ ὅστις ἁπλῶς χεῖρας καὶ πόδας ἔχει ἀνθρώπου, οὐδ' ὅστις ἐστὶ λογικὸς μόνον, ἀλλ' ὅστις εὐσέβειαν καὶ ἀρετὴν μετὰ παρρησίας ἀσκεῖ. Ἄκουσον γοῦν περὶ τοῦ Ἰὼβ τί φησιν· εἰπὼν γάρ, ὅτι «ἐν χώρᾳ τῇ Αὐσίτιδι ἄνθρωπος ἦν», οὐκ ἀπὸ τούτων αὐτὸν ὑπογράφει τῶν ὅρων, ἀφ' ὧν οἱ ἔξωθεν, οὐδὲ τοῦτο λέγει, ὅτι πόδας δύο εἶχεν καὶ ὄνυχας πλατεῖς, ἀλλὰ τὰ γνωριστικὰ τῆς εὐσεβείας ἐκείνης συντιθεὶς ἔλεγε, «δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος», δεικνὺς ὅτι τοῦτό ἐστιν ἄνθρωπος. Καθάπερ οὖν καὶ ἕτερός φησι· «τὸν Θεὸν φοβοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος». Εἰ δὲ τὸ 'ἄνθρωπος' ὄνομα τοσαύτην εἰς ἀρετὴν παράκλησιν παρέχει, πολλῷ μᾶλλον τὸ 'πιστός'. Πιστὸς γὰρ διὰ τοῦτο καλῇ, ὅτι καὶ πιστεύεις τῷ Θεῷ, καὶ πιστεύῃ παρ' αὐτοῦ αὐτὸς δικαιοσύνην, ἁγιωσύνην, καθαρότητα ψυχῆς, υἱοθεσίαν, βασιλείαν οὐρανῶν· ἐνεπίστευσε καὶ ταῦτά σοι παρακατέθετο· σὺ πάλιν ἕτερα αὐτῷ ἐνεπίστευσας καὶ παρακατέθου, ἐλεημοσύνην, εὐχάς,*

---

1. Ψαλμ. 94,8.
2. Ἰὼβ 1,1.
3. Ἐκκλ. 12,13.

σας, ὅπως τότε ποὺ μὲ παραπίκραναν οἱ πρόγονοί σας»[1]. Αὐτὸ τὸ λέγει προτρέποντάς μας καὶ συμβουλεύοντάς μας νὰ μὴ ἀπελπιζόμαστε ποτέ, ἀλλὰ ὅσο ἀκόμη βρισκόμαστε ἐδῶ νὰ ἔχομε καλὲς ἐλπίδες καὶ νὰ προχωροῦμε πρὸς τὰ ἐμπρός, ἐπιδιώκοντας τὸ βραβεῖο τῆς κλήσεως τοῦ Θεοῦ πρὸς τὸν οὐρανό.

2. Αὐτὸ λοιπὸν ἂς κάμομε καὶ ἂς ἐξετάσομε τὰ ὀνόματα αὐτῆς τῆς μεγάλης δωρεᾶς. Γιατί, ὅπως ἀκριβῶς ἡ σκέψη γιὰ τὸ μέγεθος ἑνὸς ἀξιώματος κάμνει ραθυμότερους ἐκείνους ποὺ τιμῶνται, ἔτσι ὅταν τὸ γνωρίσουν τοὺς κάμνει εὐγνώμονες καὶ προθυμότερους. Ἐξ ἄλλου θὰ ἦταν αἰσχρὸ καὶ ἄξιο γιὰ γέλια, ἐνῶ ἀπολαμβάνετε τόση τιμὴ ἐκ μέρους τοῦ Θεοῦ, νὰ μὴ γνωρίζετε οὔτε τὰ ὀνόματα αὐτῆς, τί δηλαδὴ σημαίνουν αὐτά. Καὶ γιατί λέγω γιὰ τὴ δωρεὰ αὐτή; Γιατί, ἂν κατανοήσεις τὸ κοινὸ ὄνομα τοῦ γένους μας, θὰ λάβεις μέγιστη διδασκαλία καὶ παρότρυνση γιὰ τὴν ἀρετή. Γιατὶ τὸ ὄνομα αὐτὸ ‘ἄνθρωπος’, δὲν τὸ ὁρίζομε ὅπως οἱ μὴ Χριστιανοὶ συγγραφεῖς, ἀλλ’ ὅπως πρόσταξε ἡ θεία Γραφή. Ἄνθρωπος δηλαδὴ εἶναι ὄχι ἐκεῖνος ποὺ ἔχει ἁπλῶς χέρια καὶ πόδια ἀνθρώπου, οὔτε ὅποιος εἶναι μόνο λογικός, ἀλλ’ ὅποιος ἀσκεῖ τὴν ἀρετὴ μὲ εὐσέβεια καὶ παρρησία. Ἄκουσε λοιπὸν τί λέγει γιὰ τὸν Ἰώβ· γιατὶ ἀφοῦ εἶπε, «ζοῦσε στὴν Αὐσίτιδα χώρα κάποιος ἄνθρωπος», δὲν περιγράφει αὐτὸν ἀπὸ τὰ ἴδια τὰ γνωρίσματα ποὺ περιγράφουν αὐτὸν οἱ μὴ Χριστιανοὶ συγγραφεῖς, οὔτε λέγει αὐτό, ὅτι εἶχε δυὸ πόδια καὶ νύχια πλατιά, ἀλλὰ συγκεντρώνοντας τὰ γνωρίσματα τῆς εὐσέβειας ἐκείνης ἔλεγε, «ποὺ ἦταν δίκαιος, ἀληθινός, θεοσεβής, ἀπέχοντας ἀπὸ κάθε κακὸ πράγμα»[2], δείχνοντας ὅτι αὐτὸ εἶναι ἄνθρωπος. Ὅπως ἀκριβῶς βέβαια καὶ ἄλλος λέγει· «νὰ φοβᾶσαι τὸ Θεὸ καὶ νὰ φυλάσσεις τὶς ἐντολές του, γιατὶ αὐτὸς εἶναι προορισμὸς τοῦ κάθε ἀνθρώπου»[3]. Καὶ ἂν τὸ ὄνομα ‘ἄνθρωπος’ παρέχει τόση παρότρυνση πρὸς τὴν ἀρετή, πολὺ περισσότερο τὸ ὄνομα ‘πιστός’. Γιατὶ πιστὸς γι’ αὐτὸ ὀνομάζεσαι, ἐπειδὴ πιστεύεις στὸ Θεὸ καὶ πιστεύεις ὅτι θὰ λάβεις ἀπ’ αὐτὸν δικαιοσύνη, ἁγιωσύνη, καθαρότητα ψυχῆς, υἱοθεσία καὶ βασιλεία τῶν οὐρανῶν· σοῦ ἐμπιστεύθηκε ὁ Θεὸς καὶ σοῦ ἔδωσε αὐτὰ σὰν παρακαταθήκη· σὺ πάλι ἐμπιστεύθηκες σ’ αὐτὸν ἄλλα καὶ τοῦ τὰ ἔδωσες γιὰ παρακαταθήκη, ὅπως ἐλεημοσύνη, προσευχές, σωφροσύνη, καὶ ὅλη τὴν ἄλλη

σωφροσύνην, τὴν ἄλλην ἅπασαν ἀρετήν. Καὶ τί λέγω ἐλεημοσύνην; Κἂν ψυχρὸν αὐτῷ ποτήριον δῷς, οὐδὲ τοῦτο ἀπολέσεις· ἀλλὰ καὶ τοῦτο μετ' ἀκριβείας φυλάσσει εἰς ἐκείνην τὴν ἡμέραν καὶ μετὰ πολλῆς ἀποδώσει τῆς περιουσίας· τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ φυλάττει τὰς παρακαταθήκας μόνον, ἀλλὰ καὶ πλεονάζει ταύτας ταῖς ἀντιδόσεσι.

3. Τοῦτο καὶ σοὶ ποιεῖν ἐκέλευσε κατὰ δύναμιν τὴν σήν, ἐν οἷς ἐνεπιστεύθης, τὴν ἁγιωσύνην ἣν ἔλαβες ἐπιτείνειν καὶ τὴν δικαιοσύνην τὴν ἀπὸ τοῦ λουτροῦ λαμπροτέραν ἐργάσασθαι καὶ τὸ χάρισμα φαιδρότερον ποιεῖν· καθάπερ οὖν καὶ Παῦλος ἐποίησε τοῖς μετὰ ταῦτα πόνοις καὶ τῇ σπουδῇ καὶ τῇ προθυμίᾳ αὐξήσας ἅπαντα, ἅπερ ἔλαβεν, ἀγαθά. Καὶ σκόπει Θεοῦ κηδεμονίαν· οὔτε σοὶ τὸ πᾶν ἔδωκεν ἐνταῦθα, οὔτε τοῦ παντὸς ἀπεστέρησεν, ἀλλὰ τὰ μὲν ἔδωκε, τὰ δὲ ὑπέσχετο. Καὶ τίνος ἕνεκεν οὐ τὸ πᾶν ἐνταῦθα ἔδωκεν; Ἵνα σὺ τὴν πίστιν ἐπιδείξῃ τὴν περὶ αὐτόν, τοῖς μηδέπω δοθεῖσιν ἀπὸ τῆς ὑποσχέσεως αὐτοῦ μόνης πιστεύων. Τίνος δὲ ἕνεκεν πάλιν οὐ τὸ πᾶν ἐκεῖ ἐταμιεύσατο, ἀλλ' ἔδωκε καὶ Πνεύματος χάριν καὶ δικαιοσύνην καὶ ἁγιασμόν; Ἵνα σοι κουφίσῃ τοὺς πόνους καὶ ἐκ τῶν ἤδη δοθέντων καὶ ἐκ τῶν μελλόντων εὐέλπιδα καταστήσῃ. Διὰ τοῦτο καὶ νεοφώτιστος μέλλεις καλεῖσθαι, ὅτι νέον σοι τὸ φῶς ἀεί, ἂν ἐθέλῃς, καὶ οὐδέποτε σβέννυται. Τοῦτο μὲν γὰρ καὶ βουλομένων ἡμῶν καὶ μὴ βουλομένων διαδέχεται νύξ, ἐκείνην δὲ τὴν ἀκτῖνα σκότος οὐκ οἶδε· «τὸ γὰρ φῶς ἐν τῇ σκοτίᾳ φαίνει καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν».

4. Οὐχ οὕτω γοῦν ὁ κόσμος ἐστὶ λαμπρός, ἀνισχούσης τῆς ἀκτῖνος, ὡς ψυχὴ καταυγάζεται καὶ λαμπροτέρα γίνεται, τὴν ἀπὸ τοῦ Πνεύματος δεξαμένη χάριν. Καὶ μάνθανε τῶν πραγμάτων ἀκριβέστερον τὴν φύσιν· νυκτὸς μὲν γὰρ κατεχούσης καὶ σκότους ὄντος, πολλάκις καὶ σχοινίον ἰδών τις, ἐνόμισεν ὄφιν εἶναι, καὶ φίλον προσιόντα ὡς ἐχθρὸν ἔφυγε, καὶ ψόφου τινὸς αἰσθόμενος περιδεὴς γέγονεν· ἡμέρας δὲ γενομένης οὐδὲν τοιοῦτον γένοιτ' ἄν, ἀλλὰ πάν-

4. Ἰω. 1,5.

ἀρετή. Καὶ τί λέγω ἐλεημοσύνη; Ἀκόμη καὶ ἕνα ποτήρι κρύο νερὸ νὰ τοῦ δώσεις, οὔτε αὐτὸ θὰ τὸ χάσεις, ἀλλὰ καὶ αὐτὸ τὸ φυλάσσει προσεκτικὰ γιὰ ἐκείνη τὴν ἡμέρα καὶ θὰ σοῦ τὸ ἀποδώσει πολὺ πιὸ πλουσιοπάροχα· γιατὶ τὸ ἀξιοθαύμαστο αὐτὸ εἶναι, ὅτι δηλαδὴ δὲν φυλάσσει μόνο τὶς παρακαταθῆκες, ἀλλὰ καὶ αὐξάνει κατὰ πολὺ αὐτὲς μὲ τὶς ἀνταποδόσεις του.

3. Αὐτὸ πρόσταξε νὰ κάμνεις καὶ σύ, ἀνάλογα μὲ τὶς δυνάμεις σου, γιὰ τὰ ὅσα σοῦ ἐμπιστεύθηκε· ν' αὐξήσεις τὴν ἁγιωσύνη ποὺ ἔλαβες, νὰ κάμεις λαμπρότερη τὴ δικαίωση ποὺ ἔλαβες ἀπὸ τὸ βάπτισμα καὶ φαιδρότερο τὸ χάρισμα, πράγμα βέβαια ποὺ ἔκαμε καὶ ὁ Παῦλος, αὐξάνοντας ὅλα ἐκεῖνα τὰ ἀγαθὰ ποὺ ἔλαβε μὲ τοὺς στὴ συνέχεια κόπους του, μὲ τὴν προσπάθειά του καὶ μὲ τὴν προθυμία του. Καὶ πρόσεχε Θεοῦ κηδεμονία· οὔτε σὲ σένα ἔδωσε τὸ πᾶν ἐδῶ, οὔτε σοῦ τὰ στέρησε ὅλα, ἀλλὰ ἄλλα σοῦ τὰ ἔδωσε καὶ ἄλλα ὑποσχέθηκε νὰ σοῦ τὰ δώσει. Καὶ γιὰ ποιό λόγο δὲν σοῦ τὰ ἔδωσε ὅλα ἐδῶ; Γιὰ νὰ δείξεις καὶ σὺ τὴν πίστη σου πρὸς αὐτόν, πιστεύοντας σ' ἐκεῖνα ποὺ δὲν σοῦ δόθηκαν ἀκόμη μόνο ἀπὸ τὴν ὑπόσχεσή του. Καὶ γιὰ ποιό λόγο πάλι δὲν τὰ ἀποταμίευσε ὅλα ἐκεῖ, ἀλλὰ σοῦ ἔδωσε καὶ τὴ χάρη τοῦ Πνεύματος, καὶ δικαίωση καὶ ἁγιασμό; Γιὰ νὰ σὲ ἀνακουφίσει ἀπὸ τοὺς κόπους καὶ νὰ σὲ κάνει αἰσιόδοξο καὶ ἀπὸ ἐκεῖνα ποὺ σοῦ δόθηκαν καὶ ἀπὸ αὐτὰ ποὺ πρόκειται νὰ σοῦ δοθοῦν. Γι' αὐτὸ καὶ θὰ ὀνομάζεσαι νεοφώτιστος γιατί, ἂν θέλεις, θὰ εἶναι πάντοτε νέο τὸ φῶς σου καὶ δὲ θὰ σβήνει ποτέ. Γιατὶ αὐτὸ τὸ φῶς εἴτε τὸ θέλομε εἴτε δὲν τὸ θέλομε, τὸ διαδέχεται ἡ νύχτα, ἐνῶ ἐκείνη ἡ ἀκτίνα δὲν γνωρίζει σκοτάδι· γιατὶ λέγει, «τὸ φῶς φωτίζει στὸ σκοτάδι καὶ τὸ σκοτάδι δὲν νίκησε τὸ φῶς»[4].

4. Δὲν εἶναι λοιπὸν τόσο λαμπρὸς ὁ κόσμος ὅταν ἀνατείλει τὸ φῶς τοῦ ἡλίου, ὅσο ἀκτινοβολεῖ ἡ ψυχὴ καὶ γίνεται λαμπρότερη ὅταν δεχθεῖ τὴ χάρη τοῦ Πνεύματος. Καὶ μάθε ἀκριβέστερα τὴ φύση τῶν πραγμάτων. Κατὰ τὴ διάρκεια δηλαδὴ τῆς νύχτας καὶ ἐνῶ ἐπικρατεῖ σκοτάδι πολλὲς φορὲς βλέποντας κανεὶς σχοινί, νόμισε ὅτι εἶναι φίδι, καὶ βλέποντας φίλο νὰ τὸν πλησιάζει, ἔφυγε, νομίζοντάς τον ἐχθρό, καὶ ἀκούοντας θόρυβο, κυριεύθηκε ἀπὸ μεγάλο φόβο, ἐνῶ ὅταν ξημερώσει, τίποτε ἀπ' αὐτὰ δὲν συμβαίνει,

τα οἷά πέρ ἐστι φαίνεται, ὃ καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνει τῆς ἡμετέρας. Ἐπειδὰν γὰρ ἡ χάρις ἐλθοῦσα τὸ σκότος ἀπελάσῃ τῆς διανοίας, μανθάνομεν τὴν τῶν πραγμάτων ἀκρίβειαν καὶ γίνεται ἡμῖν εὐκαταφρόνητα τὰ πρότερον φοβερά. Οὔτε γὰρ θάνατον ἔτι δεδοίκαμεν, μαθόντες ἀκριβῶς παρὰ τῆς ἱερᾶς ταύτης μυσταγωγίας, ὅτι οὐκ ἔστι θάνατος ὁ θάνατος, ἀλλ' ὕπνος καὶ κοίμησις πρόσκαιρος· οὐ πενίαν, οὐ νόσον, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν, εἰδότες ὅτι πρὸς βελτίονα ζωὴν ὁδεύομεν, ἀκήρατόν τε καὶ ἄφθαρτον καὶ πάσης τοιαύτης ἀπηλλαγμένην ἀνωμαλίας.

5. Μὴ τοίνυν ἔτι πρὸς τὰ βιωτικὰ μείνωμεν κεχηνότες, μὴ περὶ τρυφὴν τραπέζης, μηδὲ περὶ πολυτέλειαν ἱματίων· καὶ γὰρ ἔχεις ἱμάτιον μέγιστον, ἔχεις τράπεζαν πνευματικήν, ἔχεις τὴν δόξαν τὴν ἄνω, καὶ πάντα σοι ὁ Χριστὸς γίνεται, καὶ τράπεζα καὶ ἱμάτιον καὶ οἶκος καὶ κεφαλὴ καὶ ῥίζα. «Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε»· ἰδοὺ πῶς ἱμάτιόν σοι γέγονε. Βούλει μαθεῖν πῶς καὶ τράπεζά σοι γίνεται; «Ὁ τρώγων με», φησί, «κἀκεῖνος ζήσεται δι' ἐμέ». Ὅτι δὲ καὶ οἶκός σοι γίνεται, «ὁ τρώγων μου τὴν σάρκα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ»· καὶ ὅτι ῥίζα, πάλιν φησίν· «ἐγὼ ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα»· καὶ ὅτι ἀδελφὸς καὶ φίλος καὶ νυμφίος, «οὐκέτι ὑμᾶς λέγω δούλους· ὑμεῖς γὰρ φίλοι μού ἐστε». Καὶ ὁ Παῦλος πάλιν· «ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ»· καὶ πάλιν· «εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς». Οὐκ ἀδελφοὶ δὲ αὐτοῦ μόνον, ἀλλὰ καὶ παιδία γινόμεθα· «ἰδοὺ» γάρ, φησίν, «ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός»· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ μέλη αὐτοῦ καὶ σῶμα αὐτοῦ. Ὥσπερ γὰρ οὐκ ἀρκούντων τῶν εἰρημένων ἐπιδεῖξαι τὴν ἀγάπην καὶ τὴν εὔνοιαν, ἣν πρὸς ἡμᾶς ἐπιδείκνυται, καὶ ἕτερον τούτων μεῖζον καὶ ἐγγύτερον ἔθηκεν, κεφαλὴν ἑαυτὸν ἡμῶν προσειπών.

6. Ταῦτα δὴ πάντα εἰδώς, ἀγαπητέ, ἄμειψαί σου τὸν εὐεργέτην ἀρίσῃ πολιτείᾳ καί, ἐννοήσας τῆς θυσίας τὸ μέγεθος, καλλώπισόν

---

5. Γαλ. 3,27.
6. Ἰω. 6,57.
7. Ἰω. 6,56.
8. Ἰω. 15,5.
9. Ἰω. 15,15.
10. Β' Κορ. 11,2.
11. Ρωμ. 8,29.
12. Ἡσ. 8,18.

ἀλλ' ὅλα φαίνονται τέτοια ποὺ εἶναι, πράγμα ποὺ συμβαίνει καὶ στὴν ψυχή μας. Ὅταν δηλαδὴ ἔρθει ἡ χάρη καὶ ἀπομακρύνει τὸ σκοτάδι τῆς διάνοιάς μας, μαθαίνομε τότε τὴν ἀκρίβεια τῶν πραγμάτων καὶ περιφρονοῦμε ἐκεῖνα ποὺ προηγουμένως μᾶς φαίνονταν φοβερά. Γιατὶ οὔτε θάνατο πιὰ φοβόμαστε, μαθαίνοντας μὲ ἀκρίβεια ἀπὸ τὴν ἱερὴ αὐτὴ μυσταγωγία, ὅτι ὁ θάνατος δὲν εἶναι θάνατος, ἀλλὰ ὕπνος καὶ κοίμηση πρόσκαιρη· δὲν φοβόμαστε οὔτε τὴ φτώχεια, οὔτε ἀσθένεια, οὔτε κανένα ἄλλο παρόμοιο μ' αὐτά, γνωρίζοντας ὅτι βαδίζομε πρὸς καλύτερη ζωή, ἀθάνατη καὶ ἄφθαρτη καὶ ἀπαλλαγμένη ἀπὸ κάθε τέτοια ἀνωμαλία.

5. Ἂς μὴ συνεχίσομε λοιπὸν νὰ εἴμαστε ἀκόμη προσκολλημένοι στὰ κοσμικὰ πράγματα, οὔτε στὴν τρυφηλὴ τράπεζα, οὔτε στὰ πολυτελῆ ἐνδύματα· καθόσον ἔχεις μέγιστο ἔνδυμα, ἔχεις τράπεζα πνευματική, ἔχεις τὴν οὐράνια δόξα, καὶ ὅλα σοῦ γίνεται ὁ Χριστός, καὶ τράπεζα, καὶ ἔνδυμα, καὶ οἶκος, καὶ κεφαλή, καὶ ρίζα. Γιατὶ λέγει, «ὅσοι βαπτισθήκατε στὸ ὄνομα τοῦ Χριστοῦ, ντυθήκατε τὸ Χριστό»[5]· νὰ πῶς σοῦ ἔγινε ἔνδυμα. Θέλεις νὰ μάθεις πῶς σοῦ γίνεται καὶ τράπεζα; «Ἐκεῖνος ποὺ μὲ τρώγει», λέγει, «θὰ ζήσει ἐξ αἰτίας μου»[6]. Τὸ ὅτι σοῦ γίνεται καὶ οἶκος, λέγει, «ἐκεῖνος ποὺ τρώγει τὴ σάρκα μου μένει μέσα μου καὶ ἐγὼ μένω μέσα σ' αὐτόν»[7]· καὶ ὅτι σοῦ γίνεται ρίζα, πάλι λέγει· «ἐγὼ εἶμαι ἡ ἄμπελος, ἐσεῖς τὰ κλήματα»[8]· καὶ ὅτι σοῦ γίνεται ἀδελφὸς καὶ φίλος καὶ νυμφίος, λέγει· «δὲν σᾶς ὀνομάζω πιὰ δούλους· γιατὶ σεῖς εἶστε φίλοι μου»[9]. Καὶ ὁ Παῦλος πάλι· «σᾶς ἀρραβώνιασα μὲ ἕναν ἄνδρα γιὰ νὰ σᾶς παρουσιάσω σὰν παρθένο ἁγνὴ στὸ Χριστό»[10]· καὶ πάλι· «γιὰ νὰ εἶναι πρωτότοκος μεταξὺ πολλῶν ἀδελφῶν»[11]. Καὶ δὲν γινόμαστε μόνο ἀδελφοὶ αὐτοῦ, ἀλλὰ καὶ παιδιά του· γιατὶ λέγει, «νὰ ἐγὼ καὶ τὰ παιδιὰ ποὺ μοῦ ἔδωσε ὁ Θεός»[12]· καὶ ὄχι αὐτὸ μόνο, ἀλλὰ γινόμαστε καὶ μέλη αὐτοῦ, καὶ σῶμα αὐτοῦ. Γιατί, σὰ νὰ μὴ ἐπαρκοῦν τὰ λεχθέντα νὰ δείξουν τὴν ἀγάπη καὶ τὴν εὔνοια ποὺ δείχνει γιὰ μᾶς, πρόσθεσε καὶ ἕνα ἄλλο μεγαλύτερο ἀπ' αὐτὰ καὶ πλησιέστερο πρὸς ἐμᾶς, ὀνομάζοντας τὸν ἑαυτό του κεφαλή.

6. Γνωρίζοντας λοιπὸν αὐτά, ἀγαπητέ, ἄμειψε τὸν εὐεργέτη σου μὲ ἄριστο τρόπο ζωῆς καὶ ἀφοῦ σκεφθεῖς τὸ μέγεθος τῆς θυσίας,

σου τὰ μέλη τοῦ σώματος. Ἐννόησον τί δέχῃ τῇ χειρί, καὶ μηδέποτε ἀνάσχῃ τυπτῆσαί τινα, μηδὲ τὴν τοσούτῳ τιμηθεῖσαν δώρῳ καταισχύνῃς τῇ τῆς πληγῆς ἁμαρτίᾳ· ἐννόησον τί δέχῃ τῇ χειρί, καὶ καθαρὰν αὐτὴν πλεονεξίας καὶ ἁρπαγῆς πάσης διατήρησον. Λόγισαι, ὅτι οὐ τῇ χειρὶ δέχῃ μόνον, ἀλλὰ καὶ τῷ στόματι προσάγεις καὶ καθαρὰν φύλαττε τὴν γλῶτταν αἰσχρῶν καὶ ὑβριστικῶν ῥημάτων, βλασφημίας, ἐπιορκίας, καὶ τῶν ἄλλων τῶν τοιούτων ἁπάντων. Καὶ γὰρ ὀλέθριον τὴν διακονουμένην μυστηρίοις οὕτω φρικωδεστάτοις καὶ αἵματι φοινιχθεῖσαν τοιούτῳ καὶ χρυσῆν γενομένην μάχαιραν, ἐπὶ λοιδορίας καὶ ὕβρεις καὶ εὐτραπελίας μετάγειν. Αἰδέσθητι τὴν τιμήν, ἣν ἐτίμησεν αὐτὴν ὁ Θεός, καὶ μὴ καταγάγῃς εἰς τὴν τῆς ἁμαρτίας εὐτέλειαν· ἀλλ' ἐνθυμηθεὶς πάλιν, ὅτι μετὰ τὴν χεῖρα καὶ τὴν γλῶσσαν ἡ καρδία δέχεται τὸ φρικτὸν ἐκεῖνο μυστήριον, μὴ ῥάψῃς ποτὲ κατὰ τοῦ πλησίον δόλον, ἀλλὰ κακουργίας πάσης καθαρὰν διατήρει σου τὴν διάνοιαν· οὕτω καὶ ὀφθαλμοὺς καὶ ἀκοὴν ἀσφαλίσασθαι δυνήσῃ. Πῶς γὰρ οὐκ ἄτοπον, μετὰ τὴν μυστικὴν ἐκείνην φωνὴν καὶ ἐκ τῶν οὐρανῶν φερομένην, τὴν ἐκ τῶν χερουβὶμ λέγω, πορνικοῖς ᾄσμασι καὶ κατακεκλασμένοις μέλεσι τὴν ἀκοὴν μολύνειν; Πῶς δὲ οὐκ ἐσχάτης κολάσεως ἄξιον, τοῖς ὀφθαλμοῖς, οἷς ὁρᾷς τὰ ἀπόρρητα καὶ φρικτὰ μυστήρια, τούτοις πόρνας ὁρᾶν καὶ μοιχείαν ἐργάζεσθαι τὴν κατὰ διάνοιαν;

7. Εἰς γάμον ἐκλήθης, ἀγαπητέ· μὴ εἰσέλθῃς ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια, ἀλλὰ τῷ γάμῳ κατάλληλον λαβὲ στολήν. Εἰ γὰρ εἰς γάμους αἰσθητοὺς ἄνθρωποι καλούμενοι, κἂν ἁπάντων ὦσι πενέστεροι, χρησάμενοι πολλάκις ἢ πριάμενοι ἱμάτιον καθαρόν, οὕτω πρὸς τοὺς καλέσαντας αὐτοὺς ἀπαντῶσι, σὺ δὲ ὁ πρὸς γάμον κληθεὶς πνευματικὸν καὶ δεῖπνα βασιλικά, ἐννόησον ἡλίκον ἂν εἴη δίκαιόν σε ἱμάτιον πρίασθαι· μᾶλλον δὲ οὐδὲ ἀγοράσαι χρεία, ἀλλ' αὐτός σοι δίδωσιν ὁ καλῶν δωρεάν, ἵνα μηδὲ πενίαν προβαλέσθαι ἔχῃς. Τήρει τοίνυν ὅπερ ἔλαβες ἱμάτιον· ἂν γὰρ ἀπολέσῃς, χρήσασθαι οὐ δυνήσῃ λοιπὸν οὐδὲ πρίασθαι· οὐδαμοῦ γὰρ πωλεῖται τοιοῦτον ἱμάτιον. Ἤκουσας πῶς ἐστέναξαν οἱ πάλαι μυσταγωγηθέντες καὶ τὸ

καλλώπισε τὰ μέλη τοῦ σώματός σου. Σκέψου τί δέχεσαι στὸ χέρι σου καὶ μὴ ἀνεχθεῖς ποτὲ νὰ χτυπήσεις κάποιον, οὔτε νὰ καταντροπιάσεις αὐτό, ποὺ τιμήθηκε μὲ τόσο μεγάλο δῶρο, μὲ τὴν ἁμαρτία τοῦ πλήγματος. Σκέψου τί δέχεσαι στὸ χέρι σου καὶ διαφύλαξε αὐτὸ καθαρὸ ἀπὸ κάθε πλεονεξία καὶ ἁρπαγή. Σκέψου, ὅτι δὲν τὸ δέχεσαι μόνο μὲ τὸ χέρι, ἀλλὰ τὸ βάζεις καὶ στὸ στόμα καὶ φύλαγε καθαρὴ τὴ γλώσσα ἀπὸ αἰσχρὰ καὶ ὑβριστικὰ λόγια, ἀπὸ βλασφημίες, ἐπιορκίες καὶ ὅλα τὰ ἄλλα τὰ παρόμοια. Γιατὶ εἶναι ὀλέθριο τὴ γλώσσα ποὺ ὑπηρετεῖ σὲ μυστήρια τόσο φρικιαστικὰ καὶ ποὺ βάφτηκε μὲ τέτοιο αἷμα καὶ ἔγινε χρυσὴ μάχαιρα νὰ τὴν χρησιμοποιεῖς σὲ κακολογίες καὶ ὕβρεις καὶ βωμολογίες. Σεβάσου τὴν τιμὴ μὲ τὴν ὁποία τίμησε αὐτὴν ὁ Θεὸς καὶ μὴ τὴν κατεβάσεις στὴν εὐτέλεια τῆς ἁμαρτίας, ἀλλά, θυμούμενος πάλι, ὅτι μαζὶ μὲ τὸ χέρι καὶ τὴ γλώσσα δέχεται ἡ καρδιὰ τὸ φρικτὸ ἐκεῖνο μυστήριο, μὴ σχεδιάσεις ποτὲ δόλο κατὰ τοῦ πλησίον σου, ἀλλὰ διαφύλαττε τὴ διάνοιά σου καθαρὴ ἀπὸ κάθε κακουργία· ἔτσι θὰ μπορέσεις νὰ διασφαλίσεις καὶ τὰ μάτια σου καὶ τὰ αὐτιά σου. Γιατί, πῶς δὲν εἶναι παράλογο, μετὰ τὴ μυστικὴ ἐκείνη φωνή, τὴν κατερχόμενη ἀπὸ τοὺς οὐρανούς, ἐννοῶ ἀπὸ τὰ χερουβίμ, νὰ μολύνεις τὴν ἀκοή σου μὲ πορνικὰ ἄσματα καὶ διακεχυμένες μελωδίες; Καὶ πῶς δὲν εἶναι ἄξιο τῆς χειρότερης τιμωρίας, τὰ μάτια μὲ τὰ ὁποῖα βλέπεις τὰ ἀπόρρητα καὶ φρικτὰ μυστήρια, μὲ αὐτὰ νὰ βλέπεις πόρνες καὶ νὰ διαπράττεις μοιχεία μέσα στὴ διάνοιά σου;

7. Σὲ γάμο προσκλήθηκες, ἀγαπητέ· μὴ μπεῖς ντυμένος μὲ λερωμένα ἐνδύματα, ἀλλὰ φόρεσε στολὴ κατάλληλη γιὰ τὸ γάμο. Γιατί, ἂν καλούμενοι οἱ ἄνθρωποι σὲ κοσμικοὺς γάμους, κι ἂν ἀκόμη εἶναι οἱ πιὸ φτωχοὶ ἀπὸ ὅλους, δανειζόμενοι πολλὲς φορὲς ἢ ἀγοράζοντας ἔνδυμα καθαρό, ἔτσι πηγαίνουν πρὸς ἐκείνους ποὺ τοὺς κάλεσαν, σύ, ποὺ προσκλήθηκες σὲ γάμο πνευματικὸ καὶ δεῖπνα βασιλικά, σκέψου τί εἴδους ἔνδυμα πρέπει ν' ἀγοράσεις· ἢ καλύτερα δὲν χρειάζεται οὔτε νὰ τὸ ἀγοράσεις, ἀλλ' ὁ ἴδιος αὐτὸς ποὺ σὲ κάλεσε σοῦ τὸ δίνει δωρεάν, γιὰ νὰ μὴ μπορεῖς νὰ προβάλεις γιὰ δικαιολογία οὔτε τὴ φτώχεια. Φύλαγε λοιπὸν τὸ ἔνδυμα ποὺ ἔλαβες· γιατὶ πουθενὰ δὲν πουλιέται τέτοιο ἔνδυμα. Ἄκουσες πῶς ἀναστέναξαν οἱ παλαιοὶ βαπτισμένοι καὶ χτύπησαν τὸ στῆθος

στῆθος ἐπάταξαν τοῦ συνειδότος ἐνταῦθα διαναστήσαντος; Σκόπει τοίνυν, ἀγαπητέ, μή ποτε τοῦτο πάθῃς· πῶς δὲ οὐ πείσῃ, τὴν πονηρὰν συνήθειαν μὴ ἐκβαλὼν τῶν κακῶν; Διὰ τοῦτο καὶ πρῴην εἶπον καὶ νῦν λέγω καὶ λέγων οὐ παύσομαι, εἴ τις τὰ ἐλαττώματα τῶν τρόπων μὴ διώρθωσε μηδὲ παρεσκεύασεν ἑαυτῷ τὴν ἀρετὴν εὔκολον, μὴ βαπτιζέσθω. Τὰ μὲν γὰρ πρότερα ἁμαρτήματα ἀφεῖναι δύναται τὸ λουτρόν, δέος δὲ οὐ μικρὸν καὶ κίνδυνος οὐχ ὁ τυχών, μήποτε πάλιν ἐπ' αὐτὰ ἐπανέλθωμεν καὶ γένηται ἡμῖν ἕλκος τὸ φάρμακον. Ὅσῳ γὰρ μεῖζον ἡ χάρις, τοσούτῳ πλέον ἡ κόλασις τοῖς μετὰ ταῦτα ἁμαρτάνουσιν.

8. Ἵνα οὖν μὴ πρὸς τὸν πρότερον ἐπανίωμεν ἔμετον, παιδεύσωμεν ἑαυτοὺς ἐντεῦθεν ἤδη. Ὅτι γὰρ δεῖ πρότερον μετανοήσαντας καὶ τῶν προτέρων ἀποστάντας κακῶν, οὕτω τῇ χάριτι προσιέναι, ἄκουσον τί μὲν Ἰωάννης φησί, τί δὲ ὁ τῶν ἀποστόλων κορυφαῖος τοῖς βαπτίζεσθαι μέλλουσιν· ἐκεῖνος μὲν γάρ φησι, «ποιήσατε καρπὸν ἄξιον τῆς μετανοίας καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ», οὗτος δὲ τοῖς ἐρωτῶσι πάλιν ἔλεγε· «μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ». Ὁ δὲ μετανοῶν οὐκέτι τῶν αὐτῶν ἅπτεται πραγμάτων, ἐφ' οἷς μετενόησε· διὰ τοῦτο καὶ κελευόμεθα λέγειν, «ἀποτάσσομαί σοι, σατανᾶ», ἵνα μηκέτι πρὸς αὐτὸν ἐπανέλθωμεν. Καθάπερ οὖν ἐπὶ τῶν ζωγράφων γίνεται, οὕτω καὶ νῦν γινέσθω· καὶ γὰρ ἐκεῖνοι τὰ σανίδας προθέντες καὶ λευκὰς περιάγοντες γραμμὰς καὶ τὰς βασιλικὰς ὑπογράφοντες εἰκόνας, πρὶν ἢ τῶν χρωμάτων ἐπαγαγεῖν ἀλήθειαν, μετ' ἐξουσίας ἁπάσης τὰ μὲν ἐξαλείφουσι, τὰ δὲ ἀντεγγράφουσι, καὶ διορθοῦντες τὰ ἡμαρτημένα καὶ μετατιθέντες τὰ κακῶς ἔχοντα· ἐπειδὰν δὲ τὴν βαφὴν λοιπὸν ἐπαγάγωσιν, οὐκέτι εἰσὶ κύριοι πάλιν ἐξαλεῖψαι καὶ ἀντεγγράψαι, ἐπεὶ τῷ κάλλει τῆς εἰκόνος λυμαίνονται καὶ ἔγκλημα τὸ πρᾶγμα γίνεται. Τοῦτο δὴ καὶ σὺ ποίησον· νόμισον εἰκόνα σοι τὴν ψυχὴν εἶναι.

---

13. Λουκᾶ 3,8.
14. Πράξ. 2,38.

τους, ἐπειδὴ τοὺς ἔλεγχε ἡ συνείδησή τους; Πρόσεχε λοιπόν, ἀγαπητέ, μήπως κάποτε πάθεις καὶ σὺ αὐτό· καὶ πῶς εἶναι δυνατὸ νὰ μὴ τὸ πάθεις, τὴ στιγμὴ ποὺ δὲν ἀποβάλλεις τὴ πονηρὴ συνήθεια τῶν κακῶν; Γι' αὐτὸ καὶ προηγουμένως εἶπα καὶ τώρα λέγω καὶ δὲν θὰ παύσω νὰ τὸ λέγω, ἂν κάποιος δὲν διόρθωσε τὰ ἐλαττώματά του καὶ οὔτε προετοίμασε τὸν ἑαυτό του εὔκολο στὴν ἄσκηση τῆς ἀρετῆς, ἂς μὴ βαπτισθεῖ. Γιατὶ τὰ προηγούμενα ἁμαρτήματα μπορεῖ νὰ τὰ συγχωρήσει τὸ βάπτισμα, ὑπάρχει ὅμως φόβος ὄχι μικρὸς καὶ κίνδυνος ὄχι τυχαῖος, μήπως ἐπιστρέψομε πάλι στὰ ἴδια καὶ μᾶς γίνει τὸ φάρμακο πληγή. Γιατί, ὅσο μεγαλύτερη εἶναι ἡ χάρη, τόσο μεγαλύτερη εἶναι ἡ τιμωρία γιὰ ἐκείνους ποὺ ἁμαρτάνουν στὴ συνέχεια.

8. Γιὰ νὰ μὴ ἐπιστρέψομε λοιπὸν στὸν προηγούμενο ἐμετό μας, ἂς διορθώσομε τὸν ἑαυτό μας ἀπὸ τώρα ἤδη. Γιατί, τὸ ὅτι πρέπει πρῶτα νὰ μετανοήσομε καὶ ν' ἀπομακρυνθοῦμε ἀπὸ τὰ προηγούμενα κακὰ καὶ ἔτσι νὰ προσερχόμαστε στὴ χάρη, ἄκουσε τί λέγει ὁ Ἰωάννης καὶ τί ὁ κορυφαῖος τῶν ἀποστόλων πρὸς ἐκείνους ποὺ πρόκειται νὰ βαπτισθοῦν· γιατὶ ὁ Ἰωάννης λέγει, «κάμετε λοιπὸν καρποὺς ἄξιους τῆς μετανοίας καὶ μὴν ἀρχίσετε νὰ λέγετε μέσα σας, 'ἔχομε πατέρα τὸν Ἀβραάμ»[13], ἐνῶ ὁ Πέτρος σ' ἐκείνους ποὺ τὸν ἐρωτοῦσαν ἔλεγε· «μετανοῆστε καὶ βαπτισθεῖτε ὁ καθένας σας στὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ»[14]. Ἐκεῖνος ὅμως ποὺ μετανοεῖ δὲν πλησιάζει καὶ τὰ πράγματα ἐκεῖνα γιὰ τὰ ὁποῖα μετανόησε· γι' αὐτὸ καὶ προτρεπόμαστε νὰ λέμε, «σ' ἀπαρνιέμαι, σατανᾶ», γιὰ νὰ μὴ ἐπιστρέψομε ποτὲ πιὰ σ' αὐτόν. Ἐκεῖνο δηλαδὴ ποὺ γίνεται μὲ τοὺς ζωγράφους, αὐτὸ καὶ τώρα ἂς γίνει· γιατὶ ἐκεῖνοι, ἀφοῦ τοποθετήσουν μπροστά τους τὶς σανίδες καὶ τραβήξουν ἐπάνω σ' αὐτὲς λευκὲς γραμμές, ζωγραφίζουν τὶς βασιλικὲς εἰκόνες, καὶ πρὶν θέσουν τὰ πραγματικὰ χρώματα μὲ κάθε ἐλευθερία ἄλλα σβήνουν, ἄλλα τὰ ἀντικαθιστοῦν μὲ ἄλλα, διορθώνουν τὰ λανθασμένα, καὶ ἀλλάσσουν ὅσα εἶναι κακοσχεδιασμένα, ὅταν ὅμως τοποθετήσουν τὰ τελευταῖα χρώματα, δὲν μποροῦν τότε νὰ σβήσουν καὶ νὰ ἀντικαστήσουν ἄλλα μὲ ἄλλα, γιατὶ καταστρέφουν τὴν ὡραιότητα τῆς εἰκόνας καὶ θεωρεῖται ἔγκλημα τὸ πράγμα αὐτό. Αὐτὸ λοιπὸν κάμε καὶ σύ· θεώρησε ὅτι ἡ ψυχή σου εἶναι εἰκόνα.

Πρὶν ἢ τοίνυν ἐπελθεῖν τὴν ἀληθῆ τοῦ Πνεύματος βαφήν, ἐξάλειψον τὰς κακῶς ἐντεθείσας σοι συνηθείας· εἴτε ὀμνύναι, εἴτε ψεύδεσθαι, εἴτε ὑβρίζειν, εἴτε αἰσχρολογεῖν, εἴτε γελωτοποιεῖν, εἴτε ἄλλο τι τῶν τοιούτων τῶν μὴ νενομισμένων συνήθειαν ἔχεις ποιεῖν, ἔξελε τὴν συνήθειαν, ἵνα μὴ πάλιν πρὸς αὐτὴν ἐπανέλθῃς μετὰ τὸ βάπτισμα. Τὰ ἁμαρτήματα ἀφανίζει τὸ λουτρόν, τὴν συνήθειαν διόρθωσον σύ, ἵνα τῶν χρωμάτων ἐπενεχθέντων καὶ λαμψάσης τῆς βασιλικῆς εἰκόνος, μηκέτι λοιπὸν ἐξαλείφῃς καὶ τραύματα καὶ οὐλὰς ἐμποιῇς τῷ παρὰ τοῦ Θεοῦ δοθέντι σοι κάλλει.

9. Κατάστειλον τοίνυν ὀργήν, σβέσον θυμόν· κἂν ἀδικήσῃ τις κἂν ὑβρίσῃ, δάκρυσον ἐκεῖνον· μὴ ἀγανακτήσῃς σύ, συνάλγησον, μὴ παροξυνθῇς μηδὲ εἴπῃς, ὅτι 'εἰς τὴν ψυχὴν ἠδίκημαι'· οὐκ ἔστιν οὐδεὶς εἰς ψυχὴν ἀδικούμενος, ἐὰν μὴ ἡμεῖς ἑαυτοὺς εἰς ψυχὴν ἀδικήσωμεν· καὶ πῶς, ἐγὼ λέγω. Ἀφείλετό σού τις τὴν οὐσίαν; Οὐκ ἠδίκησεν εἰς ψυχήν, ἀλλ' εἰς χρήματα· ἂν δὲ σὺ μνησικακήσῃς, εἰς ψυχὴν ἑαυτὸν ἠδίκησας. Τὰ μὲν γὰρ χρήματα ἀφαιρεθέντα οὐδὲν ἐζημίωσεν ἀλλὰ καὶ ὠφέλησε, σὺ δὲ τὴν ὀργὴν οὐκ ἀφείς, εὐθύνας ἐκεῖ δώσεις τῆς μνησικακίας ταύτης. Ἐλοιδορήσατό τις καὶ ὕβρισεν; Οὐδὲν εἰς ψυχὴν ἠδίκησεν, ἀλλ' οὐδὲ εἰς σῶμα· ἀντελοιδόρησας σὺ καὶ ὕβρισας; σὺ σαυτὸν εἰς ψυχὴν ἠδίκησας, τῶν ῥημάτων, ὧν εἶπας, ἐκεῖ μέλλων εὐθύνας ὑφέξειν· καὶ τοῦτο δὴ μάλιστα πάντων ὑμᾶς εἰδέναι βούλομαι, ὅτι τὸν Χριστιανὸν καὶ πιστὸν οὐδεὶς εἰς ψυχὴν ἀδικῆσαι δύναται, οὐδὲ αὐτὸς ὁ διάβολος. Οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι ἀχειρώτους ἡμᾶς ὁ Θεὸς πάσαις ἐποίησε ταῖς ἐπιβουλαῖς, ἀλλ' ὅτι καὶ πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν ἐπιτηδείους ἡμᾶς κατεσκεύασε καὶ κώλυμα οὐδέν ἐστιν, ἐὰν θέλωμεν, κἂν πένητες ὦμεν κἂν ἀσθενεῖς τῷ σώματι κἂν ἀπερριμμένοι κἂν ἀνώνυμοι κἂν οἰκέται. Οὔτε γὰρ πενία, οὔτε ἀρρωστία, οὔτε σώματος πήρωσις, οὐ δουλεία, οὐκ ἄλλο τι τῶν τοιούτων ἐμπόδιον πρὸς ἀρετὴν γένοιτ' ἄν. Καὶ τί λέγω πένητα καὶ οἰκέτην καὶ

Προτοῦ λοιπὸν τοποθετηθεῖ ἡ ἀληθινὴ βαφὴ τοῦ Πνεύματος, ἐξάλειψε τὶς κακὲς συνήθειες ποὺ δημιουργήθηκαν μέσα σου· εἴτε δηλαδὴ συνήθισες νὰ ὁρκίζεσαι, εἴτε νὰ ψεύδεσαι, εἴτε νὰ βρίζεις, εἴτε νὰ λὲς αἰσχρόλογα, εἴτε νὰ κάμνεις τὸν γελωτοποιό, εἴτε κάτι ἄλλο παρόμοιο ἀπὸ αὐτὰ ποὺ δὲν θεωροῦνται σωστά, ξερρίζωσε τὴ συνήθεια αὐτή, γιὰ νὰ μὴ ἐπιστρέψεις μετὰ τὸ βάπτισμα πάλι σ' αὐτήν. Τὸ βάπτισμα ἐξαλείφει τὰ ἁμαρτήματα, σὺ διόρθωσε τὴ συνήθεια, ὥστε, ἀφοῦ προστεθοῦν τὰ χρώματα καὶ λάμψει ἡ βασιλικὴ εἰκόνα, ποτὲ στὸ ἑξῆς νὰ μὴ ἐξαλείψεις κάτι ἀπ' αὐτὴν καὶ νὰ μὴ προξενεῖς τραύματα καὶ πληγὲς στὸ κάλλος ποὺ σοῦ δόθηκε ἀπὸ τὸ Θεό.

9. Καταπράυνε λοιπὸν τὴν ὀργή, σβῆσε τὸ θυμό· καὶ ἂν σὲ ἀδικήσει κάποιος ἢ σὲ βρίσει, δάκρυσε γιὰ ἐκεῖνον· μὴν ἀγανακτήσεις σύ, ἀλλὰ λυπήσου μαζί του· μὴν ὀργισθεῖς οὔτε καὶ νὰ πεῖς, 'ἀδικήθηκα στὴν ψυχή'· δὲν ὑπάρχει κανένας ἀδικούμενος στὴν ψυχή, ἐὰν ἐμεῖς δὲν ἀδικήσομε τὴν ψυχή μας· καὶ πῶς γίνεται αὐτὸ θὰ σᾶς τὸ πῶ ἐγώ. Σοῦ ἀφαίρεσε κάποιος τὴν περιουσία; Δὲν σὲ ἀδίκησε στὴν ψυχή, ἀλλὰ σὲ χρήματα· ἂν ὅμως σὺ δείξεις μνησικακία, ἀδίκησες τὴν ψυχή σου. Γιατὶ ἡ ἀφαίρεση τῶν χρημάτων σὲ τίποτε δὲ σὲ ζημίωσε, ἀλλὰ καὶ σὲ ὠφέλησε, ἂν ὅμως σὺ δὲν ἀφήσεις τὴν ὀργή, θὰ τιμωρηθεῖς ἐκεῖ γιὰ τὴ μνησικακία σου αὐτή. Σὲ κακολόγησε κάποιος καὶ σὲ ἔβρισε; σὲ τίποτε δὲν ἀδίκησε τὴν ψυχή σου, ἀλλ' οὔτε καὶ τὸ σῶμα σου· τὸν κακολόγησες καὶ σὺ καὶ τὸν ἔβρισες; σὺ ἀδίκησες τὴν ψυχή σου, καὶ θὰ τιμωρηθεῖς ἐκεῖ γιὰ τὰ λόγια ποὺ εἶπες· καὶ αὐτὸ θέλω περισσότερο ἀπὸ ὅλα νὰ γνωρίζετε καλά, ὅτι τὸν Χριστιανὸ καὶ τὸν πιστὸ κανένας δὲν μπορεῖ νὰ τὸν ἀδικήσει στὴν ψυχή, οὔτε καὶ ὁ ἴδιος ὁ διάβολος. Καὶ δὲν εἶναι μόνο αὐτὸ τὸ ἀξιοθαύμαστο, ὅτι ὁ Θεὸς μᾶς ἔκαμε ἀκατανίκητους σ' ὅλες τὶς ἐπιβουλές, ἀλλὰ καὶ μᾶς ἔκαμε κατάλληλους καὶ γιὰ τὴν ἐπιτέλεση τῆς ἀρετῆς, καὶ δὲν ὑπάρχει κανένα ἐμπόδιο, ἂν θέλομε, εἴτε εἴμαστε φτωχοί, εἴτε ἀσθενεῖς σωματικά, εἴτε παραπεταμένοι, εἴτε ἄγνωστοι, εἴτε δοῦλοι. Γιατὶ οὔτε ἡ φτώχεια, οὔτε ἡ ἀρρώστια, οὔτε ἡ σωματικὴ ἀναπηρία, οὔτε ἡ δουλεία, οὔτε κάτι ἄλλο παρόμοιο μ' αὐτὰ θὰ μποροῦσε νὰ γίνει ἐμπόδιο στὴν ἄσκηση τῆς ἀρετῆς. Καὶ γιατί

ἀνώνυμον; Κἂν δεσμώτης ᾖς, οὐδὲ τοῦτό σοι γίνεται ἐμπόδιον πρὸς ἀρετήν· καὶ πῶς, ἐγὼ λέγω. Ἐλύπησέ τις τῶν ἔνδον καὶ παρώξυνεν; ἄφες αὐτῷ τὴν ὀργήν· μή τί σοι πρὸς τοῦτο τὰ δεσμὰ καὶ ἡ πενία καὶ τὸ ἄτιμον εἶναι ἐμπόδιον γέγονε; Καὶ τί λέγω ἐμπόδιον; καὶ ἐβοήθησε μὲν οὖν καὶ συνέπραξε πρὸς τὸ καταστεῖλαι τὸν τῦφον.

10. Εἶδες ἕτερον εὐπραγοῦντα; Μὴ βασκήνῃς· οὐδὲ γὰρ ἐνταῦθα ἡ πενία κώλυμα γίνεται. Πάλιν, ὅταν εὔξασθαι δέῃ, νηφούσῃ καὶ ἀγρυπνούσῃ διανοίᾳ τοῦτο ποίησον, καὶ οὐδὲν ἔσται τὸ κωλῦον οὐδὲ ἐνταῦθα. Πρᾳότητα, ἐπιείκειαν ἐπιδείκνυσο πᾶσαν, σωφροσύνην, σεμνότητα· οὐδὲ γὰρ ταῦτα τῶν ἔξωθεν δεῖται βοηθημάτων. Καὶ τοῦτο μάλιστα τὸ μέγεθός ἐστι τῆς ἀρετῆς, ὅτι οὐ πλούτου, οὐ δυναστείας, οὐ δόξης, οὐκ ἄλλου τινὸς τῶν τοιούτων ἔχει χρείαν, ἀλλὰ ψυχῆς μόνης ἡγιασμένης, καὶ πλέον οὐδὲν ἐπιζητεῖ. Ὅρα δὲ καὶ ἐπὶ τῆς χάριτος αὐτὸ τοῦτο γινόμενον· κἂν γὰρ χωλεύῃ τις, κἂν τοὺς ὀφθαλμοὺς ἐκκεκομμένος ᾖ, κἂν τὸ σῶμα πεπηρωμένος, κἂν εἰς ἐσχάτην καταπεπτωκὼς ἀρρωστίαν, οὐδενὶ τούτων ἐπελθεῖν ἡ χάρις κωλύεται· ψυχὴν γὰρ ἐπιζητεῖ μόνην μετὰ προθυμίας αὐτὴν δεχομένην, καὶ ταῦτα ἅπαντα παρατρέχει τὰ ἔξωθεν. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν στρατιωτικῶν καὶ σώματος μέτρον καὶ σαρκὸς εὐεξίαν ἐπιζητοῦσιν οἱ μέλλοντες αὐτοὺς καταλέγειν εἰς τὸ στρατόπεδον· οὐ ταῦτα δὲ μόνον ἔχειν χρὴ τὸν μέλλοντα στρατεύεσθαι, ἀλλὰ καὶ ἐλεύθερον εἶναι· ἂν γὰρ δοῦλός τις ᾖ, ἐκβάλλεται· ὁ δὲ τῶν οὐρανῶν βασιλεὺς οὐδὲν τοιοῦτον ἐπιζητεῖ, ἀλλὰ καὶ δούλους δέχεται εἰς τὸ αὐτοῦ στρατόπεδον καὶ γεγηρακότας καὶ παρειμένους τὰ μέλη καὶ οὐκ ἐπαισχύνεται· τί φιλανθρωπότερον; τί χρηστότερον γένοιτ' ἄν; Οὗτος μὲν γὰρ τὰ ἐφ' ἡμῖν ζητεῖ μόνον, ἐκεῖνοι δὲ τὰ οὐκ ἐφ' ἡμῖν. Τὸ γὰρ δοῦλον εἶναι ἢ ἐλεύθερον οὐχ ἡμέτερον· τὸ ὑψηλὸν πάλιν εἶναι καὶ βραχὺν οὐκ ἐφ' ἡμῖν, τὸ γεγηρακότα καὶ ἄρτιον καὶ ὅσα τοιαῦτα· τὸ δὲ ἐπιεικῆ ἢ χρηστὸν εἶναι καὶ τὰ παρα-

λέγω, φτωχὸ καὶ δοῦλο καὶ ἄγνωστο; Κι ἂν ἀκόμη εἶσαι φυλακισμένος, οὔτε καὶ αὐτὸ σοῦ γίνεται ἐμπόδιο γιὰ τὴν ἄσκηση τῆς ἀρετῆς· καὶ πῶς γίνεται αὐτὸ θὰ σᾶς τὸ πῶ ἐγώ. Σὲ λύπησε κάποιος ἀπὸ τοὺς ἐντὸς τῆς φυλακῆς καὶ σὲ ἐξόργισε; ἄφησε τὴν ὀργὴ νὰ περάσει. Μήπως σοῦ ἔγιναν γι' αὐτὸ ἐμπόδιο τὰ δεσμά, ἢ ἡ φτώχεια ἢ τὸ ὅτι εἶσαι περιφρονημένος; Καὶ τί λέγω ἐμπόδιο; καὶ σὲ βοήθησαν μάλιστα καὶ συνέβαλαν στὸ νὰ ἀπομακρύνεις τὴν ἀλαζονεία.

10. Εἶδες ἄλλον νὰ εὐημερεῖ; Μὴ τὸν φθονήσεις· γιατὶ οὔτε ἐδῶ ἡ φτώχεια γίνεται ἐμπόδιο. Πάλι, ὅταν πρόκειται νὰ προσευχηθεῖς, κάμε το αὐτὸ μὲ νηφάλια καὶ ἐπάγρυπνη διάνοια, καὶ δὲν θὰ ὑπάρξει οὔτε καὶ ἐδῶ κανένα ἐμπόδιο. Δεῖχνε πραότητα, μεγάλη καλωσύνη, σωφροσύνη, σεμνότητα· γιατὶ οὔτε καὶ αὐτὰ χρειάζονται τὰ ἐξωτερικὰ βοηθήματα. Καὶ αὐτὸ πρὸ πάντων εἶναι τὸ σπουδαιότερο πράγμα τῆς ἀρετῆς, ὅτι δὲν ἔχει ἀνάγκη οὔτε ἀπὸ πλοῦτο, οὔτε ἀπὸ ἐξουσία, οὔτε ἀπὸ δόξα, οὔτε ἀπὸ κάποιο ἄλλο παρόμοιο, ἀλλὰ θέλει μόνο ψυχὴ ἁγιασμένη καὶ τίποτε ἄλλο δὲν ἐπιζητεῖ. Πρόσεχε ὅτι αὐτὸ γίνεται καὶ μὲ τὴ χάρη· εἴτε δηλαδὴ εἶναι κανεὶς χωλός, εἴτε τυφλός, εἴτε ἀνάπηρος, εἴτε ἔχει προσβληθεῖ ἀπὸ τὴ χειρότερη ἀρρώστια, σὲ κανέναν ἀπ' αὐτοὺς δὲν ἐμποδίζεται ἡ χάρη νὰ ἔρθει· γιατὶ θέλει μόνο ψυχὴ ποὺ νὰ τὸν δέχεται μὲ προθυμία καὶ ὅλα αὐτὰ τὰ ἐξωτερικὰ τὰ παραβλέπει. Στὴν περίπτωση δηλαδὴ τῶν στρατιωτῶν αὐτοῦ τοῦ κόσμου ζητοῦν ἐκεῖνοι ποὺ πρόκειται νὰ τοὺς κατατάξουν στὸ στρατὸ καὶ σωματικὴ συμμετρία καὶ σωματικὴ εὐρωστία· καὶ δὲν πρέπει νὰ ἔχει μόνο αὐτὰ ἐκεῖνος ποὺ πρόκειται νὰ στρατευθεῖ, ἀλλὰ νὰ εἶναι καὶ ἐλεύθερος· γιατὶ ἂν κάποιος εἶναι δοῦλος, ἀπομακρύνεται. Ὁ βασιλιὰς τῶν οὐρανῶν ὅμως τίποτε τέτοιο δὲν ἐπιζητεῖ, ἀλλὰ δέχεται στὸ στρατό του καὶ δούλους καὶ γέρους καὶ παράλυτους καὶ δὲν ντρέπεται· τί πιὸ φιλάνθρωπο θὰ μποροῦσε νὰ ὑπάρξει; τί πιό μεγαλύτερη καλωσύνη; Γιατὶ αὐτὸς θέλει μόνο ἐκεῖνα ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς, ἐνῶ ἐκεῖνοι ὄχι ἐκεῖνα ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς. Γιατὶ τὸ νὰ εἶναι κανεὶς δοῦλος ἢ ἐλεύθερος δὲν ἐξαρτᾶται ἀπὸ ἐμᾶς· ἐπίσης τὸ νὰ εἶναι κανεὶς ψηλὸς ἢ κοντὸς δὲν ἐξαρτᾶται ἀπὸ ἐμᾶς, ὅπως καὶ τὸ νὰ εἶναι κανεὶς γέρος ἢ ἀρτιμελὴς καὶ ὅσα παρόμοια·

πλήσια τούτοις, τῆς ἡμετέρας γνώμης. Καὶ ταῦτα ἡμᾶς ὁ Θεὸς ἀπαιτεῖ μόνα, ὧν ἡμεῖς ἐσμεν κύριοι· καὶ μάλα εἰκότως· οὐ γὰρ δι' οἰκείαν χρείαν, ἀλλ' δι' εὐεργεσίαν ἡμᾶς ἐπὶ τὴν αὐτοῦ χάριν καλεῖ, οἱ δὲ βασιλεῖς διὰ τὴν ἑαυτῶν διακονίαν· κἀκεῖνοι μὲν ἐπὶ πόλεμον ἕλκουσιν αἰσθητόν, οὗτος δὲ ἐπὶ μάχην πνευματικήν.

11. Οὐκ ἐπὶ τῶν πολέμων δὲ μόνον τῶν ἔξωθεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀγώνων τὴν αὐτὴν ἀναλογίαν ἴδοι τις ἄν· οἱ γὰρ μέλλοντες εἰς τὸ θέατρον ἕλκεσθαι ἐκεῖνο, οὐ πρότερον καθίασιν εἰς τοὺς ἀγῶνας, ἕως ἂν αὐτοὺς ὁ κήρυξ λαβὼν ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς περιαγάγῃ βοῶν καὶ λέγων, 'μή τις τούτους κατηγορεῖ;' Καίτοι γε οὐκ ἔστιν ἐκεῖ ψυχῆς, ἀλλὰ σωμάτων τὰ παλαίσματα· τίνος οὖν ἕνεκεν εὐθύνας ἀπαιτεῖς εὐγενείας; Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ἅπαν τοὐναντίον, οὐκ ἐν χειρῶν συμπλοκαῖς ὄντων ἡμῖν τῶν παλαισμάτων, ἀλλ' ἐν φιλοσοφίᾳ ψυχῆς καὶ ἀρετῇ διανοίας· τοὐναντίον ὁ ἀγωνοθέτης ποιεῖ· οὐ γὰρ λαβὼν αὐτὸν περιάγει καὶ λέγει, 'μή τις τούτου κατηγορεῖ;' ἀλλὰ βοᾷ, κἂν ἄνθρωποι πάντες κἂν δαίμονες μετὰ τοῦ διαβόλου συστάντες αὐτοῦ κατηγορῶσι τὰ ἔσχατα καὶ ἀπόρρητα δεινὰ οὐκ ἐκβάλλω οὐδὲ βδελύσσομαι, ἀλλὰ τῶν κατηγόρων αὐτὸν ἀπαλλάξας καὶ τῆς πονηρίας ἐλευθερώσας, οὕτως ἐπὶ τοὺς ἀγῶνας ἄγω· καὶ μάλα εἰκότως. Ἐκεῖ μὲν γὰρ ὁ ἀγωνοθέτης οὐδὲν συντελεῖ τοῖς ἀγωνιζομένοις πρὸς τὴν νίκην, ἀλλ' ἕστηκε μέσος· ἐνταῦθα δὲ ἀγωνοθέτης τῶν ἄθλων τῆς εὐσεβείας σύμμαχος γίνεται καὶ βοηθός, συνεφαπτόμενος αὐτοῖς τῆς πρὸς τὸν διάβολον μάχης.

12. Οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι ἀφίησιν ἡμῖν τὰ ἁμαρτήματα, ἀλλ' ὅτι αὐτὰ οὐδὲ ἐκκαλύπτει, οὐδὲ ποιεῖ φανερὰ καὶ δῆλα, οὐδὲ ἀναγκάζει παρελθόντας εἰς μέσον ἐξειπεῖν τὰ πεπλημμελημένα, ἀλλ' αὐτῷ μόνῳ ἀπολογήσασθαι κελεύει καὶ πρὸς αὐτὸν

τὸ νὰ εἶναι ὅμως κανεὶς ἐπιεικὴς ἢ καλὸς καὶ τὰ παραπλήσια μὲ αὐτά, ἐξαρτᾶται ἀπὸ ἐμᾶς. Καὶ αὐτὰ μόνο ζητάει ὁ Θεὸς ἀπὸ ἐμᾶς, αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς· καὶ πολὺ σωστά· γιατὶ δὲν μᾶς καλεῖ στὴ χάρη του γιὰ δική του ἀνάγκη, ἀλλὰ γιὰ νὰ μᾶς εὐεργετήσει, ἐνῶ οἱ ἐπίγειοι βασιλεῖς στρατολογοῦν τοὺς στρατιῶτες γιὰ νὰ τοὺς ὑπηρετήσουν· καὶ οἱ βασιλεῖς ὁδηγοῦν σὲ πόλεμο αἰσθητό, ἐνῶ ὁ Θεὸς σὲ μάχη πνευματική.

11. Ὄχι μόνο στοὺς πολέμους, ἀλλὰ καὶ στοὺς ἀγῶνες θὰ μποροῦσε κανεὶς νὰ δεῖ τὴν ἴδια ἀναλογία· γιατὶ ἐκεῖνοι ποὺ πρόκειται ν' ἀγωνισθοῦν στὸ θέατρο ἐκεῖνο, δὲν κατεβαίνουν προηγουμένως στοὺς ἀγῶνες, ἂν δὲν τοὺς πάρει ὁ κήρυκας καὶ τοὺς περιφέρει μπροστὰ σ' ὅλους τοὺς θεατὲς φωνάζοντας καὶ λέγοντας, 'μήπως κανεὶς ἔχει καμιὰ κατηγορία ἐναντίον τους;' Ἂν καὶ βέβαια ἐκεῖ τὰ παλαίσματα δὲν εἶναι τῆς ψυχῆς ἀλλὰ τῶν σωμάτων· γιὰ ποιό λόγο λοιπὸν ζητᾶς εὐθύνες εὐγένειας αὐτῶν; Στὴν περίπτωση ὅμως τῶν ἀγώνων τῆς ψυχῆς δὲν συμβαίνει τίποτε τέτοιο, ἀλλ' ἐντελῶς τὸ ἀντίθετο· τὰ παλαίσματα δὲν γίνονται μὲ τὴν συμπλοκὴ τῶν χεριῶν, ἀλλὰ μὲ τὴν εὐσέβεια τῆς ψυχῆς καὶ τὴν ἀρετὴ τῆς διάνοιας· καὶ ὁ ἀγωνοθέτης ἐπίσης κάμνει τὸ ἀντίθετο· γιατὶ δὲν παίρνει καὶ περιφέρει τὸν ἀγωνιζόμενο καὶ λέγει, 'μήπως κανεὶς ἔχει καμιὰ κατηγορία ἐαντίον του;' ἀλλὰ φωνάζει, κι ἂν ἀκόμη εἶναι συγκεντρωμένοι ὅλοι οἱ ἄνθρωποι καὶ ὅλοι οἱ δαίμονες μαζὶ μὲ τὸ διάβολο καὶ τὸν κατηγοροῦν γιὰ τὰ πιὸ φοβερὰ καὶ ἀπερίγραπτα κακά, δὲν τὸν ἀπομακρύνω οὔτε τὸν ἀποστρέφομαι, ἀλλ' ἀπαλλάσσοντάς τον ἀπὸ τὶς κατηγορίες καὶ ἐλευθερώνοντάς τον ἀπὸ τὴν κακία, τὸν ὁδηγῶ ἔτσι στοὺς ἀγῶνες· καὶ πολὺ σωστά. Γιατὶ ἐκεῖ ὁ ἀγωνοθέτης δὲν συμβάλλει καθόλου στοὺς ἀγωνιζόμενους γιὰ τὴ νίκη, ἀλλὰ βρίσκεται μόνο ἀνάμεσά τους, ἐνῶ ἐδῶ ὁ ἀγωνοθέτης γίνεται σύμμαχος καὶ βοηθὸς τῶν ἄθλων τῆς εὐσέβειας, βοηθώντας καὶ ἐνισχύοντας αὐτοὺς στὴ μάχη τους πρὸς τὸ διάβολο.

12. Καὶ δὲν εἶναι αὐτὸ μόνο τὸ ἀξιοθαύμαστο, ὅτι μᾶς συγχωρεῖ τὰ ἁμαρτήματα, ἀλλ' ὅτι καὶ δὲν ἀποκαλύπτει αὐτά, οὔτε τὰ κάμνει φανερὰ καὶ γνωστά, οὔτε καὶ ἀναγκάζει νὰ παρουσιασθοῦμε στὴ μέση καὶ νὰ ποῦμε τὰ πλημμελήματά μας, ἀλλ' αὐτὸ μόνο μᾶς προ-

ἐξομολογήσασθαι. Καίτοι γε ἐκ τῶν δικαστῶν εἴ τις εἶπέ τινι τῶν ἁλόντων ληστῶν ἢ τυμβωρύχων, εἰπεῖν τὰ πεπλημμελημένα καὶ ἀφεθῆναι τῆς κολάσεως, πάσῃ προθυμίᾳ ἂν κατεδέξαντο τοῦτο, τῇ τῆς σωτηρίας ἐπιθυμίᾳ, τῆς αἰσχύνης καταφρονοῦντες. Ἐνταῦθα δὲ οὐ τοῦτό ἐστιν, ἀλλὰ καὶ ἀφίησι τὰ ἁμαρτήματα καὶ οὐκ ἀναγκάζει παρόντων τινῶν αὐτὰ ἐκπομπεύειν, ἀλλ' ἓν μόνον ζητεῖ, ὅπως αὐτὸς ὁ τῆς ἀφέσεως ἀπολαύων μάθοι τῆς δωρεᾶς τὸ μέγεθος. Πῶς οὖν οὐκ ἄτοπον ἐν οἷς αὐτὸς ἡμᾶς εὐεργετεῖ εἰ ἀρκοῖτο τῇ παρ' ἡμῶν μαρτυρίᾳ μόνῃ, ἡμεῖς δὲ ἐν οἷς αὐτὸν θεραπεύομεν, ἑτέρους ἐπιζητοῦμεν μάρτυρας καὶ πρὸς ἐπίδειξίν τι ποιοῦμεν;

13. Θαυμάσαντες τοίνυν τὴν αὐτοῦ φιλοφροσύνην ἐπιδειξώμεθα τὰ παρ' ἡμῶν καὶ πρὸ τῶν ἄλλω ἁπάντων τὴν τῆς γλώττης χαλινώσωμεν ῥύμην καὶ μὴ ἀεὶ φθεγγώμεθα· «ἐκ γὰρ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν». Ἂν μὲν οὖν ἔχῃς τι χρήσιμον εἰπεῖν, ἄνοιξον τὰ χείλη, ἂν δὲ μηδὲν ἀναγκαῖον ᾖ, σίγα· βέλτιον γάρ. Χειροτέχνης εἶ; Καθεζόμενος ψάλλε· ἀλλ' οὐ βούλει τῷ στόματι ψάλλειν; Τῇ διανοίᾳ τοῦτο ποίει. Μέγας συνόμιλος ὁ ψαλμός. Οὐδὲν ἐντεῦθεν ὑποστήσῃ δεινόν, ἀλλ' ὡς ἐν μοναστηρίῳ ἐν τῷ ἐργαστηρίῳ δυνήσῃ καθέζεσθαι· οὐ γὰρ τόπων ἐπιτηδειότης, ἀλλὰ τρόπων ἀκρίβεια τὴν ἡσυχίαν ἡμῖν παρέξεται. Παῦλος γοῦν ἐν ἐργαστηρίῳ τῇ τέχνῃ κεχρημένος, οὐδὲν εἰς τὴν οἰκείαν ἀρετὴν παρεβλάβη. Μὴ τοίνυν λέγε σύ, 'πῶς δυνήσομαι χειροτέχνης ὢν καὶ πένης φιλοσοφεῖν;' Διὰ τοῦτο μὲν οὖν μάλιστα δυνήσῃ φιλοσοφεῖν. Καὶ γὰρ πενία πλούτου καὶ ἐργασία ἀργίας πρὸς εὐλάβειαν ἡμῖν ἐπιτηδειότερον, ὡς ὅ γε πλοῦτος τοῖς μὴ προσέχουσι καὶ ἐμπόδιον γίνεται. Ὅταν γὰρ ὀργὴν δέῃ ἀφεῖναι, ὅταν σβέσαι φθόνον, ὅταν χαλᾶσαι θυμόν, ὅταν εὐχὴν ἐπιδείξασθαι, ὅταν ἐπιείκειαν καὶ πρᾳότητα, ὅταν φιλοφροσύνην καὶ ἀγάπην, ποῦ γένοιτ' ἂν κώλυμα ἡ πενία;

---

15. Παροιμ. 10,19.

τρέπει, ν' ἀπολογηθοῦμε καὶ νὰ ἐξομολογηθοῦμε πρὸς αὐτόν. Ἂν καὶ βέβαια ἂν κάποιος ἀπὸ τοὺς κοσμικοὺς δικαστὲς ἔλεγε σὲ κάποιον ἀπὸ τοὺς συλληφθέντες ληστὲς ἢ τυμβωρύχους νὰ πεῖ τὰ ἐγκλήματά του καὶ θ' ἀπαλλαχθεῖ ἀπὸ τὴν τιμωρία, μὲ ὅλη τὴν προθυμία του θὰ δεχόταν νὰ τὸ κάμει αὐτό, γιατί, ἐπιθυμώντας νὰ σωθεῖ, ἀδιαφορεῖ γιὰ τὴ ντροπή. Ἐδῶ ὅμως δὲν συμβαίνει αὐτό, ἀλλὰ συγχωρεῖ τὰ ἁμαρτήματα καὶ δὲν ἀναγκάζει νὰ διαπομπεύομε αὐτὰ παρουσία ἄλλων, ἀλλὰ ἕνα μόνο ζητεῖ νὰ μάθει, αὐτὸς ποὺ ἀπολαμβάνει τὴ συγχώρηση, τὸ μέγεθος τῆς δωρεᾶς. Πῶς λοιπὸν δὲν εἶναι παράλογο στὶς εὐεργεσίες ποὺ αὐτὸς μᾶς παρέχει νὰ ἀρκεῖται μόνο στὴ δική μας μαρτυρία, ἐνῶ ἐμεῖς σ' ἐκεῖνα ποὺ τὸν διακονοῦμε νὰ ζητοῦμε ἄλλους μάρτυρες καὶ νὰ κάμνομε κάτι πρὸς αὐτὸν γιὰ ἐπίδειξη;

13. Θαυμάζοντας λοιπὸν τὴ φιλοφροσύνη αὐτοῦ ἂς ἐπιδείξομε αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς καὶ πρὶν ἀπὸ ὅλα τὰ ἄλλα ἂς χαλιναγωγήσομε τὴν ὁρμὴ τῆς γλώσσας καὶ ἂς μὴ μιλᾶμε πάντοτε· γιατὶ λέγει, «ἀπὸ τὴν πολυλογία δὲν θ' ἀποφύγεις τὴν ἁμαρτία»[15]. Ἂν λοιπὸν ἔχεις νὰ πεῖς κάτι ὠφέλιμο, ἄνοιξε τὰ χείλη, ἂν ὅμως δὲν εἶναι ἀναγκαῖο αὐτό, σιώπησε· γιατὶ εἶναι προτιμότερο. Εἶσαι χειροτέχνης; Ψάλλε ὅταν κάθεσαι. Δὲν θέλεις νὰ ψάλλεις μὲ τὸ στόμα; Κάμνε το αὐτὸ μὲ τὸ νοῦ σου. Σπουδαῖος συνομιλητὴς εἶναι ὁ ψαλμός. Κανένα κακὸ δὲν θὰ πάθεις ἀπ' αὐτό, ἀλλὰ θὰ μπορέσεις νὰ ἐργάζεσαι μέσα στὸ ἐργαστήριό σου σὰν νὰ βρίσκεσαι μέσα σὲ μοναστήρι· γιατὶ τὴν ἡσυχία θὰ μᾶς τὴν προσφέρουν ὄχι οἱ κατάλληλοι τόποι, ἀλλὰ ὁ προσεκτικὸς τρόπος ζωῆς. Ὁ Παῦλος δηλαδὴ ποὺ ἀσκοῦσε τὴν τέχνη του μέσα σὲ ἐργαστήρι, δὲν βλάφθηκε καθόλου ἡ ἀρετή του. Μὴ λοιπὸν σὺ λέγεις, 'πῶς θὰ μπορέσω, ἐνῶ εἶμαι χειροτέχνης καὶ φτωχός, νὰ ζῶ μὲ εὐσέβεια;' Γι' αὐτὸ πρὸ πάντων θὰ μπορέσεις νὰ ζεῖς μὲ εὐσέβεια. Γιατὶ ἡ φτώχεια εἶναι πιὸ κατάλληλη γιὰ εὐσέβεια ἀπὸ τὸν πλοῦτο καὶ ἡ ἐργασία ἀπὸ τὴν ἀργία, ἐνῶ ὁ πλοῦτος γίνεται καὶ ἐμπόδιο σ' ἐκείνους ποὺ δὲν προσέχουν. Γιατί, ὅταν χρειάζεται ν' ἀφήσεις τὴν ὀργή, νὰ σβήσεις τὸ φθόνο, ὅταν χρειάζεται νὰ ἀποβάλεις τὸ θυμό, νὰ προσευχηθεῖς, ὅταν χρειάζεται νὰ δείξεις ἐπιείκεια καὶ πραότητα, ὅταν φιλοφροσύνη καὶ ἀγάπη, πῶς θὰ μποροῦσε νὰ γί-

Οὐ γὰρ ἀργύριον καταβαλόντας ταῦτα ἀνύσαι ἐστίν, ἀλλὰ προαίρεσιν ὀρθὴν ἐπιδειξαμένους. Ἐλεημοσύνη μάλιστά ἐστιν ἡ χρημάτων δεομένη, ἀλλὰ καὶ αὐτὴ διὰ τῆς πενίας μειζόνως ἐξέλαμψε· καὶ γὰρ ἡ τοὺς δύο ὀβολοὺς καταβαλοῦσα, ἁπάντων ἀνθρώπων ἦν πενεστέρα, καὶ πάντας ὑπερηκόντισε.

14. Μὴ τοίνυν μέγα τι νομίζωμεν εἶναι πλοῦτον, μηδὲ πηλοῦ βελτίονα εἶναι τὸν χρυσὸν λογιζώμεθα· ἡ γὰρ τιμὴ τῆς ὕλης οὐκ ἀπὸ τῆς φύσεως, ἀλλ' ἀπὸ τῆς ἡμετέρας διανοίας ἐστίν. Εἰ γάρ τις ἀκριβῶς ἐξετάσειε, πολὺ τοῦ χρυσοῦ σίδηρος ἀναγκαιότερος· ὁ μὲν γὰρ εἰς τὸν βίον οὐδεμίαν εἰσάγει χρείαν, οὗτος δὲ τὸ πλέον ἡμῖν κατεσκεύασε τῆς χρείας μυρίαις τέχναις ὑπηρετούμενος. Καὶ τί λέγω χρυσοῦ καὶ σιδήρου σύγκρισιν; Τῶν γὰρ πολυτελῶν λίθων ἀναγκαιότεροι οἱ λίθοι οὗτοι· ἐξ ἐκείνων μὲν γὰρ οὐδὲν ἂν γένοιτο χρηστόν, ἀπὸ δὲ τούτων οἰκίαι τε καὶ τείχη καὶ πόλεις ἔστησαν. Σὺ δέ μοι δεῖξον, τί τὸ κέρδος ἀπὸ τῶν μαργαριτῶν γένοιτ' ἂν τούτων, μᾶλλον δὲ ποῖον οὐκ ἂν γένοιτο βλάβος; Καὶ γὰρ ἵνα σὺ κόκκον ἕνα φορέσῃς, μυρίοι τῷ λιμῷ πένητες ἄγχονται. Ποίας οὖν ἀπολογίας τεύξῃ; τίνος συγγνώμης; Βούλει κοσμῆσαι τὸ πρόσωπον; Μὴ μαργαρίταις, ἀλλὰ σωφροσύνῃ καὶ σεμνότητι· οὕτω χαριεστέραν ὄψεται τὴν ὄψιν ὁ ἀνήρ. Ἐκεῖνος μὲν γὰρ ὁ κόσμος καὶ εἰς ζηλοτυπίας ὑποψίαν ἐμβάλλειν εἴωθεν καὶ εἰς ἔχθρας καὶ φιλονεικίας καὶ μάχας· οὐδὲν γὰρ ὄψεως ὑποπτευομένης ἀηδέστερον· ὁ δὲ τῆς ἐλεημοσύνης καὶ σωφροσύνης κόσμος πᾶσαν μὲν ἐκβάλλει πονηρὰν ὑπόνοιαν, παντὸς δὲ δεσμοῦ σφοδρότερον ἐπισπάσεται τὸν σύνοικον· οὐ γὰρ οὕτω κάλλους φύσις εὔμορφον ποιεῖ γίνεσθαι τὴν ὄψιν, ὡς ἡ τοῦ θεωροῦντος αὐτὴν διάθεσις· διάθεσιν δὲ οὐδὲν οὕτως, ὡς σωφροσύνη καὶ σεμνότης ποιεῖν εἴωθεν. Ὥστε κἂν εὔμορφος ᾖ τις, ἀπεχθῶς δὲ πρὸς αὐτὴν ὁ ἀνὴρ ἔχῃ, πάντων αἰσχροτέρα αὐτῷ

---

16. Λουκᾶ 21,2-4.

νει ἐμπόδιο ἡ φτώχεια; Γιατὶ δὲν χρειάζεται νὰ καταβάλομε χρήματα γιὰ νὰ τὰ κάμομε αὐτά, ἀλλὰ νὰ ἐπιδείξομε προαίρεση καλή. Ἡ ἐλεημοσύνη πρὸ πάντων εἶναι ἐκείνη ποὺ χρειάζεται χρήματα, ἀλλὰ καὶ αὐτὴ μὲ τὴ φτώχεια ἐξέλαμψε περισσότερο· γιατὶ ἐκείνη ποὺ ἔδωσε τοὺς δύο ὀβολοὺς ἦταν ἡ πιὸ φτωχὴ ἀπ' ὅλους τοὺς ἀνθρώπους καὶ ὅμως ὅλους τοὺς ξεπέρασε[16].

14. Ἂς μὴ νομίζομε λοιπὸν σὰν κάτι τὸ σπουδαῖο τὸν πλοῦτο, οὔτε νὰ θεωροῦμε τὸν χρυσὸ καλύτερο ἀπὸ τὸν πηλό· γιατὶ ἡ ἀξία τῆς ὕλης δὲν ἐξαρτᾶται ἀπὸ τὴ φύση της ἀλλὰ ἀπὸ τὴ δική μας ἀντίληψη. Ἂν δηλαδὴ ἐξετάσει κανεὶς μὲ προσοχὴ τὸ πράγμα, θὰ διαπιστώσει ὅτι ὁ σίδηρος εἶναι πολὺ πιὸ ἀναγκαῖος ἀπὸ τὸν χρυσό· γιατὶ ὁ χρυσὸς δὲν ἐξυπηρετεῖ καμιὰ ἀνάγκη στὴ ζωή, ἐνῶ ὁ σίδηρος ἐξυπηρετεῖ πολλὲς ἀνάγκες μας, χρησιμοποιούμενος σὲ ἄπειρες τέχνες. Καὶ γιατί κάμνω τὴ σύγκριση μεταξὺ χρυσοῦ καὶ σιδήρου; Γιατὶ οἱ κοινοὶ λίθοι εἶναι πολὺ πιὸ ἀναγκαῖοι ἀπὸ τοὺς πολυτελεῖς λίθους· ἀπὸ ἐκείνους δὲν εἶναι δυνατὸ νὰ ὑπάρξει κανένα καλό, ἐνῶ ἀπὸ αὐτοὺς κατασκευάζονται οἰκίες καὶ τείχη καὶ πόλεις. Ἀλλὰ σὺ δεῖξε μου ποιό κέρδος θὰ μποροῦσε νὰ ὑπάρξει ἀπὸ τὰ ἴδια τὰ μαργαριτάρια, ἢ καλύτερα ποιά βλάβη δὲν προέρχεται ἀπ' αὐτά; Πραγματικὰ γιὰ νὰ φορέσεις σὺ ἕναν κόκκο, ἀμέτρητοι φτωχοὶ πεθαίνουν ἀπὸ τὴν πείνα. Ποιά λοιπὸν ἀπολογία θὰ ἐπιτύχεις; ποιά συγγνώμη; Θέλεις νὰ στολίσεις τὸ πρόσωπό σου; στόλισέ το ὄχι μὲ μαργαριτάρια, ἀλλὰ μὲ σωφροσύνη καὶ σεμνότητα· ἔτσι θὰ δεῖ τὸ πρόσωπό σου ὁ ἄνδρας πιὸ ὄμορφο καὶ εὐχάριστο. Γιατὶ ἐκεῖνος ὁ στολισμὸς συνήθως ὁδηγεῖ καὶ σὲ ὑποψία ζηλοτυπίας, καθὼς καὶ σὲ ἐχθρότητες, σὲ φιλονεικίες καὶ διαμάχες· γιατὶ τίποτε δὲν ὑπάρχει ἀηδέστερο ἀπὸ πρόσωπο ποὺ δημιουργεῖ ὑποψίες. Ἀντίθετα ὁ στολισμὸς τῆς ἐλεημοσύνης καὶ τῆς σωφροσύνης ἀπομακρύνει κάθε πονηρὴ ὑποψία καὶ προσελκύει τὸν σύζυγο ἰσχυρότερα ἀπὸ ὁποιοδήποτε δεσμό· γιατὶ ἡ φύση αὐτοῦ τοῦ κάλλους δὲν κάμνει τόσο ὄμορφο τὸ πρόσωπο, ὅσο ἡ διάθεση ἐκείνου ποὺ βλέπει αὐτό· καὶ τὴ διάθεση συνήθως δὲν τὴν δημιουργεῖ τίποτε ἄλλο τόσο, ὅσο ἡ σωφροσύνη καὶ ἡ σεμνότητα. Ὥστε κι ἂν ἀκόμη κάποια εἶναι ὄμορφη, ἐφόσον ὁ ἄνδρας αἰσθάνεται ἀπέχθεια πρὸς αὐτήν, θὰ τοῦ φανεῖ ἡ πιὸ ἄσχημη ἀπὸ

φανεῖται· κἂν μὴ τύχῃ τις εὐπρεπὴς οὖσα, ἡδέως δὲ πρὸς αὐτὴν ὁ ἀνὴρ ἔχῃ, πάντων εὐμορφοτέρα αὐτῷ φανεῖται· οὐ γὰρ ἐν τῇ φύσει τῶν ὁρωμένων, ἀλλ' ἐν τῇ διαθέσει τῶν ὁρώντων αἱ ψῆφοι γίνονται.

15. Καλλώπισον τοίνυν τὴν ὄψιν σωφροσύνῃ, σεμνότητι, ἐλεημοσύνῃ, φιλανθρωπίᾳ, ἀγάπῃ, τῇ περὶ τὸν ἄνδρα φιλοφροσύνῃ, ἐπιεικείᾳ, πρᾳότητι, ἀνεξικακίᾳ· ταῦτα τῆς ἀρετῆς τὰ χρώματα· διὰ τούτων ἀγγέλους, οὐκ ἀνθρώπους ἐραστὰς ἐπισπάσῃ, διὰ τούτων αὐτὸν ἕξεις τὸν Θεὸν ἐπαινέτην· ὅταν δὲ ὁ Θεὸς ἀποδέξηται, καὶ τὸν ἄνδρα σοι ὑποτάξει πάντως. Εἰ γὰρ σοφία ἀνθρώπου φωτίζει τὸ πρόσωπον, πολλῷ μᾶλλον ἀρετὴ γυναικὸς φωτίζει τὴν ὄψιν. Εἰ δὲ μέγαν νομίζεις εἶναι τοῦτον τὸν κόσμον, εἰπέ μοι, τί σοι τὸ ὄφελος ἀπὸ τῶν μαργαριτῶν τούτων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γενήσεται; Καὶ τί χρὴ λέγειν τὴν ἡμέραν ἐκείνην, ἐξὸν καὶ ἀπὸ τῶν παρόντων ταῦτα ἀποδεῖξαι πάντα; Ὅτε γοῦν οἱ δόξαντες εἰς τὸν βασιλέα ὑβρικέναι, εἰς τὸ δικαστήριον εἵλκοντο καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευον, τότε αἱ μητέρες καὶ αἱ γυναῖκες τὰ περιδέρραια καὶ τὰ χρυσία καὶ τοὺς μαργαρίτας ἀποθέμεναι καὶ τὸν κόσμον ἅπαντα καὶ τὰ ἱμάτια τὰ χρυσᾶ, λιτὴν καὶ εὐτελῆ λαβοῦσαι ἐσθῆτα καὶ σποδὸν καταπασάμεναι καὶ πρὸ τῶν θυρῶν τοῦ δικαστηρίου κυλινδούμεναι, οὕτω τοὺς δικάζοντας ἐπέκαμπτον. Εἰ δὲ ἐπὶ τῶν ἐνταῦθα δικαστηρίων τὰ μὲν χρυσία καὶ οἱ μαργαρῖται καὶ ἡ ποικίλη ἐσθὴς ἐπιβουλὴ καὶ προδοσία γένοιτ' ἄν, ἡ δὲ ἐπιείκεια καὶ ἡ πρᾳότης καὶ ἡ τέφρα καὶ τὰ δάκρυα καὶ τὰ εὐτελῆ ἱμάτια μᾶλλον ἐπισπᾶται τὸν δικαστήν, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀδεκάστου ψήφου καὶ φοβερᾶς ἐκείνης γένοιτ' ἂν τοῦτο. Τίνα γὰρ ἕξεις, εἰπέ μοι, λόγον εἰπεῖν, ποίαν ἀπολογίαν, ὅταν ὁ Δεσπότης ἐγκαλῇ σοι περὶ τῶν μαργαριτῶν τούτων

17. Ἐκκλ. 8,1.

ὅλες· ἂν πάλι κάποια τύχει νὰ μὴν εἶναι ὄμορφη, ἀλλ' ὁ ἄνδρας της νιώθει εὐχαρίστηση πρὸς αὐτήν, θὰ τοῦ φανεῖ ἡ πιὸ ὄμορφη ἀπὸ ὅλες· γιατὶ ἡ κρίση γιὰ τὴν ὀμορφιὰ δὲν βγαίνει ἀπὸ τὴ φύση ἐκείνων ποὺ βλέπονται ἀλλὰ ἀπὸ τὴ διάθεση ἐκείνων ποὺ τὰ βλέπουν.

15. Στόλισε λοιπὸν τὸ πρόσωπό σου μὲ σωφροσύνη, μὲ σεμνότητα, μὲ ἐλεημοσύνη, μὲ φιλανθρωπία, μὲ ἀγάπη, μὲ τὴ φιλοφροσύνη πρὸς τὸν ἄνδρα, μὲ τὴν ἐπιείκεια, μὲ τὴν πραότητα, μὲ τὴν ἀνεξικακία· αὐτὰ εἶναι τὰ χρώματα τῆς ἀρετῆς· μὲ αὐτὰ θὰ ἀποσπάσεις ἐραστὲς ὄχι ἀνθρώπους, ἀλλὰ ἀγγέλους, μὲ αὐτὰ θὰ ἔχεις ἐπαινέτη τὸν ἴδιο τὸ Θεό· καὶ ὅταν ὁ Θεὸς σὲ ἀποδεχθεῖ, ὁπωσδήποτε θὰ ὑποτάξει σὲ σένα καὶ τὸν ἄνδρα σου. Γιατί, ἂν «ἡ σοφία ἀνθρώπου κάμνει φωτεινὸ τὸ πρόσωπο»[17], πολὺ περισσότερο κάμνει φωτεινὸ τὸ πρόσωπο ἡ ἀρετὴ μιᾶς γυναίκας. Ἂν ὅμως θεωρεῖς μεγάλο τὸ στολισμὸ αὐτό, πές μου, ποιό θὰ εἶναι τὸ ὄφελός σου ἀπὸ τὰ μεργαριτάρια αὐτὰ κατὰ τὴν ἡμέρα ἐκείνη; Καὶ γιατί πρέπει νὰ λέγω τὴν ἡμέρα ἐκείνη, τὴ στιγμὴ ποὺ εἶναι δυνατὸ ν' ἀποδείξω ὅλα αὐτὰ καὶ ἀπὸ τὰ παρόντα; Ὅταν δηλαδὴ ἐκεῖνοι ποὺ θεωρήθηκαν σὰν ὑβριστὲς τοῦ βασιλιᾶ ὁδηγήθηκαν στὸ δικαστήριο καὶ κινδύνευαν νὰ τιμωρηθοῦν μὲ τὴν ἔσχατη τιμωρία, τότε οἱ μητέρες καὶ οἱ γυναῖκες αὐτῶν, ἀφοῦ ἔβγαλαν τὰ περιδέρραια, τὰ χρυσὰ κοσμήματα καὶ τὰ μαργαριτάρια, καθὼς καὶ ὅλα τὰ στολίδια καὶ τὰ χρυσοΰφαντα ἐνδύματα, καὶ φόρεσαν ἁπλὰ καὶ φτωχικὰ ἐνδύματα, ἀλείφθηκαν μὲ στάχτη καὶ πῆγαν καὶ κυλιόνταν μπροστὰ στὶς θύρες τοῦ δικαστηρίου, κατόρθωσαν ἔτσι νὰ κάμψουν τοὺς δικαστές. Ἂν λοιπὸν στὰ ἐδῶ δικαστήρια τὰ χρυσὰ κοσμήματα καὶ τὰ μαργαριτάρια καθὼς καὶ τὰ πολυποίκιλα ἐνδύματα ἀποδείχθηκαν ἐπίβουλα καὶ προδοτικά, ἐνῶ ἀντίθετα ἡ ἐπιείκεια καὶ ἡ πραότητα, ἡ στάχτη καὶ τὰ δάκρυα καθὼς καὶ τὰ εὐτελῆ ἐνδύματα ἀπέσπασαν περισσότερο τὴ συμπάθεια τοῦ δικαστῆ, πολὺ περισσότερο θὰ γίνει αὐτὸ κατὰ τὴν ὥρα τῆς ἀδέκαστης καὶ φοβερῆς ἐκείνης ἀποφάσεως. Γιατὶ πές μου, ποιό λόγο θὰ ἔχεις νὰ πεῖς, ποιά δικαιολογία, ὅταν ὁ Κύριος θὰ σὲ κατηγορεῖ γιὰ τὰ μαρ-

καὶ τοὺς πένητας εἰς μέσον ἀγάγῃ τοὺς λιμῷ διαφθαρέντας; Διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· «μὴ ἐν πλέγμασιν ἢ χρυσίῳ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ»· ἐντεῦθεν μὲν γὰρ ἡ ἐπιβουλὴ γένοιτ' ἄν· εἰ δὲ καὶ διηνεκῶς αὐτῶν ἀπολαύσαιμεν, ἀλλὰ τῷ θανάτῳ πάντως ἀποστησόμεθα· ἀπὸ δὲ ἀρετῆς ἀσφάλεια πᾶσα καὶ μεταβολὴ καὶ μετάπτωσις οὐδεμία, ἀλλὰ καὶ ἐνταῦθα ἡμᾶς ἀσφαλεστέρους ποιεῖ καὶ ἐκεῖ συμμεθίσταται.

16. Βούλει κτήσασθαι μαργαρίτας καὶ τὸν πλοῦτον τοῦτον μηδέποτε ἀποθέσθαι; Περιελομένη τὸν κόσμον ἅπαντα εἰς τὰς τοῦ Χριστοῦ χεῖρας ἀπόθου διὰ τῶν πενήτων· ἐκεῖνός σοι φυλάσσει τὸν πλοῦτον ἅπαντα, ἐπειδὰν ἀναστήσῃ σου τὸ σῶμα μετὰ πολλῆς τῆς λαμπρότητος· τότε σοι βελτίονα περιθήσει πλοῦτον καὶ κόσμον μείζονα, ὡς ὅ γε παρὼν οὗτος εὐτελὴς καὶ καταγέλαστος. Ἐννόησον οὖν τίσιν ἀρέσκειν βούλει καὶ διὰ τίνας περίκεισαι τὸν κόσμον τοῦτον, ἵνα ὁ σχοινοστρόφος καὶ ὁ χαλκοτύπος καὶ ὁ ἀγοραῖος ἰδόντες θαυμάσωσιν. Εἶτα οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς ἐκείνοις ἐπιδεικνυμένη καὶ οὓς οὐδὲ ἀξίους εἶναι νομίζεις τῆς σῆς προσρήσεως, διὰ τούτους ἅπαντα ποιοῦσα; Πῶς οὖν καταγελάσεις τῆς φαντασίας ταύτης; Ἂν ἀναμνησθῇς τῆς φωνῆς ἐκείνης, ἣν ἀφῆκας μυσταγωγουμένη, 'ἀποτάσσομαί σοι, σατανᾶ, καὶ τῇ πομπῇ σου καὶ τῇ λατρείᾳ σου»· ἡ γὰρ περὶ τὸν κόσμον τῶν μαργαριτῶν μανία πομπὴ σατανική ἐστι. Χρυσίον γὰρ ἔλαβες, οὐχ ἵνα τὸ σῶμα καταδήσῃς, ἀλλ' ἵνα τοὺς πένητας λύσῃς καὶ διαθρέψῃς. Λέγε τοίνυν συνεχῶς, «ἀποτάσσομαί σοι, σατανᾶ»· οὐδὲν ταύτης ἀσφαλέστερον τῆς φωνῆς, εἰ διὰ τῶν ἔργων αὐτὴν ἐπιδειξόμεθα.

17. Ταύτην καὶ ὑμᾶς τοὺς μυσταγωγεῖσθαι μέλλοντας μαθεῖν ἀξιῶ· αὕτη γὰρ ἡ φωνὴ συνθήκη πρὸς τὸν Δεσπότην ἐστί. Καὶ καθάπερ ἡμεῖς οἰκέτας ἀγοράζοντες, αὐτοὺς τοὺς πωλουμένους πρότερον ἐρωτῶμεν, εἰ βούλονται ἡμῖν δουλεῦσαι, οὕτω καὶ ὁ Χριστὸς ποιεῖ· ἐπειδὴ μέλλει σε εἰς δουλείαν λαμβάνειν, πρότερον ἐρωτᾷ, εἰ

---

18. Α' Τιμ. 2,9.

γαριτάρια αὐτά, ὁδηγώντας μπροστά σου τοὺς φτωχοὺς ποὺ πέθαναν ἀπὸ τὴν πείνα; Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «ὄχι μὲ πλεξοῦδες στὰ μαλλιὰ ἢ μὲ χρυσὰ κοσμίματα ἢ μὲ μαργαριτάρια καὶ πολυτελῆ ἐνδύματα»[18]· γιατὶ ἀπὸ αὐτὰ θὰ μποροῦσε νὰ προέλθει ἡ βλάβη· κι' ἂν ἀκόμη τὰ ἀπολαύσομε αὐτὰ σ' ὅλη μας τὴ ζωή, ὁπωσδήποτε ὅμως θὰ τὰ ἀποχωρισθοῦμε μὲ τὸ θάνατο· ἐνῶ ἀπὸ τὴν ἀρετὴ πηγάζει κάθε ἀσφάλεια, χωρὶς νὰ συμβαίνει καμιὰ μεταβολὴ καὶ μετάπτωση, ἀλλὰ καὶ ἐδῶ μᾶς κάμνει ἀσφαλέστερους καὶ ἐκεῖ μετατίθεται μαζὶ μὲ ἐμᾶς.

16. Θέλεις ν' ἀποκτήσεις μαργαριτάρια καὶ νὰ μὴ χάσεις ποτὲ τὸν πλοῦτο αὐτό; Βγάλε ὅλα αὐτὰ τὰ στολίδια καὶ ἀπόθεσέ τα στὰ χέρια τοῦ Χριστοῦ μέσω τῶν φτωχῶν· ἐκεῖνος σοῦ φυλάσσει ὅλον τὸν πλοῦτο, μέχρι ποὺ ν' ἀποκτήσεις τὸ σῶμα σου μὲ μεγάλη λαμπρότητα· τότε θὰ σὲ περιβάλει μὲ μεγαλύτερο πλοῦτο καὶ καλύτερα κοσμήματα, τόσο, ὅσο εὐτελὴς καὶ καταγέλαστος εἶναι αὐτὸς τῆς παρούσας ζωῆς. Σκέψου λοιπὸν σὲ ποιούς θέλεις ν' ἀρέσεις καὶ γιὰ ποιούς φορᾶς τὰ κοσμήματα αὐτά· γιὰ νὰ σὲ δοῦν καὶ νὰ σὲ θαυμάσουν ὁ σχοινοποιός, ὁ χαλκουργὸς καὶ ὁ ἔμπορος. Ἔπειτα δὲν ντρέπεσαι οὔτε κοκκινίζεις ἀπὸ ντροπὴ νὰ ἐπιδεικνύεσαι σ' ἐκείνους, καὶ ἐκείνους ποὺ δὲν τοὺς θεωρεῖς ἄξιους οὔτε τοῦ χαιρετισμοῦ σου, γι' αὐτοὺς νὰ τὰ κάμνεις ὅλα; Πῶς λοιπὸν θὰ περιφρονήσεις αὐτὴν τὴν ψεύτικη ἐμφάνιση; Ἂν θυμηθεῖς τὰ λόγια ἐκεῖνα ποὺ εἶπες ὅταν βαπτιζόσουν, «ἀπαρνιέμαι, σατανᾶ, ἐσένα καὶ τὴ πομπή σου καὶ τὴ λατρεία σου»· γιατὶ ἡ μανία γιὰ τὰ κοσμήματα καὶ τὰ μαργαριτάρια εἶναι πομπὴ σατανική. Ἔλαβες χρυσὸ ἀπὸ τὸ Θεὸ ὄχι γιὰ νὰ περιβάλεις μὲ δεσμὰ τὸ σῶμα, ἀλλὰ γιὰ ν' ἀπαλλάξεις τοὺς φτωχοὺς ἀπὸ τὴν πείνα καὶ νὰ τοὺς διαθρέψεις. Λέγε λοιπὸν συνεχῶς, «σὲ ἀπαρνιέμαι, σατανᾶ»· τίποτε δὲν ὑπάρχει ἀσφαλέστερο ἀπὸ τὰ λόγια αὐτά, ἂν αὐτὰ τὰ κάνομε πράξη.

17. Αὐτὰ τὰ λόγια ζητῶ νὰ μάθετε σεῖς ποὺ πρόκειται νὰ βαπτισθεῖτε· γιατὶ τὰ λόγια αὐτὰ εἶναι συμφωνία μὲ τὸν Κύριο. Καὶ ὅπως ἀκριβῶς ἐμεῖς ἀγοράζοντας δούλους, ἐρωτᾶμε πρῶτα αὐτοὺς τοὺς ἴδιους τοὺς πωλουμένους, ἐὰν θέλουν νὰ μᾶς δουλέψουν, τὸ ἴδιο κάμνει καὶ ὁ Χριστός· ἐπειδὴ πρόκειται νὰ σὲ πάρει στὴν ὑπηρεσία του, σὲ ἐρωτᾶ προηγουμένως, ἂν θέλεις νὰ ἀφήσεις

βούλει τὸν τύραννον ἐκεῖνον ἀφεῖναι τὸν ὠμὸν καὶ ἀπηνῆ, καὶ συνθήκας δέχεται παρὰ σοῦ· οὐ γὰρ κατηναγκασμένη αὐτοῦ ἡ δεσποτεία ἐστί. Καὶ σκόπει φιλανθρωπίαν. Ἡμεῖς μὲν γὰρ πρὶν ἢ τὴν τιμὴν καταβαλεῖν, ἐρωτῶμεν τοὺς πωλουμένους, καὶ ἐπειδὰν μάθωμεν, ὅτι βούλονται, τότε τὴν τιμὴν καταβάλλομεν· ὁ δὲ Χριστὸς οὐχ οὕτως. Ἀλλὰ καὶ τὴν τιμὴν κατέβαλεν ὑπὲρ ἁπάντων ἡμῶν τὸ τίμιον αὐτοῦ αἷμα· «τιμῆς» γάρ, φησίν, «ἠγοράσθητε»· καὶ ὅμως οὐδὲ οὕτως ἀναγκάζει μὴ βουλομένους αὐτῷ δουλεῦσαι, ἀλλ' εἰ μὴ χάριν ἔχεις, φησί, καὶ παρὰ σαυτοῦ καὶ ἑκὼν θέλεις ἐπιγράψασθαι τὴν δεσποτείαν, οὐκ ἀναγκάζω, οὐδὲ βιάζομαι. Καὶ ἡμεῖς μὲν οὐκ ἂν ἑλοίμεθα πονηροὺς οἰκέτας πρίασθαι· εἰ δὲ καὶ ἑλοίμεθά ποτε, αἱρέσει κακῇ τούτους ἀγοράζομεν καὶ τοιαύτην καταβάλλομεν τιμήν· ὁ δὲ Χριστὸς ἀγνώμονας οἰκέτας ἀγοράζων καὶ παρανόμους, πρωτείου δούλου τιμὴν κατέβαλε, μᾶλλον δὲ πολλῷ μείζονα, καὶ τοσούτῳ μείζονα, ὡς μηδὲ λόγον, μηδὲ ἔννοιαν αὐτῆς παραστῆσαι τὸ μέγεθος· οὐ γὰρ οὐρανὸν καὶ γῆν καὶ θάλασσαν δούς, ἀλλὰ τὸ πάντων τούτων· τιμιώτερν τοῦ αὐτοῦ αἷμα καταθείς, οὕτως ἡμᾶς ἠγόρασε· καὶ μετὰ ταῦτα πάντα οὐ μάρτυρας ἡμᾶς, οὐκ ἔγγραφα ἀπαιτεῖ, ἀλλ' ἀρκεῖται ψιλῇ τῇ φωνῇ, κἂν εἴπῃς ἀπὸ διανοίας, «ἀποτάσσομαί σοι, σατανᾶ, καὶ τῇ πομπῇ σου», τὸ πᾶν ἀπείληφε.

18. Τοῦτο τοίνυν λέγωμεν, «ἀποτάσσομαί σοι, σατανᾶ», ὡς ἐκεῖ μέλλοντες κατὰ τὴν ἡμέραν ἐκείνην ταύτην ἀπαιτεῖσθαι τὴν φωνήν, καὶ φυλάξωμεν αὐτήν, ἵνα σῶαν τὴν παρακαταθήκην ταύτην ἀποδῶμεν τότε. Πομπὴ δὲ σατανική ἐστι θέατρα καὶ ἱπποδρομίαι καὶ πᾶσα ἁμαρτία καὶ παρατήρησις ἡμερῶν καὶ κληδόνες καὶ σύμβολα· καὶ τί ποτέ ἐστι σύμβολα, φησί; Πολλάκις ἐξελθών τις τὴν οἰκίαν τὴν ἑαυτοῦ, εἶδεν ἄνθρωπον ἑτερόφθαλμον ἢ χωλεύοντα καὶ οἰωνίσατο· τοῦτο πομπὴ σατανική· οὐ γὰρ ἡ ἀπάντησις τοῦ ἀνθρώπου πονηρὰν ποιεῖ τὴν ἡμέραν γενέσθαι, ἀλλὰ τὸ ἐν ἁμαρτίαις ζῆν. Ὅταν τοίνυν ἐξέλθῃς, ἓν μόνον φύλαξαι, μὴ ἁμαρτία σοι ἀπαντήσῃ· αὕτη γάρ ἐστιν ἡ ἡμᾶς ὑποσκελίζουσα, χωρὶς δὲ ταύτης οὐ-

---

19. Α' Κορ. 7,23.

ἐκεῖνον τὸν σκληρὸ καὶ ἄσπλαχνο τύραννο, καὶ δέχεται τὴ συμφωνία ἀπὸ σένα· γιατὶ ἡ ἐξουσία του δὲν εἶναι ἀναγκαστική. Καὶ πρόσεχε φιλανθρωπία. Ἐμεῖς δηλαδὴ προτοῦ καταβάλομε τὸ ἀντίτιμο ἐρωτᾶμε πρῶτα τοὺς πωλουμένους καὶ ὅταν μάθομε, ὅτι θέλουν νὰ μᾶς δουλέψουν, τότε καταβάλλομε τὸ ἀντίτιμο· ὁ Χριστὸς ὅμως δὲν κάμνει τὸ ἴδιο. Ἀλλ' ὁ ἴδιος κατέβαλε καὶ τὸ ἀντίτιμο γιὰ ὅλους μας, τὸ τίμιο αἷμα του· γιατὶ λέγει, «ἀγορασθήκατε ἀφοῦ καταβλήθηκε ἀντίτιμο»[19]· καὶ ὅμως οὔτε καὶ ἔτσι μᾶς ἀναγκάζει ἂν δὲ θέλομε νὰ δουλέψομε σ' αὐτόν, ἀλλά, λέγει, ἂν δὲν ἔχεις τὴν εὐχαρίστηση καὶ δὲν θέλεις νὰ δεχθεῖς τὴν ἐξουσία μου ἀπὸ μόνος σου καὶ μὲ τὴ θέλησή σου, δὲν σὲ ἀναγκάζω οὔτε σὲ βιάζω. Καὶ ἐμεῖς λοιπὸν δὲν θὰ ἀποφασίζαμε ποτὲ ν' ἀγοράσομε δούλους κακούς, ἂν ὅμως ἀποφασίζαμε κάποτε, θὰ τοὺς ἀγοράζαμε μὲ γνώμη κακὴ γι' αὐτοὺς καὶ ἀνάλογο θὰ ἦταν καὶ τὸ ἀντίτιμο· ὁ Χριστὸς ὅμως ἀγοράζοντας ἀχάριστους καὶ παράνομους δούλους, κατέβαλε ἀντίτιμο γιὰ δοῦλο πρώτης τάξεως, ἢ καλύτερα πολὺ πιὸ ἀνωτέρου καὶ τόσο πιὸ ἀνωτέρου, ὥστε νὰ μὴ μπορεῖ οὔτε λόγος οὔτε ἔννοια νὰ παραστήσει τὸ μέγεθος τοῦ ἀντιτίμου· γιατὶ δὲν ἔδωσε οὐρανὸ καὶ γῆ καὶ θάλασσα, ἀλλὰ πρόσφερε τὸ πιὸ τίμιο ἀπὸ ὅλα, τὸ αἷμα του, καὶ μ' αὐτὸ μᾶς ἀγόρασε· καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ δὲν ζητεῖ μάρτυρες οὔτε ἔγγραφα, ἀλλ' ἀρκεῖται σὲ ἁπλὰ λόγια, καὶ ἂν πεῖς μὲ ὅλη τὴν καρδιά σου, «σὲ ἀπαρνιέμαι, σατανᾶ, ἐσένα καὶ τὴν πομπή σου», ἔλαβε μὲ τὰ λόγια σου αὐτὰ τὸ πᾶν.

18. Αὐτὸ λοιπὸν ἂς λέμε, «σὲ ἀπαρνιέμαι, σατανᾶ», γιατὶ τὰ λόγια αὐτὰ πρόκειται νὰ μᾶς τὰ ζητήσει κατὰ τὴν ἡμέρα ἐκείνη, καὶ ἂς τὰ φυλάξομε αὐτά, γιὰ νὰ παραδώσομε τότε σῶα τὴν παρακαταθήκη αὐτή. Πομπὴ σατανικὴ εἶναι τὰ θέατρα, οἱ ἱπποδρομίες, κάθε ἁμαρτία, ἡ διάκριση τῶν ἡμερῶν, οἱ μαντεῖες καὶ τὰ σύμβολα. Καὶ ποιά, λέγει, εἶναι τὰ σύμβολα; Πολλὲς φορὲς βγαίνοντας κανεὶς ἀπὸ τὸ σπίτι του, εἶδε ἄνθρωπο μονόφθαλμο ἢ χωλὸ καὶ τὸ θεώρησε κακὸ σημάδι· αὐτὸ εἶναι πομπὴ σατανική· γιατὶ δὲν κάμνει κακὴ τὴν ἡμέρα ἡ συνάντηση τοῦ ἀνθρώπου, ἀλλὰ τὸ νὰ ζεῖ κανεὶς μέσα στὶς ἁμαρτίες. Ὅταν λοιπὸν βγεῖς ἀπὸ τὸ σπίτι, ἀπὸ ἕνα μόνο προφυλάξου, νὰ μὴ σὲ συναντήσει ἁμαρτία· γιατὶ αὐτὴ εἶναι ἐκείνη ποὺ μᾶς ρίχνει κάτω, ἐνῶ χωρὶς αὐτὴν οὔτε ὁ διάβολος θὰ

δὲν ὁ διάβολος ἡμᾶς βλάψαι δυνήσεται. Τί λέγεις; Ἄνθρωπον ὁρᾷς καὶ οἰωνίζῃ καὶ οὐχ ὁρᾷς τὴν πάγην τὴν διαβολικήν, πῶς ἐκπολεμοῖ σε τῷ μηδὲν ἠδικηκότι; πῶς ἐχθρόν σε καθίστησι τῷ ἀδελφῷ ἐξ οὐδεμιᾶς δικαίας προφάσεως; Καὶ ὁ μὲν Θεὸς καὶ τοὺς ἐχθροὺς φιλεῖν ἐκέλευσε, σὺ δὲ καὶ τὸν οὐδὲν ἠδικηκότα ἀποστρέφῃ μηδὲν ἔχων ἐγκαλεῖν, καὶ οὐκ ἐννοεῖς πόσος ὁ γέλως, πόση ἡ αἰσχύνη, μᾶλλον δὲ πόσος ὁ κίνδυνος; Εἴπω καὶ ἕτερον καταγελαστότερον; Αἰσχύνομαι μὲν καὶ ἐρυθριῶ, ἀναγκάζομαι δὲ ὅμως διὰ τὴν ὑμετέραν σωτηρίαν εἰπεῖν. Ἐὰν ἀπαντήσῃ παρθένος, φησίν, ἄπρακτος ἡ ἡμέρα γίνεται· ἐὰν δὲ ἀπαντήσῃ πόρνη, δεξιὰ καὶ χρηστὴ καὶ πολλῆς ἐμπορίας γέμουσα. Ἐγκαλύπτεσθε καὶ τὸ μέτωπον ἐκρούσατε καὶ πρὸς τὴν γῆν κατεκύψατε; ἀλλὰ μὴ νῦν τῶν ῥημάτων λεγομένων, ἀλλὰ τῶν πραγμάτων γινομένων.

19. Ὅρα γοῦν καὶ ἐνταῦθα, πῶς τὸν δόλον ἔκρυψεν ὁ διάβολος, ἵνα τὴν μὲν σώφρονα ἀποστρεφώμεθα, τὴν δὲ ἀκόλαστον ἀσπαζώμεθα καὶ φιλῶμεν. Ἐπειδὴ γὰρ ἤκουσε τοῦ Χριστοῦ λέγοντος, ὅτι «ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτήν», καὶ εἶδε πολλοὺς περιγενομένους ἀκολασίας, βουλόμενος δι' ἑτέρας ὁδοῦ πάλιν ἐμβαλεῖν αὐτοὺς εἰς τὴν ἁμαρτίαν, διὰ ταύτης τῆς παρατηρήσεως ἑταιρίδας γυναῖκας ἡδέως προσέχειν ἀνέπεισε. Τί ἄν τις εἴποι περὶ τῶν ἐπῳδαῖς καὶ περιάπτοις κεχρημένων καὶ νομίσματα χαλκᾶ Ἀλεξάνδρου τοῦ Μακεδόνος ταῖς κεφαλαῖς καὶ τοῖς ποσὶ περιδεσμούντων; Αὗται αἱ ἐλπίδες ἡμῶν, εἰπέ μοι, ἵνα μετὰ σταυρὸν καὶ θάνατον δεσποτικόν, εἰς Ἕλληνος βασιλέως εἰκόνα τὰς ἐλπίδας τῆς σωτηρίας ἔχωμεν; Οὐκ οἶδας πόσα κατώρθωσεν ὁ σταυρός; Τὸν θάνατον κατέλυσε, τὴν ἁμαρτίαν ἔσβεσε, τὸν ᾅδην ἄχρηστον ἐποίησε, τοῦ διαβόλου τὴν δύναμιν ἐξέλυσε, καὶ εἰς σώματος ὑγίειαν οὐκ ἔστιν ἀξιόπιστος; Τὴν οἰκουμένην ἀνέστησεν ἅπασαν, καὶ σὺ αὐτῷ οὐ θαρρεῖς; Καὶ τίνος ἂν ἄξιος εἴης, εἰπέ μοι; Οὐ περίαπτα δὲ μόνον, ἀλλὰ καὶ ἐπῳδὰς σαυτῷ περιάγεις, γραΐδια μεθύοντα καὶ παραπαίονα εἰς τὴν οἰκίαν σου εἰσάγων· καὶ οὐκ αἰ-

---

20. Ματθ. 5,28.

μπορέσει νὰ μᾶς βλάψει. Τί λές; ἄνθρωπο βλέπεις καὶ τὸ θεωρεῖς κακὸ σημάδι, καὶ δὲν βλέπεις τὴ διαβολικὴ παγίδα, πῶς σὲ βάζει σὲ πόλεμο μὲ κάποιον ποὺ δὲν σὲ ἀδίκησε σὲ τίποτε; πῶς σὲ κάμνει ἐχθρὸ μὲ τὸν ἀδελφό σου χωρὶς καμιὰ δίκαια αἰτία; Καὶ ὁ Θεὸς βέβαια πρόσταξε καὶ τοὺς ἐχθροὺς ν' ἀγαπᾶμε, καὶ σὺ ἀποστρέφεσαι ἐκεῖνον ποὺ δὲν σὲ ἀδίκησε σὲ τίποτε καὶ χωρὶς νὰ μπορεῖς νὰ τὸν κατηγορήσεις γιὰ κάτι, καὶ δὲν καταλαβαίνεις πόσος εἶναι ὁ κατάγελως, πόση ἡ ντροπή, ἢ καλύτερα πόσος ὁ κίνδυνος; Νὰ πῶ καὶ κάτι ἄλλο πιὸ καταγέλαστο; Ντρέπομαι βέβαια καὶ κοκκινίζω ἀπὸ ντροπή, ἀναγκάζομαι ὅμως νὰ τὸ πῶ γιὰ τὴ δική σας σωτηρία. Ἂν μᾶς συναντήσει, λέγει, παρθένος, ἡ ἡμέρα γίνεται ἄπρακτη· ἂν μᾶς συναντήσει πόρνη, ἡ ἡμέρα θὰ εἶναι εὐνοϊκὴ καὶ καλὴ καὶ γεμάτη ἀπὸ πολὺ κέρδος. Καλύπτετε τὸ πρόσωπό σας καὶ χτυπᾶτε τὸ μέτωπό σας καὶ σκύψατε πρὸς τὴ γῆ; ἀλλὰ μὴ τὸ κάμετε αὐτὸ τώρα ποὺ λέγονται τὰ λόγια αὐτά, ἀλλὰ ὅταν γίνονται τὰ πράγματα αὐτά.

19. Πρόσεχε λοιπὸν καὶ ἐδῶ, πῶς ὁ διάβολος ἔκρυψε τὸ δόλο, ὥστε ν' ἀποστρεφόμαστε τὴ σώφρονα καὶ νὰ ἐπιζητοῦμε καὶ ν' ἀγαποῦμε τὴν ἀκόλαστη. Ἐπειδὴ δηλαδὴ ἄκουσε τὸ Χριστὸ νὰ λέγει, «ἐκεῖνος ποὺ εἶδε γυναίκα καὶ τὴν ἐπιθύμησε, ἤδη διέπραξε μοιχεία μ' αὐτήν»[20], καὶ εἶδε πολλοὺς νὰ νικοῦν τὴν ἀκολασία, θέλοντας μὲ ἄλλο τρόπο νὰ τοὺς ὁδηγήσει πάλι στὴν ἁμαρτία, μὲ αὐτὴν τὴν ἀντίληψη τοὺς ἔπεισε νὰ προσέχουν μὲ εὐχαρίστηση τὶς πόρνες γυναῖκες. Τί θὰ μποροῦσε νὰ πεῖ κανεὶς γιὰ ἐκείνους ποὺ χρησιμοποιοῦν ἐπωδὲς καὶ φυλακτὰ καὶ δένουν στὸ κεφάλι καὶ στὰ πόδια χάλκινα νομίσματα τοῦ Ἀλεξάνδρου τοῦ Μακεδόνα; Αὐτές, πές μου, εἶναι οἱ ἐλπίδες μας, ὥστε μετὰ τὸ σταυρὸ καὶ τὸν δεσποτικὸ θάνατο νὰ στηρίζομε τὶς ἐλπίδες τῆς σωτηρίας μας στὴν εἰκόνα Ἕλληνα βασιλιᾶ; Δὲν ἔμαθες πόσα κατόρθωσε ὁ σταυρός; Κατέλυσε τὸ θάνατο, ἔσβησε τὴν ἁμαρτία, ἀχρήστευσε τὸν ἅδη, παρέλυσε τὴ δύναμη τοῦ διαβόλου, καὶ δὲν εἶναι ἀξιόπιστος γιὰ τὴν ὑγεία τοῦ σώματος; Ὁλόκληρη τὴν οἰκουμένη ἀνέστησε καὶ σὺ δὲν ἔχεις ἐμπιστοσύνη σ' αὐτόν; Καὶ ποιᾶς ἀπολογίας, πές μου, θὰ εἶσαι ἄξιος; Καὶ ὄχι μόνο φυλακτά, ἀλλὰ καὶ μαγικὰ ἄσματα χρησιμοποιεῖς, εἰσάγοντας στὸ σπίτι σου μεθυσμένα

σχύῃ, οὐδὲ ἐρυθριᾷς μετὰ τοσαύτην φιλοσφίαν πρὸς ταῦτα ἐπτοημένος; Καὶ τὸ χαλεπώτερον τῆς ἀπάτης· ὅταν γὰρ παραινῶμεν ταῦτα καὶ ἀπάγωμεν, δοκοῦντες ἀπολογεῖσθαί φασιν, ὅτι 'Χριστιανή ἐστιν ἡ γυνὴ ἡ ταῦτα ἐπᾴδουσα καὶ οὐδὲν ἕτερον φθέγγεται ἢ τὸ τοῦ Θεοῦ ὄνομα'. Διὰ τοῦτο μὲν οὖν αὐτὴν μάλιστα μισῶ καὶ ἀποστρέφομαι, ὅτι τῷ ὀνόματι τοῦ Θεοῦ πρὸς ὕβριν κατακέχρηται, ὅτι λέγουσα Χριστιανὴ εἶναι, τὰ τῶν Ἑλλήνων ἐπιδείκνυται· καὶ γὰρ οἱ δαίμονες τὸ τοῦ Θεοῦ ὄνομα ἐφθέγγοντο, ἀλλ' ἦσαν δαίμονες, καὶ οὕτως ἔλεγον πρὸς τὸν Χριστόν, «οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ»· καὶ ὅμως ἐπετίμησεν αὐτοῖς καὶ ἀπήλασε.

20. Διὰ δὴ ταῦτα παρακαλῶ τῆς ἀπάτης καθαρεύειν ταύτης καὶ καθάπερ βακτηρίαν ἔχειν τὸ ῥῆμα τοῦτο. Καὶ ὥσπερ χωρὶς ὑποδημάτων ἢ ἱματίων οὐκ ἂν ἕλοιτό τις ὑμῶν εἰς τὴν ἀγορὰν καθεῖναι, οὕτω χωρὶς τοῦ ῥήματος τούτου μηδέποτε εἰς τὴν ἀγορὰν ἐμβάλῃς, ἀλλ' ὅταν μέλλῃς ὑπερβαίνειν τὰ πρόθυρα τοῦ πυλῶνος, τοῦτο φθέγξαι τὸ ῥῆμα πρότερν, «ἀποτάσσομαί σοι, σατανᾶ, καὶ τῇ πομπῇ σου καὶ τῇ λατρείᾳ σου, καὶ συντάσσομαί σοι Χριστέ», καὶ μηδέποτε χωρὶς τῆς φωνῆς ταύτης ἐξέλθῃς· τοῦτό σοι βακτηρία ἔσται, τοῦτο ὅπλον, τοῦτο πύργος ἄμαχος. Μετὰ τοῦ ῥήματος τούτου καὶ τὸ σταυρὸν ἐπὶ τοῦ μετώπου διατύπωσον· οὕτω γὰρ οὐ μόνον ἄνθρωπος ἀπαντῶν, ἀλλ' οὐδὲ αὐτὸς ὁ διάβολος βλάψαι τι δυνήσεται μετὰ τούτων σε ὁρῶν τῶν ὅπλων πανταχοῦ φαινόμενον. Καὶ ταῦτα σαυτὸν ἐντεῦθεν ἤδη παίδευσον, ἵνα ὅταν τὴν σφραγῖδα λάβῃς, ἐμπαράσκευος ᾖς στρατιώτης καὶ τὸ κατὰ τοῦ διαβόλου τρόπαιον στήσας, δέξῃ τὸν τῆς δικαιοσύνης στέφανον, οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

21. Μαρκ. 1,24.

γραΐδια καὶ παραπαίοντα· καὶ δὲν ντρέπεσαι οὔτε κοκκινίζεις ἀπὸ ντροπὴ μετὰ ἀπὸ τόση φιλοσοφία νὰ προσκολλᾶσαι σ' αὐτά; Καὶ τὸ πιὸ φοβερὸ τῆς ἀπάτης· ὅταν συμβουλεύομε αὐτὰ καὶ ζητοῦμε τὴν ἀπομάκρυνση ἀπ' αὐτά, νομίζοντας ὅτι ἀπολογοῦνται λέγουν, ὅτι 'Χριστιανὴ εἶναι ἡ γυναίκα ποὺ ἀπαγγέλει τὰ μαγικὰ αὐτὰ ἄσματα καὶ τίποτε ἄλλο δὲν λέγει παρὰ μόνο τὸ ὄνομα τοῦ Θεοῦ'. Γι' αὐτὸ πρὸ πάντων μισῶ καὶ ἀποστρέφομαι αὐτήν, ἐπειδὴ χρησιμοποιεῖ τὸ ὄνομα τοῦ Θεοῦ πρὸς ὕβρη αὐτοῦ, ἐπειδή, λέγοντας ὅτι εἶναι 'χριστιανή', παρουσιάζεται νὰ ἐνεργεῖ ὅπως οἱ ἐθνικοί· γιατὶ καὶ οἱ δαίμονες ἀνάφερναν τὸ ὄνομα τοῦ Θεοῦ, ἀλλ' ἦταν δαίμονες, καὶ ἔλεγαν τὰ ἑξῆς γιὰ τὸ Χριστό, «γνωρίζομε ποιός εἶσαι, εἶσαι ὁ ἅγιος τοῦ Θεοῦ»[21]· καὶ ὅμως τοὺς ἐπιτίμησε καὶ τοὺς ἐξεδίωξε.

20. Γι' αὐτὸ λοιπὸν σᾶς παρακαλῶ νὰ μένετε καθαροὶ ἀπὸ τὴν ἀπάτη αὐτὴ καὶ νὰ ἔχετε τὸ λόγο αὐτὸ σὰν βακτηρία. Καὶ ὅπως ἀκριβῶς κανεὶς ἀπὸ σᾶς δὲ θὰ δεχόταν νὰ κατεβεῖ στὴν ἀγορὰ χωρὶς ὑποδήματα ἢ ἐνδύματα, ἔτσι χωρὶς τὸ λόγο αὐτὸ ποτὲ νὰ μὴ πᾶς στὴν ἀγορά, ἀλλὰ ὅταν πρόκειται νὰ περάσεις τὰ πρόθυρα τοῦ πυλώνα, αὐτὸ τὸ λόγο πὲς πρῶτα, «ἀπαρνιέμαι, σατανᾶ, ἐσένα καὶ τὴν πομπή σου καὶ τὴ λατρεία σου, καὶ συντάσσομαι, Χριστέ, μαζί σου», καὶ ποτὲ νὰ μὴ βγεῖς χωρὶς νὰ πεῖς αὐτὰ τὰ λόγια· αὐτὰ ἂς σοῦ εἶναι βακτηρία, αὐτὰ ὅπλο, αὐτὰ πύργος ἀκαταμάχητος. Μαζὶ μὲ τὰ λόγια αὐτὰ κάμε καὶ τὸ σταυρὸ στὸ μέτωπό σου· γιατὶ ἔτσι ὄχι μόνο ὁ ἄνθρωπος ποὺ σὲ συναντᾶ, ἀλλ' οὔτε καὶ ὁ ἴδιος ὁ διάβολος δὲ θὰ μπορέσει νὰ σὲ βλάψει σὲ κάτι, βλέποντάς σε παντοῦ νὰ παρουσιάζεσαι μὲ αὐτὰ τὰ ὅπλα. Καὶ αὐτὰ δίδαξέ τα ἀπὸ τώρα στὸν ἑαυτό σου, ὥστε, ὅταν λάβεις τὴ σφραγίδα τοῦ βαπτίσματος, νὰ εἶσαι προετοιμασμένος στρατιώτης, καί, ἀφοῦ στήσεις τὸ τρόπαιο νίκης κατὰ τοῦ διαβόλου, νὰ λάβεις τὸ στεφάνι τῆς δικαιοσύνης, τὸ ὁποῖο εὔχομαι ὅλοι μας νὰ ἐπιτύχομε, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΚΑΤΗΧΗΣΙΣ ΙΑ'

ΕΝ ΤΗι ΠΡΟΤΕΡΑι ΚΑΤΗΧΗΣΕΙ ΔΙΑΛΕΧΘΕΙΣ ΠΕΡΙ ΟΡΚΩΝ

Ταύτην εἶπεν εἰς τὴν αὐτὴν πάλιν ὑπόθεσιν, δεικνὺς ὅτι οὐ τὸ ἐπιορκεῖν μόνον, ἀλλὰ καὶ τὸ εὐορκεῖν κόλασιν ἔχει, καὶ ὅτι χρησίμως ὁ Χριστὸς διὰ τριῶν ἡμερῶν ἀνέστη

1. *Ἆρα ἀπηλάσατε ἐκ τοῦ στόματος ὑμῶν τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν; οὐ γὰρ ἐπιλέλησμαι οὔτε ὧν αὐτὸς διελέχθην πρὸς ὑμᾶς, οὔτε ὧν ὑμεῖς ὑπέσχεσθε πρός με περὶ τῆς ὑποθέσεως ταύτης. Καὶ γὰρ κἀγὼ διελέχθην καὶ ὑμεῖς ὑπέσχεσθε, εἰ καὶ μὴ τῷ λόγῳ, ἀλλὰ τοῖς ἐπαίνοις τῶν εἰρημένων. Μείζων δὲ αὕτη ἡ ὑπόσχεσις τῆς διὰ τοῦ λόγου· ὁ μὲν γὰρ ὑποσχόμενος λόγῳ πολλάκις τῇ γλώττῃ μὲν ἐπινεύει, τῇ γνώμῃ δὲ οὐκ ἐπινεύει· ὁ δὲ ἐπαινῶν τὰ εἰρημένα ἀπὸ ψυχῆς ποιεῖται τὴν συγκατάθεσιν. Ἆρ' οὖν ἀπεσμήξατε τὴν γλῶσσαν ἀπὸ τῆς χαλεπῆς κηλῖδος; ἆρα ἐφυγαδεύσατε τὴν λύμην ἀπὸ τῆς ἱερᾶς ὑμῶν ψυχῆς; Ἐγὼ στοχάζομαι, ὅτι ἀπεσμήξατε· καὶ γὰρ βασιλέα ὑποδέχεσθαι μέγαν μέλλετε καὶ διδασκαλίας ἀπολαῦσαι πολλῆς καὶ πνευματικῆς τῶν συνετωτέρων πατέρων. Καὶ ὁ χρόνος δὲ ἱκανὸς καὶ ἡ δοθεῖσα προθεσμία πρὸς τὴν διόρθωσιν πρὸς τῷ τέλει λοιπόν ἐστι, καὶ ὑμεῖς εὐήνιοι καὶ καταπειθεῖς· «πείθεσθε γὰρ τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε», λέγει ὁ ἀπόστολος, καὶ ἐν παντὶ ὑπακούετε αὐτοῖς. Ἀπὸ τούτων πάντων στοχαζόμενος νομίζω κατωρθῶσθαι τὸ πᾶν. Ἀλλ' οὐκ ἐβουλόμην στοχάζεσθαι καὶ νομίζειν, ἀλλ' εἰδέναι σαφῶς· καὶ γὰρ ἂν προθυ-*

1. Ἑβρ. 13,17.



ΚΑΤΗΧΗΣΗ ΕΝΔΕΚΑΤΗ

ΑΦΟΥ ΜΙΛΗΣΕ ΣΤΗΝ ΠΡΟΗΓΟΥΜΕΝΗ ΟΜΙΛΙΑ ΠΕΡΙ ΟΡΚΩΝ εἶπε αὐτὴ τὴν ὁμιλία, ἀφιερωμένη πάλι στὸ ἴδιο θέμα, γιὰ νὰ δείξει ὅτι ὄχι μόνο ἡ ἐπιορκία ἀλλὰ καὶ ἡ εὐορκία τιμωροῦνται, καὶ ὅτι πρὸς ὄφελός μας ὁ Χριστὸς ἀναστήθηκε τὴν τρίτη ἡμέρα

1. Ἄραγε ἀπομακρύνατε ἀπὸ τὸ στόμα σας τὴν κακὴ συνήθεια τῶν ὅρκων; γιατὶ δὲν ξέχασα οὔτε ἐκεῖνα ποὺ σᾶς εἶπα, οὔτε ἐκεῖνα ποὺ μοῦ ὑποσχεθήκατε ἐσεῖς γιὰ τὸ θέμα αὐτό. Καὶ ἐγὼ λοιπὸν σᾶς μίλησα γι' αὐτὸ καὶ ἐσεῖς ὑποσχεθήκατε, ἂν καὶ ὄχι μὲ τὸ λόγο, ἀλλ' ἐπαινώντας τὰ λεγόμενά μου. Καὶ αὐτὴ ἡ ὑπόσχεση εἶναι καλύτερη ἀπὸ ἐκείνη ποὺ γίνεται μὲ τὸ λόγο· γιατὶ ἐκεῖνος ποὺ ὑπόσχεται μὲ τὸ λόγο πολλὲς φορὲς μὲ τὴ γλώσσα βέβαια ὑπόσχεται, μὲ τὴ γνώμη ὅμως δὲν συμφωνεῖ· ἐκεῖνος ὅμως ποὺ ἐπαινεῖ τὰ λεγόμενα δίνει τὴ συγκατάθεση μέσα ἀπὸ τὴν ψυχή του. Ἄραγε λοιπὸν καθαρίσατε τὴ γλώσσα σας ἀπὸ τὴ φοβερὴ κηλίδα; ἄραγε φυγαδεύσατε τὴν καταστροφὴ ἀπὸ τὴν ἱερὴ ψυχή σας; ἐγὼ νομίζω ὅτι τὴν καθαρίσατε· γιατὶ πρόκειται νὰ ὑποδεχθεῖτε μεγάλο βασιλιὰ καὶ ν' ἀπολαύσετε διδασκαλία σπουδαία καὶ πνευματικὴ τῶν πιὸ συνετῶν πατέρων. Καὶ ὁ χρόνος εἶναι κατάλληλος καὶ ἡ προθεσμία ποὺ δόθηκε γιὰ τὴ διόρθωση βρίσκεται πλέον πρὸς τὸ τέλος της καὶ σεῖς εἶσθε πρόθυμοι καὶ εὐπειθεῖς· γιατὶ λέγει ὁ ἀπόστολος, «νὰ ὑπακοῦτε στοὺς προϊσταμένους σας καὶ νὰ ὑποτάσσεσθε σ' αὐτούς»[1]· καὶ σ' ὅλα νὰ ὑπακοῦτε σ' αὐτούς. Συμπεραίνοντας ἀπὸ ὅλα αὐτὰ νομίζω ὅτι τὸ κατορθώσατε αὐτὸ πλήρως. Ὅμως δὲν θὰ ἤθελα νὰ συμπεραίνω καὶ νὰ νομίζω, ἀλλὰ νὰ τὸ γνωρίζω καθαρά· γιατὶ ἔτσι προθυμότερα θὰ σᾶς ἀπηύθυνα τοὺς

μότερον τῶν μυστικωτέρων ἡψάμην λόγων, τὴν φροντίδα ἀποθέμενος τὴν περὶ τῶν ὅρκων καὶ μετὰ πλείονος ἀδείας ὑμᾶς ἐχειραγώγησα πρὸς τὴν φρικτὴν ταύτην μυσταγωγίαν καὶ εἰσήγαγον ἂν εἰς τὰ ἄδυτα αὐτὰ καὶ ἔδειξα τὰ ἅγια τῶν ἁγίων καὶ τὰ ἐκεῖ πάντα, οὐχὶ ὑδρίαν χρυσῆν μάννα ἔχουσαν, ἀλλὰ σῶμα τὸ δεσποτικόν, τὸν ἄρτον τὸν οὐράνιον. Ἔδειξα ἂν ὑμῖν οὐ κιβωτὸν ξυλίνην λιθίνας ἔχουσαν πλάκας καὶ νόμον, ἀλλὰ σάρκα ἄμωμον καὶ ἁγίαν ἔχουσαν αὐτὸν τὸν νομοθέτην. Ἔδειξα ἂν ἔνδον οὐ πρόβατον ἄμωμον ἐσφαγιασμένον, ἀλλὰ τὸν ἀμνὸν τοῦ Θεοῦ τεθυμένον, θυσίαν μυστικήν, ἣν καὶ αὐτοὶ τρέμουσιν οἱ ἄγγελοι βλέποντες. Ἔδειξα ἂν ὑμῖν οὐ τὸν Ἀαρὼν εἰσιόντα μετὰ χρυσῆς στολῆς, ἀλλὰ τὸν μονογενῆ εἰσιόντα, τὴν ἀπαρχὴν τῆς ἡμετέρας φύσεως ἔχοντα, αὐτῷ δεικνύντα τῷ Πατρὶ τοῦ κατορθώματος τὸ μέγεθος· «οὐ γὰρ εἰς χειροποίητα», φησίν, «ἅγια εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ». Ἔστιν ἐκεῖ καταπέτασμα οὐχὶ τοιοῦτον, οἷον εἶχεν ὁ ναὸς ὁ ἰουδαϊκός, ἀλλὰ πολὺ φρικωδέστερον. Ἄκουσον γοῦν, οἷόν ἐστι τοῦτο τὸ καταπέτασμα, ἵνα μάθῃς οἷα μὲν ἐκεῖνα τὰ ἅγια τῶν ἁγίων, οἷα δὲ ταῦτα. «Ἔχοντες», φησί, «πολλὴν παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ». Εἶδες πῶς τοῦτο ἐκείνου φρικωδέστερον τὸ καταπέτασμα; Πρὸς ταῦτα ἐβουλόμην ὑμᾶς ἅπαντα μυσταγωγῆσαι τήμερον.

2. Ἀλλὰ τί πάθω; οὐκ ἀφίησί με ἡ τῶν ὅρκων φροντὶς κατατήκουσά μου τὴν ψυχήν· καὶ οἶδα μέν, ὅτι πολλοὶ καταγνώσονται τὴν τῶν λεγομένων ὑπερβολήν, ἀκούσαντες ὅτι κατατήκει μου τὴν ψυχήν· καὶ γὰρ μικρὸν εἶναι νομίζουσι τὸ ἁμάρτημα· ἐγὼ δὲ διὰ τοῦτο μᾶλλον θρηνῶ. Τὰ μὲν γὰρ ἄλλα τῶν ἁμαρτημάτων καὶ ἔστι χαλεπὰ καὶ νομίζεται εἶναι χαλεπά· οἷον ὁ φόνος καὶ ἡ μοιχεία καὶ ἔστι χαλεπὸν καὶ νομίζεται εἶναι χαλεπόν, ὁ δὲ ὅρκος ἔστι μὲν χαλεπόν, οὐ νομίζεται δὲ εἶναι χαλεπόν. Διὰ τοῦτο θρηνῶ καὶ δέδοικα τὸ ἁμάρτημα· τοῦτο γάρ, τοῦτο τῆς μεθοδείας τοῦ διαβόλου, συγκεκα-

2. Ἑβρ. 9,4.
3. Ἰω. 6,51.
4. Ἑβρ. 9,24.
5. Ἑβρ. 10,19–20.

μυστικότερους λόγους, ἀφήνοντας κατὰ μέρος τὴ φροντίδα γιὰ τοὺς ὅρκους καὶ μὲ μεγαλύτερη εὐκολία θὰ σᾶς καθοδηγοῦσα πρὸς τὴ φρικτὴ αὐτὴ μυσταγωγία, θὰ σᾶς ὁδηγοῦσα μέσα στὰ ἴδια τὰ ἄδυτα καὶ θὰ σᾶς ἔδειχνα τὰ ἅγια τῶν ἁγίων καὶ ὅλα ἐκεῖνα, ὄχι στάμνα χρυσὴ ποὺ ἔχει μάννα[2], ἀλλὰ τὸ σῶμα τὸ δεσποτικό, τὸν ἄρτο τὸν οὐράνιο[3]. Θὰ σᾶς ἔδειχνα ὄχι ξύλινη κιβωτὸ ποὺ ἔχει λίθινες πλάκες καὶ νόμο, ἀλλὰ ποὺ ἔχει σάρκα ἄμωμη καὶ ἅγια, αὐτὸν τὸν ἴδιο τὸν νομοθέτη. Θὰ σᾶς ἔδειχνα νὰ ὑπάρχει μέσα σφαγμένο ὄχι πρόβατο ἄμωμο, ἀλλὰ τὸν ἀμνὸ τοῦ Θεοῦ θυσιασμένο, θυσία μυστική, τὴν ὁποία τρέμουν βλέποντάς την καὶ οἱ ἴδιοι οἱ ἄγγελοι. Θὰ σᾶς ἔδειχνα ὄχι τὸν Ἀαρὼν νὰ μπαίνει μέσα μὲ χρυσὴ στολή, ἀλλὰ τὸν μονογενῆ Υἱὸ τοῦ Θεοῦ νὰ μπαίνει, ἔχοντας τὴν ἀπαρχὴ τῆς δικῆς μας φύσεως, δείχνοντας στὸν ἴδιο τὸ Πατέρα του τὸ μέγεθος τοῦ κατορθώματος· γιατὶ λέγει, «δὲν μπῆκε ὁ Χριστὸς σὲ χειροποίητα ἅγια, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλὰ στὸν ἴδιο τὸν οὐρανό, γιὰ νὰ παρουσιασθεῖ τώρα ἐνώπιον τοῦ Θεοῦ»[4]. Καὶ ὑπάρχει ἐκεῖ καταπέτασμα ὄχι τέτοιο ποὺ εἶχε ὁ ἰουδαϊκὸς ναὸς ἀλλὰ πολὺ πιὸ φρικιαστικό. Ἄκουσε λοιπὸν τί λογῆς εἶναι αὐτὸ τὸ καταπέτασμα, γιὰ νὰ μάθεις τί λογῆς ἦταν ἐκεῖνα τὰ ἅγια τῶν ἁγίων καὶ τί εἴδους εἶναι αὐτά. «Παίρνοντας», λέγει «μεγάλο θάρρος ἀπὸ τὸ αἷμα τοῦ Ἰησοῦ, γιὰ νὰ μποῦμε στὰ ἅγια τῶν ἁγίων, ἀπὸ τὴ νέα καὶ ζωντανὴ ὁδὸ ποὺ μᾶς ἐγκαινίασε με τὸ καταπέτασμά του, δηλαδὴ τὴ σάρκα του»[5]. Εἶδες πῶς αὐτὸ τὸ καταπέτασμα εἶναι πιὸ φρικιαστικὸ ἀπὸ ἐκεῖνο; Σ' αὐτὰ θέλω νὰ σᾶς ὁδηγήσω σήμερα μὲ μυστικὸ τρόπο.

2. Ἀλλὰ τί νὰ κάνω; δὲν μὲ ἀφήνει ἡ φροντίδα γιὰ τοὺς ὅρκους ποὺ λειώνει τὴν ψυχή μου· καὶ γνωρίζω βέβαια, ὅτι πολλοὶ θὰ κατηγορήσουν σὰν ὑπερβολικὰ τὰ λεγόμενά μου, ἐπειδὴ ἄκουσαν ὅτι αὐτὴ λειώνει τὴν ψυχή μου· γιατὶ νομίζουν ὅτι εἶναι μικρὸ τὸ ἁμάρτημα· ἐγὼ ὅμως γι' αὐτὸ θρηνῶ περισσότερο. Γιατὶ τὰ ἄλλα ἁμαρτήματα καὶ εἶναι φοβερὰ καὶ θεωροῦνται ὡς φοβερά· ὅπως γιὰ παράδειγμα ὁ φόνος καὶ ἡ μοιχεία καὶ εἶναι φοβερὰ καὶ θεωρεῖται ὅτι εἶναι φοβερά, ἐνῶ ὁ ὅρκος εἶναι βέβαια φοβερός, δὲν θεωρεῖται ὅμως φοβερός. Γι' αὐτὸ θρηνῶ καὶ φοβᾶμαι τὸ ἁμάρτημα· γιατὶ αὐτή, αὐτὴ ἡ πανουργία τοῦ διαβόλου ὁδηγεῖ συγκαλυμ-

λυμμένην εἰσάγειν τὴν ἁμαρτίαν, καὶ ὥσπερ συνήθει τροφῇ δηλητήριον μιγνύς, οὕτω τῇ προλήψει τῶν ἀνθρώπων μηχανᾶται ἐγκατακρύψαι τὸν ὅρκον. Τί οὖν; εἰς τὸν ὅρκον ἅπασαν ἀναλώσομεν τὴν διδασκαλίαν καὶ τὸν χρόνον; Οὐδαμῶς· καὶ γὰρ καὶ στοχάζομαι εἶναί τινας τοὺς κατωρθωκότας. Ὥσπερ γὰρ τοῦ σπείροντος ἐξελθόντος οὐχ ἅπας ὁ σπόρος εἰς τὰς ἀκάνθας ἔπεσεν, οὐδὲ ἅπας εἰς τὰς πέτρας, ἀλλὰ καὶ πολλὰ καὶ εἰς τὴν γῆν κατηνέχθη τὴν καλήν, οὕτω καὶ νῦν ἀδύνατον τοσαύτης διδασκαλίας γενομένης ἐν πλήθει τοσούτῳ μηδένα εἶναι τὸν δυνάμενον ἐπιδείξασθαι τὸν καρπόν. Οὐκοῦν ἐπειδὴ πολλοὶ μὲν κατώρθωσαν, οὔπω δὲ πάντες, μερίσωμεν καὶ ἡμεῖς τὸν λόγον. Ἔδει μὲν γὰρ τοὺς μὴ κατωρθωκότας μηδὲ ὅλως ἀκοῦσαι μυστικῶν λόγων· ἀλλ' ἵνα μὴ ἐπηρεάζωνται ἐκεῖνοι, χαρισώμεθα τοῖς ρᾳθυμοτέροις διὰ τοὺς σπουδαιοτέρους· πολλῷ γὰρ βέλτιον τούτοις δι' ἐκείνους χαρίσασθαι, ἢ τοὺς σπουδαιοτέρους ἐπηρεάσαι διὰ τοὺς ρᾳθυμοτέρους.

3. Ἀναμνῆσαι δὲ βούλομαι χρέους ὑμᾶς, ὃ τῇ προτέρᾳ διαλέξει ὑπεσχόμην μέν, οὐ κατέβαλον δέ, πρὸς ἀναγκαιότερα τοῦ λόγου κατεπείξαντος ἡμᾶς. Τί οὖν ἦν τὸ χρέος ἐκεῖνο; Ἐζήτουν πρὸς ὑμᾶς εἰπεῖν, τίνος ἕνεκεν οἱ πατέρες οἱ ἡμέτεροι πάντα τὸν χρόνον τοῦ ἐνιαυτοῦ παραδραμόντες ἐν τούτῳ τῷ καιρῷ ἐνομοθέτησαν τὰς ὑμετέρας μυσταγωγεῖσθαι ψυχάς· καὶ ἔλεγον, ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ ἡ τοῦ καιροῦ παρατήρησις γέγονεν. Ἀεὶ μὲν γὰρ ἡ αὐτὴ χάρις καὶ οὐκ ἐμποδίζεται χρόνῳ· θεία γάρ ἐστιν ἡ χάρις· ἔχει δὲ μυστικόν τι καὶ ἡ τοῦ καιροῦ παρατήρησις. Τίνος οὖν ἕνεκεν νῦν ἐνομοθέτησαν τὴν ἑορτὴν ταύτην οἱ πατέρες; Νῦν ὁ βασιλεὺς ἡμῶν ἐνίκησε τὸν πόλεμον τὸν πρὸς τοὺς βαρβάρους· βάρβαροι γάρ εἰσι καὶ βαρβάρων ἀγριώτεροι πάντες οἱ δαίμονες. Νῦν τὴν ἁμαρτίαν κατέλυσε, νῦν τὸν θάνατον ἔσβεσε καὶ τὸν διάβολον ὑπέταξε, τοὺς αἰχμαλώτους ἔλαβε. Τῶν ἐπινικίων τοίνυν ἐκείνων ὑπομνήματα ἄγομεν τὴν παροῦσαν ἡμέραν. Διὰ τοῦτο νῦν ἐνομοθέτησαν οἱ πα-

6. Λουκᾶ 8,5.

μένα στὴν ἁμαρτία, καὶ σὰν ἀκριβῶς ν' ἀναμιγνύει δηλητήριο στὴ συνηθισμένη τροφή, ἔτσι μὲ τὴν ἀντίληψη αὐτὴ τῶν ἀνθρώπων προσπαθεῖ μὲ τὸ δόλιο αὐτὸ τρόπο νὰ ἀποκρύψει τὴ βαρύτητα τοῦ ὅρκου. Τί λοιπόν; στὸν ὅρκο θὰ καταναλώσομε ὅλη τὴ διδασκαλία καὶ τὸ χρόνο; Καθόλου· γιατὶ σκέπτομαι ὅτι ὑπάρχουν μερικοὶ ποὺ τὸ κατόρθωσαν αὐτό. Γιατί, ὅπως ἀκριβῶς ὅταν ὁ σπορέας πῆγε νὰ σπείρει[6] δὲν ἔπεσε ὅλος ὁ σπόρος στὰ ἀγκάθια οὔτε στὶς πέτρες, ἀλλὰ πολλὰ σπέρματα ἔπεσαν καὶ στὴ εὔφορη γῆ, ἔτσι καὶ τώρα εἶναι ἀδύνατο, μετὰ ἀπὸ τόση διδασκαλία ποὺ ἔγινε σὲ τόσο πλῆθος, νὰ μὴ ὑπάρχει κανένας ποὺ νὰ μπορεῖ νὰ παρουσιάσει τὸν καρπὸ αὐτῆς. Λοιπόν, ἐπειδὴ πολλοὶ τὸ κατόρθωσαν αὐτό, ὄχι ὅμως ἀκόμη ὅλοι, ἂς μοιράσομε καὶ ἐμεῖς τὸ λόγο. Ἔπρεπε βέβαια ἐκεῖνοι ποὺ δὲν τὸ κατόρθωσαν αὐτὸ νὰ μὴ ἀκούσουν καθόλου τοὺς μυστικοὺς λόγους, ἀλλὰ γιὰ νὰ μὴ βλάπτονται ἐκεῖνοι ποὺ τοὺς κατόρθωσαν, ἂς χαρισθοῦμε στοὺς ἀμελέστερους πρὸς χάρη τῶν σπουδαιοτέρων· γιατὶ εἶναι πολὺ προτιμότερο νὰ χαρισθοῦμε σ' αὐτοὺς πρὸς χάρη ἐκείνων, παρὰ νὰ βλάψομε τοὺς ἐπιμελέστερους ἐξ αἰτίας τῶν ἀμελεστέρων.

3. Καὶ θέλω νὰ σᾶς ὑπενθυμίσω τὸ χρέος, ποὺ σᾶς ὑποσχέθηκα κατὰ τὴν προηγούμενη ὁμιλία, καὶ ποὺ δὲν τὸ ξαπλήρωσα, ἐπειδὴ ὁ λόγος μὲ ἐξανάγκασε νὰ ἀναφερθῶ σὲ ἀναγκαιότερα πράγματα. Ποιό λοιπὸν ἦταν τὸ χρέος ἐκεῖνο; Ἤθελα νὰ σᾶς πῶ, γιὰ ποιό λόγο οἱ πατέρες μας, παρατρέχοντας ὅλο τὸ χρόνο τοῦ ἔτους, ὅρισαν κατ' αὐτὸν τὸν καιρὸ νὰ μυσταγωγοῦνται οἱ ψυχές σας. Καὶ σᾶς ἔλεγα ὅτι ὁ καθορισμὸς αὐτὸς τοῦ χρόνου δὲν ἔγινε ἁπλῶς καὶ στὴν τύχη. Γιατὶ πάντοτε ἡ χάρη εἶναι ἡ ἴδια καὶ δὲν ἐμποδίζεται ἀπὸ τὸ χρόνο· καθόσον εἶναι θεία ἡ χάρη· ἀλλ' ἔχει καὶ κάτι τὸ μυστικὸ ὁ καθορισμὸς αὐτὸς τοῦ καιροῦ. Γιὰ ποιό λόγο λοιπὸν νομοθέτησαν οἱ πατέρες νὰ γίνεται σήμερα ἡ γιορτὴ αὐτή; Γιατὶ σὰν σήμερα ὁ βασιλιάς μας νίκησε στὸν πόλεμο κατὰ τῶν βαρβάρων· γιατὶ βάρβαροι εἶναι οἱ δαίμονες, καὶ πιὸ ἄγριοι ἀπὸ ὅλους τοὺς βαρβάρους. Σὰν σήμερα κατέλυσε τὴν ἁμαρτία, σὰν σήμερα ἔσβησε τὸ θάνατο, ὑπέταξε τὸ διάβολο καὶ ἐλευθέρωσε τοὺς αἰχμαλώτους. Σὲ ἀνάμνηση λοιπὸν ἐκείνων τῶν ἐπινικίων ἑορτάζομε τὴ σημερινὴ ἡμέρα. Γι' αὐτὸ οἱ πατέρες μας νομοθέτησαν σήμερα νὰ

τέρες τὰς βασιλικὰς δωρεὰς διανέμεσθαι· οὗτος γὰρ ἐπινικίων ὁ νόμος. Οὕτω καὶ οἱ ἔξωθεν βασιλεῖς ποιοῦσι· τὰς ἡμέρας τῶν ἐπινικίων παλιαῖς τιμῶσι τιμαῖς. Ἀλλ' ἐκείνης μὲν τῆς τιμῆς ὁ τρόπος ἀτιμίας γέμει· ποία γὰρ τιμὴ θέατρα καὶ τὰ ἐν θεάτροις πραττόμενα καὶ λεγόμενα; οὐχὶ πάντα αἰσχύνης ἐμπέπλησται καὶ πολλοῦ τοῦ γέλωτος; Αὕτη δὲ ἡ τιμὴ τῆς τοῦ τιμήσαντός ἐστιν ἀξία μεγαλοδωρεᾶς. Διὰ τοῦτο νῦν ἐνομοθέτησαν, ἵνα σε ἀναμνήσωσι διὰ τοῦ καιροῦ τῆς νίκης τοῦ Δεσπότου, ἵνα ἐν τοῖς ἐπινικίοις ὦσί τινες οἱ τὰ λαμπρὰ φοροῦντες ἱμάτια καὶ εἰσιόντες εἰς τιμὴν τοῦ βασιλέως· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἵνα καὶ κατὰ τὸν καιρὸν κοινωνῇς τῷ Δεσπότῃ. Ἐσταυρώθη, φησίν, ἐκεῖνος ἐν τῷ ξύλῳ· σταυρώθητι σὺ διὰ τοῦ βαπτίσματος· σταυρὸς γάρ φησι καὶ βάπτισμα καὶ θάνατος, ἀλλὰ θάνατος ἁμαρτίας, ἀλλὰ σταυρὸς τοῦ παλαιοῦ ἀνθρώπου.

4. *Ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος, πῶς ἀμφότερα λέγει περὶ τοῦ βαπτίσματος, ὅτι θάνατός ἐστιν ἁμαρτίας καὶ ὁ σταυρός· «ἢ ἀγνοεῖτε ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθητε»; καὶ πάλιν· «ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας». Ἵνα οὖν μὴ ἀκούσας θάνατον καὶ ἀκούσας σταυρὸν φοβηθῇς, ἐπήγαγεν ὅτι ἁμαρτίας θάνατός ἐστιν ὁ σταυρός. Εἶδες, πῶς σταυρὸς τὸ βάπτισμα; Μάθε, ὅτι καὶ τὸν σταυρὸν βάπτισμα ἐκάλεσεν ὁ Χριστός, ἀντιδιδούς σοι καὶ ἀντιλαμβάνων τὸ ὄνομα τοῦ βαπτίσματος. Τὸ βάπτισμα τὸ σὸν ἐκάλεσε σταυρόν· τὸν σταυρὸν τὸν ἐμόν, φησί, καλῶ βάπτισμα. Καὶ ποῦ τοῦτο φησί; «Βάπτισμα ἔχω βαπτισθῆναι, ὃ ὑμεῖς οὐκ οἴδατε». Καὶ πόθεν δῆλον, ὅτι περὶ τοῦ σταυροῦ λέγει; Προσῆλθον αὐτῷ υἱοὶ Ζεβεδαίου, μᾶλλον δὲ «ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου» λέγουσα· «εἰπέ, ἵνα οὗτοι οἱ δύο υἱοί μου καθίσωσιν, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων ἐν τῇ βασιλείᾳ σου». Μητρὸς ἡ αἴτησις, εἰ καὶ ἀπερίσκεπτος. Τί οὖν ὁ Χριστός; «δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆ-*

---

7. Ρωμ. 6,3.
8. Ρωμ. 6,6.
9. Λουκᾶ 12,50.
10. Ματθ. 20,20–21.

διανέμονται οἱ βασιλικὲς δωρεές· γιατὶ αὐτὸς εἶναι ὁ νόμος τῶν ἐπινικίων. Τὸ ἴδιο κάμνουν καὶ οἱ κοσμικοὶ βασιλεῖς· τὶς ἡμέρες τῶν ἐπινικίων τὶς τιμοῦν μὲ πολλὲς τιμές. Ἀλλ' ὁ τρόπος τῆς τιμῆς ἐκείνης εἶναι γεμάτος ἀτιμία· γιατὶ ποιά τιμὴ εἶναι τὰ θέατρα καὶ τὰ ὅσα παίζονται καὶ λέγονται στὰ θέατρα; δὲν εἶναι ὅλα γεμάτα ἀπὸ ντροπὴ καὶ ἄξια γιὰ πολλὰ γέλια; ἐνῶ αὐτὴ ἡ τιμὴ εἶναι ἄξια τῆς μεγαλοδωρεᾶς ἐκείνου ποὺ μᾶς τίμησε. Γι' αὐτὸ νομοθέτησαν σήμερα νὰ ἑορτάζονται τὰ ἐπινίκια, γιὰ νὰ σοῦ ὑπενθυμίσουν μὲ τὸν καιρὸ τὴ νίκη τοῦ δεσπότη, καὶ νὰ ὑπάρχουν κατὰ τὴν ἡμέρα τῶν ἐπινικίων μερικοὶ ποὺ θὰ φοροῦν τὰ λαμπρὰ ἐνδύματα καὶ θὰ παίρνουν μέρος στὴν τιμὴ τοῦ βασιλιᾶ καὶ ὄχι μόνο γι' αὐτό, ἀλλὰ καὶ γιὰ νὰ συμμετέχεις κατὰ τὸν καιρὸ αὐτὸ στὰ τοῦ Κυρίου. Σταυρώθηκε, λέγει, ἐκεῖνος ἐπάνω στὸ ξύλο· σταυρώσου καὶ σὺ μὲ τὸ βάπτισμα· γιατὶ λέγει, τὸ βάπτισμα εἶναι σταυρὸς καὶ θάνατος, ἀλλὰ θάνατος τῆς ἁμαρτίας καὶ σταυρὸς τοῦ παλαιοῦ ἀνθρώπου.

4. Ἄκουσε λοιπὸν τί λέγει ὁ Παῦλος, πῶς καὶ τὰ δυὸ τὰ λέγει περὶ τοῦ βαπτίσματος, ὅτι δηλαδὴ εἶναι θάνατος τῆς ἁμαρτίας καὶ ὁ σταυρός· «ἢ ἀγνοεῖτε ὅτι ὅσοι βαπτισθήκατε στὸ ὄνομα τοῦ Χριστοῦ, βαπτισθήκατε στὸ θάνατο αὐτοῦ;»[7]· καὶ πάλι· «ὁ παλαιὸς ἄνθρωπός μας σταυρώθηκε μαζὶ μὲ τὸ Χριστό, γιὰ νὰ καταργηθεῖ τὸ σῶμα τῆς ἁμαρτίας»[8]. Γιὰ νὰ μὴ φοβηθεῖς λοιπὸν ἀκούοντας θάνατο καὶ σταυρό, πρόσθεσε ὅτι θάνατος τῆς ἁμαρτίας εἶναι ὁ σταυρός. Εἶδες πῶς τὸ βάπτισμα εἶναι σταυρός; μάθε ὅτι καὶ τὸν σταυρὸ τὸν ὀνόμασε ὁ Χριστὸς βάπτισμα, δίνοντας στὸ βάπτισμά του τὸ ὄνομα τοῦ σταυροῦ καὶ στὸ σταυρὸ τὸ ὄνομα τοῦ βαπτίσματος· τὸ βάπτισμά σου τὸ ὀνόμασε σταυρό· τὸν δικό μου σταυρό, λέγει, τὸν ὀνομάζω βάπτισμα. Καὶ ποῦ τὸ λέγει αὐτό; «ἔχω νὰ βαπτισθῶ ἕνα βάπτισμα, ποὺ δὲν τὸ γνωρίζετε σεῖς»[9]. Καὶ ἀπὸ ποῦ εἶναι φανερὸ ὅτι τὸ λέγει γιὰ τὸ σταυρό; Τὸν πλησίασαν οἱ υἱοὶ τοῦ Ζεβεδαίου, ἢ καλύτερα «ἡ μητέρα τῶν υἱῶν Ζεβεδαίου», λέγοντας· «πές, ὥστε αὐτοὶ οἱ δυὸ υἱοί μου νὰ καθήσουν στὴ βασιλεία σου ἕνας στὰ δεξιά σου καὶ ὁ ἄλλος στὰ ἀριστερά σου»[10]. Τὸ αἴτημα, ἂν καὶ ἦταν ἀπερίσκεπτο, ἦταν μητέρας. Τί λοιπὸν ἀπαντᾶ ὁ Χριστός; «μπορεῖτε νὰ πιεῖτε τὸ ποτήρι ποὺ πρόκειται ἐγὼ νὰ πιῶ

ναι»; Ὁρᾷς ὅτι βάπτισμα τὸν σταυρὸν ἐκάλεσε· πόθεν τοῦτο δῆλον; «δύνασθε», φησί, «πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν;». Ποτήριον τὸ πάθος λέγει καὶ διὰ τοῦτο φησί· «πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ». Εἶδες πῶς βάπτισμα τὸν σταυρὸν ἐκάλεσε καὶ τὸ πάθος ποτήριον; Ἐκάλεσε δὲ οὕτως, οὐκ ἐπειδὴ αὐτὸς ἐκαθαίρετο (πῶς γάρ, «ὅς γε ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ δόλος ἦν ἐν τῷ στόματι αὐτοῦ»;), ἀλλ' ἐπειδὴ τὸ αἷμα τὸ ῥεῦσαν ἐκεῖθεν ἅπασαν τὴν οἰκουμένην ἐκάθηρε. Διὰ τοῦτο καὶ ὁ Παῦλος φησί· «εἰ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ διὰ τοῦ βαπτίσματος». Οὐκ εἶπε 'τῷ θανάτῳ', ἀλλὰ «τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ». Θάνατος μὲν γὰρ κἀκεῖνο καὶ τοῦτο, ἀλλ' οὐ τοῦ αὐτοῦ πράγματος· ἐκεῖνο μὲν γὰρ σώματος, τοῦτο δὲ ἁμαρτίας· διὰ τοῦτο ὁμοίωμα θανάτου.

5. *Τί οὖν; ἀποθνήσκομεν μόνον μετὰ τοῦ Δεσπότου καὶ ἐν τοῖς σκυθρωποῖς κοινωνοῦμεν μόνον; Μάλιστα μὲν οὐδὲ τοῦτο σκυθρωπόν, τὸ κοινωνῆσαι θανάτῳ δεσποτικῷ. Πλὴν μικρὸν ἀνάμεινον καὶ ὄψει καὶ ἐν τοῖς χρηστοῖς κοινωνοῦντά σε· «εἰ γὰρ ἀπεθάνομεν σὺν αὐτῷ», φησί, «πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ». Ὁμοῦ γὰρ καὶ ταφὴ καὶ ἀνάστασίς ἐστιν ἐν τῷ βαπτίσματι κατὰ τὸν αὐτὸν καιρόν· ἀφίησι κάτω τὸν παλαιὸν ἄνθρωπον καὶ λαμβάνει τὸν καινὸν καὶ ἀνίσταται, «ὥσπερ ἠγέρθη ὁ Χριστὸς διὰ τῆς δόξης τοῦ Πατρός». Ὁρᾷς πῶς πάλιν τὴν ἀνάστασιν λέγει; Ἀλλὰ διατί ἡ μὲν ἡμετέρα ἀνάστασις καὶ ἡ ταφὴ καὶ ὁ θάνατος ἐν τῷ αὐτῷ καιρῷ (ὁμοῦ γὰρ καὶ θαπτόμεθα καὶ ἀνιστάμεθα), ἡ δὲ τοῦ Δεσπότου ἐβράδυνεν; ἐν τρισὶ γὰρ ἡμέραις ἠγέρθη. Διατί οὖν ἡ μὲν ἡμετέρα ἀνάστασις ἀθρόον, ἡ δὲ δεσποτικὴ βραδυτέρα; Ναὶ συμφερόντως, ἵνα μάθῃς ὅτι οὐ δι' ἀσθένειαν ἡ βραδυτής· ὁ γὰρ τὸν δοῦλον ἀναστῆσαι δυνηθεὶς ἐν βραχείᾳ καιροῦ ῥοπῇ πολλῷ μᾶλλον ἑαυτὸν ἀναστῆσαι ἠδύνατο.*

Τίνος οὖν ἕνεκεν ἡ βραδυτής; τίνος ἕνεκεν ἡ τριήμερος ταφή; Ἵνα βραδύναντος τοῦ θανάτου καὶ διὰ τῆς βραδυτῆτος ἀναμφισβή-

---

11. Ματθ. 20,22.
12. Ματθ. 26,39.
13. Ἡσ. 53,9.
14. Ρωμ. 6,5.
15. Ρωμ. 6,8.
16. Ρωμ. 6,4.

καὶ νὰ βαπτισθεῖται τὸ βάπτισμα ποὺ βαπτίζομαι ἐγώ;»[11]. Βλέπεις ὅτι ὀνόμασε βάπτισμα τὸ σταυρό· ἀπὸ ποῦ εἶναι αὐτὸ φανερό; «Μπορεῖτε», λέγει, «νὰ πιεῖτε τὸ ποτήρι ποὺ πρόκειται ἐγὼ νὰ πιῶ;». Ποτήρι ὀνομάζει τὸ πάθος καὶ γι' αὐτὸ λέγει· «Πατέρα, ἂν εἶναι δυνατὸ ἂς ἀποφύγω τὸ ποτήρι αὐτό»[12]. Εἶδες πῶς ὀνόμασε βάπτισμα τὸ σταυρὸ καὶ τὸ πάθος ποτήρι; καὶ τὸ ὀνόμασε ἔτσι ὄχι ἐπειδὴ καθαριζόταν αὐτὸς (γιατὶ πῶς ἦταν δυνατὸ αὐτὸ γι' αὐτὸν «ποὺ ἁμαρτία δὲν ἔκαμε οὔτε δόλος ἀνέβηκε ποτὲ στὸ στόμα του»[13];), ἀλλ' ἐπειδὴ τὸ αἷμα ποὺ ἔτρεξε ἀπὸ ἐκεῖ καθάρισε ὅλη τὴν οἰκουμένη. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «ἂν ἑνωθήκαμε μαζί του μὲ τὸ ὁμοίωμα τοῦ θανάτου του διὰ τοῦ βαπτίσματος»[14]· δὲν εἶπε «μὲ τὸ θάνατό του», ἀλλὰ «μὲ τὸ ὁμοίωμα τοῦ θανάτου του». Γιατὶ θάνατος εἶναι καὶ ἐκεῖνο καὶ αὐτό, ἀλλὰ ὄχι τοῦ ἴδιου πράγματος· ἐκεῖνο ἦταν θάνατος σώματος, ἐνῶ αὐτὸ θάνατος ἁμαρτίας· γι' αὐτὸ εἶναι ὁμοίωμα θανάτου.

5. Τί λοιπόν; πεθαίνομε μόνο μαζὶ μὲ τὸν Κύριο καὶ συμμετέχομε μόνο στὰ λυπηρά; Καὶ βέβαια οὔτε αὐτὸ εἶναι λυπηρό, τὸ νὰ γίνομε κοινωνοὶ στὸ θάνατό του. Πλὴν ὅμως περίμενε λίγο καὶ θὰ δεῖς νὰ συμμετέχεις καὶ στὰ εὐχάριστα· γιατὶ λέγει, «ἂν πεθάναμε μαζὶ μ' αὐτόν, πιστεύομε ὅτι καὶ θὰ ζήσομε μαζί του»[15]. Συμβαίνει δηλαδὴ κατὰ τὸ βάπτισμα συγχρόνως καὶ ταφὴ καὶ ἀνάσταση· ἀφήνει κάτω τὸν παλιὸ ἄνθρωπο καὶ παίρνει τὸν καινούργιο καὶ ἀνασταίνεται, «ὅπως ἀκριβῶς ἀναστήθηκε ὁ Χριστὸς μὲ τὴ δόξα τοῦ Πατέρα»[16]. Βλέπεις πῶς πάλι ἐννοεῖ τὴν ἀνάσταση; Ἀλλὰ γιατί ἡ δική μας ἀνάσταση καὶ ταφὴ καὶ ὁ θάνατος γίνονται τὴν ἴδια ὥρα (γιατὶ συγχρόνως καὶ θαπτόμαστε καὶ ἀνασταινόμαστε), ἐνῶ τοῦ Κυρίου ἡ ἀνάσταση βράδυνε; γιατὶ ἀναστήθηκε μετὰ ἀπὸ τρεῖς ἡμέρες. Γιατί λοιπὸν ἡ δική μας ἀνάσταση γίνεται τὴν ἴδια στιγμή, ἐνῶ τοῦ Κυρίου ἔγινε βραδύτερα; Ἔγινε πρὸς τὸ συμφέρον μας, γιὰ νὰ μάθεις ὅτι ἡ βραδύτητα δὲν ὀφείλεται σὲ ἀδυναμία· γιατὶ ἐκεῖνος ποὺ μπόρεσε νὰ ἀναστήσει τὸν δοῦλο μέσα σὲ μιὰ στιγμή, πολὺ περισσότερο μποροῦσε ν' ἀναστήσει τὸν ἑαυτό του.

Γιὰ ποιό λόγο λοιπὸν συνέβηκε αὐτὴ ἡ βραδύτητα; γιὰ ποιό λόγο ἡ ταφὴ διάρκησε τρεῖς ἡμέρες; Γιὰ νὰ γίνει μὲ τὴ βραδύτητα

τητος τῆς ἀναστάσεως ἡ ἀπόδειξις γένηται. Ὅπου γὰρ καὶ νῦν μετὰ τοσαύτην ἀπόδειξίν εἰσιν ἄνθρωποι λέγοντες ὅτι δοκήσει ἔπαθεν, εἰ μὴ τοσαύτη γέγονε βραδυτής, τί οὐκ ἂν εἶπον ἐκεῖνοι; Οὐδὲ γὰρ τῷ λόγῳ τῆς ἀναστάσεως ὁ διάβολος ἐπιβουλεῦσαι ἐβούλετο μόνον, ἀλλὰ καὶ τῇ πίστει τοῦ θανάτου· ᾔδει γάρ, ᾔδει σαφῶς ὅτι κοινὸν φάρμακον τῆς οἰκουμένης ὁ σωτήριος θάνατος ἦν καὶ ἐξελεῖν τοῦτον τῆς πίστεως τῶν ἀνθρώπων ἐσπούδαζεν, ἵνα ἀνέλῃ τὴν σωτηρίαν. Διὰ τοῦτο βραδύνει ὁ Δεσπότης ἐν τῇ ἀναστάσει καὶ προσέρχονται οἱ Ἰουδαῖοι λέγοντες· «δὸς ἡμῖν στρατιώτας, ἵνα τηρήσωμεν τὸν τάφον». Ὢ τῆς ἀναισχυντίας· πότε νεκρὸν εἶδες, ὦ Ἰουδαῖε, τηρούμενον; Εἰ γὰρ κοινὸς νεκρὸς ἦν καὶ ψιλὸς ἄνθρωπος ὁ σταυρωθείς, τί ξένα καὶ παράδοξα ποιεῖς πράγματα; τί φοβεῖ καὶ τρέμεις καὶ φύλακας συνάγεις; Πλὴν ἀλλ' οὐδὲ ἐκώλυσεν ὁ Θεός, ἀλλ' ἀφῆκε φυλάττεσθαι, ἵνα ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συλληφθῇ ὁ ἁμαρτωλός. Ἐκεῖνοι μὲν γὰρ ἔλεγον, «δὸς ἡμῖν στρατιώτας, ἵνα μὴ κλέψωσιν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ καὶ εἴπωσιν ὅτι ἀνέστη», συνέβη δὲ τοὐναντίον· ἔλαβον γὰρ στρατιώτας, ἵνα μὴ ἀναστάντος αὐτοῦ λέγωσιν, ὅτι ἔκλεψαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ καὶ οὐκ ἀνέστη, καὶ τὰ κατὰ τῆς ἀναστάσεως σκευωρούμενα ὑπὲρ τῆς ἀναστάσεως γέγονε καὶ τοὺς ἐπιβούλους αὐτοὺς μάρτυρας ἐποίησε τῆς ἀναστάσεως ὁ Χριστός, ἵνα ἐκκόψῃ τὴν ἀπολογίαν αὐτῶν τὴν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

6. Τίνος μὲν οὖν ἕνεκεν ἐν τῷ καιρῷ τούτῳ μυσταγωγεῖσθαι ἐκέλευσαν οἱ πατέρες, ἱκανῶς οἶμαι ἔγωγε διὰ τῶν εἰρημένων ὑμῖν παρεστήσαμεν. Βούλομαι δὲ καὶ ἕτερον ὑμῖν ἀποδοῦναι χρέος, εἰ μὴ πρὸς τὴν ἀκρόασιν ἀπεκάμετε, καὶ εἰπεῖν, τίνος ἕνεκεν γυμνοὺς καὶ ἀνυποδέτους ὑμᾶς πρὸς τὰς τῶν ἐξορκιζόντων ἐντεῦθεν παραπέμπομεν φωνάς· καὶ γὰρ καὶ ἐνταῦθα ἡ αὐτὴ αἰτία φανεῖται πάλιν, ὅτι πόλεμον νικήσας ὁ βασιλεὺς αἰχμαλώτους ἔλαβε. Τοιοῦτον δὲ τῶν αἰχμαλώτων τὸ σχῆμα. Ἄκουσον γοῦν τί φησι πρὸς τοὺς Ἰουδαίους ὁ Θεός· «ὃν τρόπον ἐπορεύθη ὁ παῖς μου Ἡσαΐας γυμνὸς καὶ ἀνυπόδετος, οὕτως πορεύσονται υἱοὶ Ἰσραὴλ εἰς τὴν αἰχμαλωσίαν γυμνοὶ καὶ ἀνυπόδετοι». Βουλόμενος τοίνυν ἀναμνῆσαί σε τῆς προ-

17. Πρβλ. Ματθ. 27,63–66. 18. Ἡσ. 20,3.

αὐτὴ τοῦ θανάτου ἀναμφισβήτητη ἡ ἀπόδειξη τῆς ἀναστάσεως. Γιατὶ τὴ στιγμὴ ποὺ καὶ τώρα μετὰ τὴν τόσο μεγάλη ἀπόδειξη ὑπάρχουν ἄνθρωποι ποὺ λέγουν ὅτι φαινομενικὰ ἔπαθε, ἂν δὲν συνέβαινε τόση βραδύτητα τί δὲν θὰ ἔλεγαν ἐκεῖνοι; Γιατὶ ὁ διάβολος δὲν ἤθελε νὰ βλάψει τὴν ἀνάσταση μόνο μὲ τὸ λόγο, ἀλλὰ καὶ μὲ τὴν πίστη στὸ θάνατό του· γιατὶ γνώριζε, γνώριζε μὲ σαφήνεια ὅτι ὁ σωτήριος θάνατος ἦταν κοινὸ φάρμακο τῆς οἰκουμένης καὶ φρόντιζε νὰ τὸν ἀπομακρύνει ἀπὸ τὴν πίστη τῶν ἀνθρώπων. Γι' αὐτὸ ὁ Κύριος ἀργεῖ ν' ἀναστηθεῖ καὶ ἔρχονται οἱ Ἰουδαῖοι λέγοντας· «δῶσε μας στρατιῶτες γιὰ νὰ φυλάξομε τὸν τάφο»[17]. Πὼ πὼ ἀδιαντροπιά! Πότε, Ἰουδαῖε, εἶδες νεκρὸ νὰ φυλάσσεται; Γιατί, ἂν ἦταν κοινὸς νεκρὸς καὶ ἁπλὸς ἄνθρωπος ἐκεῖνος ποὺ σταυρώθηκε, γιατί κάμνεις παράξενα καὶ παράδοξα πράγματα; γιατί φοβᾶσαι καὶ τρέμεις καὶ συγκεντρώνεις φύλακες; Πλὴν ὅμως οὔτε αὐτὸ ἐμπόδισε ὁ Θεός, ἀλλ' ἐπέτρεψε νὰ φυλαχθεῖ, ὥστε μὲ τὰ ἔργα τῶν χεριῶν του νὰ συλληφθεῖ ὁ ἁμαρτωλός. Γιατὶ ἐκεῖνοι ἔλεγαν, «δῶσε μας στρατιῶτες, γιὰ νὰ μὴ τὸν κλέψουν οἱ μαθητές του καὶ ποῦν ὅτι ἀναστήθηκε», συνέβηκε ὅμως τὸ ἀντίθετο· γιατὶ ἔλαβαν στρατιῶτες, γιὰ νὰ μὴ λέγουν, ἀφοῦ ἀναστηθεῖ, ὅτι τὸν ἔκλεψαν οἱ μαθητές του καὶ δὲν ἀναστήθηκε, ἀλλ' οἱ σκευωρίες κατὰ τῆς ἀναστάσεως ἀπέβησαν ὑπὲρ τῆς ἀναστάσεως καὶ τοὺς ἐπίβουλους αὐτοὺς τοὺς ἔκαμε ὁ Χριστὸς μάρτυρες τῆς ἀναστάσεως, γιὰ νὰ τοὺς στερήσει τὴ δικαιολογία κατὰ τὴν ἡμέρα ἐκείνη.

6. Γιὰ ποιό λόγο λοιπὸν πρόσταξαν οἱ πατέρες νὰ γίνεται ἡ μυσταγωγία τοῦ βαπτίσματος κατὰ τὸν καιρὸ αὐτὸ νομίζω πὼς σᾶς τὸ ἐξήγησα ἱκανοποιητικὰ μὲ τὰ ὅσα σᾶς εἶπα. Θέλω ὅμως νὰ σᾶς ἐξοφλήσω καὶ ἄλλο χρέος μου, ἂν δὲν σᾶς κούρασε ἡ ἀκρόαση, καὶ νὰ σᾶς πῶ, γιὰ ποιό λόγο σᾶς στέλνομε ἀπὸ ἐδῶ γυμνοὺς καὶ ἀνυπόδετους πρὸς τὶς φωνὲς τῶν ἐξορκιστῶν· γιατὶ καὶ ἐδῶ θὰ φανεῖ πάλι ἡ ἴδια αἰτία, ὅτι νίκησε στὸν πόλεμο ὁ βασιλιὰς καὶ συνέλαβε αἰχμαλώτους. Τέτοια εἶναι ἡ ἐμφάνιση τῶν αἰχμαλώτων. Ἄκουσε λοιπὸν τί λέγει ὁ Θεὸς πρὸς τοὺς Ἰουδαίους· «ὅπως πορεύθηκε ὁ δοῦλος μου Ἠσαΐας γυμνὸς καὶ ἀνυπόδετος, ἔτσι θὰ πορευθοῦν οἱ υἱοὶ τοῦ Ἰσραὴλ στὴν αἰχμαλωσία γυμνοὶ καὶ ἀνυπόδετοι»[18]. Θέλοντας λοιπὸν νὰ σοῦ ὑπενθυμίσει τὴν προηγούμενη τυ-

τέρας τοῦ διαβόλου τυραννίδος διὰ τοῦ σχήματος παραπέμπει σε πρὸς τὴν μνήμην τῆς δυσγενείας τῆς παλαιᾶς. Διὰ τοῦτο οὐχὶ γυμνοὶ καὶ ἀνυπόδετοι μόνον ἑστήκατε, ἀλλὰ καὶ τὰς χεῖρας ὑπτίας ἔχοντες, ἵνα καὶ τὴν μετὰ ταῦτα ὁμολογῆτε τοῦ Θεοῦ δεσποτείαν, ᾗ νῦν προσέρχεσθε. Σκῦλά ἐστε καὶ λάφυρα πάντες ὑμεῖς· καὶ τῶν σκύλων τούτων ὁ Ἡσαΐας μέμνηται πόρρωθεν πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως προαναφωνῶν οὕτως· «αὐτὸς τοῦ ἰσχυροῦ μεριεῖται σκῦλα»· καὶ πάλιν· «ἦλθε κηρῦξαι αἰχμαλώτοις ἄφεσιν». Ὁ Δαυὶδ δὲ μετὰ τούτου τὴν αἰχμαλωσίαν ταύτην προφητεύων ἔλεγεν· «ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν». Ἀλλὰ μὴ στυγνάσῃς ἀκούων αἰχμαλωσίαν· οὐδὲν γὰρ ταύτης τῆς αἰχμαλωσίας μακαριώτερον. Ἡ μὲν γὰρ τῶν ἀνθρώπων αἰχμαλωσία ἀπὸ ἐλευθερίας εἰς δουλείαν ἄγει, αὕτη δὲ ἀπὸ δουλείας εἰς ἐλευθερίαν μεθίστησι· καὶ ἡ μὲν τῶν ἀνθρώπων ἀποστερεῖ πατρίδος καὶ πρὸς τὴν ξένην ἄγει, αὕτη δὲ ἡ αἰχμαλωσία ἐκβάλλει τῆς ξένης καὶ ἄγει πρὸς τὴν πατρίδα, τὴν ἄνω Ἱερουσαλήμ. Ἡ τῶν ἀνθρώπων αἰχμαλωσία ἀποστερεῖ μητρός, αὕτη δὲ πρὸς τὴν μητέρα σε ἄγει τὴν κοινὴν πάντων ἡμῶν. Ἐκείνη καὶ συγγενῶν καὶ πολιτῶν διαζεύγνυσιν, αὕτη δὲ πρὸς τοὺς πολίτας ἄγει τοὺς ἄνω· καὶ γὰρ «συμπολῖταί ἐστέ» φησι «τῶν ἁγίων». Τὸ μὲν οὖν σχῆμα τοῦτον ἔχει τὸν λόγον.

7. Τίνος δὲ ἕνεκεν αἱ τῶν ἐξορκιστῶν φωναί, αἱ φοβεραὶ ἐκεῖναι καὶ φρικώδεις, ἀναμιμνήσκουσί σε τοῦ κοινοῦ Δεσπότου, τῆς κολάσεως, τῆς τιμωρίας, τῆς γεέννης; Διὰ τὴν ἀναισχυντίαν τῶν δαιμόνων. Καὶ γὰρ πρόβατον ἀσφράγιστον ὁ κατηχούμενός ἐστι καὶ πανδοχεῖον ἔρημον καὶ ἀθύρωτον καταγώγιον πᾶσι προκείμενον ἁπλῶς, λῃστῶν καταδρομή, θηρίων καταφυγή, δαιμόνων οἴκησις. Ἐπεὶ οὖν ἔδοξε τῷ βασιλεῖ διὰ πολλὴν φιλανθρωπίαν τὸ πανδοχεῖον τοῦτο τὸ ἔρημον, τὸ ἀθύρωτον, τὴν καταφυγὴν τῶν λῃστῶν βασιλικὰς αὐλὰς γενέσθαι, διὰ τοῦτο ἔπεμψε προετοιμάζοντας τὸ καταγώγιον ἡμᾶς τοὺς διδάσκοντας κἀκείνους τοὺς ἐξορκίζοντας. Καὶ ἡμεῖς μὲν οἱ διδάσκοντες τοὺς τοίχους σαθροὺς ὄντας ποιοῦμεν

19. Ἡσ. 53,12.
20. Ἡσ. 61,1.
21. Ψαλμ. 67,19.
22. Ἐφ. 2,19.

ραννικὴ ἐξουσία τοῦ διαβόλου σὲ παραπέμπει μὲ τὸ σχῆμα αὐτὸ στὴ μνήμη τῆς παλιᾶς ταπεινῆς γενεᾶς σου. Γι' αὐτὸ στέκεσθε ὄχι μόνο γυμνοὶ καὶ ἀνυπόδετοι, ἀλλ' ἔχοντας καὶ τὰ χέρια ὑψωμένα, γιὰ νὰ ὁμολογεῖτε καὶ τὴν στὴ συνέχεια ἐξουσία τοῦ Θεοῦ, στὴν ὁποία τώρα προσέρχεσθε. Αἰχμάλωτοι καὶ λάφυρα εἶστε ὅλοι σεῖς· καὶ γι' αὐτὰ τὰ λάφυρα μιλάει ὁ Ἠσαΐας προλέγοντας αὐτὰ πολὺ μπροστὰ ἀπὸ τὴν πραγματοποίηση αὐτῶν ὡς ἑξῆς· «αὐτὸς θὰ μοιράσει λάφυρα ἀπὸ τὸν ἰσχυρό»[19]· καὶ πάλι «ἦρθε νὰ κηρύξει ἐλευθερία στοὺς αἰχμαλώτους»[20]. Καὶ ὁ Δαυὶδ μαζὶ μ' αὐτὸν προφητεύοντας αὐτὴ τὴν αἰχμαλωσία ἔλεγε· «ἀνέβηκες ψηλὰ καὶ αἰχμαλώτισες αἰχμαλώτους»[21]. Ἀλλὰ μὴ δυσανασχετήσεις ἀκούοντας αἰχμαλωσία· γιατὶ τίποτε δὲν ὑπάρχει πιὸ μακάριο ἀπὸ τὴν αἰχμαλωσία αὐτή. Γιατὶ ἡ αἰχμαλωσία τῶν ἀνθρώπων ὁδηγεῖ τὸν αἰχμάλωτο ἀπὸ τὴν ἐλευθερία στὴ δουλεία, ἐνῶ αὐτὴ τὸν μεταφέρει ἀπὸ τὴ δουλεία στὴν ἐλευθερία· ἡ αἰχμαλωσία τῶν ἀνθρώπων ἀποστερεῖ ἀπὸ τὸν ἄνθρωπο τὴν πατρίδα καὶ τὸν ὁδηγεῖ σὲ ξένη πατρίδα, ἐνῶ αὐτὴ ἡ αἰχμαλωσία τὸν βγάζει ἀπὸ τὴν ξένη καὶ τὸν ὁδηγεῖ στὴν πατρίδα του, τὴν οὐράνια Ἱερουσαλήμ. Ἡ αἰχμαλωσία τῶν ἀνθρώπων ἀποστερεῖ τὸν ἄνθρωπο ἀπὸ τὴ μητέρα του, ἐνῶ αὐτὴ σὲ ὁδηγεῖ στὴν κοινὴ μητέρα ὅλων μας. Ἐκείνη χωρίζει τὸν ἄνθρωπο ἀπὸ συγγενεῖς καὶ συμπολίτες, ἐνῶ αὐτὴ τὸν ὁδηγεῖ πρὸς οὐράνιους συμπολίτες· γιατὶ λέγει, «συμπολίτες εἶστε τῶν ἁγίων»[22]. Ἡ ἐξωτερικὴ λοιπὸν ἐμφάνιση τῶν ὁδηγουμένων στοὺς ἐξορκιστὲς ἔχει αὐτὴ τὴ σημασία.

7. Γιὰ ποιό λόγο ὅμως οἱ φωνὲς τῶν ἐξορκιστῶν, οἱ φοβερὲς ἐκεῖνες καὶ γεμάτες φρίκη, σοῦ ὑπενθυμίζουν τὸν κοινὸ Κύριο, τὴν κόλαση, τὴν τιμωρία καὶ τὴ γέεννα; Ἐξ αἰτίας τῆς ἀδιαντροπιᾶς τῶν δαιμόνων. Γιατὶ ὁ κατηχούμενος εἶναι πρόβατο ἀσφράγιστο, πανδοχεῖο ἔρημο καὶ καταγώγιο χωρὶς θύρες, ποὺ βρίσκεται στὴ διάθεση ὅλων γενικῶς, εἶναι κρυψώνας τῶν ληστῶν, καταφύγιο τῶν θηρίων, οἴκημα τῶν δαιμόνων. Ἐπειδὴ λοιπὸν θέλησε ὁ βασιλιὰς ἀπὸ πολλὴ φιλανθρωπία τὸ ἔρημο αὐτὸ πανδοχεῖο, τὸ ἀθύρωτο, τὸ καταφύγιο τῶν ληστῶν, νὰ γίνει βασιλικὴ αὐλή, γι' αὐτὸ ἔστειλε νὰ προετοιμάσουν τὸ καταγώγιο ἐμᾶς τοὺς δασκάλους καὶ ἐκείνους τοὺς ἐξορκιστές. Ἐμεῖς λοιπὸν οἱ δάσκαλοι μὲ

ὀχυροὺς διὰ τῆς διδασκαλίας· «πᾶς» γάρ φησιν, «ὅστις ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν». Ἀσφαλῆ καταβάλλωμεν τὰ θεμέλια, ἕως ἂν παραγένηται ὁ βασιλεύς· εἴ που ῥῦπόν τινα καὶ βόρβορον ἴδωμεν, ἐξαντλοῦμεν· τοιοῦτον γὰρ ἡ συνήθεια τῆς ἁμαρτίας, δυσώδης καὶ ἀκάθαρτος. Ἄκουσον γοῦν πῶς αὐτῆς τὴν φύσιν ὁ Δαυὶδ λέγει· «ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ· προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου». Ἡμεῖς μὲν ἐξαντλοῦμεν τὴν δυσωδίαν καὶ τίθεμεν τὸ μύρον τὸ πνευματικόν, οἱ δὲ ἐξορκίζοντες διὰ τῶν φοβερῶν ἐκείνων φωνῶν περισκοποῦσι, μή που θηρίον, μή που ὄφις, μή που ἔχις, μή που σκορπίος· μετὰ γὰρ τὸ τὴν φωνὴν ἀκοῦσαι τὴν φοβερὰν ἐκείνην, κἂν χαλεπὸν ᾖ τὸ θηρίον, οὐ δύναται καταδύεσθαι οὐδὲ φωλεύειν, ἀλλ᾽ ἄνεισι καὶ δραπετεύει καὶ μὴ βουλόμενον.

8. Ἐβουλόμην εἰπεῖν καὶ ἕτερον, ὅπερ οὐχ ὑπεσχόμην εἰπεῖν· ἀναγκαῖον δὲ ἦν εἰπεῖν, τίνος ἕνεκεν ἡμεῖς μὲν πιστοί, οἱ δὲ ἀμύητοι κατηχούμενοι. Καὶ γὰρ αἰσχρὸν ὄντως καὶ καταγέλαστον τιμὴν λαμβάνοντα μηδὲ τὸ ὄνομα τῆς τιμῆς εἰδέναι. Ἀλλὰ τί πάθω; ἐπέστη μοι πάλιν ἡ τῶν ὅρκων φροντὶς καὶ βραδυτῆτα ἐνεκάλεσε καὶ τὸν λόγον ἕλκει πρὸς ἑαυτήν. Διὰ τοῦτο τούτους εἰς τὴν ἐπιοῦσαν ἀναβαλλόμενοι τοὺς λόγους πρὸς τὴν περὶ τῶν ὅρκων παραίνεσιν τρεψώμεθα νῦν. Δεινὸν ὁ ὅρκος, ἀγαπητέ, δεινὸν καὶ ἐπιβλαβές· φάρμακον ὀλέθριον, δηλητήριον χαλεπόν, τραῦμα κεκρυμμένον, ἕλκος ἀφανές, νομὴ συνεσκιασμένη καὶ τὸ ἰὸν ἐπὶ τὴν ψυχὴν ἄγουσα· βέλος σατανικόν, ἀκόντιον πεπυρωμένον, μάχαιρα δίστομος, ῥομφαία ἠκονημένη, ἁμαρτία ἀσύγγνωστος, παρανομία ἀπολογίαν οὐκ ἔχουσα, βάραθρον βαθύ, κρημνὸς ἀπότομος, παγὶς ἰσχυρά, δίκτυον ἐκτεταμένον, δεσμὸς λυθῆναι μὴ δυνάμενος, βρόχος ἀδιεξόδευτος. Ἆρα ἀρκεῖ ταῦτα καὶ πιστεύετε, ὅτι δεινὸν ὁ ὅρκος καὶ πάντων ἁμαρτημάτων χαλεπώτερον; Πείσθητέ μοι, πείσθητε, παρακαλῶ· εἰ δέ τις ἀπιστεῖ, καὶ τὴν ἀπόδειξιν ἤδη παρέχομαι· ὅπερ

23. Ματθ. 7,24.
24. Ψαλμ. 37,5-6.

τὴ διδασκαλία μας κάμνομε τοὺς σαθροὺς τοίχους ἰσχυρούς· γιατὶ λέγει, «ὁ καθένας ποὺ ἀκούει τοὺς λόγους μου αὐτοὺς καὶ τοὺς ἐφαρμόζει, μοιάζει μὲ ἄνδρα φρόνιμο, ποὺ ἔχτισε τὴν οἰκία του ἐπάνω στὴν πέτρα»[23]. Καθιστοῦμε γερὰ τὰ θεμέλια, μέχρι ποὺ νὰ ρθεῖ ὁ βασιλιάς. Ἂν δοῦμε κάπου κάποια κηλίδα καὶ βρωμιὰ τὴν καθαρίζομε· γιατὶ τέτοια εἶναι ἡ φύση τῆς ἁμαρτίας, βρωμερὴ καὶ ἀκάθαρτη. Ἄκουσε λοιπὸν πῶς χαρακτηρίζει ὁ Δαυὶδ τὴ φύση αὐτῆς· «σὰν βαρὺ φορτίο ἔπεσε μὲ βάρος πολὺ ἐπάνω μου· βρώμισαν καὶ σάπισαν τὰ τραύματά μου ἐξ αἰτίας τῆς ἀφροσύνης μου»[24]. Ἐμεῖς λοιπὸν καθαρίζομε τὴ δυσωδία καὶ τοποθετοῦμε τὸ πνευματικὸ μύρο, ἐνῶ οἱ ἐξορκιστὲς μὲ τὰ φοβερὰ ἐκεῖνα λόγια προσέχουν τριγύρω, μήπως ὑπάρχει κάπου θηρίο, μήπως φίδι, μήπως ὀχιά, μήπως σκορπιός· γιατί, ἀφοῦ ἀκούσει τὴ φοβερὴ ἐκείνη φωνή, κι ἂν ἀκόμη εἶναι φοβερὸ τὸ θηρίο, δὲν μπορεῖ νὰ παραμείνει καὶ νὰ φωλιάσει ἐκεῖ, ἀλλὰ βγαίνει καὶ δραπετεύει καὶ χωρὶς νὰ τὸ θέλει.

8. Ἤθελα νὰ σᾶς πῶ καὶ κάτι ἄλλο, ποὺ δὲν ὑποσχέθηκα νὰ σᾶς πῶ· ἔπρεπε λοιπὸν νὰ σᾶς πῶ, γιὰ ποιό λόγο ἐμεῖς ὀνομαζόμαστε πιστοί, ἐνῶ οἱ ἀμύητοι κατηχούμενοι. Γιατὶ εἶναι ντροπὴ πραγματικὰ καὶ ἄξιο γιὰ γέλια νὰ λαμβάνει κανεὶς τιμὴ καὶ νὰ μὴ γνωρίζει τὸ ὄνομα τῆς τιμῆς. Ἀλλὰ τί νὰ κάνω; μοῦ ἦρθε πάλι ἡ φροντίδα γιὰ τοὺς ὅρκους κατηγορώντας με γιὰ βραδύτητα καὶ σύροντας τὸ λόγο πρὸς τὸν ἑαυτό της. Γι' αὐτό, ἀφοῦ ἀναβάλομε αὐτοὺς τοὺς λόγους γιὰ τὴν ἄλλη ὁμιλία, ἂς ἔρθομε τώρα στὴν παραίνεση περὶ τῶν ὅρκων. Εἶναι φοβερό, ἀγαπητέ, ὁ ὅρκος, φοβερὸ πράγμα καὶ ἐπιβλαβές· φάρμακο ὀλέθριο, δηλητήριο φοβερό, τραῦμα κρυφό, πληγὴ ἀφανής, τροφὴ συγκαλυμμένη, ποὺ ὁδηγεῖ τὸ δηλητήριο στὴν ψυχή· εἶναι βέλος σατανικό, ἀκόντιο πυρωμένο, μαχαίρι δίκοπο, ρομφαία ἀκονισμένη, ἁμαρτία ἀσυγχώρητη, παρανομία ποὺ δὲν ἔχει ἀπολογία, βάραθρο βαθύ, γκρεμὸς ἀπότομος, παγίδα ἰσχυρή, δίχτυ ἁπλωμένο, δεσμὸς ποὺ δὲν εἶναι δυνατὸ νὰ λυθεῖ, βρόχος χωρὶς διέξοδο. Ἄραγε ἀρκοῦν αὐτὰ καὶ πιστεύετε, ὅτι εἶναι φοβερὸ πράγμα ὁ ὅρκος καὶ πιὸ φοβερὸ ἀπὸ ὅλα τὰ ἁμαρτήματα; Πιστέψτε με, πιστέψτε με, σᾶς παρακαλῶ· ἂν ὅμως κάποιος δὲν πιστεύει, σᾶς παρουσιάζω τώρα καὶ τὴν ἀπόδειξη·

γὰρ οὐδεμία ἁμαρτία κέκτηται, τοῦτο αὕτη ἡ ἁμαρτία ἔχει. Τὰς μὲν γὰρ ἄλλας ἐντολὰς μὴ παραβαίνοντες ἀπαλλαττόμεθα τιμωρίας, τὸν δὲ ὅρκον πολλάκις καὶ φυλάττοντες καὶ παραβαίνοντες ὁμοίως κολαζόμεθα. Τάχα οὐκ ἐνοήσατε τὸ λεχθέν; οὐκοῦν ἀνάγκη σαφέστερον αὐτὸ πάλιν εἰπεῖν. Πολλάκις τις ὤμοσε πρᾶξαι πρᾶγμα παράνομον καὶ ἐνέπεσεν εἰς βρόχον ἄλυτον· ἀνάγκη γὰρ λοιπὸν ἢ φυλάξαντα τὸν ὅρκον παρανομεῖν, ἢ μὴ φυλάξαντα τὸν ὅρκον ἐγκλήματι ἐπιορκίας ἁλῶναι· καὶ γέγονε ἑκατέρωθεν βαθὺς ὁ κρημνός, ἑκατέρωθεν ὁ θάνατος ἀπαραίτητος καὶ φυλάττουσι τὴν ἐντολὴν καὶ μὴ φυλάττουσιν. Ἆρα ἔστιν ὀλεθριώτερόν τι τοῦ πλημμελήματος τούτου, ὅταν φυλάττηται καὶ μὴ φυλάττηται;

9. Καὶ ἵνα μάθητε, ὅτι τοῦτο οὕτως ἐστὶ καὶ πολλοὶ πολλάκις οὐχὶ παραβάντες τὸν ὅρκον μόνον, ἀλλὰ καὶ φυλάξαντες τὸν ὅρκον κολάσει ἑαυτοὺς ὑπευθύνους ἐποίησαν, ἐγὼ διήγημα τοιοῦτον ὑμῖν ἐρῶ. Ὁ Ἡρώδης γενέσιά ποτε ἐπετέλει καὶ τὴ ἡμέραν ἦγεν, ἐν ᾗ ἐτέχθη· καὶ βουλόμενος αὐτὴν ποιῆσαι λαμπρὰν εἰσήγαγεν ὀρχήσασθαι τὴν θυγατέρα τῆς βασιλίδος, οὐκ εἰδὼς ὅτι μᾶλλον αὐτὴν κατῄσχυνε· καὶ γὰρ δέον εὐχαριστῆσαι τῷ φιλανθρώπῳ Θεῷ, ὅτι οὐκ ὄντα αὐτὸν ἐποίησεν, ὅτι ψυχὴν ἔδωκεν, ὅτι αὐτὸν εἰσήγαγεν εἰς τὸ σεμνὸν τοῦτο τῆς κτίσεως θέατρον, ὅτι θεατὴν ἐποίησε τῆς δημιουργίας τῆς καλλίστης ταύτης καὶ θαυμαστῆς, δέον ὕμνοις καὶ εὐχαριστίαις ταῖς εἰς τὸν Δεσπότην τιμῆσαι τὴν ἡμέραν, ὁ δὲ τῇ ἀτιμίᾳ ἐτίμησεν. Τί γὰρ ὀρχήσεως ἀτιμότερον; Κατὰ ταύτην τὴν ἡμέραν ὠρχήσατο ἡ θυγάτηρ Ἡρωδιάδος. Ἀκούσατε, καὶ ἄνδρες καὶ γυναῖκες, ὅσοι τοιούτοις ὀρχήμασι καὶ τοιούτοις ᾄσμασι τὰ ἄριστα τιμᾶτε τὰ ἑαυτῶν· οὐκ ἔστι ταῦτα μικρὰ τὰ κακά, εἰ καὶ δοκεῖ ἀδιάφορα εἶναι· διὰ γὰρ τοῦτό ἐστι μεγάλα κακά, ἐπειδὴ ἀδιάφορα εἶναι δοκεῖ· οὐδὲ γὰρ πολλῆς ἀπολαύει τῆς προνοίας· τὸ μὲν γὰρ μέγα νόσημα καὶ ἐπιμελείας τυγχάνον σβέννυται, τὸ δὲ μικρὸν εἶναι δοκοῦν, δι' αὐτὸ τοῦτο καταφρονούμενον, μέγα γίνεται. Τί λέγεις;

---

25. Ματθ. 14,6 ἑ.

γιατί, ἐκεῖνο ποὺ δὲν τὸ ἔχει καμιὰ ἁμαρτία, αὐτὸ τὸ ἔχει αὐτὴ ἡ ἁμαρτία. Ὅταν δηλαδὴ δὲν παραβαίνομε τὶς ἄλλες ἐντολὲς ἀπαλλασσόμαστε ἀπὸ τὴν τιμωρία, ἐνῶ τὸν ὅρκο πολλὲς φορές, καὶ φυλάγοντάς τον καὶ παραβαίνοντάς τον τιμωρούμαστε. Μήπως δὲν καταλάβατε αὐτὸ ποὺ εἶπα; λοιπὸν πρέπει νὰ σᾶς τὸ πῶ πάλι σαφέστερα. Πολλὲς φορὲς ὁρκίσθηκε κάποιος νὰ κάμει ἕνα παράνομο πράγμα καὶ ἔπεσε σὲ βρόχο ἄλυτο· γιατὶ πρέπει πιὰ ἢ νὰ φυλάξει τὸν ὅρκο καὶ νὰ παρανομήσει, ἢ νὰ μὴ φυλάξει τὸν ὅρκο καὶ νὰ πέσει στὸ ἔγκλημα τῆς ἐπιορκίας· καὶ ἔγινε ἔτσι καὶ ἀπὸ τὰ δύο μέρη βαθὺς γκρεμός, καὶ ἀπὸ τὰ δύο μέρη ὁ θάνατος ἀναπόφευκτος, εἴτε φυλάξει τὴν ἐντολὴ εἴτε δὲν τὴν φυλάξει. Ἄραγε ὑπάρχει κάτι πιὸ ὀλέθριο ἀπὸ τὸ ἁμάρτημα αὐτό, καὶ ὅταν φυλάσσεται καὶ ὅταν δὲν φυλάσσεται;

9. Καὶ γιὰ νὰ μάθετε, ὅτι αὐτὸ ἔτσι ἔχει καὶ πολλοὶ πολλὲς φορὲς ὄχι μόνο παραβαίνοντας τὸν ὅρκο, ἀλλὰ καὶ φυλάσσοντας τὸν ὅρκο κατέστησαν τὸν ἑαυτό τους ὑπεύθυνο τιμωρίας θὰ σᾶς διηγηθῶ κάτι παρόμοιο. Ὁ Ἡρώδης γιόρταζε κάποτε τὰ γενέθλιά του καὶ τιμοῦσε τὴν ἡμέρα ποὺ γεννήθηκε· θέλοντας νὰ τὴν κάμει λαμπρὴ ἔβαλε τὴ θυγατέρα τῆς βασίλισσας νὰ χορέψει[25], χωρὶς νὰ ξέρει ὅτι μ' αὐτὸ τὴν γέμιζε μὲ μεγαλύτερη ντροπή· γιατί, ἐνῶ ἔπρεπε νὰ εὐχαριστήσει τὸ φιλάνθρωπο Θεό, ποὺ τὸν ἔφερε στὴ ζωὴ ἀπὸ τὴν ἀνυπαρξία, ποὺ τοῦ ἔδωσε ψυχή, ποὺ τὸν ὁδήγησε στὸ σεμνὸ αὐτὸ θέατρο τῆς κτίσεως, ποὺ τὸν ἔκαμε θεατὴ αὐτῆς τῆς τόσο ὡραίας καὶ θαυμαστῆς δημιουργίας, ἐνῶ ἔπρεπε μὲ ὕμνους καὶ εὐχαριστίες πρὸς τὸν Κύριο νὰ τιμήσει τὴν ἡμέρα, αὐτὸς ἀντίθετα τὴν τίμησε μὲ τὴν ἀτιμία. Γιατὶ τί ὑπάρχει πιὸ ἄτιμο ἀπὸ τὸ χορό; Κατὰ τὴν ἡμέρα αὐτὴ χόρεψε ἡ θυγατέρα τῆς Ἡρωδιάδας. Ἀκοῦστε, καὶ ἄνδρες καὶ γυναῖκες, ὅσοι τιμᾶτε μὲ τέτοιους χοροὺς καὶ τέτοια ἄσματα τὰ δεῖπνα σας· δὲν εἶναι αὐτὰ τὰ κακὰ μικρά, ἐπειδὴ φαίνονται ἀδιάφορα· γιατὶ ἀκριβῶς γι' αὐτὸ εἶναι μεγάλα κακά, ἐπειδὴ θεωροῦνται ὅτι εἶναι ἀδιάφορα· οὔτε καὶ καταβάλλεται μεγάλη φροντίδα γι' αὐτά· γιατὶ ἡ βαρειὰ ἀσθένεια ὅταν τύχει μεγάλης φροντίδας θεραπεύεται, ἐνῶ ἐκείνη ποὺ θεωρεῖται ἐλαφριά, ἀκριβῶς γι' αὐτό, ἐπειδὴ περιφρονεῖται, γίνεται σοβαρή. Τί λές; στὸ σπίτι τοῦ πιστοῦ τολμᾶ κανεὶς νὰ εἰσάγει

εἰς οἰκίαν πιστοῦ τολμᾷ τις ὄρχησιν εἰσάγειν καὶ οὐ δέδοικε, μὴ σκηπτὸς ἄνωθεν κατενεχθεὶς καταφλέξῃ πάντα; ταῦτα καὶ πρὸς τὰς γυναῖκας λέγω, ἵνα καὶ τοὺς ἄνδρας σωφρονίζωσι καὶ τῆς τοιαύτης ἀπαγάγωσι τέρψεως. Κατὰ ταύτην τὴν ἡμέραν εἰσῆλθε καὶ ὠρχήσατο ἡ θυγάτηρ τῆς βασιλίδος. Εὐλογητὸς ὁ Θεός· πρὸς ὅσην σωφροσύνην τὸν βίον ἡμῶν μετέβαλεν. Ἀκούσατε οἱ πιστοί, ποίῳ προσέρχεσθε νυμφίῳ, ὅς τὴν ζωὴν ἡμῶν ἀσχημονοῦσαν πρὸ τούτου κατεκόσμησεν αἰδοῖ καὶ σωφροσύνῃ καὶ σεμνότητι· ἃ γὰρ ἡ βασιλὶς τότε οὐκ ἐπῃσχύνετο πρᾶξαι, νῦν θεραπαινίδιον εὐτελὲς οὐκ ἂν ἕλοιτο ὑπομεῖναι.

Ὠρχήσατο τοίνυν ἐκείνη καὶ μετὰ τὴν ὄρχησιν ἑτέραν ἁμαρτίαν χαλεπωτέραν ἔπραξεν· ἔπεισε γὰρ τὸν ἀνόητον ἐκεῖνον ὁμολογῆσαι αὐτῇ μεθ' ὅρκου δοῦναι ὃ ἂν αἰτήσῃ. Ὁρᾷς ὅπως καὶ ἀνοήτους ὁ ὅρκος ποιεῖ; Ὅπερ ἐὰν αἰτήσῃ, ἁπλῶς ὤμοσε δοῦναι. Τί οὖν, εἰ τὴν κεφαλὴν ᾔτησε τὴν σήν; τί δέ, εἰ τὴν βασιλείαν ἅπασαν; Πλὴν ἀλλ' οὐδὲν τούτων ἐκεῖνος σύνοιδεν. Ἐφειστήκει γὰρ ὁ διάβολος τὴν παγίδα ποιῶν ἰσχυράν, καὶ ἐξ οὗ τὸν ὅρκον ἀπήρτισε καὶ ἔθηκε τὴν παγίδα καὶ τὸ δίκτυον ἐξέτεινε πανταχοῦ, τότε ἐπάγει τὴν αἴτησιν ἐκείνην, ἵνα ἄφευκτος γένηται ἡ λαβή. «Δός μοι», φησίν, «ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ». Ἀναίσχυντος ἡ αἴτησις, ἀνόητος ἡ δόσις καὶ βλαβερά. Ἀμφοτέρων τούτων ὁ ὅρκος αἴτιος. Τί οὖν ἔδει ποιῆσαι; Μνημονεύετέ μου ὅ,τι ἔλεγον, ὅτι καὶ φυλάττοντες τὴν ἐντολὴν καὶ παραβαίνοντες ὁμοίως κολαζόμεθα. Δοῦναι τὴν κεφαλὴν ἔδει τοῦ προφήτου; ἀλλ' ἀφόρητος ἡ κόλασις. Ἀλλὰ μὴ δοῦναι; ἀλλ' ἐκδέξεται ἐπιορκίας ἔγκλημα. Εἶδες πῶς ἑκατέρωθεν ὁ κρημνός; «Δός μοι», φησίν, «ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ». Ὢ τῆς ἐναγοῦς αἰτήσεως· ἀλλ' ὅμως ἔπεισε καὶ ἐνόμιζεν ἐπιστομίζειν τὴν γλῶτταν ἐκείνην τὴν ἱεράν, ἣ δὲ μέχρι νῦν βοᾷ· καὶ γὰρ καθ' ἑκάστην ἡμέραν, μᾶλλον δὲ καθ' ἑκάστην ἐκκλησίαν ἀκούετε Ἰωάννου διὰ τῶν Εὐαγγελίων βοῶντος καὶ λέγοντος· «οὐκ ἔξεστοι ἔχειν τὴν γυ-

26. Ματθ. 14,8.

χορὸ καὶ δὲ φοβᾶται μήπως πέφτοντας κεραυνὸς ἀπὸ τὸν οὐρανὸ τὰ κατακάψει ὅλα; Αὐτὰ τὰ λέγω καὶ γιὰ τὶς γυναῖκες, γιὰ νὰ σωφρονίζουν τοὺς ἄνδρες τους καὶ ν' ἀπομακρύνουν ἀπ' αὐτὴ τὴ διασκέδαση. Κατὰ τὴν ἡμέρα αὐτὴ μπῆκε καὶ χόρεψε ἡ θυγατέρα τῆς βασίλισσας. Ἂς εἶναι εὐλογητὸς ὁ Θεός· σὲ πόση σωφροσύνη μετέβαλε τὴ ζωή μας. Ἀκοῦστε οἱ πιστοί, σὲ ποιόν νυμφίο προσέρχεσθε· σ' αὐτὸν ποὺ τὴ ζωή μας, τὴ γεμάτη ἀπὸ ἀσχημοσύνη πρὶν ἀπ' αὐτόν, τὴν καταστόλισε μὲ ντροπὴ καὶ σωφροσύνη καὶ σεμνότητα· γιατὶ ἐκεῖνα ποὺ ἡ βασίλισα δὲν ντρεπόταν τότε νὰ τὰ κάμει, τώρα οὔτε μιὰ ἄσημη ὑπηρέτρια δὲν θὰ δεχόταν νὰ τὰ κάμει[25].

Χόρεψε λοιπὸν ἐκείνη καὶ μετὰ τὸ χορὸ διέπραξε ἄλλη ἁμαρτία φοβερότερη· γιατὶ ἔπεισε ἐκεῖνον τὸν ἀνόητο νὰ τῆς ὑποσχεθεῖ μὲ ὅρκο ὅτι θὰ τῆς δώσει ἐκεῖνο ποὺ θὰ τοῦ ζητήσει. Βλέπεις ὅτι ὁ ὅρκος κάμνει τοὺς ἀνθρώπους καὶ ἀνόητους; Ἐκεῖνο ποὺ θὰ τοῦ ζητήσει, ὁρκίσθηκε, χωρὶς κανένα ὅρο, νὰ τῆς τὸ δώσει. Τί λοιπὸν θὰ ἔκαμνες, ἂν ζητοῦσε τὸ κεφάλι σου; τί ἐπίσης, ἂν ζητοῦσε ὅλη τὴ βασιλεία σου; Πλὴν ὅμως τίποτε ἀπ' αὐτὰ ἐκεῖνος δὲ σκέφθηκε. Γιατὶ παραβρισκόταν ἐκεῖ ὁ διάβολος κάμνοντας τὴν παγίδα ἰσχυρή, καὶ ἀφοῦ ἐπέτυχε τὸν ὅρκο ποὺ ἤθελε, ἔστησε τὴν παγίδα καὶ ἅπλωσε παντοῦ τὸ δίχτυ, τότε προσθέτει τὴν αἴτηση ἐκείνη, γιὰ νὰ γίνει ἀναπόφευκτη ἡ σύλληψη. «Δός μου», λέγει, «ἐπάνω σὲ πιάτο τὸ κεφάλι τοῦ Ἰωάννη τοῦ Βαπτιστῆ»[26]. Ἀδιάντροπη ἡ αἴτηση, ἀνόητη καὶ βλεβερὴ ἡ ἱκανοποίηση αὐτῆς. Καὶ γιὰ τὰ δύο αὐτὰ αἴτιος ὁ ὅρκος. Τί λοιπὸν ἔπρεπε νὰ κάμει; Θυμηθεῖτε, σᾶς παρακαλῶ, ἐκεῖνο ποὺ σᾶς εἶπα προηγουμένως, ὅτι δηλαδὴ καὶ φυλάσσοντας τὴν ἐντολὴ καὶ παραβαίνοντας αὐτὴν τιμωρούμαστε τὸ ἴδιο. Ἔπρεπε νὰ δώσει τὸ κεφάλι τοῦ προφήτη; Ἀλλὰ θὰ ἦταν ἀνυπόφορη ἡ τιμωρία ἂν δὲν τὸ ἔδινε. Νὰ μὴ τὸ δώσει; Τότε θὰ ἔπεφτε στὸ ἔκλημα τῆς ἐπιορκίας. Εἶδες πῶς καὶ ἀπὸ τὰ δύο μέρη ὁ γκρεμός; «Δός μου», λέγει, «ἐδῶ ἐπάνω σ' ἕνα πιάτο τὸ κεφάλι τοῦ Ἰωάννη τοῦ Βαπτιστῆ». Πὼ πὼ βδελυρὸ αἴτημα· ἀλλ' ὅμως τὸν ἔπεισε καὶ νόμιζε θὰ σταματήσει τὴ γλώσσα ἐκείνη τὴν ἱερή, ποὺ μέχρι τώρα φωνάζει δυνατά· γιατὶ πραγματικὰ καθημερινά, ἢ καλύτερα σὲ κάθε ἐκκλησία ἀκοῦτε τὸν Ἰωάννη μέσω τῶν Εὐαγγελίων νὰ φωνάζει καὶ νὰ λέγει· «δὲν σοῦ ἐπιτρέ-

ναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου». Ἐξέτεμε τὴν κεφαλήν, ἀλλ' οὐκ ἐξέτεμε τὴν φωνήν· ἐπεστόμισε τὴν γλῶτταν, ἀλλ' οὐκ ἐπεστόμισε τὸν ἔλεγχον.

10. Ἴδετε, τί ποιεῖ ὁ ὅρκος· προφητῶν ἀποτέμνει κεφαλάς. Εἶδες τὸ δέλεαρ, φοβήθητι τὸν ὄλεθρον· εἶδες τὸ δίκτυον, μὴ ἐμπέσης. Ἀλλ' ἀνάγκη λοιπὸν φείσασθαι, ὥστε μὴ βαθυτέραν γενέσθαι τὴν τομήν· ἀνάγκη λοιπὸν ἀνασχεῖν τὴν χεῖρα καὶ τὸ σιδήριον ἡμαγμένον καὶ τὸν λόγον ἀπὸ τῶν τραυμάτων τῆς ἐπιορκίας εἰς σιγὴν ἀποθέσθαι. Τοῦτο δὴ μέμνησθε καὶ οὐδέποτε ἁμαρτήσεσθε, ὅτι καὶ φυλάττοντες τὸν ὅρκον καὶ μὴ φυλλάτοντες ὁμοίως κολάζεσθε. Ποῦ νῦν εἰσιν οἱ λέγοντες, 'ἐὰν ἐπὶ δικαίῳ ὀμόσω'; ποῦ γὰρ δίκαιον τοῦτο, ὅταν νόμου παράβασις ᾖ; ποῦ δίκαιον, ὅταν ὁ Θεὸς κωλύῃ, σὺ δὲ ποιεῖς; Ἀλλὰ γὰρ ἀνάσχεσθε λοιπὸν ἐπιδεσμούντων ἡμῶν τὰ τραύματα· ἔχει γάρ τι καὶ ὁ ἐπίδεσμος ὀδυνηρόν. Χαλεπὴ μὲν γὰρ καὶ τῆς ἐπιορκίας καὶ τῆς εὐορκίας ἡ κόλασις καὶ πρὸ τῆς διδακαλίας τῆς ἡμετέρας, χαλεπωτέρα δὲ καὶ μετὰ τὴν διδασκαλίαν τὴ ἡμετέραν· «εἰ γὰρ μὴ ἦλθον», φησί, «καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας». Τοῦτο καὶ ἐφ' ὑμῶν ἐστιν εἰπεῖν, ὅτι οὐδὲ μία λοιπὸν ὑμῖν ἀπολογία παραβαίνουσι. Νῦν μὲν οὖν τὸ βάπτισμα, κἂν ἐπιορκίαν εὕρῃ, κἂν εὐορκίαν, κἂν πορνείαν, κἂν μοιχείαν, κἂν πᾶσαν τὴν κακίαν, ἀπορρύπτει καὶ καθαίρει μετὰ πολλῆς τῆς ἀκριβείας· γένοιτο δὲ καὶ εἰς τὸ ἑξῆς καὶ ὑμᾶς τὴν καθαρότητα διατηρῆσαι ταύτην, πάσης ἀπηλλαγμένους κηλῖδος, καὶ ἡμᾶς δυνηθῆναι παρρησίας τινὸς μετασχεῖν εὐχαῖς ταῖς ὑμετέραις· ἔξεστι γὰρ ὑμῖν καὶ ὑπὲρ διδασκάλων εὔχεσθαι λοιπόν· καὶ γὰρ μετὰ μικρὸν ἡμῖν ἀπὸ τῶν οὐρανῶν μέλλετε φαίνεσθαι τῶν ἀστέρων αὐτῶν φαιδρότερον λάμποντες. Γένοιτο οὖν εὐχαῖς ταῖς ὑμετέραις παρρησίας ἡμᾶς μετασχεῖν ἅπαντας ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

27. Μάρκ. 6,18.
28. Ἰω. 15,22.

πετε νὰ ἔχεις τὴ γυναίκα τοῦ Φιλίππου τοῦ ἀδελφοῦ σου»[27]. Ἔκοψε τὸ κεφάλι, ἀλλὰ δὲν ἔκοψε καὶ σταμάτησε τὴ φωνή· σταμάτησε τὴ γλώσσα, ἀλλὰ δὲν σταμάτησε τὸν ἔλεγχο.

11. Προσέξτε τί κάμνει ὁ ὅρκος· κόβει κεφάλια προφητῶν. Εἶδες τὸ δόλωμα, φοβήσου τὸν ὄλεθρο· εἶδες τὸ δίχτυ, μὴ πέσεις μέσα σ' αὐτό. Ἀλλὰ πρέπει τώρα νὰ σᾶς λυπηθῶ, γιὰ νὰ μὴ γίνει βαθύτερη ἡ τομή· πρέπει πλέον νὰ σηκώσω τὸ χέρι μὲ τὸ ματωμένο σίδερο καὶ ν' ἀποθέσω τὸ λόγο ἀπὸ τὰ τραύματα τῆς ἐπιορκίας στὴ σιωπή. Αὐτὸ λοιπὸν νὰ θυμᾶσθε καὶ ποτὲ δὲ θ' ἁμαρτήσετε, ὅτι δηλαδὴ καὶ φυλάσσοντας τὸν ὅρκο καὶ μὴ φυλάσσοντας ὅμοια τιμωρεῖσθε. Ποῦ εἶναι τώρα ἐκεῖνοι ποὺ λέγουν, 'ἂν ὁρκισθῶ γιὰ κάτι δίκαιο;' Πῶς δηλαδὴ αὐτὸ εἶναι δίκαιο, ὅταν παραβαίνεται ὁ νόμος; πῶς εἶναι δίκαιο, ὅταν ὁ Θεὸς τὸ ἀπαγορεύει καὶ σὺ τὸ κάμνεις; Ἀλλ' ἀνεχθεῖτε με τώρα ποὺ δένω τὰ τραύματά σας· γιατὶ ἔχει καὶ ὁ ἐπίδεσμος κάτι τὸ ὀδυνηρό. Γιατὶ εἶναι φοβερὴ ἡ τιμωρία καὶ τῆς ἐπιορκίας καὶ τῆς εὐορκίας καὶ πρὶν ἀπὸ τὴ διδασκαλία μου αὐτή· γιατὶ λέγει, «ἂν δὲν ἐρχόμουν καὶ δὲν τοὺς μιλοῦσα, δὲν θὰ εἶχαν ἁμαρτία· τώρα ὅμως δὲν ἔχουν δικαιολογία γιὰ τὴν ἁμαρτία τους»[28]. Αὐτὸ μπορῶ νὰ πῶ καὶ γιὰ σᾶς, ὅτι δηλαδὴ δὲν θὰ ὑπάρχει στὸ ἑξῆς σὲ σᾶς καμιὰ δικαιολογία ἂν παραβαίνετε τὴν ἐντολὴ αὐτή. Βέβαια τώρα τὸ βάπτισμα, εἴτε ἐπιορκία βρεῖ, εἴτε εὐορκία, εἴτε πορνεία, εἴτε μοιχεία, εἴτε ὁλόκληρη τὴν κακία, ἀφαιρεῖ ὅλη τὴ βρωμιὰ καὶ τὴν καθαρίζει μὲ κάθε λεπτομέρεια· εὔχομαι ὅμως καὶ στὴ συνέχεια νὰ διατηρήσετε καὶ σεῖς αὐτὴν τὴν καθαρότητα καὶ νὰ εἶσθε ἀπαλλαγμένοι ἀπὸ κάθε κηλίδα, καὶ ἐγὼ νὰ μπορέσω νὰ τύχω κάποια παρρησία μὲ τὶς δικές σας προσευχές· γιατὶ μπορεῖτε πλέον νὰ προσεύχεσθε καὶ σεῖς γιὰ τοὺς δασκάλους σας, ἀφοῦ μετὰ ἀπὸ λίγο θὰ φαίνεσθε νὰ λάμπετε λαμπρότερα καὶ ἀπὸ τὰ ἴδια τὰ ἀστέρια τοῦ οὐρανοῦ. Εὔχομαι λοιπὸν μὲ τὶς δικές σας τὶς εὐχὲς νὰ ἐπιτύχομε ὅλοι μας παρρησία μπροστὰ στὸ βῆμα τοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΚΑΤΗΧΗΣΙΣ ΙΒ' 600

ΠΡΟΣ ΤΟΥΣ ΜΕΛΛΟΝΤΑΣ ΦΩΤΙΖΕΣΘΑΙ ΚΑΤΗΧΗΣΙΣ ΕΣΧΑΤΗ

1. Ἐσχάτη τῆς κατηχήσεως ἡ σήμερον ἡμέρα· διὸ καὶ ὁ πάντων ἔσχατος εἰς τὴν ἐσχάτην ἀφῖγμαι· ἀφῖγμαι δὲ ἔσχατος ἀπαγγέλλων ὑμῖν, ὅτι μετὰ δύο ἡμέρας ὁ νυμφίος ἔρχεται. Ἀλλὰ διανάστητε καὶ τὰς λαμπάδας ἀνάψατε καὶ φαιδρῷ τῷ φωτὶ τὸν βασιλέα τῶν οὐρανῶν ὑποδέξασθε. Ἀνάστητε καὶ γρηγορήσατε· οὐ γὰρ ἐν ἡμέρᾳ, ἀλλὰ μέσον τῶν νυκτῶν ὁ νυμφίος πρὸς ὑμᾶς ἔρχεται· καὶ γὰρ τῆς νυμφαγωγίας τοῦτο τὸ ἔθος, ἐν ἑσπέρᾳ βαθείᾳ τὰς νύμφας παραδίδοσθαι τοῖς νυμφίοις. Ἀλλὰ μὴ παραδράμητε ἁπλῶς τὸ ῥῆμα ἀκούσαντες, ὅτι νυμφίος ἔρχεται· μέγα γὰρ ὄντως καὶ πολλῆς γέμον φιλανθρωπίας. Οὐχὶ τὴν φύσιν τῶν ἀνθρώπων πρὸς αὐτὸν ἀπελθεῖν ἐκέλευσεν, ἀλλ' αὐτὸς πρὸς ἡμᾶς παρεγένετο· καὶ γὰρ οὕτως γάμων ὁ νόμος, τὸν νυμφίον ἔρχεσθαι πρὸς τὴν νύμφην, κἂν ὁ μὲν εὐπορώτατος ᾖ, ἡ δὲ εὐτελὴς καὶ ἀπερριμμένη. Ἀλλ' ἐπ' ἀνθρώπων μὲν οὐδὲν θαυμαστὸν τοῦτο γίνεσθαι· κἂν γὰρ τῆς ἀξίας πολὺ τὸ διάφορον ᾖ, ἀλλὰ τῆς φύσεως οὐδέν ἐστι τὸ μέσον· κἂν γὰρ εὔπορος ὁ νυμφίος, πτωχὴ δὲ ἡ νύμφη καὶ εὐτελής, ἀλλὰ τῆς αὐτῆς ἀμφότεροι φύσεως. Ἐπὶ δὲ τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας τὸ θαῦμά ἐστιν, ὅτι Θεὸς ὢν καὶ τῆς μακαρίας καὶ ἀκηράτου οὐσίας ἐκείνης (ἴστε δὲ ὅσον τὸ μέσον Θεοῦ πρὸς ἀνθρώπους) κατηξίωσε πρὸς τὴν ἡμετέραν φύσιν ἐλθεῖν· καὶ τὸν πατρῷον οἶκον ἀφεὶς οὐ τῇ με-



601 # ΚΑΤΗΧΗΣΗ ΔΩΔΕΚΑΤΗ

ΤΕΛΕΥΤΑΙΑ ΚΑΤΗΧΗΣΗ ΠΡΟΣ ΤΟΥΣ ΜΕΛΛΟΝΤΕΣ ΝΑ ΒΑΠΤΙΣΘΟΥΝ

1. Ἡ σημερινὴ ἡμέρα εἶναι ἡ τελευταία τῆς κατηχήσεως· γι' αὐτὸ καὶ ἐγὼ ὁ τελευταῖος ἀπὸ ὅλους ἦρθα στὴν τελευταία αὐτὴ ἡμέρα· καὶ ἦρθα τελευταῖος νὰ σᾶς πῶ, ὅτι μετὰ ἀπὸ δύο ἡμέρες ἔρχεται ὁ νυμφίος. Σηκωθεῖτε λοιπόν, ἀνάψτε τὶς λαμπάδες καὶ ὑποδεχθεῖτε μὲ λαμπρὸ φῶς τὸ βασιλιὰ τῶν οὐρανῶν. Σηκωθεῖτε καὶ μείνατε ἐπάγρυπνοι· γιατὶ ὁ νυμφίος δὲν ἔρχεται πρὸς ἐσᾶς κατὰ τὴ διάρκεια τῆς ἡμέρας, ἀλλὰ μέσα στὰ μεσάνυχτα· καθόσον αὐτὴ εἶναι ἡ συνήθεια τῆς τελετῆς τοῦ γάμου, νὰ παραδίνονται οἱ νύμφες στοὺς νυμφίους μέσα στὴ βαθειὰ νύχτα. Ἀλλὰ μὴ ἀφήσετε νὰ φύγει ἔτσι ἐπιπόλαια τὸ λόγο ποὺ ἀκούσατε, ὅτι ἔρχεται ὁ νυμφίος· γιατὶ τὸ γεγονὸς αὐτὸ εἶναι πραγματικὰ πολὺ μεγάλο καὶ γεμάτο ἀπὸ πολλὴ φιλανθρωπία. Δὲν πρόσταξε τὴ φύση τῶν ἀνθρώπων νὰ πάει πρὸς αὐτόν, ἀλλ' ὁ ἴδιος ἦρθε πρὸς ἐμᾶς· γιατὶ αὐτὴ εἶναι ἡ συνήθεια τῶν γάμων, νὰ πηγαίνει ὁ νυμφίος πρὸς τὴ νύμφη, κι ἂν ἀκόμη αὐτὸς εἶναι πολὺ πλούσιος, καὶ ἐκείνη φτωχὴ καὶ περιφρονημένη. Ἀλλὰ στὴν περίπτωση τῶν ἀνθρώπων δὲν εἶναι καθόλου ἄξιο θαυμασμοῦ αὐτὸ ποὺ γίνεται· γιατὶ ὑπάρχει μεγάλη διαφορὰ ὡς πρὸς τὴν ἀξία, ἀλλὰ δὲν ὑπάρχει μεταξὺ αὐτῶν καμιὰ διαφορὰ ὡς πρὸς τὴ φύση· γιατί, κι ἂν ἀκόμη εἶναι πλούσιος ὁ νυμφίος καὶ φτωχὴ καὶ ἀσήμαντη ἡ νύμφη, ὅμως καὶ οἱ δύο εἶναι τῆς ἴδιας φύσεως. Στὴν περίπτωση ὅμως τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας τὸ ἀξιοθαύμαστο εἶναι, ὅτι ἐνῶ ἦταν Θεὸς καὶ προερχόταν ἀπὸ τὴ μακάρια καὶ ἀθάνατη ἐκείνη οὐσία (γνωρίζετε βέβαια πόση εἶναι ἡ ἀπόσταση μεταξὺ Θεοῦ καὶ ἀνθρώπων) καταδέχθηκε νὰ ἔρθει πρὸς τὴ φύση μας· καὶ ἀφήνοντας τὸν πατρικὸ οἶκο, ὄχι

ταβάσει, ἀλλὰ τῇ κατὰ τὴν σάρκα οἰκονομίᾳ πρὸς τὴν νύμφην ἔδραμε. Τοῦτο γοῦν καὶ αὐτὸς ὁ μακάριος Παῦλος εἰδὼς καὶ θαυμάσας τῆς κηδεμονίας καὶ τῆς τιμῆς τὴν ὑπερβολὴν ἀνέκραγε μέγα καὶ εἶπεν· «ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν».

2. Καὶ τί θαυμαστόν, εἰ πρὸς τὴν νύμφην ἦλθεν, ὅπου γε καὶ τὴν ψυχὴν θεῖναι ὑπὲρ αὐτῆς οὐ παρῃτήσατο; καίτοι γε οὐδεὶς νυμφίος ὑπὲρ νύμφης ψυχὴν ἔθηκεν· οὐδεὶς γάρ, οὐδεὶς ἐραστής, κἂν σφόδρα ᾖ μανικός, οὕτω τῆς ἐρωμένης περικαίεται τῆς ἑαυτοῦ, ὡς ὁ Θεὸς τῆς σωτηρίας τῶν ἡμετέρων ἐφίεται ψυχῶν. 'Κἂν ἐμπτυσθῆναι δέῃ', φησίν, 'κἂν ῥαπισθῆναι, κἂν εἰς αὐτὸν ἀναβῆναι τὸν σταυρόν, οὐδὲ σταυρωθῆναι παραιτήσομαι, ὥστε τὴν νύμφην λαβεῖν'. Ταῦτα δὲ ἔπασχε καὶ ὑπέμεινεν οὐχὶ τὸ κάλλος αὐτῆς θαυμάσας· οὐδὲν γὰρ ταύτης αἰσχρότερον οὐδὲ ἀτερπέστερον ἦν πρὸ τούτου. Ἄκουσον γοῦν, πῶς ὁ Παῦλος τὴν ἀμορφίαν αὐτῆς καὶ τὴν αἰσχρότητα διαγράφει· «ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, στυγητοί, μισοῦντες ἀλλήλους». Ἀλλήλους ἐμισοῦμεν (τοσαύτη τῆς κακίας ἦν ἡ ὑπερβολή), ὁ δὲ Θεὸς ἡμᾶς τοὺς ἀλλήλους μισοῦντας οὐκ ἐμίσησεν, ἀλλὰ τοὺς ἐν αἰσχρότητι τοσαύτῃ, τοὺς ἐν ἀμορφίᾳ ὄντας ψυχῆς, τούτους διέσωσε. Καὶ ἐλθὼν καὶ εὑρὼν τὴν μέλλουσαν αὐτῷ νυμφαγωγεῖσθαι γυμνὴν καὶ ἀσχημονοῦσαν ἱμάτιον αὐτὴν περιέβαλε καθαρὸν καὶ οὗ τὴν λαμπρότητα καὶ τὴν δόξαν οὐδεὶς οὐ λόγος οὐ νοῦς παραστῆσαι δυνήσεται. Πῶς εἴπω; ὡς ἱμάτιον ἑαυτὸν ἡμῖν περιέβαλεν· «ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε». Τοῦτο τὸ ἱμάτιον ἄνωθεν ἰδὼν προφητικοῖς ὀφθαλμοῖς ὁ Δαυὶδ ἐβόα καὶ ἔλεγε· «παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου». Βασίλισσα ἀθρόον γέγονεν ἡ πτωχὴ καὶ ἀπερριμμένη καὶ

1. Ἐφ. 5,31–32.
2. Τίτ. 3,3.
3. Γαλ. 3,27.
4. Ψαλμ. 44,10.

ἐγκαταλείποντας αὐτὸν ἀλλὰ μὲ τὴν κατὰ σάρκα οἰκονομία του, ἔτρεξε πρὸς τὴ νύμφη. Γνωρίζοντας λοιπὸν αὐτὸ καὶ ὁ μακάριος Παῦλος καὶ θαυμάζοντας τὸ ὑπερβολικὸ μέγεθος τῆς κηδεμονίας καὶ τῆς τιμῆς του πρὸς ἐμᾶς φώναξε δυνατὰ καὶ εἶπε· «γι' αὐτὸ θὰ ἐγκαλείψει ὁ ἄνθρωπος τὸν πατέρα του καὶ τὴ μητέρα του καὶ θὰ προσκολληθεῖ στὴ γυναίκα του. Τὸ μυστήριο αὐτὸ εἶναι μεγάλο· ἐγὼ ὅμως λέγω, ὅτι αὐτὸ ἀναφέρεται στὸ Χριστὸ καὶ τὴν Ἐκκλησία»[1].

2. Καὶ τί τὸ ἀξιοθαύμαστο ἂν ἦρθε πρὸς τὴ νύμφη, τὴ στιγμὴ ποὺ καὶ τὴ ζωή του δὲν δίσταξε νὰ θυσιάσει γιὰ χάρη αὐτῆς; ἂν καὶ βέβαια κανένας νυμφίος δὲν θυσίασε τὴ ζωή του γιὰ χάρη τῆς νύμφης· γιατὶ κανένας, κανένας ἐραστής, κι ἂν ἀκόμη εἶναι πάρα πολὺ παράφροντας ἀπὸ τὸν ἔρωτά του, δὲν κατακαίεται τόσο ἀπὸ τὴν ἀγάπη του γιὰ τὴν ἐρωμένη του, ὅσο ὁ Θεὸς ποθεῖ τὴ σωτηρία τῶν ψυχῶν μας. 'Εἴτε χρειασθεῖ', λέγει, 'νὰ μὲ φτύσουν, εἴτε νὰ ραπισθῶ, εἴτε ν' ἀνεβῶ στὸ σταυρό, δὲν θ' ἀρνηθῶ νὰ σταυρωθῶ, γιὰ νὰ λάβω τὴ νύμφη'. Καὶ αὐτὰ τὰ πάθαινε καὶ τὰ ὑπέμεινε ὄχι ἐπειδὴ θαύμασε τὸ κάλλος της· γιατὶ τίποτε δὲν ὑπῆρχε πρὶν ἀπ' αὐτὸ πιὸ ἄσχημο καὶ πιὸ ἄχαρο ἀπὸ αὐτήν. Ἄκουσε λοιπὸν πῶς ὁ Παῦλος περιγράφει τὴν κακομορφία καὶ τὴν ἀσχήμια αὐτῆς· «γιατὶ κάποτε ἤμασταν καὶ ἐμεῖς ἀνόητοι, ἀπειθεῖς, περιπλανόμασταν ἐδῶ καὶ ἐκεῖ, δοῦλοι τῶν ἐπιθυμιῶν καὶ τῶν διαφόρων ἡδονῶν, μισητοί, καὶ μισώντας ὁ ἕνας τὸν ἄλλο»[2]. Μισούσαμε ὁ ἕνας τὸν ἄλλο (τόση μεγάλο ἦταν τὸ μέγεθος τῆς κακίας μας), ὁ Θεὸς ὅμως δὲν μίσησε ἐμᾶς ποὺ μισούσαμε ὁ ἕνας τὸν ἄλλο, ἀλλ' ἐκείνους ποὺ ζοῦσαν μὲ τόση ἀσχήμια, ποὺ εἶχαν τόση κακομορφία ψυχῆς, αὐτοὺς τοὺς διέσωσε. Καὶ ἀφοῦ ἦρθε καὶ βρῆκε ἐκείνην ποὺ ἐπρόκειτο νὰ νυμφευθεῖ γυμνὴ καὶ μὲ τόση ἀσχήμια, τὴν ἔντυσε μὲ καθαρὸ ἔνδυμα καὶ τοῦ ὁποίου τὴ λαμπρότητα καὶ τὴ δόξα κανένας οὔτε λόγος οὔτε νοῦς μπορεῖ νὰ παραστήσει. Πῶς νὰ τὸ παραστήσω; μᾶς ἔντυσε μὲ τὸν ἑαυτό του σὰν μὲν ἔνδυμα· γιατὶ λέγει, «ὅσοι βαπτισθήκατε στὸ ὄνομα τοῦ Χριστοῦ, ντυθήκατε τὸ Χριστό»[3]. Αὐτὸ τὸ ἔνδυμα βλέποντάς το ὁ Δαυὶδ ἀπὸ πρὶν μὲ τὰ προφητικὰ μάτια φώναζε δυνατὰ καὶ ἔλεγε· «στάθηκε δίπλα σου καὶ δεξιά σου ἡ βασίλισσα»[4]. Μέσα σὲ μιὰ στιγμὴ ἡ φτωχὴ καὶ περι-

πλησίον ἕστηκε τοῦ βασιλέως, καὶ καθάπερ νυμφίον καὶ νύμφην ἐν ἱερᾷ παστάδι ἑστῶτας οὕτω δείκνυσι τὴν Ἐκκλησίαν καὶ τὸν Χριστὸν ὁ προφήτης· «ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη». Ἰδοὺ καὶ τὸ ἱμάτιον εἶπέ σοι. Εἶτα, ἵνα μὴ χρυσὸν ἀκούσας πρὸς τὰ αἰσθητὰ καταπέσῃς, ἀνάγει σου τὴν διάνοιαν καὶ παραπέμπει πρὸς τὴν τῶν νοητῶν θεωρίαν ἐπάγων καὶ λέγων· «πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν».

3. Βούλει καὶ τὰ ὑποδήματα αὐτῆς ἰδεῖν; οὐδὲ ταῦτα ἀπὸ αἰσθητῆς ὕλης ἐστὶν ἐρραμμένα, οὐδὲ ἀπὸ κοινῶν συγκείμενα δερμάτων, ἀλλ' ἀπὸ εὐαγγελίου καὶ εἰρήνης· «ὑποδήσασθε», γάρ φησι, «τοὺς πόδας ὑμῶν ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης». Θέλεις σοι δείξω και τὴν ὄψιν τῆς νύμφης αὐτὴν ἀπαστράπτουσαν καὶ κάλλος ἀμήχανον ἔχουσαν, πολὺ μὲν περὶ αὐτὴν πλῆθος ἀγγέλων, ἀρχαγγέλων; πλὴν ἀλλ' ἐπιλαβώμεθα τῆς χειρὸς τοῦ νυμφαγωγοῦ Παύλου, ὃς τὸ πλῆθος διατεμὼν εἰσαγαγεῖν ἡμᾶς πρὸς αὐτὴν δυνήσεται. Τί οὖν οὗτός φησιν; «οἱ ἄνδρες, ἀγαπᾶτε τὰς ἑαυτῶν γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι». Εἶδες αὐτῆς τὸ σῶμα καθαρὸν καὶ φαιδρόν; εἶδες ὡραίαν ὑπὲρ τὰς ἡλιακὰς ἀστράπτουσαν ἀκτῖνας; Εἶτα ἐπάγει, «ἵνα ᾖ ἁγία καὶ ἄμωμος, μὴ ἔχουσα σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων». Εἶδες αὐτὸ τῆς νεότητος τὸ ἄνθος, αὐτὴν τῆς ἡλικίας τὴν ἀκμήν; Βούλει καὶ τὸ ὄνομα αὐτῆς μαθεῖν; πιστὴ καλεῖται καὶ ἁγία. «Παῦλος», γάρ φησιν, «ἀπόστολος Χριστοῦ Ἰησοῦ, τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ».

4. Ἀλλὰ τὸ ὄνομα τῆς νύμφης ἀκούσας ἀνέμνησα ἐμαυτὸν ὀφλήματος παλαιοῦ· καὶ γὰρ ἤμην ὑποσχόμενος ὑμῖν, τίνος ἕνεκεν πιστοὶ λεγόμεθα. Τίνος οὖν ἕνεκεν λεγόμεθα; Πράγματα ἐπιστεύθημεν οἱ πιστοί, ἅπερ οἱ τοῦ σώματος ἡμῶν ὀφθαλμοὶ ἰδεῖν οὐ δύνανται· οὐ-

5. Ψαλμ. 44,10.
6. Ψαλμ. 44,14.
7. Ἐφ. 6,15.
8. Ἐφ. 5,25–26.
9. Ἐφ. 5,27.
10. Ἐφ. 1,1.

φρονημένη ἔγινε βασίλισσα καὶ στάθηκε δίπλα στὸ βασιλιὰ καί, σὰν ἀκριβῶς νυμφίο καὶ νύμφη ποὺ βρίσκονται ὁ ἕνας κοντὰ στὸν ἄλλο μέσα στὸ νυμφικὸ δωμάτιο, ἔτσι παρουσιάζει ὁ προφήτης τὴν Ἐκκλησία καὶ τὸ Χριστό· «ντυμένη μὲ ἔνδυμα διάχρυσο καὶ πολυποίκιλο»[5]. Νά, καὶ τὸ ἔνδυμα σοῦ εἶπε. Ἔπειτα, γιὰ νὰ μὴ νομίσεις, ἀκούοντας χρυσό, ὅτι πρόκειται γιὰ αἰσθητά, ἐξυψώνει τὸ νοῦ σου καὶ τὸν παραπέμπει πρὸς τὴ θεωρία τῶν νοητῶν προσθέτοντας καὶ λέγοντας· «ὅλη ἡ δόξα τῆς θυγατέρας τοῦ βασιλιᾶ προέρχεται ἀπὸ τὸν ἐσωτερικό της κόσμο»[6].

3. Θέλεις νὰ δεῖς καὶ τὰ ὑποδήματα αὐτῆς; οὔτε αὐτὰ εἶναι ραμμένα ἀπὸ αἰσθητὴ ὕλη, οὔτε ἀποτελοῦνται ἀπὸ κοινὰ δέρματα, ἀλλ' ἀπὸ τὸ Εὐαγγέλιο καὶ τὴν εἰρήνη· γιατὶ λέγει, «φορέστε στὰ πόδια σας ὑποδήματα γιὰ νὰ εἶσθε ἕτοιμοι γιὰ τὸ Εὐαγγέλιο τῆς εἰρήνης»[7]. Θέλεις νὰ σοῦ δείξω καὶ τὸ πρόσωπο τῆς νύμφης αὐτῆς νὰ ἀκτινοβολεῖ καὶ νὰ ἔχει ὀμορφιὰ ἀπερίγραπτη, καὶ νὰ στέκεται μεγάλο πλῆθος γύρο ἀπ' αὐτὴν ἀγγέλων καὶ ἀρχαγγέλων; πρὸς τοῦτο ἂς πιασθοῦμε ἀπὸ τὸ χέρι τοῦ νυμφαγωγοῦ Παύλου, ὁ ὁποῖος θὰ μπορέσει, διασχίζοντας τὸ πλῆθος αὐτό, νὰ μᾶς εἰσάγει πρὸς αὐτήν. Τί λοιπὸν λέγει αὐτός; «οἱ ἄνδρες ν' ἀγαπᾶτε τὶς γυναῖκες σας, ὅπως καὶ ὁ Χριστὸς ἀγάπησε τὴν Ἐκκλησία, καὶ παρέδωσε τὸν ἑαυτό του γι' αὐτήν, γιὰ νὰ τὴν ἁγιάσει καθαρίζοντάς την μὲ τὸ λουτρὸ τοῦ ὕδατος καὶ μὲ τὸ λόγο του»[8]. Εἶδες τὸ σῶμα αὐτῆς καθαρὸ καὶ λαμπρό; εἶδες ποὺ εἶναι ὡραία καὶ ἀστράπτει περισσότερο καὶ ἀπὸ τὶς ἡλιακὲς ἀκτίνες; Ἔπειτα προσθέτει, «γιὰ νὰ εἶναι ἅγια καὶ ἄμωμη, μὴ ἔχοντας κηλίδα ἢ ρυτίδα ἢ κάτι παρόμοιο μ' αὐτά»[9]. Εἶδες τὸ ἄνθος τῆς νεότητάς της, τὴν ἴδια τὴν ἀκμὴ τῆς ἡλικίας της; Θέλεις νὰ μάθεις καὶ τὸ ὄνομά της; Ὀνομάζεται πιστὴ καὶ ἁγία· γιατὶ λέγει, «ὁ Παῦλος, ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ, πρὸς τοὺς ἁγίους ποὺ κατοικοῦν στὴν Ἔφεσο καὶ πιστεύουν στὸν Ἰησοῦ Χριστό»[10].

4. Ἀλλὰ ἀκούοντας τὸ ὄνομα τῆς νύμφης θυμήθηκα παλιὸ χρέος μου· πραγματικὰ ὑποσχέθηκα νὰ σᾶς πῶ γιὰ ποιό λόγο ὀνομαζόμαστε πιστοί. Γιὰ ποιό λόγο λοιπὸν ὀνομαζόμαστε; Μᾶς ἔχουν ἐμπιστευθεῖ ἐμᾶς τοὺς πιστοὺς πράγματα, ποὺ δὲν μποροῦν νὰ τὰ δοῦν τὰ μάτια τοῦ σώματός μας· τόσο μεγάλα εἶναι καὶ φρι-

τως ἔστι μεγάλα καὶ φρικώδη καὶ τὴν φύσιν ὑπερβαίνει τὴν ἡμετέραν. Οὔτε γὰρ λογισμὸς εὑρεῖν οὔτε λόγος ἀνθρώπινος ἑρμηνεῦσαι αὐτὰ δυνήσεται, μόνη δὲ ἡ τῆς πίστεως οἶδεν αὐτὰ διδασκαλία καλῶς. Διὰ τοῦτο διπλοῦς ἡμῖν ἐποίησεν ὀφθαλμοὺς ὁ Θεός, τοὺς μὲν τῆς σαρκός, τοὺς δὲ τῆς πίστεως. Ὅταν εἰσέλθῃς εἰς τὴν ἱερὰν μυσταγωγίαν, οἱ μὲν ὀφθαλμοὶ τῆς σαρκὸς τὸ ὕδωρ ὁρῶσιν, οἱ δὲ ὀφθαλμοὶ τῆς πίστεως τὸ Πνεῦμα βλέπουσι· κἀκεῖνοι μὲν τὸ σῶμα θεωροῦσι βαπτιζόμενον, οὗτοι δὲ τὸν παλαιὸν ἄνθρωπον θαπτόμενον· ἐκεῖνοι τὴν σάρκα λουομένην, οὗτοι τὴν ψυχὴν καθαιρομένην· ἐκεῖνοι τὸ σῶμα ἀναβαῖνον ἀπὸ τῶν ὑδάτων, οὗτοι τὸν καινὸν ἄνθρωπον καὶ ἀποστίλβοντα βλέπουσιν ἀναβαίνοντα ἀπὸ τῆς ἱερᾶς ταύτης καθάρσεως. Κἀκεῖνοι μὲν τὸν ἱερέα βλέπουσιν ἄνωθεν ἐπιτιθέντα τὴν χεῖρα τὴν δεξιὰν καὶ τῆς κεφαλῆς ἁπτόμενοι, οὗτοι δὲ τὸν ἀρχιερέα τὸν μέγαν ἐκ τῶν οὐρανῶν θεωροῦσι τὴν δεξιὰν τὴν ἀόρατον ἐκτείνοντα καὶ τῆς κεφαλῆς ἁπτόμενον, οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ τότε βαπτίζων, ἀλλ' αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ παῖς. Καὶ ὅπερ ἐπὶ τῆς δεσποτικῆς ἐγένετο σαρκός, τοῦτο καὶ ἐπὶ τῆς ἡμετέρας γίνεται· καθάπερ γὰρ ἐκείνην τῷ μὲν δοκεῖν Ἰωάννης ἀπὸ τῆς κεφαλῆς κατεῖχεν, ὁ δὲ Θεὸς Λόγος εἰς τὰ Ἰορδάνεια ῥεῖθρα κατῆγε καὶ ἐβάπτιζε καὶ ἄνωθεν ἡ πατρικὴ φωνὴ λέγουσα, «οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός», οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῆς ἐπιφοιτήσεως, τοῦτο καὶ ἐπὶ τῆς σῆς γίνεται σαρκός· εἰς γὰρ ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος τὸ βάπτισμα γίνεται. Διὰ τοῦτο καὶ Ἰωάννης ἔλεγε παιδεύων ἡμᾶς, ὅτι οὐκ ἄνθρωπος ἡμᾶς βαπτίζει, ἀλλ' ὁ Θεός· «ὀπίσω μου ἔρχεται ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ. Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί». Διὰ τοῦτο καὶ ὁ ἱερεὺς βαπτίζων οὐ λέγει 'βαπτίζω τὸν δεῖνα', ἀλλὰ «βαπτίζεται ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος», δεικνὺς ὅτι οὐκ αὐτός ἐστιν ὁ βαπτίζων, ἀλλ' ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὧν καὶ τὸ ὄνομα ἐπικέκληται.

5. Διὰ τοῦτο καὶ ἡ σήμερον ἡμῶν ἀπαγγελία 'πίστις' λέγεται, καὶ οὐδὲν ἕτερον ὑμῖν ἐπιτρέπομεν εἰπεῖν πρότερον, ἕως ἂν εἴπητε

11. Ματθ. 3,17.
12. Λουκᾶ 3,16 καὶ Ἰω. 1,27.

κώδη καὶ ὑπερβαίνουν τὴ φύση μας. Γιατὶ οὔτε λογισμὸς μπορεῖ νὰ τὰ βρεῖ αὐτὰ οὔτε ἀνθρώπινος λόγος νὰ τὰ ἑρμηνεύσει, καὶ μόνο ἡ διδασκαλία τῆς πίστεως τὰ γνωρίζει καλά. Γι' αὐτὸ ὁ Θεὸς μᾶς ἔδωσε διπλὰ μάτια, τὰ μάτια τοῦ σώματος καὶ τὰ μάτια τῆς πίστεως. Ὅταν μπεῖς στὴν ἱερὴ μυσταγωγία, τὰ μάτια τοῦ σώματος βλέπουν τὸ νερό, ἐνῶ τὰ μάτια τῆς πίστεως βλέπουν τὸ Πνεῦμα· καὶ τὰ μάτια τοῦ σώματος βλέπουν τὸ σῶμα νὰ βαπτίζεται, ἐνῶ τὰ μάτια τῆς πίστεως τὸν παλιὸ ἄνθρωπο νὰ θάπτεται· ἐκεῖνα βλέπουν τὸ σῶμα ποὺ λούζεται, ἐνῶ αὐτὰ τὴν ψυχὴ ποὺ καθαρίζεται· ἐκεῖνα βλέπουν τὸ σῶμα ποὺ ἀνεβαίνει ἀπὸ τὰ ὕδατα, ἐνῶ αὐτὰ βλέπουν τὸν καινούργιο ἄνθρωπο γεμάτο ἀκτινοβολία νὰ ἀνεβαίνει ἀπὸ τὴν ἱερὴ αὐτὴ κάθαρση. Καὶ ἐκεῖνα βλέπουν τὸν ἱερέα νὰ τοποθετεῖ τὸ δεξί του χέρι ἐπάνω στὸ κεφάλι καὶ νὰ ἀγγίζει αὐτό, ἐνῶ αὐτὰ βλέπουν τὸν μεγάλο ἀρχιερέα ν' ἁπλώνει τὴν ἀόρατη δεξιά του καὶ νὰ ἀγγίζει τὸ κεφάλι· γιατὶ τότε δὲν εἶναι ἄνθρωπος ἐκεῖνος ποὺ βαπτίζει, ἀλλ' ὁ ἴδιος ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ. Καὶ ἐκεῖνο ποὺ ἔγινε στὴν περίπτωση τοῦ δεσποτικοῦ σώματος, αὐτὸ γίνεται καὶ στὴν περίπτωση τοῦ δικοῦ μας σώματος· ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνο φαινόταν νὰ τὸ κρατάει ὁ Ἰωάννης ἀπὸ τὸ κεφάλι, ἐνῶ ὁ Θεὸς Λόγος τὸ κατέβαζε στὰ Ἰορδάνεια ὕδατα καὶ τὸ βάπτιζε καὶ ἡ πατρικὴ φωνὴ ἀκουόταν ἀπὸ τὸν οὐρανὸ νὰ λέγει, «αὐτὸς εἶναι ὁ Υἱός μου ὁ ἀγαπητός»[11], καὶ τὸ Πνεῦμα τὸ ἅγιο ἐπίσης νὰ ἐπιφοιτᾶ ἐπάνω του, αὐτὸ γίνεται καὶ μὲ τὸ δικό σου σῶμα· γιατὶ τὸ βάπτισμα γίνεται στὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Γι' αὐτὸ καὶ ὁ Ἰωάννης ἔλεγε γιὰ νὰ μᾶς διδάξει, ὅτι δὲν μᾶς βαπτίζει ἄνθρωπος, ἀλλ' ὁ Θεός· «πίσω μου ἔρχεται ὁ ἰσχυρότερός μου, τοῦ ὁποίου δὲν εἶμαι ἱκανὸς νὰ λύσω τὸ λουρὶ τοῦ ὑποδήματός του. Αὐτὸς θὰ σᾶς βαπτίσει μὲ Πνεῦμα ἅγιο καὶ φωτιά»[12]. Γι' αὐτὸ καὶ ὁ ἱερέας βαπτίζοντας δὲν λέγει 'βαπτίζω τὸν τάδε', ἀλλὰ «βαπτίζεται ὁ τάδε στὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος», γιὰ νὰ δείξει ὅτι δὲν εἶναι αὐτὸς ποὺ βαπτίζει, ἀλλ' ὁ Πατέρας καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιο, τῶν ὁποίων καὶ τὸ ὄνομα ἐπικαλεῖται.

5. Γι' αὐτὸ καὶ ἡ σημερινὴ ἀπαγγελία σας ὀνομάζεται 'πίστις', καὶ δὲν σᾶς ἐπιτρέπομε νὰ πεῖτε προηγουμένως τίποτε ἄλλο, μέχρι

ὅτι «πιστεύω». Τὸ ρῆμα τοῦτο θεμέλιος ἄσειστος, οἰκοδομὴν ἔχων ἄνωθεν ἀσάλευτον. Διὰ τοῦτο καὶ Παῦλός φησι· «πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστι». Διὰ τοῦτο καὶ σὺ προσερχόμενος τῷ Θεῷ πρῶτον πιστεύεις καὶ τότε τοῦτο φθέγγει τὸ ρῆμα· ἐὰν γὰρ μὴ τοῦτο ᾖ, οὐδὲν τῶν ἄλλων οὔτε εἰπεῖν οὔτε νοῆσαι δύνασαι. Καὶ ἵνα τὴν ἄρρητον ἐκείνην καὶ ἀμάρτυρον παραλείπω γέννησιν, ταύτην τὴν κάτω γενομένην, ἧς πολλοὶ μάρτυρες ἐγένοντο, παραγαγὼν εἰς μέσον δι' αὐτῆς σε τῶν πραγμάτων τῆς ἀποδείξεως πιστώσομαι, ὅτι πίστεως ἄνευ οὐ δυνατὸν οὐδὲ ταύτην καταδέξασθαί ποτε. Ὁ ἀχώρητος, ὁ πάντα συνέχων καὶ διακρατῶν, εἰς μήτραν ἦλθε παρθενικήν· πῶς, εἰπέ μοι, καὶ τίνι τρόπῳ; Ἀποδεῖξαι μὲν οὐκ ἔστιν· ἂν δὲ ἐπὶ τὴν πίστιν ἔλθῃς, ἐκείνη σὲ πληροφορῆσαι δυνήσεται· τὰ γὰρ ὑπερβαίνοντα τῶν ἡμετέρων λογισμῶν τὴν ἀσθένειαν τῇ τῆς πίστεως ἐπιτρέπειν διδασκαλίᾳ χρή. Τοῦτον τὸν τρόπον τῆς γεννήσεως οὔτε Ματθαῖος οἶδεν αὐτὸς ὁ γράψας, ὅτι μὲν γὰρ «εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου», εἶπεν, τὸν δὲ τρόπον οὐκ ἐδίδαξεν. Οὔτε Γαβριὴλ ἐπίσταται· καὶ γὰρ καὶ ἐκεῖνος τοῦτό φησι μόνον· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι», τὸ δὲ πῶς καὶ τίνι τρόπῳ οὐδὲ αὐτὸς ἐπίσταται.

6. Ἀλλὰ τὸν μὲν περὶ πίστεως λόγον τῷ διδασκάλῳ παραχωρήσομεν, καὶ ἡμῖν δὲ δυνατὸν ἐν ἑτέρῳ καιρῷ πρὸς ὑμᾶς εἰπεῖν, ὅταν πολλοὶ τῶν ἀμυήτων παρῶσιν· ἃ δὲ ἀνάγκη μόνους ἀκοῦσαι ὑμᾶς νῦν καὶ οὐ δυνατὸν ἐκείνων ἀναμεμιγμένων ὑμῖν εἰπεῖν, ταῦτα τήμερον ἀναγκαῖον εἰπεῖν. Τίνα οὖν ἐστι ταῦτα; Μετὰ τὴν αὔριον τῇ Παρασκευῇ, ὥρᾳ ἐνάτῃ, ἀνάγκη τινὰ ὑμᾶς ἀπαιτηθῆναι ρήματα καὶ συνθήκας θέσθαι πρὸς τὸν Δεσπότην. Οὐχ ἁπλῶς δὲ ὑμᾶς οὐδὲ τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἀνέμνησα ταύτην· ἀλλὰ ἔστι καὶ ἀπὸ τούτων μαθεῖν τι μυστικόν. Καὶ γὰρ τῇ Παρασκευῇ, ἐνάτῃ ὥρᾳ, ὁ λῃστὴς εἰς τὸν παράδεισον εἰσῆλθε καὶ τὸ σκότος κατελύθη τὸ ἀπὸ

---

13. Ἑβρ. 11,6. 15. Λουκᾶ 1,35.
14. Ματθ. 1,18. 16. Δάσκαλος εἶναι ὁ ἐπίσκοπος Ἀντιοχείας Φλαβιανός.

ποὺ νὰ πεῖτε, «πιστεύω». Ὁ λόγος αὐτὸς εἶναι θεμέλιο ἄσειστο, ἔχοντας ἐπάνω οἰκοδόμημα ἀσάλευτο. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «πρέπει αὐτὸς ποὺ προσέρχεται νὰ πιστεύει στὸ Θεὸ ὅτι ὑπάρχει»[13]. Γι' αὐτὸ καὶ σὺ προσερχόμενος στὸ Θεὸ πρῶτα πιστεύεις καὶ μετὰ λὲς τὸ λόγο αὐτό· γιατὶ ἂν δὲν ὑπάρχει αὐτό, τίποτε ἀπὸ τὰ ἄλλα δὲν μπορεῖς οὔτε νὰ πεῖς οὔτε νὰ σκεφθεῖς. Καὶ γιὰ νὰ παραλείψω τὴν ἀπερίγραπτη ἐκείνη καὶ ἀναπόδεικτη γέννηση, αὐτὴν ποὺ ἔγινε ἐδῶ κάτω, τῆς ὁποίας ὑπῆρξαν πολλοὶ μάρτυρες, παρουσιάζοντάς σας αὐτήν, μὲ αὐτὴν θὰ ἐπιβεβαιώσω τὴν ἀπόδειξη τῶν πραγμάτων, ὅτι δηλαδὴ χωρὶς τὴν πίστη δὲν εἶναι δυνατὸν οὔτε καὶ αὐτὴν ν' ἀποδεχθεῖς ποτέ. Ὁ ἀχώρητος, ἐκεῖνος ποὺ συγκρατεῖ καὶ ἐξουσιάζει τὰ πάντα, μπῆκε σὲ μήτρα παρθενική· πῶς, πές μου, καὶ μὲ ποιό τρόπο; Ν' ἀποδειχθεῖ βέβαια αὐτὸ δὲν εἶναι δυνατό, ἂν ὅμως καταφύγεις στὴν πίστη, ἐκείνη θὰ μπορέσει νὰ σὲ πληροφορήσει· γιατὶ ἐκεῖνα ποὺ ὑπερβαίνουν τὴν ἀδυναμία τῶν λογισμῶν μας, πρέπει νὰ τὰ ἐμπιστευόμαστε στὴ διδασκαλία τῆς πίστεως. Αὐτὸ τὸν τρόπο τῆς γεννήσεως οὔτε ὁ ἴδιος ὁ Ματθαῖος τὸν γνώριζε, ποὺ τὴν ἔγραψε· γιατὶ τὸ ὅτι «βρέθηκε νὰ εἶναι ἔγκυος ἀπὸ τὸ ἅγιο Πνεῦμα»[14] τὸ εἶπε, δὲν εἶπε ὅμως τὸν τρόπο. Οὔτε καὶ ὁ Γαβριὴλ τὸ γνώριζε, γιατὶ καὶ ἐκεῖνος αὐτὸ λέγει μόνο· «Πνεῦμα ἅγιο θὰ ἔρθει σὲ σένα καὶ δύναμη τοῦ Ὑψίστου θὰ σὲ ἐπισκιάσει»[15]. Τὸ πῶς ὅμως καὶ μὲ ποιόν τρόπο οὔτε αὐτὸς τὸ γνωρίζει.

6. Ἀλλὰ τὸ λόγο γιὰ τὴν πίστη ἂς τὸν παραχωρήσομε στὸ δάσκαλο[16], καὶ μπορεῖ κι ἐγὼ νὰ σᾶς μιλήσω σὲ μιὰ ἄλλη εὐκαιρία, ὅταν θὰ εἶναι παρόντες πολλοὶ ἀμύητοι· ἐκεῖνα ὅμως ποὺ εἶναι ἀνάγκη μόνο σεῖς νὰ τὰ ἀκούσετε τώρα καὶ δὲν ἐπιτρέπεται νὰ τὰ ποῦμε ἐνῶ βρίσκονται ἐκεῖνοι ἀνάμεσά σας, αὐτὰ σήμερα εἶναι ἀνάγκη νὰ σᾶς πῶ. Ποιά λοιπὸν εἶναι αὐτά; Μετὰ τὴν αὐριανὴ ἡμέρα, τὴν Παρασκευὴ καὶ κατὰ τὴν ἔνατη ὥρα, θὰ σᾶς ζητηθεῖ νὰ κάμετε μερικὲς ὁμολογίες καὶ νὰ κάνετε συμφωνίες μὲ τὸν Κύριο. Καὶ δὲν σᾶς ὑπενθύμισα τυχαῖα οὔτε τὴ ἡμέρα οὔτε τὴν ὥρα αὐτή· ἀλλ' εἶναι δυνατὸ κι ἀπ' αὐτὰ νὰ μάθετε κάτι τὸ μυστικό. Καθόσον τὴν Παρασκευή, τὴν ἔνατη ὥρα, ὁ ληστὴς μπῆκε στὸν παράδεισο καὶ τὸ σκοτάδι ποὺ ἄρχισε ἀπὸ τὴν ἕκτη ὥρα διαλύθη-

τῆς ἕκτης ὥρας ἕως τῆς ἐνάτης, καὶ τὸ αἰσθητὸν καὶ τὸ νοητὸν φῶς τότε ὑπὲρ τῆς οἰκουμένης ἀνηνέχθη θυσία· τότε γάρ φησιν ὁ Χριστός· «Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου». Τότε τὸν ἥλιον τῆς δικαιοσύνης ἰδὼν ἀπὸ τοῦ σταυροῦ λάμποντα ὁ αἰσθητὸς οὗτος ἥλιος τὰς ἀκτῖνας ἀπέστρεψεν. Ὅταν οὖν μέλλῃς εἰσάγεσθαι καὶ σὺ κατὰ τὴν ἐνάτην ὥραν, ἀναμιμνήσκου καὶ σὺ τοῦ μεγέθους τῶν κατορθωμάτων καὶ τὰς δωρεὰς ἀρίθμει ταύτας παρὰ σαυτῷ, καὶ οὐκ ἔσῃ λοιπὸν ἐπὶ τῆς γῆς, ἀλλὰ διαναστήσῃ καὶ τῶν οὐρανῶν αὐτῶν ἐπιλήψῃ τῇ ψυχῇ.

7. Δεῖ τοίνυν εἰσαχθέντας ὑμᾶς τότε κοινῇ πάντας (καὶ γὰρ καὶ τοῦτο παρατήρει, ὅτι πάντα κοινῇ δίδοται πᾶσιν ὑμῖν, ἵνα μήτε ὁ πλούσιος ὑπερίδῃ τοῦ πένητος, μήτε ὁ πένης ἔλαττον ἔχειν τι τοῦ πλουσίου νομίζῃ· ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε ἄρσεν οὔτε θῆλυ, οὐ Σκύθης, οὐ Βάρβαρος, οὐκ Ἰουδαῖος, οὐχ Ἕλλην· οὐχ ἡλικίας δὲ μόνον καὶ φύσεως, ἀλλὰ καὶ ἀξίας πάσης ἀνωμαλία ἀνῄρηται· ἓν πᾶσιν ἀξίωμα, μία δωρεά, εἷς ἀδελφότητος ἡμῖν σύνδεσμος, ἡ αὐτὴ χάρις), δεῖ τοίνυν εἰσαχθέντας ὑμᾶς τότε κοινῇ κλῖναι γόνυ πάντας, οὐκ ὀρθοὺς ἑστάναι, καὶ τὰς χεῖρας ἀνατείναντας εἰς τὸν οὐρανὸν εὐχαριστῆσαι τῷ Θεῷ τῆς δωρεᾶς ἕνεκεν ταύτης. Ἐπὶ γόνυ δὲ οἱ ἱεροὶ κελεύουσι κεῖσθαι νόμοι, ὥστε καὶ διὰ τοῦ σχήματος ὁμολογῆσαι τὴν δεσποτείαν. Ὅτι γὰρ τὸ γόνυ κάμψαι τῶν τὴν δουλείαν ὁμολογούντων ἐστίν, ἄκουσον τί φησιν ὁ Παῦλος· ὅτι «αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων». Κλίναντας οὖν τὰ γόνατα κελεύουσι λέγειν μυσταγωγοῦντες ταῦτα τὰ ῥήματα· «ἀποτάσσομαί σοι, σατανᾶ».

8. Δακρῦσαί μοι νῦν ἐπῆλθε καὶ συνεχύθην τὴν διάνοιαν καὶ πικρὸν ἐστέναξα. Τίνος ἕνεκεν ἀνεμνήσθην τῆς ἱερᾶς ἑσπέρας ἐκείνης, καθ' ἣν τὴν μακαρίαν ταύτην κατηξιώθην ἀφεῖναι φωνήν, καθ' ἣν ἐπὶ τὴν φρικώδη καὶ ἁγίαν μυσταγωγίαν ἠγόμην; Ἀνεμνήσθην τῆς τότε καθαρότητος καὶ τῶν ἁμαρτημάτων, ὅσα μετ' ἐκείνην εἰς τὴν παροῦσαν ἡμέραν συνέλεξα. Καθάπερ οὖν γυναικῶν ὅσαι περ ἂν ἀπὸ πλούτου καὶ εὐπορίας εἰς πτωχείαν τὴν ἐσχάτην κατενεχθῶσιν, ὁρῶσαι κόρας ἑτέρας νυμφευομένας καὶ εὐπόροις

---

17. Λουκᾶ 23,46. 18. Κολ. 3,11. 19. Φιλ. 2,9.

κε τὴν ἔνατη ὥρα, καὶ τὸ αἰσθητὸ καὶ νοητὸ φῶς τότε προσφέρθηκε θυσία ὑπὲρ τῆς οἰκουμένης· γιατὶ τότε λέγει ὁ Χριστός· «Πατέρα, στὰ χέρια σου παραδίνω τὸ πνεῦμα μου»[17]. Τότε ὁ αἰσθητὸς αὐτὸς ἥλιος, βλέποντας τὸν ἥλιο τῆς δικαιοσύνης νὰ λάμπει ἐπάνω ἀπὸ τὸ σταυρό, ἀπέκριψε τὶς ἀκτίνες του. Ὅταν λοιπὸν πρόκειται νὰ εἰσέλθεις καὶ σὺ κατὰ τὴ ἔνατη ὥρα, θυμήσου καὶ σὺ τὸ μέγεθος τῶν κατορθωμάτων καὶ μέτρα αὐτὲς τὶς δωρεὲς μέσα σου, καὶ δὲν θὰ παραμείνεις τότε ἐπάνω στὴ γῆ, ἀλλὰ θὰ πετάξεις ψηλὰ καὶ θὰ φθάσεις μὲ τὴν ψυχὴ σ' αὐτοὺς τοὺς ἴδιους τοὺς οὐρανούς.

7. Πρέπει λοιπὸν ἀφοῦ εἰσέλθετε τότε ὅλοι μαζὶ (γιατὶ πρόσεχε καὶ αὐτό, ὅτι ὅλα σᾶς δίνονται ἀπὸ κοινοῦ, ὥστε οὔτε ὁ πλούσιος νὰ περιφρονήσει τὸν φτωχό, οὔτε ὁ φτωχὸς νὰ νομίζει ὅτι ὑστερεῖ σὲ κάτι ἀπὸ τὸν πλούσιο· γιατὶ ἐνώπιον τοῦ Ἰησοῦ Χριστοῦ δὲν ὑπάρχει διάκριση οὔτε ἄνδρα, οὔτε γυναίκας, οὔτε Σκύθη, οὔτε βαρβάρου, οὔτε Ἰουδαίου, οὔτε Ἕλληνα[18]· καὶ ὄχι μόνο ἡλικίας καὶ φύσεως, ἀλλὰ καταργήθηκε καὶ ἡ ἀνισότητα κάθε ἀξιώματος· ἕνα ἀξίωμα ὑπάρχει σ' ὅλους, μία δωρεά, ἕνας σύνδεσμος ἀδελφότητας, ἡ ἴδια χάρη)· πρέπει λοιπὸν ἀφοῦ εἰσέλθετε τότε ἀπὸ κοινοῦ ὅλοι μαζὶ νὰ γονατίσετε καὶ νὰ μὴ στέκεσθε ὄρθιοι, καί, ἀφοῦ ὑψώσετε τὰ χέρια σας πρὸς τὸν οὐρανό, νὰ εὐχαριστήσετε τὸ Θεὸ γιὰ τὴ δωρεὰ αὐτή. Καὶ οἱ ἱεροὶ νόμοι προστάζουν νὰ γονατίζετε, ὥστε καὶ μὲ τὴ στάση σας αὐτὴ νὰ ὁμολογεῖτε τὴν ἐξουσία του. Γιατί, τὸ ὅτι τὸ γονάτισμα εἶναι γνώρισμα ἐκείνων ποὺ ὁμολογοῦν τὴ δουλεία, ἄκουσε τί λέγει ὁ Παῦλος· «γιὰ νὰ κάμψει κάθε γόνατο τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων»[19]. Ἀφοῦ γονατίσετε λοιπὸν προστάζουν οἱ μυσταγωγοὶ νὰ λέτε αὐτὰ τὰ λόγια· «σὲ ἀπαρνιέμαι, σατανᾶ».

8. Μοῦ ἦρθε τώρα νὰ δακρύσω, συγχύσθηκε τὸ μυαλό μου καὶ ἀναστέναξα πικρά. Γιὰ ποιό λόγο θυμήθηκα τὴν ἱερὴ ἐκείνη ἑσπέρα, κατὰ τὴν ὁποία ἀξιώθηκα ν' ἀφήσω αὐτὴ τὴ φωνή, τότε ποὺ ὁδηγόμουν πρὸς τὴ φρικώδη καὶ ἁγία μυσταγωγία; Θυμήθηκα τὴν καθαρότητα ποὺ ἔλαβα τότε καὶ τὰ ἁμαρτήματα, ὅσα διέπραξα ἀπὸ τὴν ἡμέρα ἐκείνη μέχρι σήμερα. Ὅπως ἀκριβῶς δηλαδὴ οἱ γυναῖκες ἐκεῖνες ποὺ συνέβηκε νὰ πέσουν ἀπὸ τὸν πλοῦτο καὶ τὴν εὐπορία στὴ χειρότερη φτώχεια, βλέποντας ἄλλα κορίτσια νὰ νυμφεύο-

διδομένας νυμφίοις καὶ πολλῆς ἀπολαυούσας τιμῆς καὶ μετὰ θεραπείας καὶ πομπῆς ἀπαγομένας, ἀλγοῦσι καὶ ὀδυνῶνται, οὐ τοῖς ἀλλοτρίοις φθονοῦσαι καλοῖς, ἀλλ' ἐν ταῖς ἑτέρων εὐπραγίαις ἀκριβέστερον τὰς ἑαυτῶν καταμανθάνουσαι συμφοράς, τοιοῦτον δή τι καὶ αὐτὸς πέπονθα νῦν. Ἀλλ' ἵνα μὴ τὰ ἐμαυτοῦ διηγούμενος κακὰ νῦν ἐπὶ τὸ σκυθρωπότερον τὸν λόγον ἀγάγω, φέρε πρὸς ὑμᾶς ἐπανέλθωμεν πάλιν.

9. «Ἀποτάσσομαί σοι, σατανᾶ». Τί γέγονε; τί τὸ ξένον καὶ παράδοξον; ὁ δεδοικώς, ὁ τρέμων κατεξανέστης τοῦ τυράννου; καταφρονεῖς αὐτοῦ τῆς ὠμότητος; τίς σε εἰς τοσαύτην ἀπόνοιαν ἐπῆρε; πόθεν σοι τὸ θαρρεῖν ἐγένετο; '"Οπλον ἔχω', φησίν, 'ἰσχυρόν'. Ποῖον ὅπλον, ποίαν συμμαχίαν; εἰπέ μοι. 'Συντάσσομαί σοι, Χριστέ', φησί· 'διὰ τοῦτο θαρρῶ καὶ κατεξανίσταμαι· ἰσχυρὰν γὰρ ἔχω καταφυγήν. Αὕτη με τοῦ δαίμονος ἐποίησεν ἀνώτερον, τὸν πρὸ τούτου δεδοικότα καὶ τρέμοντα. Διὰ τοῦτο οὐχὶ αὐτῷ μόνῳ, ἀλλὰ καὶ πάσῃ αὐτοῦ ἀποτάσσομαι τῇ πομπῇ». Πομπὴ δὲ διαβόλου πᾶν εἶδος ἁμαρτίας ἐστί, θέατρα παρανομίας, ἱπποδρομίαι, συνέδρια γέλωτος καὶ αἰσχρολογίας γέμοντα· πομπὴ διαβόλου οἰωνισμοὶ καὶ μαντεῖαι, κληδόνες καὶ παρατηρήσεις καιρῶν, καὶ σύμβολα καὶ περίαπτα καὶ ἐπῳδαί. Θαυμαστὸν περίαπτον ὁ σταυρὸς ἔχει καὶ μεγίστην ἐπῳδήν, καὶ μακαρία ἡ ψυχὴ ἡ λέγουσα τὸ ὄνομα Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος· τοῦτο κάλεσον καὶ πᾶν νόσημα φεύξεται, πᾶσα ἐπιβουλὴ παραχωρήσει σοι σατανική. Τούτων οὖν μέμνησο τῶν ῥημάτων· αὗται αἱ συνθῆκαι πρὸς τὸν νυμφίον εἰσί. Καθάπερ γὰρ ἐπὶ τῶν γάμων τὰ τῶν ἕδνων καὶ τῆς φερνῆς ἀνάγκη συντελεῖσθαι γραμματεῖα, οὕτω καὶ νῦν πρὸ τῶν γάμων γίνεται· γυμνήν σε εὗρε καὶ πτωχὴν καὶ ἀσχημονοῦσαν καὶ οὐ παρέδραμε· τῆς προαιρέσεώς σου γὰρ δεῖται μόνης. Ἀντὶ προικὸς τοίνυν ταῦτα εἰσένεγκε τὰ ῥήματα καὶ μέγαν ἡγήσεται πλοῦτον ὁ Χριστός, ἂν ταῦτα φυλάττῃς διὰ παντός· πλοῦτος γὰρ ἐκείνου τῶν ἡμετέρων ψυχῶν ἡ σωτηρία. Ἄκουσον πῶς φησιν ὁ Παῦλος· «πλουτῶν εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν».

10. Μετὰ δὲ τὰ ῥήματα ταῦτα, μετὰ τὴν ἀποταγὴν τοῦ διαβόλου,

---

20. Ρωμ. 10,12.

νται καὶ νὰ δίνονται σὲ πλούσιους νυμφίους, ν' ἀπολαμβάνουν ἔτσι μεγάλη τιμὴ καὶ νὰ ὁδηγοῦνται μὲ ἀκολούθους καὶ πομπὴ στὸ νυμφίο, στεναχωριένται πολὺ καὶ ὑποφέρουν, ὄχι ἐπειδὴ φθονοῦν τὰ ξένα καλά, ἀλλ' ἐπειδὴ αἰσθάνονται καλύτερα τὶς δικές τους συμφορὲς βλέποντας τὴν εὐτυχία τῶν ἄλλων, κάτι τέτοιο λοιπὸν ἔπαθα καὶ ἐγὼ τώρα. Ἀλλὰ γιὰ νὰ μὴ κάμω τώρα τὸ λόγο δυσάρεστο διηγούμενος τὰ δικά μου κακά, ἐμπρὸς ἂς ἐπανέλθω πάλι σὲ σᾶς.

9. «Σὲ ἀπαρνιέμαι, σατανᾶ». Τί ἔγινε; τί τὸ παράξενο καὶ παράδοξο; σὺ ποὺ φοβόσουν καὶ ἔτρεμες ξεσηκώθηκες ἐναντίον τοῦ τυράννου; περιφρονεῖς τὴ σκληρότητά του; ποιός σὲ ξεσήκωσε σὲ τόση ἀλαζονεία; ἀπὸ ποῦ σοῦ δημιουργήθηκε τὸ θάρρος; "Ἔχω', λέγει, 'ὅπλο ἰσχυρό'. Πές μου, ποιό ὅπλο, ποιά συμμαχία; 'Συντάσσομαι μὲ σένα, Χριστέ', λέγει· 'γι' αὐτὸ ἔχω θάρρος καὶ ἐξεγείρομαι· γιατὶ ἔχω ἰσχυρὸ καταφύγιο. Αὐτὸ μὲ ἔκαμε ἰσχυρότερο ἀπὸ τὸ δαίμονα, τὸν ὁποῖο προηγουμένως φοβόμουν καὶ ἔτρεμα. Γι' αὐτὸ ὄχι μόνο αὐτὸν ἀλλὰ καὶ ὅλη τὴν πομπή του τὴν ἀπαρνιέμαι'. Πομπὴ τοῦ διαβόλου εἶναι κάθε εἶδος τῆς ἁμαρτίας, τὰ θέατρα παρανομίας, οἱ ἱπποδρομίες, συγκεντρώσεις γεμάτες ἀπὸ γέλια καὶ αἰσχρόλογα· πομπὴ τοῦ διαβόλου εἶναι οἱ οἰωνισμοὶ καὶ οἱ μαντεῖες, τὰ μαντικὰ λόγια καὶ οἱ παρατηρήσεις τῶν καιρῶν, τὰ σύμβολα, τὰ φυλακτὰ καὶ οἱ ἐπωδές. Θαυμαστὸ φυλακτὸ ποὺ ἔχει καὶ μέγιστη ἐπωδὴ εἶναι ὁ σταυρὸς καὶ μακάρια ἡ ψυχὴ ποὺ λέγει τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος· αὐτὸν κάλεσε καὶ κάθε νόσημα θὰ φύγει, κάθε σατανικὴ ἐπιβουλὴ θὰ ὑποχωρήσει. Αὐτὰ λοιπὸν τὰ λόγια ἐνθυμήσου· αὐτὲς εἶναι οἱ συμφωνίες μὲ τὸν νυμφίο. Γιατί, ὅπως ἀκριβῶς κατὰ τους γάμους πρέπει νὰ γίνουν πρῶτα τὰ συμβόλαια γιὰ τὴν προίκα καὶ τὰ γαμήλια δῶρα, ἔτσι καὶ ἐδῶ γίνεται πρὶν ἀπὸ τοὺς γάμους· γυμνὴ σὲ βρῆκε καὶ φτωχὴ καὶ γεμάτη ἀσχήμια καὶ δὲν σὲ περιφρόνησε· γιατὶ μόνο τὴν προαίρεσή σου θέλει. Ἀντὶ τῆς προίκας λοιπὸν πρόσφερε αὐτὰ τὰ λόγια καὶ θὰ τὰ θεωρήσει ὁ Χριστὸς μεγάλο πλοῦτο, ἂν αὐτὰ τὰ φυλάσσεις γιὰ πάντα· γιατὶ πλοῦτος τοῦ Χριστοῦ εἶναι ἡ σωτηρία τῶν ψυχῶν μας. Ἄκουσε πῶς τὸ λέγει αὐτὸ ὁ Παῦλος· «πλούσιος σ' ὅλους καὶ πρὸς ὅλους ποὺ τὸν ἐπικαλοῦνται»[20].

10. Μετὰ τὰ λόνια αὐτά. μετὰ τὴν ἀποταγὴ τοῦ διαβόλου, μετὰ

μετὰ τὴν συνταγὴν τὴν πρὸς τὸν Χριστόν, ἅτε οἰκείους γεγενημένους λοιπὸν καὶ οὐδὲν κοινὸν ἔχοντας πρὸς ἐκεῖνον, εὐθέως σφραγίζεσθαι κελεύει καὶ ἐπὶ τοῦ μετώπου δίδωσί σοι τὸν σταυρόν. Ἐπειδὴ γὰρ εἰκὸς τὸ θηρίον ἐκεῖνο ταῦτα ἀκοῦσαν τὰ ῥήματα ἀγριωθῆναι μᾶλλον (ἀναίσχυντον γάρ ἐστι) καὶ αὐτῇ βούλεται ἐπιπηδῆσαι τῇ ὄψει, διὰ τοῦ χρίσματος ἐντυπῶν σου τῷ προσώπῳ τὸν σταυρὸν ἅπασαν αὐτοῦ καταστέλλει τὴν μανίαν· οὐ γὰρ τολμήσει πρὸς τοιαύτην ἀντιβλέψαι λοιπὸν ὄψιν, ἀλλ' ὥσπερ ἀκτῖνας ὁρῶν ἐκπηδώσας ἐκεῖθεν, οὕτως ἀποτυφλωθεὶς τοὺς ὀφθαλμοὺς ἄπεισιν. Ἐντυποῦται δὲ ὁ σταυρὸς διὰ τοῦ χρίσματος· τὸ δὲ χρῖσμα τοῦτο ἔλαιον ὁμοῦ καὶ μύρον ἐστί, μύρον μὲν ὡς νύμφην, ἔλαιον δὲ ὡς ἀθλητήν. Καὶ ὅτι πάλιν οὐκ ἄνθρωπος, ἀλλ' αὐτός σε χρίει ὁ Θεὸς διὰ τῆς τοῦ ἱερέως χειρός, ἄκουσον τοῦ Παύλου λέγοντος· «ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν καὶ χρίσας ἡμᾶς, Θεός». Ἐπειδὰν δὲ τοῦτο τὸ ἄλειμμα ἀλείψῃ πάντα τὰ μέλη, μετὰ ἀδείας τὸν δράκοντα κατέχειν δύνασαι καὶ οὐδὲν πείσῃ δεινόν.

11. Μετὰ τὴν χρῖσιν τοίνυν ταύτην ἐπὶ τὴν κολυμβήθραν τῶν ἁγίων ὑδάτων λείπεται ἐλθεῖν. Τότε ἀποδύσας σε τὸ ἱμάτιον ὁ ἱερεύς, αὐτός σε κατάγει ἐπὶ τὰ νάματα. Τίνος οὖν ἕνεκεν γυμνόν; Ἀναμιμνήσκει σε τῆς προτέρας γυμνότητος, ὅτε ἦς ἐν τῷ παραδείσῳ καὶ οὐκ ᾐσχύνου· «ἦσαν», γάρ φησίν, «Ἀδὰμ καὶ Εὔα γυμνοὶ καὶ οὐκ ᾐσχύνοντο», ἕως ἔλαβον τὸ τῆς ἁμαρτίας ἱμάτιον, τὸ πολλῆς γέμον αἰσχύνης. Μὴ τοίνυν μηδὲ ἐνταῦθα αἰσχύνου· πολὺ γὰρ τοῦ παραδείσου βελτίων ἡ κολυμβήθρα. Οὐκ ἔστιν ἐνταῦθα ὄφις, ἀλλὰ Χριστός ἐστιν ἐνταῦθα μυσταγωγῶν σε πρὸς τὴν ἐξ ὕδατος καὶ Πνεύματος ἀναγέννησιν. Οὐκ ἔστιν ἐνταῦθα δένδρα καλὰ καὶ ὡραῖα ἰδεῖν, ἀλλ' ἔστιν ἐνταῦθα χαρίσματα πνευματικά. Οὐκ ἔστιν ἐνταῦθα ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ, οὐδὲ νόμος καὶ ἐντολαί, ἀλλὰ χάρις καὶ δωρεαί. «Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν».

12. Ἀλλ' ἐπειδὴ μετὰ τοσαύτης ἡδονῆς ἠκούσατε τῶν εἰρημένων, μίαν ὑμᾶς αἰτήσω τῆς ἡδονῆς ἀμοιβήν, ἣν καὶ παρὰ τὴν ἀρ-

---

21. Β' Κορ. 1,21.
22. Γεν. 3,1.
23. Ἰω. 3,5.

τὴ σύνταξη μὲ τὸ Χριστό, ἀφοῦ πλέον γίνατε δικοί του καὶ δὲν ἔχετε κανένα κοινὸ μὲ τὸν διάβολο, ἀμέσως προστάζει νὰ σφραγισθεῖτε καὶ χαράσσει στὸ μέτωπό σου τὸ σταυρό. Ἐπειδὴ δηλαδὴ φυσικὸ εἶναι τὸ θηρίο ἐκεῖνο, ἀκούοντας τὰ λόγια αὐτά, ν' ἀγριωθεῖ περισσότερο (γιατὶ εἶναι ἀδιάντροπο), νὰ θέλει νὰ ὁρμήσει καὶ στὸ πρόσωπό σου τὸ ἴδιο, ἐντυπώνοντας μὲ τὸ χρίσμα τὸ σταυρὸ στὸ πρόσωπό σου, καταστέλλει ὅλη τὴ μανία του· γιατὶ δὲν θὰ τολμήσει νὰ ρίξει ξανὰ τὸ βλέμμα του ἐπάνω σ' ἕνα τέτοιο πρόσωπο ἀλλὰ βλέποντας κατὰ κάποιο τρόπο νὰ ἐκπέμπονται ἀπὸ ἐκεῖ ἀκτίνες, ἀπομακρύνεται ἀποτυφλωμένο. Ὁ σταυρὸς χαράσσεται στὸ πρόσωπο μὲ τὸ χρίσμα· τὸ χρίσμα αὐτὸ ἀποτελεῖται ἀπὸ λάδι καὶ μύρο, τὸ μύρο σὰν σύμβολο τῆς νύμφης ποὺ εἶσαι, ἐνῶ τὸ λάδι σὰν σύμβολο τοῦ ἀθλητῆ. Καὶ ὅτι πάλι δὲν σὲ χρίει ἄνθρωπος, ἀλλ' ὁ ἴδιος ὁ Θεὸς μὲ τὸ χέρι τοῦ ἱερέα, ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «ἐκεῖνος ποὺ μᾶς στερεώνει μὲ σᾶς στὸ Χριστὸ καὶ μᾶς ἔχρισε, εἶναι ὁ Θεός»[21]. Ὅταν μὲ αὐτὸ τὸ μίγμα τοῦ μύρου ἀλείψει ὅλα τὰ μέλη σου, μπορεῖς μὲ εὐκολία νὰ νικήσεις τὸ δράκοντα χωρὶς νὰ πάθεις κανένα κακό.

11. Μετὰ λοιπὸν ἀπὸ τὴ χρίση αὐτὴ ὑπολείπεται νὰ ἔλθετε πλέον στὴν κολυμβήθρα τῶν ἁγίων ὑδάτων. Τότε ἀφοῦ σοῦ βγάλει τὰ ἐνδύματα ὁ ἱερέας, σὲ βάζει ὁ ἴδιος μέσα στὰ ὕδατα. Γιὰ ποιό λόγο γυμνό; Σοῦ ὑπενθυμίζει τὴν προηγούμενη γυμνότητα, ὅταν ἤσουν στὸν παράδεισο καὶ δὲν ντρεπόσουν· γιατὶ λέγει, «ἦταν ὁ Ἀδὰμ καὶ ἡ Εὔα γυμνοὶ καὶ δὲν ντρέπονταν»[22], μέχρι ποὺ ἔλαβαν τὸ ἔνδυμα τῆς ἁμαρτίας, τὸ γεμάτο ἀπὸ πολλὴ ντροπή. Μὴ ντρέπεσαι λοιπὸν οὔτε ἐδῶ· γιατὶ ἡ κολυμβήθρα εἶναι πολὺ πιὸ ἀνώτερη ἀπὸ τὸν παράδεισο. Δὲν ὑπάρχει ἐδῶ φίδι, ἀλλ' ὁ Χριστὸς εἶναι ἐδῶ ποὺ σὲ μυσταγωγεῖ πρὸς τὴν ἀναγέννηση ἐξ ὕδατος καὶ Πνεύματος[23]. Δὲν ὑπάρχουν ἐδῶ δένδρα κακὰ καὶ ὡραῖα νὰ δεῖς, ἀλλ' ὑπάρχουν ἐδῶ πνευματικὰ χαρίσματα. Δὲν ὑπάρχει ἐδῶ ξύλο γνώσεως καλοῦ καὶ κακοῦ, οὔτε νόμος καὶ ἐντολές, ἀλλὰ χάρη καὶ δωρεές. «Γιατὶ ἡ ἁμαρτία δὲν θὰ σᾶς ἐξουσιάσει, ἀφοῦ δὲν εἶσθε κάτω ἀπὸ τὸ νόμο, ἀλλὰ κάτω ἀπὸ τὴ χάρη τοῦ Θεοῦ».

12. Ἀλλ' ἐπειδὴ μὲ τόση εὐχαρίστηση ἀκούσατε τὰ λόγια μου, μιὰ ἀμοιβὴ θὰ σᾶς ζητήσω γιὰ τὴν εὐχαρίστηση, τὴν ὁποία ἀπὸ

χὴν ὑμᾶς ᾔτησα. Ὅταν εἰς τὴν κολυμβήθραν καταβῆτε τῶν ὑδάτων ἐκείνων, μνήσθητέ μου τῆς εὐτελείας. Τοῦτο καὶ πρῴην ἡμῶν ἐδεήθην, ὅτε καὶ τοῦ Ἰωσὴφ ἀνέμνησα, ὃς πρὸς τὸν ἀρχιοινοχόον ἔλεγε· «μνήσθητί μου, ὅταν εὖ σοι γένηται». Κἀγὼ πρὸς ὑμᾶς παρὰ τὴν ἀρχὴν εἶπον· 'μνήσθητέ μου, ὅταν εὖ ὑμῖν γένηται'. Νυνὶ δὲ οὐ λέγω, 'μνήσθητέ μου, ὅταν εὖ ὑμῖν γένηται', ἀλλὰ 'μνήσθητέ μου, ἐπειδὴ εὖ ὑμῖν ἐγένετο'. Κἀκεῖνος μὲν ἔλεγε, «μνήσθητι, ὅτι οὐδὲν ἐποίησα κακόν», ἐγὼ δὲ λέγω, 'μνήσθητέ μου, ὅτι πολλὰ καὶ πονηρὰ ἐποίησα κακά'. Πολλὴ παρρησία πρὸς τὸν βασιλέα νῦν ὑμῖν ἅπασι· κοινοὺς ὑμᾶς πέμπομεν πρέσβεις ὑπὲρ τῆς φύσεως τῶν ἀνθρώπων· οὐ χρυσοῦν στέφανον αὐτῷ προσφέρετε, ἀλλὰ πίστεως στέφανον· μετὰ πολλῆς ὑμᾶς δέξεται εὐνοίας. Δεήθητε τοίνυν ὑπὲρ τῆς κοινῆς ἁπάντων μητρός, ὥστε ἀσάλευτον εἶναι αὐτὴν καὶ ἄσειστον· καὶ ὑπὲρ τοῦ ἀρχιερέως, δι' οὗ τῶν χειρῶν καὶ τῆς φωνῆς τῶν ἀγαθῶν τούτων τυγχάνετε. Ὑπὲρ τῶν συνεδρευόντων ἡμῖν ἱερέων πολλὰ αὐτῷ διαλέχθητε, ὑπὲρ τοῦ ἀνθρωπείου γένους, ὥστε μὴ ἡμῖν χρημάτων λοιπάδας ἀλλὰ ἁμαρτημάτων ἀφεῖναι. Κοινὰ γενέσθω τὰ κατορθώματα· πολλὴ γὰρ παρρησία πρὸς τὸν Δεσπότην ὑμῖν καὶ ἀπὸ φιλήματος ὑμᾶς δέξεται.

13. Ἀλλ' ἐπειδὴ φιλήματος ἐμνήσθην, βούλομαι καὶ περὶ τούτου νῦν ὑμῖν εἰπεῖν. Ἐπειδὰν μέλλωμεν τῆς ἱερᾶς ἅπτεσθαι τραπέζης, φιλεῖν ἀλλήλους κελευόμεθα καὶ ἀσπάζεσθαι ἀσπασμὸν ἅγιον. Τίνος ἕνεκεν; Ἐπειδὴ τοῖς σώμασιν ἐσμὲν διῃρημένοι, τὰς ψυχὰς ἀλλήλαις συμπλέκομεν κατ' ἐκεῖνον τὸν καιρὸν διὰ τοῦ φιλήματος, ὥστε γενέσθαι τὸν σύλλογον ἡμῶν τοιοῦτον, οἷος ἦν ἐκεῖνος ὁ ἀποστολικός, ὅτε πάντων τῶν πιστευόντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. Οὕτως γὰρ δεῖ προσιέναι τοῖς ἱεροῖς μυστηρίοις συνδεδεμένους ἀλλήλοις. Ἄκουσον τί φησιν ὁ Χριστός· «ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου καὶ τότε πρόσφερε τὸ δῶρόν σου». Οὐκ εἶπε 'πρότερν προσένεγκε', ἀλλὰ «πρότερον διαλλάγηθι καὶ τότε προσένεγκε». Διὰ τοῦτο καὶ ἡμεῖς, τοῦ δώρου προκειμένου, πρότερον ἀλλήλοις καταλλατ-

---

24. Γεν. 40,14. 25. Γεν. 40,15. 26. Ματθ. 5,23–24.

τὴν ἀρχὴ σᾶς ζήτησα. Ὅταν θὰ κατεβεῖτε στὴν κολυμβήθρα τῶν ὑδάτων ἐκείνων νὰ θυμηθεῖτε τὴν ταπεινότητά μου. Αὐτὸ σᾶς παρακάλεσα καὶ πρὶν ἀπὸ μέρες, ὅταν σᾶς ὑπενθύμισα καὶ τὸν Ἰωσήφ, ὁ ὁποῖος ἔλεγε πρὸς τὸν ἀρχιοινοχόο· «νὰ μὲ θυμηθεῖς ὅταν θὰ εὐτυχήσεις»[24]. Καὶ ἐγὼ εἶπα σὲ σᾶς στὴν ἀρχή, 'θυμηθεῖτε με ὅταν θὰ γίνει σὲ σᾶς τὸ καλό'. Τώρα ὅμως δὲν λέγω, 'θυμηθεῖτε με ὅταν θὰ γίνει σὲ σᾶς τὸ καλό', ἀλλά, 'θυμηθεῖτε με ἐπειδὴ ἔγινε σὲ σᾶς τὸ καλό'. Καὶ ἐκεῖνος βέβαια ἔλεγε, «θυμήσου με, γιατὶ κανένα κακὸ δὲν ἔκαμα»[25], ἐγὼ ὅμως λέγω, 'θυμηθεῖτε με, γιατὶ ἔκαμα πολλὰ πονηρὰ καὶ κακά'. Εἶναι μεγάλη ἡ παρρησία ὅλων σας τώρα πρὸς τὸν βασιλιά· σᾶς στέλνομε λοιπὸν σὰν κοινοὺς πρεσβευτὲς τῆς φύσεως τῶν ἀνθρώπων· προσφέρατε σ' αὐτὸν ὄχι χρυσὸ στεφάνι, ἀλλὰ στεφάνι πίστεως· θὰ σᾶς δεχθεῖ μὲ μεγάλη ἀγάπη. Παρακαλέστε τον γιὰ τὴν κοινὴ μητέρα ὅλων, ὥστε νὰ εἶναι αὐτὴ ἀσάλευτη καὶ ἄσειστη· ἐπίσης καὶ γιὰ τὸν ἀρχιερέα, ἀπὸ τὰ χέρια τοῦ ὁποίου καὶ τὴ φωνὴ παίρνετε αὐτὰ τὰ δῶρα. Πέστε πολλὰ σ' αὐτὸν γιὰ τοὺς συλλειτουργούς μας ἱερεῖς καὶ γιὰ τὸ ἀνθρώπινο γένος, ὥστε νὰ μὴ μᾶς χαρίσει χρέη χρημάτων, ἀλλὰ ἁμαρτημάτων. Ἂς γίνουν κοινὰ τὰ κατορθώματα· γιατὶ εἶναι μεγάλη ἡ παρρησία σας πρὸς τὸν Κύριο καὶ μὲ φίλημα θὰ σᾶς δεχθεῖ.

13. Ἀλλ' ἐπειδὴ θυμήθηκα φίλημα, θέλω νὰ σᾶς μιλήσω καὶ γι' αὐτό. Ὅταν πρόκειται νὰ πλησιάσομε στὴν ἱερὴ τράπεζα, προτρεπόμαστε νὰ φιλοῦμε ὁ ἕνας τὸν ἄλλο καὶ ν' ἀσπαζόμαστε μὲ ἀσπασμὸ ἅγιο. Γιὰ ποιό λόγο; Ἐπειδὴ σωματικὰ εἴμαστε διαιρημένοι, συνενώνομε μὲ τὸ φίλημα τὶς ψυχές μας κατὰ τὴν ὥρα ἐκείνη, ὥστε νὰ γίνει ὁ σύλλογός μας τέτοιος ὅπως ἦταν ἐκεῖνος ὁ ἀποστολικός, ὅταν ἦταν μία ἡ καρδιὰ καὶ ἡ ψυχή. Γιατὶ ἔτσι πρέπει νὰ προσερχόμαστε στὰ ἱερὰ μυστήρια συνενωμένοι μεταξύ μας. Ἄκουσε τί λέγει ὁ Χριστός· «ἂν προσφέρεις τὸ δῶρο σου στὸ θυσιαστήριο καὶ ἐκεῖ θυμηθεῖς, ὅτι ὁ ἀδελφός σου ἔχει κάτι ἐναντίον σου, πήγαινε πρῶτα καὶ συμφιλιώσου μὲ τὸν ἀδελφό σου καὶ τότε ἔλα καὶ πρόσφερε τὸ δῶρο σου»[26]. Δὲν εἶπε, 'πρῶτα πρόσφερε', ἀλλά, «πρῶτα συμφιλιώσου καὶ μετὰ πρόσφερέ το». Γι' αὐτὸ καὶ ἐμεῖς, ἐνῶ βρίσκεται μπροστά μας τὸ δῶρο, ἀφοῦ πρῶτα συμφιλιωθοῦμε, τότε νὰ προσερχόμαστε στὴ θυσία. Ὑπάρχει καὶ ἄλλος

τόμενοι τότε τῇ θυσίᾳ προσερχόμεθα. Ἔστι δὲ καὶ ἕτερος μυστικὸς λόγος τοῦ φιλήματος τούτου. Ναοὺς ἡμᾶς ἐποίησε τοῦ Χριστοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Φιλοῦντες οὖν ἀλλήλων τὰ στόματα, τὰ πρόθυρα τοῦ ναοῦ καταφιλοῦμεν. Μηδεὶς τοίνυν μετὰ συνειδότος πονηροῦ, μετὰ ὑπούλου διανοίας τοῦτο ποιείτω· ἅγιον γάρ ἐστι τὸ φίλημα· «ἀσπάσασθε» γάρ, φησιν «ἀλλήλους ἐν φιλήματι ἁγίῳ». Τούτων πάντων μεμνημένοι ταῦτα διὰ παντὸς διατηρῶμεν, τὴν συνταγήν, τὴν ἀποταγήν, τὴν παρρησίαν, ἣν νῦν ἡμῖν ὁ Δεσπότης χαρίζεται, καὶ ἀκηλίδωτον καὶ ἀκέραιον διαφυλάξωμεν, ἵνα μετὰ πολλῆς τῆς δόξης ἀπαντήσωμεν τῷ βασιλεῖ τῶν οὐρανῶν καὶ καταξιωθῶμεν ἐν νεφέλαις ἁρπαγῆναι καὶ φανῆναι τῆς βασιλείας τῶν οὐρανῶν ἄξιοι, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

27. Α' Κορ. 16,20.

λόγος γιὰ τὸν ὁποῖο γίνεται τὸ φίλημα αὐτό. Τὸ ἅγιο Πνεῦμα μᾶς ἔκαμε ναοὺς τοῦ Χριστοῦ. Φιλώντας λοιπὸν τὰ στόματα ὁ ἕνας τῶν ἄλλων, καταφιλοῦμε τὰ πρόθυρα τοῦ ναοῦ. Κανένας λοιπὸν νὰ μὴ τὸ κάμνει αὐτὸ μὲ πονηρὴ συνείδηση, μὲ ὕπουλη σκέψη· γιατὶ εἶναι ἅγιο τὸ φίλημα· γιατὶ λέγει, «ἀσπασθεῖτε ἀναμεταξύ σας μὲ φίλημα ἅγιο»[27].

14. Ἐνθυμούμενοι λοιπὸν ὅλα αὐτά, νὰ τὰ τηροῦμε ὅλα αὐτά, τὴν σύνταξή μας μὲ τὸ Χριστό, τὴν ἀποταγὴ ἀπὸ τὸ διάβολο, τὴν παρρησία ποὺ μᾶς χαρίζει ὁ Κύριος, καὶ νὰ τὴ διαφυλάξομε ἀκέραιη καὶ ἀκηλίδωτη, γιὰ νὰ συναντήσομε μὲ πολλὴ δόξα τὸν βασιλιὰ τῶν οὐρανῶν καὶ νὰ καταξιωθοῦμε ν' ἁρπαγοῦμε ἐπάνω σὲ νεφέλες καὶ νὰ φανοῦμε ἄξιοι τῆς βασιλείας τῶν οὐρανῶν, τὴν ὁποία εὔχομαι ὅλοι μας νὰ ἐπιτύχομε μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Ἀμήν.



ΠΕΡΙ ΚΕΝΟΔΟΞΙΑΣ

ΚΑΙ ΟΠΩΣ ΔΕΙ ΤΟΥΣ ΓΟΝΕΙΣ ΑΝΑΤΡΕΦΕΙΝ ΤΑ ΤΕΚΝΑ

1. *Ἀρά τις ἐποίησεν ὅπερ ἠξίωσα; ἆρά τις ἐδεήθη τοῦ Θεοῦ καὶ ὑπὲρ ἡμῶν καὶ ὑπὲρ τοῦ παντὸς σώματος τῆς Ἐκκλησίας, ὥστε σβεσθῆναι τὴν πυρὰν τὴν ἀπὸ τῆς κενοδοξίας τεχθεῖσαν; τὴν τῷ σώματι παντὶ λυμαινομένην; τὴν τὸ ἓν σῶμα εἰς πολλὰ διαιροῦσαν μέλη καὶ διασχίζουσαν τὴν ἀγάπην; Καθάπερ γὰρ θηρίον ἐμπεσὸν εἰς σῶμα εὐγενὲς καὶ ἁπαλὸν καὶ ἀμύνασθαι μὴ δυνάμενον, οὕτω τοὺς ὀδόντας αὐτῆς ἐνέπηξε τοὺς μιαροὺς καὶ τὸν ἰὸν ἐναφῆκε καὶ τῆς πολλῆς δυσωδίας ἐνέπλησεν· καὶ τὰ μὲν ἀποκόψασα ἔρριψεν, τὰ δὲ διέξανεν, τὰ δὲ καὶ διεμασήσατο. Καὶ εἴ γε ἦν ὀφθαλμοῖς ἰδεῖν τὴν κενοδοξίαν καὶ τὴν Ἐκκλησίαν, εἶδεν ἄν τις θέαμα ἐλεεινὸν καὶ πολλῷ τῶν ἐν τοῖς σταδίοις γινομένων χαλεπώτερον· τὸ μὲν σῶμα ἐρριμμένον, ἐκείνην δὲ ἄνωθεν ἐφεστῶσαν καὶ πανταχοῦ ἀποβλέπουσαν καὶ τοὺς ἐμπεσόντας κατέχουσαν καὶ οὐδέποτε ἀφισταμένην οὐδὲ φειδομένην.*

Τίς οὖν ἡμῶν τὸ θηρίον ἀποσοβήσει τοῦτο; Τοῦ τὸν ἀγῶνα θέντος ἐστὶν ἔργον ὑφ' ἡμῶν παρακαλουμένου πέμψαι τοὺς ἀγγέλους αὐτοῦ καὶ καθάπερ τισὶ σχοινίοις τὸ ἰταμὸν αὐτῆς καὶ ἀναίσχυντον στόμα ἀποφράξαντος, οὕτως ἀπαγαγεῖν. Ἀλλὰ τότε ὁ τὸν ἀγῶνα

---

1. Στὴν προηγούμενη ὁμιλία του (10η στὴν πρὸς Ἐφεσίους ἐπιστολή) εἶχε ζητήσει ἀπὸ τοὺς ἀκροατές του νὰ προσευχηθοῦν στὸ Θεὸ γι' αὐτὸν καὶ γιὰ ὁλόκληρη τὴν Ἐκκλησία, ὥστε νὰ ἀπομακρύνει τὸ θηρίο τοῦ διχασμοῦ ποὺ εἶχε προσβάλει ἄρχοντες καὶ ἀρχομένους καὶ κατασπάραζε αὐτήν.

2. *Ὁμιλία 11 εἰς τὴν πρὸς Ἐφεσ. 5* (ΕΠΕ=ΕΛΛΗΝΕΣ ΠΑΤΕΡΕΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ, 2, 712)· «Διὰ τοῦτο λέγω καὶ διαμαρτύρομαι, ὅτι τοῦ εἰς αἵρεσιν ἐμπε-



ΠΕΡΙ ΚΕΝΟΔΟΞΙΑΣ

ΚΑΙ ΠΩΣ ΠΡΕΠΕΙ Ν' ΑΝΑΤΡΕΦΟΥΝ ΟΙ ΓΟΝΕΙΣ ΤΑ ΤΕΚΝΑ

1. Ἄραγε ἔκαμε κανένας σας ἐκεῖνο ποὺ σᾶς ζήτησα[1]; Ἄραγε παρακάλεσε κανένας σας τὸ Θεὸ γιὰ μένα καὶ γιὰ ὁλόκληρο τὸ σῶμα τῆς Ἐκκλησίας, ὥστε νὰ σβήσει ἡ φωτιὰ ποὺ γεννήθηκε ἀπὸ τὴν κενοδοξία, τὴ φωτιὰ ποὺ καταστρέφει ὅλο τὸ σῶμα, τὴ φωτιὰ ποὺ διαιρεῖ σὲ πολλὰ μέλη τὸ ἕνα σῶμα καὶ ξεσχίζει τὴν ἀγάπη[2]; Γιατὶ σὰν ἀκριβῶς θηρίο ποὺ ἔπεσε μὲ ὁρμὴ ἐπάνω σὲ σῶμα εὐγενικὸ καὶ ἁπαλὸ καὶ ποὺ δὲν μπορεῖ ν' ἀμυνθεῖ, ἔτσι αὐτὴ ἔμπηξε τὰ μιαρὰ δόντια της στὸ σῶμα τῆς Ἐκκλησίας καὶ ἔχυσε τὸ δηλητήριό της γεμίζοντάς την μὲ πολλὴ δυσωδία· καὶ ἄλλα ἀπὸ τὰ μέλη της τ' ἀπέκοψε καὶ τὰ ἔρριξε μακριά, ἄλλα τὰ ξέσχισε καὶ τὰ κομμάτιασε καὶ ἄλλο τὰ καταμάσισε. Καὶ ἂν ἦταν δυνατὸ νὰ δεῖ κανεὶς μὲ τὰ μάτια τὴν κενοδοξία καὶ τὴν Ἐκκλησία, θὰ ἔβλεπε θέαμα ἐλεεινὸ καὶ πολὺ φοβερότερο ἀπὸ ἐκεῖνα ποὺ συμβαίνουν στὰ στάδια· θὰ ἔβλεπε τὸ σῶμα ριγμένο κάτω καὶ ἐκείνην νὰ στέκεται ἀπὸ πάνω του, νὰ βλέπει παντοῦ καὶ νὰ κρατάει γερὰ τοὺς πεσμένους, χωρὶς καθόλου ν' ἀπομακρύνεται ἀπ' αὐτοὺς οὔτε καὶ νὰ τοὺς λυπᾶται.

Ποιός λοιπὸν ἀπὸ μᾶς θὰ διώξει τὸ θηρίο αὐτό; Ἡ ἐκδίωξη αὐτοῦ εἶναι ἔργο ἐκείνου ποὺ ἔθεσε τὸν ἀγώνα· αὐτός, ἀφοῦ παρακληθεῖ ἀπὸ μᾶς, θὰ στείλει τοὺς ἀγγέλους του καὶ ἀφοῦ ἀποφράξουν τὸ θρασὺ καὶ ἀδιάντροπο στόμα της σὰν μὲ κάποια σχοινιά, ἔτσι θὰ ἀπομακρύνουν αὐτήν. Ἀλλὰ τότε θὰ τὸ κάμει αὐτὸ ἐκεῖνος ποὺ ἔθεσε τὸν ἀγώνα, ὅταν παύσομε, ἀφοῦ ἀπομακρυνθεῖ αὐτή, νὰ

σεῖν τὸ τὴν Ἐκκλησίαν σχίσαι οὐκ ἔλαττόν ἐστι κακόν.

θεὶς τοῦτο ποιήσει, ὅταν αὐτὴν ἀπαχθεῖσαν μὴ ἐπιζητῶμεν· ἂν δὲ πέμψῃ μὲν κελεύων εἰς τὸν ἴδιον ἀπαχθῆναι φωλεόν, ἀναστάντες μετὰ μυρίων τραυμάτων πάλιν αὐτὸ ζητῶμεν καὶ κρούωμεν καὶ ἀνατρέπωμεν, ὥστε αὐτὸ ἐξαγαγεῖν, οὐκέτι ἡμᾶς ἐλεήσει λοιπὸν οὐδὲ φείσεται· «τίς γὰρ ἐλεήσει», φησίν, «ἐπαοιδὸν ὀφιόδηκτον καὶ πάντας τοὺς προσάγοντας θηρίοις;».

2. *Τί οὖν; πῶς ἂν ἀπαλλαγείημεν τοῦ κακοῦ καὶ πονηροῦ δαίμονος; Δαίμων γὰρ ὄντως ἐστὶν ὄψιν ἔχων ἐπέραστον. Καθάπερ γὰρ εἴ δαίμων τις εἰς ἑταίραν ἑαυτὸν διατυπώσας καὶ πολλὰ μὲν περιθέμενος τὰ χρυσία καὶ ἱμάτια ἐνδὺς μαλακὰ καὶ πολλῶν ὄζων τῶν ἀρωμάτων ὑπέλθοι πάνυ λαμπρὰν εἰκόνα γυναικὸς καὶ πάσης εὐμορφίας ὑπερβολὴν ἀποκρύψας· ἔπειτα δὲ καὶ ἐν ἡλικίᾳ φανείη τοιαύτῃ ᾗ μάλιστα τὰς τῶν νέων ἀναπτεροῖ ψυχάς, αὐτὸ τῆς νεότητος φέρων τὸ ἄνθος, ζώνῃ χρυσῇ διαζωσάμενος καὶ βοστρύχους ἀπὸ τῆς κεφαλῆς δείξας ποικίλως ἐμπεπλεγμένους, κρωβύλῳ περσικῷ προσεοικότας· εἶτα διάδημα περιθεῖτο περὶ τὴν κεφαλὴν γυμναῖς ταῖς θριξὶ πολὺν τὸν κόσμον ἐπιθεὶς καὶ περὶ τὸν τράχηλον ἀπαστράπτοντα χρυσὸν καὶ λίθους τιμίους δεικνύς, καὶ ἑστήκοι ὁ κόρης τινὸς πολὺ νέαν ἡλικίαν ὑπελθὼν ἐπ' ἐρημίας πρὸ τοῦ τέγους, εἶτα καὶ πολλὴν τὴν αἰδῶ ἐπιδεικνύοιτο, τίνα οὐκ ἂν ἕλοι τῶν παριόντων; Καὶ μετὰ τοῦτο εἰς τὸν οἶκον εἰσαγαγὼν πᾶσαν μὲν ἐκείνην τὴν ὥραν ἀποθεῖτο, δείξας δὲ ἑαυτὸν μέλανά τινα καὶ πυρώδη καὶ ἄγριον, οἷον εἰκὸς δαίμονα, ἐκστήσειε μὲν τὸν ἄθλιον τὸν ἐμπεσόντα, ἐναλλόμενος δὲ καὶ τῆς ψυχῆς κατασχὼν βακχεύοι τὴν ἐκείνου διάνοιαν, τοιοῦτόν τι τῆς κενοδοξίας ὁ πονηρὸς δαίμων ἐστίν. Τί γὰρ αὐτῆς ὡραιότερον εἶναι δοκεῖ; τί δὲ ἐπεραστότερον; Ἀλλ' ἐὰν ἴδωμεν, ὅτι φαντασία τὸ πρᾶ-*

---

3. *Σοφ. Σειρὰχ* 12,13.

4. Κρώβυλος: ὁ κοινὸς λεγόμενος κότσος, συγκρατούμενος μὲ χρυσῆ κατὰ τὸ πλεῖστον χτένα.

τὴν ζητοῦμε καὶ πάλι· ἂν ὅμως στείλει τοὺς ἀγγέλους του διατάσσοντάς τους ν' ἀπομακρύνουν ἀπὸ μᾶς τὸ φοβερὸ αὐτὸ θηρίο, ἀλλ' ἐμεῖς μετὰ τὴν ἀπομάκρυνσή του καὶ τὸ κλείσιμό του μέσα στὴ φωλιά του, ἀφοῦ σηκωθοῦμε γεμάτοι ἀπὸ ἀμέτρητα τραύματα, ζητοῦμε πάλι αὐτό, χτυπώντας καὶ ἀνατρέποντας τὰ πάντα, ὥστε νὰ τὸ βγάλομε καὶ πάλι, τότε ποτὲ πλέον δὲ θὰ μᾶς ἐλεήσει ὁ Θεὸς καὶ δὲ θὰ μᾶς λυπηθεῖ· γιατὶ λέγει· «ποιός θὰ δείξει εὐσπλαγχνία πρὸς τὸ μάγο ποὺ γοητεύει τὰ φίδια ὅταν τὸν δαγκώσει τὸ φίδι, ἢ πρὸς ὅλους ἐκείνους ποὺ πλησιάζουν τὰ θηρία;»[3].

2. Τί λοιπόν; Πῶς θὰ μπορούσαμε ν' ἀπαλλαχθοῦμε ἀπὸ τὸν πονηρὸ δαίμονα; Γιατὶ πραγματικὰ εἶναι δαίμονας, ἔχοντας μορφὴ ἀξιέραστη. Ὅπως ἀκριβῶς δηλαδὴ ἂν κάποιος δαίμονας μεταμορφωνόταν σὲ ἑταίρα καὶ φοροῦσε πολλὰ χρυσαφικὰ καὶ ἁπαλὰ ἐνδύματα καὶ περιχυνόταν μὲ πολλὰ ἀρώματα ποὺ ν' ἀποπνέουν πολλὴ εὐωδιά, παρουσιάζοντας ἔτσι πάρα πολὺ λαμπρὴ μορφὴ γυναίκας καὶ ἐπισκιάζοντας ὁποιαδήποτε ὑπερβολικὴ ὀμορφιά, καὶ ἀκόμη ἂν παρουσιαζόταν μὲ τέτοια ἡλικία ποὺ κατ' ἐξοχὴ αὐτὴ ἀναπτερώνει τὶς ψυχὲς τῶν νέων, δηλαδὴ σ' αὐτὸ τὸ ἄνθος τῆς νεότητας, φοροῦσε χρυσῆ ζώνη καὶ εἶχε τὰ μαλλιὰ πλεγμένα στὸ κεφάλι σὲ πολυποίκιλες πλεξοῦδες ποὺ νὰ μοιάζουν μὲ περσικὸ κρώβυλο[4]· ἐπίσης ἂν φοροῦσε στεφάνι στὸ κεφάλι, προσθέτοντας πολλὰ στολίδια στὰ ἀκάλυπτα μαλλιά, φοροῦσε στὸ λαιμὸ ἀστραφτερὰ χρυσαφικὰ καὶ πολύτιμες πέτρες καί, φορώντας ὅλα αὐτὰ ὁ δαίμονας αὐτός, ποὺ ἔλαβε μορφὴ κάποιας κόρης πάρα πολὺ νεαρῆς, στεκόταν μπροστὰ στὴν ἐξώθυρα τοῦ σπιτιοῦ παρουσιάζοντας μορφὴ σεμνὴ καὶ πολλὴ ντροπαλή, ποιόν δὲν θὰ προσέλκυε ἀπὸ τοὺς περαστικούς; Καὶ μετὰ ἀπὸ αὐτό, ἀφοῦ τὸν ὁδηγοῦσε μέσα στὸ σπίτι καὶ ἀφαιροῦσε ὅλη ἐκείνη τὴν ὡραιότητα, καὶ ἔδειχνε τὸν πραγματικὸ ἑαυτό του νὰ εἶναι κατάμαυρος, πυρώδης καὶ ἄγριος, τέτοιος ποὺ φυσικὸ εἶναι νὰ εἶναι ὁ δαίμονας, θὰ κατέπλησσε καὶ θὰ κατατρόμαζε βέβαια τὸν ἄθλιο ποὺ ἔπεσε στὰ χέρια του, ἀφοῦ ὅμως πηδήξει ἐπάνω του καὶ κυριεύσει τὴν ψυχή του, καταπλημμυρίζει τὸ νοῦ του ἀπὸ βακχικὴ μανία· γιατὶ κάτι τέτοιο εἶναι ὁ πονηρὸς δαίμονας τῆς κενοδοξίας. Πραγματικὰ τί ἄλλο θεωρεῖται ὡραιότερο ἀπ' αὐτήν; τί πιὸ ἀξιαγάπητο; Ἀλλ' ἂν

γμά ἐστι καὶ ὅτι ὑπόκρισις, οὐχ ἁλωσόμεθα τοῖς δικτύοις οὐδὲ περιπεσούμεθα τῇ σκηνῇ· ὃ γὰρ περὶ τῆς πόρνης εἴρηται, τοῦτο καὶ περὶ ταύτης εἰκότως ἄν τις εἴποι· «μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης»· τὸ αὐτὸ καὶ περὶ τῆς κενοδοξίας οὐκ ἄν τις ἁμάρτοι λέγων.

3. Καθάπερ γὰρ ὁ Σοδόμων καρπός, τοιοῦτον ἡ κενοδοξία· καὶ γὰρ ἐκεῖνος τὴν μὲν ἐπιφάνειαν ἔχει λαμπρὰν καὶ καρπῶν ὑγιαινόντων τοῖς ὁρῶσιν ἐντίθησιν ἀπὸ τῆς ὄψεως τὴν ὑπόνοιαν. Ἐὰν δὲ λάβῃς κατὰ τῆς χειρὸς ἢ ῥοιὰν ἢ μῆλον, εἴκει τε τοῖς δακτύλοις εὐθέως καὶ διατρυφθὲν τὸ ἔξωθεν ἐπικείμενον λέπος ἀφίησιν αὐτοὺς εἰς τὴν κόνιν καὶ τὴν τέφραν ἐμπεσεῖν. Τοιοῦτόν τι καὶ ἡ κενοδοξία ἐστίν· ὁρωμένη μὲν δοκεῖ μεγάλη τις εἶναι καὶ θαυμαστή, κατασχεθεῖσα δὲ ὑπὸ τῶν ἡμετέρων χειρῶν εἰς τὴν κόνιν εὐθέως τὴν ψυχὴν ἡμῶν ἐνέβαλεν. Καὶ ὅτι τοιοῦτόν ἐστιν ἡ κενοδοξία, πολλαχόθεν δῆλον. Τί γάρ; βούλεσθε πρῶτον ἀπὸ τῶν ἔξωθεν ἀρξώμεθα;

4. Πληροῦται τὸ θέατρον, καὶ πᾶς ὁ δῆμος ἄνω κάθηται ὄψιν παρεχόμενος λαμπρὰν καὶ ἀπὸ τοσούτων συγκειμένην ὄψεων, ὡς πολλάκις καὶ τὸ τέγος αὐτὸ καὶ τὸν ὑπερκείμενον ὄροφον καλυφθῆναι τοῖς σώμασι τῶν ἀνδρῶν· καὶ οὔτε κεραμίδας οὔτε λίθους ἔστιν ἰδεῖν, ἀλλὰ πάντα ὄψεις ἀνθρώπων καὶ σώματα. Πρὸ δὲ πάντων εἰσελθόντος τοῦ συνάγοντος αὐτοὺς ἀνδρὸς φιλοτίμου, διαναστάντες εὐθέως ὥσπερ ἐξ ἑνὸς στόματος μίαν ἀφιᾶσι φωνήν, συμφώνως ἅπαντες κηδεμόνα καλοῦντες καὶ προστάτην τῆς κοινῆς πόλεως καὶ

---

5. *Παροιμ.* 5,3. Βλ. καὶ *Ὁμιλ. 5 εἰς τὴν Α' πρὸς Θεσσ. 3* (ΕΠΕ 22,460)· «Μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων πόρνης, ἥτις πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα· ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου».

6. *Ὁμιλία 8 εἰς τὴν Α' πρὸς Θεσσ. 2* (ΕΠΕ 22,510)· «Αὕτη δὴ οὖν ἡ οὕτως εὐθαλὴς καὶ πρὸς πάσας τὰς χώρας ἁμιλλωμένη, ἡ φθάνουσα τὴν εὐθηνίαν τὸν παράδεισον τοῦ Θεοῦ, πασῶν τῶν ἐρήμων ἐρημοτέρα ἐστὶ νῦν. Καὶ ἕστηκε μὲν δένδρα καὶ καρπὸν ἔχει, ὁ δὲ καρπὸς τῆς τοῦ Θεοῦ ὀργῆς ἐστιν ὑπόμνημα. Ἑστήκασι μὲν ῥόαι, καὶ τὸ ξύλον λέγω καὶ ὁ καρπός, λαμπρὰν τὴν ἐπιφάνειαν ἔχουσαι καὶ τῷ ἀγνῶτι παρέχουσαι πολλὰς τὰς ἐλπίδας· εἰ δὲ ληφθεῖεν εἰς χεῖρας, διακλασθεῖσαι καρπὸν μὲν οὐδένα, κόνιν δὲ καὶ τέφραν πολλὴν δεικνύουσιν ἐναποκειμένην ἔνδον».

7. *Ὁμιλία εἰς τὴν Ἄνναν 4,1* (PG 54,660A)· «Τίς γὰρ ἂν ἐνέγκῃ τὴν ὀλιγωρίαν τὴν τοσαύτην; Ἅπαξ τῆς ἑβδομάδος ἐνταῦθα συλλεγόμεθα καὶ οὐδὲ ταύτην

δοῦμε καὶ σκεφθοῦμε ὅτι τὸ πράγμα αὐτὸ εἶναι φαντασία καὶ ὑποκρισία, δὲν θὰ συλληφθοῦμε στὰ δίχτυα της οὔτε θὰ παρασυρθοῦμε ἀπὸ τὴ σκηνοθεσία της· γιατὶ ἐκεῖνο ποὺ λέχθηκε γιὰ τὴν πόρνη, αὐτὸ θὰ μποροῦσε νὰ πεῖ κανεὶς καὶ γι' αὐτήν· «μέλι στάζει ἀπὸ τὰ χείλη τῆς πόρνης γυναίκας»[5]· καὶ δὲ θὰ σφάλλει κανεὶς ἂν πεῖ τὸ ἴδιο καὶ γιὰ τὴν κενοδοξία.

3. Πραγματικὰ ὅ,τι ἀκριβῶς εἶναι ὁ καρπὸς τῶν Σοδόμων, τέτοιο πράγμα εἶναι καὶ ἡ κενοδοξία· γιατὶ καὶ ἐκεῖνος ἔχει τὴν ἐπιφάνεια λαμπερὴ καὶ δημιουργεῖ σ' ἐκείνους ποὺ τὸν βλέπουν τὴν ἐντύπωση ὑγιῶν καρπῶν ἐξ αἰτίας τῆς φαινομενικῆς ὄψεώς του, ἂν ὅμως πάρεις στὰ χέρια ἢ ρόδο ἢ μῆλο, ἀμέσως ὑποχωρεῖ στὰ δάχτυλα καὶ ἀφοῦ διατρυπήσει ὁ φλοιὸς ποὺ τὸ περιβάλλει, ἀφήνει αὐτὰ νὰ βυθισθοῦν μέσα στὴ σκόνη καὶ τὴν τέφρα[6]. Κάτι τέτοιο εἶναι καὶ ἡ κενοδοξία· ὅταν τὴ βλέπει κανεὶς φαίνεται σὰν κάποια σπουδαία καὶ θαυμαστή, ὅταν ὅμως τὴν πιάσομε μὲ τὰ χέρια μας ἀμέσως τότε καταβυθίζει τὴν ψυχή μας μέσα στὴ σκόνη. Καὶ ὅτι ἡ κενοδοξία εἶναι τέτοιο πράγμα, γίνεται φανερὸ ἀπὸ πολλά. Τί λοιπόν; Θέλετε ν' ἀρχίσομε πρῶτα ἀπὸ τὰ ἐκτὸς τῆς Ἐκκλησίας;

4. Γεμίζει τὸ θέατρο καὶ ὅλο τὸ πλῆθος κάθεται ἐπάνω στὶς θέσεις, παρουσιάζοντας ὄψη λαμπρή, καὶ τόσο πολὺ εἶναι τὸ πλῆθος τῶν θεατῶν, ὥστε πολλὲς φορὲς νὰ εἶναι γεμάτο ἀπὸ τὰ ἀνθρώπινα σώματα ὅλο τὸ οἴκημα καὶ ὁ ἐπάνω ὄροφος, καὶ οὔτε κεραμύδια μπορεῖ νὰ δεῖ κανείς, οὔτε πέτρες, ἀλλὰ μόνο πρόσωπα καὶ σώματα ἀνθρώπων[7]. Τότε πρὶν ἀπὸ ὅλους, ἀφοῦ μπεῖ μέσα ὁ φιλόδοξος διοργανωτὴς τῆς παραστάσεως, ἀμέσως σηκώνονται ὅλοι καὶ σὰν ἀπὸ ἕνα στόμα ἀφήνουν μιὰ φωνή, ὀνομάζοντας αὐτὸν ὅλοι ὁμόφωνα κηδεμόνα καὶ προστάτη τῆς πόλεώς τους καὶ τὸν

ἀνέχονται τὴν ἡμέραν τῶν βιωτικῶν ὑπερορᾶν φροντίδων... Ἵνα δὲ μάθητε, ὅτι καὶ ταῦτα σκῆψις καὶ πρόφασις καὶ ῥᾳθυμίας ἐστὶ παραπετάσματα, οὐδὲν ἐμοῦ λέγοντος ἡ μετὰ τὴν αὔριον αὐτοὺς ἐλέγξει ἡμέρα τοὺς τὰ τοιαῦτα προφασιζομένους, ὅταν πᾶσα ἡ πόλις πρὸς τὸν ἱππόδρομον μεταστῇ, καὶ οἰκίαι καὶ ἀγοραὶ εἰς τὴν παράνομον θεωρίαν κενωθῶσιν ἐκείνην. Καὶ ἐνταῦθα μὲν οὐδὲ τὸν κύριον τῆς ἐκκλησίας τόπον πληρούμενον ἔστιν ἰδεῖν· ἐκεῖ δὲ οὐ τὸν ἱππόδρομον μόνον, ἀλλὰ καὶ ὑπερῷα καὶ οἰκίας καὶ δώματα καὶ κρημνοὺς καὶ μυρίους ἑτέρους ἄνωθεν καταλαμβάνοντας τόπους...».

τὰς χεῖρας ἐκτείνοντες. Εἶτα μεταξὺ τῶν πάντων μείζονι παραβάλλουσιν αὐτὸν ποταμῷ τὸ τῆς φιλοτιμίας ἀδρὸν καὶ ἐκκεχυμένον τῇ τῶν Νειλῴων ὑδάτων ἀφθονίᾳ συγκρίνοντες, καὶ Νεῖλον αὐτὸν εἶναί φασι τῶν δωρεῶν. Οἱ δὲ μᾶλλον αὐτὸν κολακεύοντες μικρὸν νομίσαντες εἶναι τοῦτο τὸ ὑπόδειγμα, τὸ τοῦ Νείλου, ποταμοὺς μὲν ἀφιᾶσι καὶ θαλάσσας, τὸν δὲ Ὠκεανὸν εἰς μέσον ἀγαγόντες, τοῦτο αὐτόν εἶναί φασιν, ὅπερ ἐκεῖνον ἐν ὕδασι, τοῦτον ἐν ταῖς φιλοτιμίαις· καὶ οὐδὲν ὅλως εἶδος εὐφημίας ἀπολιμπάνουσιν. Λαμπρὰ τῆς κενοδοξίας ἡ ὄψις· ἀλλ' ὑμεῖς μοι τοῦ τύπου τῆς κόρης ἀναμνήσθητε, εἰς ὃν διερρυθμίσαμεν τὸν δαίμονα, χρυσία περιθέντες αὐτῷ καὶ εἰς ἡλικίαν ἀγαγόντες ἑταίρας τινός, καὶ ὄψεσθε, ὅτι οὐ πολὺ τὸ μέσον τῆς εἰκόνος.

5. Τί δὴ μετὰ τοῦτο; Προσκυνήσας αὐτοὺς καὶ ταύτῃ τιμήσας καὶ αὐτός, κάθηται μὲν μακαριζόμενος ὑπὸ πάντων ἐκείνων, ἑκάστου αὐτῶν εὐχομένου τοῦτο γενέσθαι, ὅπερ ἐκεῖνος τότε, καὶ εὐθέως ἀποθανεῖν. Μετὰ δὲ τὸ πολὺ δαπανῆσαι χρυσίον καὶ ἀργύριον, ἵππους, ἱμάτια, παῖδας καὶ πάντα ἐκεῖνα, καὶ κενῶσαι πολλὰς οὐσίας, παραπέμπουσι πάλιν αὐτὸν μετὰ πολλῆς τῆς εὐφημίας, τοσοῦτοι μέντοι οὐκέτι· λυθέντος γὰρ τοῦ θεάτρου πρὸς τὰ οἰκεῖα ἕκαστος ἐπείγεται. Εἶτα ἐπὶ τῆς οἰκίας ἄριστα πολυτελῆ καὶ πολλὴ ἡ εὐωχία καὶ μεγάλη τῆς ἡμέρας ἡ λαμπρότης. Περὶ δείλην μεσημβρίαν πάλιν τὰ αὐτὰ καὶ ἐπὶ δύο καὶ τρισὶν ἡμέραις οὕτως. Ἐπειδὰν οὖν πάντα κενώσῃ, καὶ μυρία χρυσίου τάλαντα, τότε λοιπὸν δείκνυται ἡ σποδὸς τῆς φωνῆς ταύτης καὶ ἡ τέφρα καὶ ἡ κόνις.

6. Ὅταν γὰρ ἐπὶ τῆς οἰκίας τοὺς λόγους ζητῇ καὶ τῆς δαπάνης τὴν ὑπερβολὴν ἐννοήσῃ, τότε ὀδύρεται. Ἕως μὲν γὰρ ἂν ἀπολαύῃ

---

8. *Ὁμιλία εἰς τὴν Ἄνναν 3,4* (PG 54,658)· «Οὐκ οἴδατε, ὅτι οἱ ἐν ταῖς πόλεσι πολιτευόμενοι τῆς θηλῆς πολλάκις τοὺς ἑαυτῶν παῖδας εὐθὺς ἀποσπασθέντας θαλλοφόρους καὶ ἀγωνοθέτας καὶ γυμνασιάρχους καὶ χορειάρχας ποιοῦσιν;»· καὶ *Ὁμιλ. 12 εἰς τὴν Α΄ πρὸς Κορ. 5* (ΕΠΕ 18,338)· «Βούλει καὶ ἕτερα πάλιν ἀκοῦσαι δεικνύντα αὐτῶν τὴν ἄνοιαν; Ταῦτα μὲν οὐ κολάζουσιν, ἕτερα δὲ καὶ νομοθετοῦσιν αὐτοί. Τίνα οὖν εἰσιν ἐκεῖνα; Θέατρα συνάγουσιν... οὐ τὴν πόλιν ψυχαγωγοῦντες...».

9. *Ὁμιλία 13 εἰς τὸ κατὰ Ματθ. 5* (ΕΠΕ 9,428)· «Ἀλλ' ὅμως εἰσί τινες οὕτω ψυχροὶ καὶ ἀνόητοι, ὡς τὰ ἐνταῦθα ἐπιζητεῖν ἀεὶ μόνον καὶ τὰ καταγέλαστα ἐκεῖνα λέγειν ῥήματα· ἀπολαύσω τῶν παρόντων τέως πάντων καὶ τότε σκέψομαι περὶ τῶν ἀδήλων· χαρίσομαι τῇ γαστρί, δουλεύσω ταῖς ἡδοναῖς, παραχρήσομαι τῷ παρόντι

χαιρετοῦν ἁπλώνοντας τὰ χέρια τους. Ἔπειτα μαζὶ μὲ ὅλα τὰ ἄλλα τὸν παρομοιάζουν μὲ τὸν μεγαλύτερο ποταμό, συγκρίνοντας τὴν τόσο μεγάλη καὶ ἐκχυλύζουσα γενναιοδωρία του μὲ τὴν ἀφθονία τῶν ὑδάτων τοῦ Νείλου, καὶ τὸν ἀποκαλοῦν Νεῖλο τῶν δωρεῶν[8]. Ἄλλοι πάλι κολακεύοντάς τον περισσότερο καὶ νομίζοντας ὅτι εἶναι μικρὴ αὐτὴ ἡ παρομοίωση, δηλαδὴ μὲ τὸν Νεῖλο ποταμό, ἀφήνοντας ποταμοὺς καὶ θάλασσες, προβάλλουν σὰν παράδειγμα τὸν Ὠκεανὸ καὶ λένε ὅτι αὐτὸς εἶναι Ὠκεανός, γιατὶ ἐκεῖνο ποὺ εἶναι ἐκεῖνος ὡς πρὸς τὰ ὕδατα, αὐτὸ εἶναι αὐτὸς ὡς πρὸς τὶς γενναιοδωρίες, καὶ γενικὰ δὲν παραλείπουν κανένα εἶδος ἐπευφημίας. Εἶναι λαμπρὴ ἡ μορφὴ τῆς κενοδοξίας, ἀλλὰ σεῖς, παρακαλῶ, θυμηθεῖτε τὴ μορφὴ τῆς νεαρῆς γυναίκας, μὲ τὴν ὁποία παραστήσαμε τὸν δαίμονα, ποὺ τὸν περιβάλαμε μὲ χρυσαφικὰ καὶ τὸν παρουσιάσαμε σὰν μιὰ νέα ἑταίρα, καὶ θὰ δεῖτε ὅτι δὲν διαφέρουν καὶ πολὺ αὐτὰ μεταξύ τους.

5. Τί γίνεται λοιπὸν μετὰ ἀπ' αὐτό; Ἀφοῦ τοὺς εὐχαριστήσει μὲ ὑποκλίσεις καὶ τοὺς τιμήσει μὲ τὸν τρόπο αὐτό, κάθεται στὴ θέση του μακαριζόμενος ἀπὸ ὅλους ἐκείνους, καὶ ὁ καθένας ἀπ' αὐτοὺς εὔχεται νὰ ἐπιτύχει κι αὐτὸς ὅ,τι ἐπέτυχε ἐκεῖνος, κι ἀμέσως ἂς πεθάνει[9]. Μετὰ λοιπὸν τὴ δαπάνη τόσου χρυσοῦ καὶ χρημάτων καὶ τὴ χρησιμοποίηση τόσων ἵππων καὶ ἐνδυμάτων καὶ δούλων καὶ ὅλων τῶν ἄλλων, καὶ ἀφοῦ καταδαπανηθεῖ τόσο μεγάλη περιουσία, προπέμπουν πάλι αὐτὸν μὲ πολλὲς ἐπευφημίες, ὄχι βέβαια τόσοι πολλοὶ τώρα· γιατί, ἀφοῦ τελειώσει ἡ θεατρικὴ παράσταση, ὁ καθένας βιάζεται νὰ γυρίσει στὸ σπίτι του. Ἔπειτα στὴν οἰκία τοῦ χορηγοῦ τῶν χρημάτων ἀκολουθοῦν πολιτελῆ γεύματα καὶ μεγάλα ξεφαντώματα καὶ εἶναι μεγάλη ἡ λαμπρότητα τῆς ἡμέρας. Τὸ ἴδιο πάλι γίνεται τὸ ἀπόγευμα καὶ αὐτὸ συνεχίζεται γιὰ δυὸ καὶ τρεῖς ἡμέρες. Ὅταν λοιπὸν καταδαπανήσει ὅλα καθὼς καὶ μύρια τάλαντα χρυσοῦ, τότε πλέον γίνεται φανερὴ ἡ στάχτη τῶν φωνῶν ἐκείνων καθὼς καὶ ἡ τέφρα καὶ ἡ σκόνη.

6. Γιατὶ ὅταν, κάμνοντας στὸ σπίτι τοὺς λογαριασμούς, κατανοήσει τὸ ὑπερβολικὸ μέγεθος τῆς δαπάνης, τότε ὀδύρεται. Ὅσο

βίῳ· δίδου μοι τὴν σήμερον καὶ λάμβανε τὴν αὔριον. Ὢ ὑπερβολὴ ἀνοίας!».

τῆς ἐπιθυμίας, καθάπερ ὑπό τινος μέθης τῆς κενοδοξίας ληφθεὶς καὶ ἑαυτὸν ἂν προσαναλώσειεν, οὐδὲ μικρὰν αἴσθησιν τῆς ζημίας λαβεῖν δύναται. Ἐπειδὰν δὲ οἴκοι γενόμενος, ἔνδον εἰς τὴν οἰκίαν τοῦ δαίμονος τούτου, τὴν μὲν ὥραν ἀπελθοῦσαν ἴδη τῆς συνελεύσεως λυθείσης καὶ εἰς τὸ θέατρον ἰδὼν εὕρη κενὸν ἀνδρῶν ὃν καὶ οὐδένα οὐδὲν φθεγγόμενον, τὴν δὲ ζημίαν οὐκ ἐπὶ φαντασίας, ἀλλ' ἐπὶ χρημάτων ἤδη γεγενημένην, τηνικαῦτα αἰσθάνεται τῆς τέφρας.

7. Ἂν δὲ καὶ πέρα τῆς οὐσίας ἀναλώσας δέηται καὶ ἀπὸ ποδῶν ἐξαρθεὶς ἐν μέσῃ ἐπαιτῆται τῇ ἀγορᾷ, εἶτα τῶν τότε προστάτην βοώντων μηδεὶς παραγίνηται μηδὲ χεῖρα ὀρέγῃ, ἀλλὰ καὶ εὐφραίνωνται τοῖς γινομένοις (καὶ γὰρ καὶ τότε, ὅτε εὐφήμουν, καὶ τῷ φθόνῳ ἐδάκνοντο καὶ παραμυθίαν ἡγοῦντο τῶν οἰκείων κακῶν τὸ ἐκεῖνον, τὸν οὕτω γενόμενον λαμπρόν, πάντων ἀτιμότερον μέλλειν ἔσεσθαι), ὅταν οὖν μηδεὶς παραγίνηται μηδὲ χεῖρα ὀρέγῃ, τί τούτου ἐλεεινότερον; Οὐχὶ μᾶλλον δακρύων ἄξιον; τί δὲ τούτου χαλεπώτερον;

8. Τάχα ἴστε τινὰ τοῦτο παθόντα μηδαμῶς. Καὶ εἴθε μὲν οὖν χεῖρα μὴ ὤρεγον, ἀλλὰ καὶ τοὐναντίον, κατηγορίας βάλλεται παρ' αὐτῶν τῶν ἐπαινεσάντων. 'Διὰ τί' γάρ, φησί, 'μαινόμενος; διὰ τί δόξης ἐραστής; τίνος γὰρ ἕνεκεν πόρναις καὶ μίμοις ἐχαρίζετο;' Ἄνθρωπε ἀγνῶμον, οὐχὶ σὺ ἐθαύμαζες; οὐχὶ σὺ ἐπῄνεις; οὐχὶ σὺ αὐτὸν εἰς τοῦτο προηγάγου τοῖς κρότοις καὶ ταῖς εὐφημίαις; οὐχὶ Νεῖλον ἐκάλεις; οὐχὶ Ὠκεανόν; οὐχὶ πᾶσαν τὴν ἡμέραν εἰς τὰς εὐφημίας ἀνήλωσας τὰς ἐκείνου; Πόθεν οὖν ἐξαίφνης μεταβέβλησαι; καὶ ὅτε ἐλεεῖν δεῖ, τότε μάλιστα κατηγορεῖς, ἐφ' οἷς καὶ ἐκρότεις πάλαι; Εἰ γὰρ ἐν οἷς κατηγοροῦμεν, ὅταν κολαζόμενον ἴδωμεν οὔκ ἐσμεν οὕτω λίθινοι, ὡς μὴ κατακαμφθῆναι, ὅταν ἐφ' οἷς καὶ ἐπῃνέσαμεν ἴδωμεν κακόν τι πάσχοντα, οὐχὶ πολλῷ μᾶλλον κάμπτεσθαι ἐχρῆν; Νῦν δὲ κατηγο-

δηλαδὴ διαρκεῖ ἡ ἀπόλαυση τῆς ἐπιθυμίας, κυριευμένος ἀπὸ τὴν κενοδοξία σὰν ἀκριβῶς ἀπὸ κάποια μέθη, θὰ μποροῦσε νὰ δαπανήσει καὶ τὸν ἑυατό του, μὴ μπορώντας οὔτε κατὰ τὸ ἐλάχιστο νὰ αἰσθανθεῖ τὴ ζημία. Ὅταν ὅμως ἐπιστρέψει στὸ σπίτι, μέσα στὴν οἰκία τοῦ δαίμονα αὐτοῦ, καὶ δεῖ ὅτι ἡ ὡραιότητα τῆς συγκεντρώσεως διαλύθηκε καὶ βλέποντας στὸ θέατρο τὸ βρεῖ νὰ εἶναι ἄδειο ἀπὸ ἀνθρώπους καὶ καμιὰ φωνὴ νὰ μὴ ἀκούεται ἀπὸ κανέναν, ἐνῶ ἡ ζημιὰ νὰ μὴ εἶναι φανταστική, ἀλλ' ὅτι ἔγινε πραγματικὰ στὰ χρήματά του, τότε καταλαβαίνει τὴ στάχτη.

7. Ἂν πάλι ξοδέψει περισσότερα ἀπὸ τὴν περιουσία του ἀναγκάζεται τότε νὰ σηκώνεται καὶ νὰ πηγαίνει μὲ τὰ πόδια στὴν ἀγορὰ καὶ νὰ ζητιανεύει, καὶ κανένας ἀπὸ ἐκείνους ποὺ τότε τὸν ἀποκαλοῦσαν προστάτη δὲν τὸν πλησιάζει οὔτε τοῦ ἁπλώνει χέρι βοήθειας, ἀλλὰ καὶ νοιώθουν εὐχαρίστηση μ' αὐτὸ ποὺ γίνεται (γιατὶ καὶ τότε, ὅταν τὸν ἐπευφημοῦσαν, καὶ ὁ φθόνος τοὺς κατέτρωγε καὶ θεωροῦσαν παρηγοριὰ τῶν δικῶν τους κακῶν, τὸ ὅτι ἐκεῖνος, ποὺ ἔγινε τόσο λαμπρός, ἐπρόκειτο νὰ γίνει ὁ πιὸ ἀσήμαντος ἀπὸ ὅλους)· ὅταν λοιπὸν κανένας δὲν τὸν πλησιάζει οὔτε ἁπλώνει χέρι βοήθειας, τί ὑπάρχει πιὸ ἐλεεινὸ ἀπ' αὐτό; Δὲν εἶναι μᾶλλον ἄξιος γιὰ κλάματα; Καὶ τί ὑπάρχει χειρότερο ἀπ' αὐτό;

8. Ἴσως νὰ γνωρίζετε κάποιον ποὺ ἔπαθε κάτι τέτοιο. Καὶ μακάρι βέβαια νὰ μὴ ἅπλωναν χέρι βοήθειας, ἀλλὰ καὶ τὸ ἀντίθετο γίνεται, δέχεται κατηγορίες ἀπὸ ἐκείνους ποὺ τὸν ἐπαίνεσαν. Γιατὶ λένε, 'γιατί ἦταν τρελλός; γιατί ἀγαποῦσε τὴ δόξα; γιατί τὰ ξόδευε στὶς πόρνες καὶ στοὺς μίμους;' Ἄνθρωπε ἀχάριστε! Σὺ δὲν τὸν θαύμαζες; σὺ δὲν τὸν ἐπαινοῦσες; σὺ δὲν τὸν ὁδηγοῦσες σ' αὐτὸ μὲ τὰ χειροκροτήματα καὶ τὶς ἐπευφημίες σου; Δὲν τὸν ἀποκαλοῦσες Νεῖλο; δὲν τὸν ὀνόμαζες Ὠκεανό; δὲν κατανάλωσες ὅλη τὴν ἡμέρα στὶς ἐπευφημίες ἐκείνου; Γιὰ ποιό λόγο λοιπὸν ἄλλαξες τώρα ξαφνικά; Καὶ ὅταν πρέπει νὰ τοῦ δείξεις εὐσλαχνία, τότε πρὸ πάντων τὸν κατηγορεῖς γιὰ πράγματα ποὺ προηγουμένως τὸν χειροκροτοῦσες; Γιατί, ἂν κάποιον ποὺ τὸν κατηγοροῦμε γιὰ κάτι, ὅταν τὸν δοῦμε νὰ τιμωρεῖται δὲν εἴμαστε τόσο ἀναίσθητοι ὥστε νὰ μὴ συγκινηθοῦμε, ὅταν δοῦμε κάποιον νὰ πάσχει κάποιο κακὸ γιὰ πράγματα ποὺ καὶ τὰ ἐπαινέσαμε, δὲν θὰ ἔπρεπε πολὺ περισ-

ρεῖς· ὅτε σε ἔτερπεν τῇ θέᾳ, ὅτε διημέρευες πάντα ἀφεὶς τὰ σαυτοῦ, τί μὴ κατηγόρεις;'

9. Ὁρᾷς οἷα τὰ τοῦ διαβόλου; οἷοι τῆς κενοδοξίας οἱ καρποί; Ἐγὼ μὲν εἶπον τέφραν καὶ κόνιν· ὁρῶ δὲ οὐ τέφραν καὶ κόνιν μόνον, ἀλλὰ καὶ πῦρ καὶ κάμινον· οὐ γὰρ μέχρι τοῦ μηδὲν ἀπόνασθαι τὸ πρᾶγμα ἵσταται, ἀλλὰ καὶ μέχρι τοῦ κακοῖς περιβαλεῖν. Ἐπ' ἐκείνων δὲ ἂν εἴη τέφρα καὶ κόνις, ἐπὶ τῶν ἀναλισκόντων μὲν πολλά, καρπουμένων δὲ οὐδέν· οὐ μὴν καὶ ἐπὶ τῶν ταῦτα πασχόντων, ἅπερ ἄρτι διῆλθον.

10. 'Τί οὖν'; φησίν· 'ὅταν διὰ τὰς λειτουργίας ἐκείνας τιμῶνται καὶ θαυμάζωνται παρὰ πολλῶν, ἆρα μικρὸς οὗτος ὁ καρπός;' Σφόδρα γε· οὐ γὰρ μεγάλη ἡ τιμὴ αὕτη, ἣν νῦν διῆλθον τὸ καὶ σκώμμασι βάλλεσθαι καὶ κατηγορεῖσθαι καὶ διαβάλλεσθαι. 'Τί δὲ πρὸς τοὺς τιμωμένους;' Οὐ γὰρ διὰ τὰς λειτουργίας ἐκεῖνοι τιμῶνται, ἀλλὰ διὰ τὸ προσδοκᾶν δαπανᾶσθαι πάλιν τῷ πλήθει. Εἰ δὲ διὰ τὰ φθάσαντα, διὰ τί τῶν οὐκ ἐχόντων κατηγοροῦσιν; διὰ τί δὲ μηδὲ προσίασιν, ἀλλὰ καὶ σκώπτουσιν ἀσώτους καὶ μιαροὺς ἀποκαλοῦντες; Εἶδες, ὅτι μανία τίς ἐστιν ἡ κενοδοξία;

11. Ἀλλὰ τοῦτο μὲν ἀφείσθω τὸ εἶδος, ἑνός που καὶ δευτέρου ὄν, ἐφ' ἑτέρου δὲ ἔλθωμεν. Εἰ δὲ λέγοι τις· 'τί οὖν πρὸς τοὺς σύμμετρα δαπανωμένους ἐν ταῖς τῶν πόλεων τέρψεσιν;' Εἰπέ μοι, παρακαλῶ, τί τὸ κέρδος; Καὶ γὰρ καὶ παρ' ἐκείνοις ἐφήμερος ἡ δόξα καὶ ἡ βοή. Καὶ ὅτι τοῦτο οὕτως ἂν ἔχοι, εἴ τις αὐτοῖς αἵρεσιν ἔδωκεν ἀναλαβεῖν ἐκεῖνα τὰ χρήματα, ἢ καὶ τὸ τρίτον ἢ καὶ τὸ πολλοστόν, καὶ μηδεμίαν ἀκηκοέναι τοιαύτην φωνήν, νομίζεις οὐχὶ μυριάκις ἂν εἵλοντο; Οἱ γὰρ ὑπὲρ ὀβολοῦ ἑνὸς μυρία ἀναισχυντοῦντες καὶ ἰταμευόμενοι, τί οὐκ ἂν ἐποίησαν ὑπὲρ τοσούτων χρημάτων εἰκῇ κενουμένων;

---

10. *Ὁμιλία εἰς τὴν Ἄνναν 5.* (PG 54 659 ἑ.)· «Ποῖον γὰρ ἂν γένοιτο κέρδος ἐκ τῆς τῶν δήμων εὐφημίας; εἰπέ μοι. Τῆς ἑσπέρας γὰρ καταλαβούσης εὐθέως ὁ κρότος ἐκεῖνος καὶ ὁ θόρυβος ἅπας μαραίνεται, καὶ παρελθούσης τῆς πανηγύρεως ὥσπερ τρυφήσαντες, οὕτως ἔρημοι πάσης καθίστανται εὐφροσύνης, καὶ οὔτε τὴν ἀπὸ τοῦ στεφάνου οὔτε τὴν ἀπὸ τῆς στολῆς τῆς λαμπρᾶς καὶ τῆς ἄλλης φαντασίας ἁπάσης εὐθυμίαν ἐγγινομένην αὐτοῖς ζητοῦντες εὑρεῖν δύναντ' ἄν, ἀνέμου παντὸς ταχύτερον παραδραμόντων αὐτοὺς ἁπάντων».

11. *Ὁμιλία 10 εἰς τὴν Α' πρὸς Τιμ. 3* (ΕΠΕ 23,286)· «Νῦν γὰρ ὑπὲρ ὀβολοῦ ἑνὸς ἀναιρεῖσθαι καὶ ἀναιρεῖν ἕκαστος· ὑπὲρ κυάθου γῆς μυρία δικαστήρια συνιστᾷς...».

σότερο τότε νὰ συγκινηθοῦμε; Τώρα τὸν κατηγορεῖς· ὅταν ὅμως σὲ εὐχαριστοῦσε μὲ τὸ θέαμα, ὅταν περνοῦσες τὴν ἡμέρα σου παραμερίζοντας ὅλα τὰ δικά σου, γιατί δὲν τὸν κατηγοροῦσες.

9. Βλέπεις ποιά εἶναι τὰ ἀποτελέσματα τοῦ διαβόλου; ποιοί εἶναι οἱ καρποὶ τῆς κενοδοξίας; καὶ ἐγὼ τοὺς ὀνόμασα στάχτη καὶ σκόνη, βλέπω ὅμως ὅτι εἶναι ὄχι μόνο στάχτη καὶ σκόνη ἀλλὰ καὶ φωτιὰ καὶ καμίνι· γιατὶ τὸ πράγμα δὲν σταματάει στὸ νὰ μὴ μᾶς ὠφελήσει μόνο, ἀλλὰ προχωρεῖ καὶ στὸ νὰ μᾶς περιβάλει μὲ κακά. Γιὰ ἐκείνους ποὺ ξοδεύουν πολλὰ χωρὶς νὰ καρποῦνται τίποτε θὰ μποροῦσε νὰ εἶναι στάχτη καὶ σκόνη, ὄχι ὅμως καὶ γιὰ ἐκείνους ποὺ παθαίνουν αὐτὰ ποὺ μόλις προηγουμένως περιγράψαμε.

10. 'Τί λοιπόν;' λέγει· 'ὅταν τιμῶνται ἀπὸ πολλοὺς καὶ θαυμάζονται γιὰ τὶς δαπάνες τους ἐκεῖνες ὑπὲρ τοῦ λαοῦ, ἄραγε αὐτὸ εἶναι μικρὸς καρπός;' Καὶ βέβαια εἶναι πάρα πολὺ μικρός· γιατὶ δὲν εἶναι αὐτὴ μεγάλη τιμή, ποὺ τώρα μόλις περιέγραψα, τὸ νὰ δέχεται δηλαδὴ κανεὶς κοροϊδίες, νὰ κατηγορεῖται καὶ νὰ διαβάλλεται. 'Καὶ τί σχέση ἔχει αὐτὸ μὲ ἐκείνους ποὺ τιμῶνται;' Ἀσφαλῶς δὲν τιμῶνται ἐκεῖνοι γιὰ τὶς δαπάνες τους ὑπὲρ τοῦ λαοῦ, ἀλλ' ἐπειδὴ ἐλπίζουν νὰ ξοδέψουν καὶ πάλι ἐκεῖνοι ὑπὲρ τοῦ λαοῦ. Ἂν τιμῶνται γιὰ ἐκεῖνα ποὺ δαπάνησαν, γιατί κατηγοροῦν ἐκείνους ποὺ δὲν ἔχουν ἄλλα; γιατί οὔτε κἂν τοὺς πλησιάζουν, ἀλλὰ καὶ τοὺς κοροϊδεύουν, ἀποκαλώντας τους ἄσωτους καὶ μιαρούς; Εἶδες ὅτι ἡ κενοδοξία εἶναι μιὰ κάποια μανία;

11. Ἀλλ' ἂς ἀφήσομε κατὰ μέρος αὐτὸ τὸ εἶδος τῆς μανίας, ποὺ τὴν ἔχουν ἕνας καὶ δύο μόνο, καὶ ἂς ἔρθομε σὲ ἕνα ἄλλο εἶδος. Ἂν ὅμως ἔλεγε κάποιος· 'τί λοιπὸν θὰ μποροῦσες νὰ πεῖς γιὰ ἐκείνους ποὺ δαπανοῦν μὲ μέτρο πρὸς εὐχαρίστηση τῶν πολιτῶν;' Πές μου, σὲ παρακαλῶ, ποιό τὸ κέρδος; γιατὶ καὶ γιὰ ἐκείνους εἶναι ἐφήμερη ἡ δόξα καὶ οἱ ἐπευφημίες[10]. Καὶ ὅτι αὐτὸ ἔτσι ἔχει, ἄκου· ἂν κάποιος τοὺς ἔδινε τὸ δικαίωμα νὰ πάρουν τὰ χρήματα ἐκεῖνα, ἢ τὸ ἕνα τρίτο ἀπ' αὐτὰ ἢ καὶ τὸ ἐλάχιστο μέρος, καὶ νὰ μὴ ἀκούσουν καμιὰ τέτοια φωνή, νομίζεις ὅτι δὲ θὰ τὸ προτιμοῦσαν χίλιες φορές; Γιατὶ ἐκεῖνοι ποὺ γιὰ ἕναν ὀβολὸ συμπεριφέρονται μὲ τόση ἀδιαντροπιὰ καὶ ἀναίδεια, τί δὲ θὰ ἔκαμναν γιὰ τόσα χρήματα ποὺ ἄσκοπα δαπανοῦνται;[11]

12. Ἐνταῦθά μοι πρὸς τοὺς παρ' ἡμῖν πιστοὺς ὁ λόγος ἐπείγεται, οἳ τῷ Χριστῷ πενομένῳ καὶ τῆς ἀναγκαίας ἀποροῦντι τροφῆς οὐδὲ τὸ τυχὸν ὀρέγειν ἐθέλουσιν· καὶ ὅσα ἐκεῖνοι πόρναις καὶ μίμοις καὶ τοῖς ὀρχουμένοις παρέχουσιν ὑπὲρ μιᾶς φωνῆς, ταῦτα οὗτοι ὑπὲρ βασιλείας διηνεκοῦς οὐ διδόασιν.

13. Ἀλλ' ἐφ' ἕτερον ἔλθωμεν εἶδος κενοδοξίας. Ποῖον δὴ τοῦτο; ὃ τῶν πολλῶν ἐστι καὶ οὐκέτι ἑνὸς καὶ δευτέρου· χαίρομεν ὅταν ἐπαινώμεθα καὶ ἐπὶ πράγμασιν, ἐν οἷς οὐδὲν σύνισμεν ἑαυτοῖς οὐδὲ μικρόν. Καὶ ὁ πένης πάντα ποιεῖ, ὥστε ἱμάτια περιθέσθαι καλά, δι' οὐδὲν ἕτερον, ἀλλ' ὥστε δοξασθῆναι παρὰ τῶν πολλῶν· καὶ πολλάκις ἑαυτῷ διακονήσασθαι δυνάμενος οἰκέτην ὠνήσατο οὐ χρείας ἕνεκεν, ἀλλ' ὥστε μὴ δόξαι ἠτιμῶσθαι ἑαυτῷ διακονούμενος. Ἐπεὶ τίνος ἕνεκεν, εἰπέ μοι, τὸν πάντα χρόνον ταῖς ἑαυτοῦ χερσὶν ὑπηρετούμενος ταῖς ἄλλου βούλει νῦν ὑπηρετεῖσθαι; Εἶτα, ἂν ἕτερον χρυσίον προσγένηται, καὶ σκεύη ἀργυρᾶ κτᾶται καὶ οἰκίαν λαμπράν. Τούτων οὐδὲν χρείας ἕνεκεν· εἰ γὰρ χρείας ἕνεκεν ταῦτα ἐγίνετο, τὸ πλέον ἂν τοῦ γένους τῶν ἀνθρώπων ἀπωλώλει καὶ διέφθαρτο· οἷόν τι λέγω· ἔστιν ἀναγκαῖα καὶ ὧν ἄνευ ζῆν οὐκ ἔνι, οἷον ἡ τῆς γῆς φορὰ πρᾶγμα ἀναγκαῖόν ἐστιν, καὶ ταύτης μὴ φερούσης καρπὸν οὐκ ἔνι ζῆν· τὰ τῶν ἱματίων σκεπάσματα, ὄροφος καὶ τοῖχοι καὶ ὑποδήματα, ταῦτα τῶν ἀναγκαίων ἐστίν, τὰ μέντοι ἄλλα ἅπαντα περιττά. Ἐπεὶ εἰ κἀκεῖνα ἀναγκαῖα ἦν καὶ οὐκ ἦν ἀνθρώπῳ ἄνευ διακόνου ζῆν, ὥσπερ οὐκ ἔστι δυνατὸν ἄνευ ἐκείνων ζῆν, τὸ πλέον ἂν ἀπωλώλει τῶν ἀνθρώπων, ἐπειδὴ τὸ πλέον τοὺς διακονουμένους οὐκ ἔχουσιν. Εἰ ἀναγκαῖον ἦν ἀργυροῖς σκεύεσι κεχρῆσθαι καὶ ἄνευ τούτων ζῆν οὐκ ἦν, τὸ πλέον ἂν πάλιν διέφθαρτο τῶν ἀνθρώπων, ἐπειδὴ οὐδὲ ἄργυρος παρὰ τοῖς πολλοῖς ἐστιν. Ἐὰν οὖν τις αὐτοῖς τοῖς

12. Πρβλ. *Ματθ.* 25,40 ἑἑ. Βλ. *Ὁμιλία 49. εἰς τὸ κατὰ Ματθ. 5* (ΕΠΕ 11,34)· «Ὅθεν ἔγωγε προσδοκῶ, χρόνου προϊόντος τοὺς νέους τοὺς παρ' ἡμῖν καὶ γυναικῶν ὑποδήματα σχήσειν καὶ οὐκ αἰσχυνεῖσθαι... Καὶ τὸ ἔτι χαλεπώτερον, ὅτι καὶ πενήτων ὄντων πολλῶν ταῦτα γίνονται. Βούλεσθε εἰς μέσον ἀγάγω τὸν Χριστὸν λιμώττοντα, τὸν γυμνόν, τὸν ἀλώμενον πανταχοῦ, τὸν δεδεμένον; Καὶ πόσων ἂν εἴητε σκηπτῶν ἄξιοι, ἐκεῖνον μὲν τροφῆς ἀναγκαίας ἀποροῦντα περιορῶντες, τὰ δέρματα δὲ μετὰ τοσαύτης καλλωπίζοντες σπουδῆς;» καὶ *Ὁμιλ. 14 εἰς τὴν Α' Τιμ. 2* (ΕΠΕ 23,360)· «Κἂν πένησι διδῷς, μὴ ἀπαξιώσῃς διὰ σεαυτοῦ δοῦναι· οὐ γὰρ τῷ πένητι δίδως, ἀλλὰ τῷ Χριστῷ. Τίς δὲ οὕτως ἄθλιος, ὡς ἀπαξιοῦν αὐτὸν τὴν χεῖρα ὀρέγειν τῷ Χριστῷ;».

12. Τώρα ὁ λόγος μου βιάζεται νὰ μεταφερθεῖ στοὺς δικούς μας πιστούς, οἱ ὁποῖοι, ἐνῶ βλέπουν τὸ Χριστὸ πεινασμένο καὶ νὰ μὴ ἔχει οὔτε καὶ τὴν ἀναγκαία τροφή, δὲν θέλουν νὰ τοῦ δώσουν οὔτε καὶ τὴν ἐλάχιστη βοήθεια[12]· καὶ ὅσα ἐκεῖνοι ξοδεύουν στὶς πόρνες καὶ στοὺς μίμους καὶ στοὺς χορευτὲς γιὰ μιὰ μόνο ἐπευφημία, αὐτὰ αὐτοὶ δὲν τὰ δίνουν γιὰ τὴν αἰώνια βασιλεία.

13. Ἀλλ' ἂς ἔρθουμε σὲ ἕνα ἄλλο εἶδος κενοδοξίας. Ποιό λοιπὸν εἶναι αὐτό; Ἐκεῖνο ποὺ τὸ ἔχουν οἱ πολλοὶ καὶ ὄχι μόνο ἕνας καὶ δύο. Χαιρόμαστε ὅταν ἐπαινούμαστε γιὰ πράγματα, τὰ ὁποῖα γνωρίζομε πολὺ καλὰ ὅτι δὲν μᾶς ὠφελοῦν οὔτε κατὰ τὸ ἐλάχιστο. Καὶ ὁ φτωχὸς κάμνει τὰ πάντα, ὥστε νὰ φορέσει καλὰ ροῦχα, γιὰ κανένα ἄλλο λόγο, παρὰ μόνο γιὰ νὰ ἐπαινεθεῖ ἀπὸ τοὺς πολλούς· καὶ πολλὲς φορὲς ἐνῶ μπορεῖ νὰ ἐξυπηρετηθεῖ μόνος του, ἀγόρασε δοῦλο ὄχι ἐπειδὴ τὸν χρειαζόταν, ἀλλὰ γιὰ νὰ μὴ φανεῖ ὅτι μειώνεται ἡ ὑπόληψή του ὑπηρετούμενος μόνος του. Γιατὶ πές μου, γιὰ ποιό λόγο, ἐνῶ ὅλο τὸ χρόνο ἐξηπηρετεῖσαι μὲ τὰ χέρια σου, θέλεις τώρα νὰ ὑπηρετεῖσαι ἀπὸ ἄλλον; Ἔπειτα, ἂν τοῦ περισσέψουν ἄλλα χρήματα, ἀγοράζει καὶ σκεύη ἀργυρᾶ καὶ κατασκευάζει σπίτι λαμπρό. Καὶ κανένα ἀπ' αὐτὰ δὲν τὸ κάνει ἀπὸ ἀνάγκη· γιατί, ἂν αὐτὰ γίνονταν ἀπὸ ἀνάγκη, τὸ μεγαλύτερο μέρος τοῦ ἀνθρώπινου γένους θὰ χανόταν καὶ θὰ καταστρεφόταν· ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· ὑπάρχουν πράγματα ἀναγκαῖα χωρὶς τὰ ὁποῖα δὲν εἶναι δυνατὸ νὰ ζήσει κανείς· ὅπως γιὰ παράδειγμα ἡ καρποφορία τῆς γῆς εἶναι πράγμα ἀναγκαῖο καὶ ἂν αὐτὴ δὲν παράγει καρπὸ δὲν εἶναι δυνατὸ νὰ ζήσει ὁ ἄνθρωπος· ἐπίσης τὰ ἐνδύματα ποὺ προστατεύουν τὸν ἄνθρωπο, ἡ στέγη καὶ οἱ τοῖχοι τοῦ σπιτιοῦ καθὼς καὶ τὰ ὑποδήματα καὶ αὐτὰ εἶναι ἀπὸ τὰ ἀναγκαῖα, ἐνῶ ὅλα τὰ ἄλλα εἶναι περιττά. Γιατί, ἂν καὶ ἐκεῖνα ἦταν ἀναγκαῖα καὶ δὲν ἦταν δυνατὸ ὁ ἄνθρωπος νὰ ζεῖ χωρὶς ὑπηρέτη, ὅπως ἀκριβῶς δὲν εἶναι δυνατὸ νὰ ζήσει χωρὶς ἐκεῖνα τὰ ἄλλα, τὸ μεγαλύτερο μέρος τῶν ἀνθρώπων θὰ χανόταν, ἐπειδὴ τὸ μεγαλύτερο μέρος ἀπ' αὐτοὺς δὲν ἔχουν ὑπηρέτες. Ἂν ἦταν ἀναγκαῖο νὰ χρησιμοποιεῖ ὁ ἄνθρωπος ἀργυρὰ σκεύη καὶ δὲν ἦταν δυνατὸ νὰ ζεῖ χωρὶς αὐτά, τὸ μεγαλύτερο μέρος τῶν ἀνθρώπων θὰ καταστρεφόταν καὶ πάλι, ἐπειδὴ δὲν ἔχουν οἱ πολλοὶ ἀργυρὰ σκεύη. Ἂν λοιπὸν κάποιος πεῖ

κεκτημένοις τὸν ἄργυρον εἴπῃ· 'τί δὴ ποτέ σοι τοῦτο βούλεται τὸ σκεῦος; εἰπὲ τὴν αἰτίαν, καὶ ποίαν τὴν χρῆσιν παρέχεται;' οὐδεμίαν ἂν ἄλλην ἔχοι εἰπεῖν, ἀλλ' ἢ τὴν παρὰ τῶν πολλῶν τιμήν. 'Καὶ κέκτημαι, ὥστε θαυμάζεσθαι καὶ μὴ καταφρονεῖσθαι, κρύπτω δὲ πάλιν, ὥστε μὴ φθονεῖσθαι καὶ ἐπηρεάζεσθαι'. Τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἄν; Εἰ διὰ τὴν παρὰ τῶν πολλῶν τιμὴν ἔχεις, πᾶσιν ἐπιδείκνυσο, εἰ δὲ τὸν φθόνον δέδοικας, οὐδὲ ὅλως κεκτῆσθαι καλόν.

14. Εἴπω καὶ ἑτέραν ἀλογίαν; Πολλάκις τῶν ἀναγκαίων τινὲς ἑαυτοὺς ἀποστερήσαντες καὶ λιμῷ φθειρόμενοι τούτων οὐκ ἀμελοῦσι τῶν σκευῶν. Κἂν ἐρωτήσῃς αὐτούς, 'τὸ σχῆμα μου', φησίν, 'ἔχειν ὀφείλω'. Ποῖον σχῆμα, ἄνθρωπε; Οὔκ ἐστι τοῦτο σχῆμα ἀνθρώπου. Ἐπεὶ ἄρα ἀσχημοσύνην ἠσχημόνει μεγάλην ὁ δίκαιος Ἠλίας καὶ Ἐλισσαῖος καὶ Ἰωάννης· ἐπειδὴ τῷ μὲν τῆς μηλωτῆς πλέον οὐδὲν ἦν καὶ χήρας ἔχρῃζε γυναικός, καὶ αὐτῆς πενιχρᾶς, καὶ ἐπαιτητικὸν ἔζη βίον πρὸς τὰ πρόθυρα τῆς γυναικὸς τῆς πενιχρᾶς ἐκείνης ἐρχόμενος καὶ τὰ τῶν ἐπαιτῶν φθεγγόμενος ῥήματα. Ἠσχημόνει δὲ ἄρα καὶ Ἐλισσαῖος αὐτὸς ἀπὸ τῆς πενιχρᾶς ἑστιώμενος. Ἠσχημόνει δὲ καὶ Ἰωάννης οὐδὲ ἱμάτιον ἔχων, οὐδὲ ἄρτον ἕνα. Μία μόνον ἐστὶν ἀσχημοσύνη, τὸ πολλὰ κεκτῆσθαι, καὶ μεγάλη ὄντως ἀσχημοσύνη. Ὠμότητος γὰρ δόξαν λαμβάνει τις, μαλακίας, βλακείας καὶ τύφου, κενοδοξίας, θηριωδίας. Οὔκ ἐστι σχῆμα τὸ καλὰ φορεῖν ἱμάτια, ἀλλὰ σχῆμά ἐστι τὸ καλὰς περικεῖσθαι πράξεις.

15. Καὶ ἀκούω πολλῶν ἐπὶ τούτῳ θαυμαζομένων. 'Ὁ δεῖνα', φησίν, 'ἔχει τὸ σχῆμα αὐτοῦ· ἡ κλίνη ἐξεστρωμένη ἐστὶν καὶ σκεύη χαλκᾶ ἔχει πολλά· οἰκοδεσπότης ἄνθρωπός ἐστιν'. 'Καὶ τί ἡμῖν ἐγ-

---

13. *Ὁμιλία 3 εἰς τὸ κατα Ἰω. 5* (ΕΠΕ 12,496)· «Εἰ γὰρ ἐθελήσῃς ἐρωτῆσαί τινα τῶν πολιτευομένων καὶ τὰ πολυτελῆ δαπανώντων δαπανήματα, τίνος ἕνεκεν τοσοῦτον κενοῦσι χρυσίον καὶ τί βούλεται αὐτοῖς ἡ τοσαύτη δαπάνη, οὐδὲν ἕτερον ἀκούσῃ παρ' αὐτῶν, ἀλλ' ἢ τοῦ δήμου τὴν ἀρέσκειαν...».

14. *Δ' Βασ.* 1,8.

15. Βλ. *Γ' Βασ.* 17,8 ἑ.

16. Βλ. *Δ' Βασ.* 4,7 ἑ.

17. *Ματθ.* 3,4. *Μαρκ.* 1,6.

18. *Ὁμιλία 68 εἰς τὸ κατὰ Ματθ. 3* (ΕΠΕ 11,662)· «Καὶ ἡ στολὴ δὲ αὐτοῖς τῆς ἀνδρείας ἀξία. Οὐ γὰρ δὴ κατὰ τοὺς ἑλκεχίτωνας καὶ ἐκνενευρισμένους καὶ διακλω-

σ' αὐτοὺς ποὺ ἔχουν τὰ ἀργυρὰ σκεύη· 'γιὰ πιό λοιπὸν λόγο τὸ θέλεις αὐτὸ τὸ σκεῦος; πές μου τὴν αἰτία καὶ σὲ τί σὲ χρησιμεύει;' καμμιὰ ἄλλη δὲν θὰ μποροῦσε νὰ σοῦ πεῖ, παρὰ μόνο γιὰ νὰ τιμᾶται ἀπὸ τοὺς πολλούς[13]. 'Καὶ τὰ ἀποκτῶ μὲ σκοπὸ νὰ θαυμάζομαι καὶ νὰ μὴ περιφρονοῦμαι, καὶ τὰ κρύβω πάλι γιὰ νὰ μὴ φθονοῦμαι καὶ βλάπτομαι'. Τί θὰ μποροῦσε νὰ ὑπάρξει χειρότερο ἀπὸ αὐτὴν τὴν ἀνοησία; Ἂν τὰ ἔχεις γιὰ νὰ τιμᾶσαι ἀπὸ τοὺς πολλούς, δεῖχνε τα σ' ὅλους, ἂν ὅμως φοβᾶσαι τὸ φθόνο, εἶναι καλύτερα οὔτε κἂν νὰ τὰ ἀποκτήσεις.

14. Ν' ἀναφέρω καὶ ἄλλη ἀνοησία; Πολλὲς φορὲς μερικοί, στερούμενοι τὰ ἀναγκαῖα καὶ ἐνῶ πεθαίνουν ἀπὸ τὴν πείνα, δὲν σταματοῦν τὸ ἐνδιαφέρον τους γιὰ τὰ σκεύη. Καὶ ἂν τοὺς ἐρωτήσεις γιατί; 'Πρέπει', λέγει, 'νὰ κρατήσω τὴν ἀξιοπρέπεια μου'. Ποία ἀξιοπρέπεια, ἄνθρωπε; Δὲν εἶναι αὐτὸ ἀξιοπρέπεια τοῦ ἀνθρώπου. Γιατί ἀλλιῶς θὰ διέπραττε μεγάλη ἀσχημοσύνη ὁ δίκαιος Ἠλίας καὶ ὁ Ἐλισσαῖος καὶ ὁ Ἰωάννης· γιατὶ ὁ Ἠλίας τίποτε περισσότερο δὲν εἶχε ἀπὸ τὴ προβιὰ[14] καὶ εἶχε τὴν ἀνάγκη τῆς βοήθειας τῆς χήρας, ποὺ κι αὐτὴ ἦταν φτωχή, καὶ ζοῦσε ζητιανεύοντας, ἐρχόμενος στὰ πρόθυρα τῆς πάμφτωχης ἐκείνης γυναίκας καὶ λέγοντας τὰ λόγια τῶν ζητιάνων[15]. Θὰ διέπραττε ἀσχημοσύνη καὶ ὁ ἴδιος ὁ Ἐλισσαῖος, ποὺ τρεφόταν στὸ σπίτι τῆς φτωχῆς γυναίκας[16]. Θὰ διέπραττε καὶ ὁ Ἰωάννης ἀσχημοσύνη[17], ποὺ δὲν εἶχε οὔτε ροῦχα, οὔτε ψωμὶ νὰ φάγει[18]. Μιὰ μόνο εἶναι ἡ ἀσχημοσύνη, τὸ νὰ ἀποκτήσει κανεὶς πολλά, καὶ αὐτὴ εἶναι πραγματικὰ ἡ μεγάλη ἀσχημοσύνη. Γιατὶ τότε ἀποκτᾶ κανεὶς τὴ φήμη τοῦ σκληροῦ, τοῦ μαλθακοῦ, τοῦ βλάκα, τοῦ ὑπερήφανου, τοῦ κενόδοξου, τοῦ θηριώδους. Δὲν εἶναι εὐσχημοσύνη τὸ νὰ φοράει κανεὶς ὡραῖα ροῦχα, ἀλλ' εὐσχημοσύνη εἶναι τὸ νὰ στολίζεται μὲ καλὲς πράξεις.

15. Καὶ ἀκούω πολλοὺς ποὺ θαυμάζονται γι' αὐτό. 'Ὁ τάδε', λέγει, 'ἔχει τὴν ἀξιοπρέπειά του· ἔχει κρεββάτι μὲ ὡραῖα στρωσίδια καθὼς καὶ πολλὰ χάλκινα σκεύη· εἶναι πραγματικὸς νοικοκύρης'.

μένους εἰσὶν ἐστολισμένοι, ἀλλὰ κατὰ τοὺς μακαρίους ἐκείνους ἀγγέλους, τὸν Ἠλίαν, τον Ἐλισσαῖον, τὸν Ἰωάννην, κατὰ τοὺς ἀποστόλους· τῶν ἱματίων κατεσκευασμένων αὐτοῖς τοῖς μὲν ἀπὸ τριχῶν αἰγῶν, τοῖς δὲ ἀπὸ τριχῶν καμήλων· εἰσὶ δὲ οἷς καὶ δέρματα ἤρκεσε μόνον, καὶ ταῦτα πάλαι πεπονηκότα».

καλεῖς', φησίν, 'τοῖς ταῦτα κεκτημένοις, δέον τοῖς τὰ πλείονα ἔχουσιν ἐγκαλεῖν;'. Δι' ὑμῶν πολλῷ μᾶλλον ἐκείνων κατηγορῶ· εἰ γὰρ οὐκ ἀφίημι αἰτίας τοὺς τὰ ὀλίγα ἔχοντας, πολλῷ μᾶλλον τοὺς τὰ πλείονα κεκτημένους. Σχῆμά ἐστιν οὐχὶ οἰκίας λαμπρότης, οὐδὲ ἐπιβλημάτων πολυτέλεια, οὐδὲ στιβὰς ἐξεστρωμένη, οὐδὲ κλίνη κεκαλλωπισμένη, οὐδὲ οἰκετῶν πλῆθος. Πάντα γὰρ ταῦτα ἡμῶν ἐκτὸς καὶ οὐδὲν πρὸς ἡμᾶς. Τὰ δὲ πρὸς ἡμᾶς ἐπιείκεια, ὑπεροψία χρημάτων, ὑπεροψία δόξης, τὸ καταγελᾶν τῆς παρὰ τῶν πολλῶν τιμῆς, τὸ τὴν φύσιν ὑπερβαίνειν τῇ τοῦ βίου ἀρετῇ· τοῦτο εὐσχημοσύνη, τοῦτο δόξα, τοῦτο τιμή. Τὸ δὲ αἴτιον πάντων τῶν κακῶν ἐξ ἀρχῆς τοῦτο γίνεται, καὶ πῶς, ἐγὼ λέγω.

16. Τὸ παιδίον εὐθέως ἐτέχθη· πάντα μηχανᾶται ὁ πατήρ, οὐχ ὅπως αὐτοῦ τὸν βίον ρυθμίσειεν, ἀλλ' ὅπως αὐτὸ καλλωπίσειεν καὶ χρυσίοις καὶ ἱματίοις περιβάλοι. Τί δή ποτε τοῦτο ποιεῖς, ἄνθρωπε; Ἔστω, αὐτὸς ταῦτα περίκεισαι· τί καὶ τὸ παιδίον, τὸ μηδέπω τῆς μανίας ταύτης πεῖραν λαβόν, παιδεύεις ἐν τούτοις; Τίνος ἕνεκεν περιτιθεῖς κόσμον περὶ τὸν τράχηλον; Παιδαγωγοῦ χρεία ἀκριβοῦς, ὥστε ρυθμίζειν τὸν παῖδα, χρυσίου δὲ οὐκέτι. Καὶ κόμην δὲ ὄπισθεν ἀφίεις εἰς κόρης σχῆμα εὐθέως ἐκθηλύνων τὸν παῖδα καὶ τὸ τῆς φύσεως στερρὸν μαλάσσων, ἐξ ἀρχῆς αὐτῷ χρημάτων ἔρωτα περιττὸν ἐντιθεὶς καὶ πείθων περὶ τὰ ἀνόνητα ἐπτοῆσθαι. Τί κατασκευάζεις αὐτῷ μείζονα τὴν ἐπιβολήν; τί περὶ τὰ σωματικὰ ποιεῖς ἐπτοῆσθαι; «Ἀνήρ», φησίν, «ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστιν». Οὐ βούλεται ἡ φύσις· οὐκ ἐπέτρεψε τοῦτο ὁ Θεός· τὸ πρᾶγμα κεκώλυται· ἑλληνικῆς ἐστι δεισιδαιμονίας ἔργον. Πολλοὶ δὲ καὶ τῶν ὤτων ἐξαρτῶσι χρυ-

---

19. *Ὁμιλία 11 εἰς τὴν Α' Πρὸς Τιμ. 2* (ΕΠΕ 23,302)· «Ἐκεῖνα μόνον ἐστὶν ἡμέτερα, ὅσα τῆς ψυχῆς ἐστι κατορθώματα, ἐλεημοσύνη καὶ φιλανθρωπία. Ταῦτα 'τὰ ἐκτὸς' λέγεται καὶ παρὰ τοῖς ἔξωθεν· ἐκτὸς γὰρ ἡμῶν ἐστιν. Ποιήσωμεν τοίνυν αὐτὰ τὰ ἐντός».

20. *Ὁμιλία 53 εἰς τὸ κατὰ Ἰω. 3* (ΕΠΕ 13, 728–730)· «Πάλιν ὅταν ἴδῃς αὐτὸν ἐπὶ φάτνης κείμενον, οὐ σπουδάσεις τῷ παιδίῳ σου περιθεῖναι κόσμον χρυσοῦν οὐδὲ τῇ γυναικὶ ἀργυρένδυτον ποιῆσαι κλίνην».

21. *Ὁμιλία 37 εἰς τὸ κατὰ Ματθ. 6* (ΕΠΕ 10,588–590)· «Ὁ μὲν γὰρ ὄπισθεν ἔχει τὴν κόμην νέος ὢν καὶ τὴν φύσιν ἐκθηλύνων καὶ τῷ βλέμματι καὶ τῷ σχήματι καὶ τοῖς ἱματίοις καὶ πᾶσιν ἁπλῶς εἰς εἰκόνα κόρης ἁπαλῆς ἐκβῆναι φιλονεικεῖ».

'Γιατί', λέγει, 'κατηγορεῖς ἐμᾶς, ποὺ ἔχομε αὐτά, ἐνῶ πρέπει νὰ κατηγορεῖς ἐκείνους ποὺ ἔχουν τὰ πολὺ περισσότερα;' Κατηγορώντας ἐσᾶς πολὺ περισσότερο κατηγορῶ ἐκείνους· γιατί, ἂν δὲν ἀπαλλάσσω ἀπὸ τὴν κατηγορία ἐκείνους ποὺ ἔχουν λίγα, πολὺ περισσότερο δὲν συγχωρῶ ἐκείνους ποὺ ἔχουν τὰ περισσότερα. Ἀξιοπρέπεια εἶναι ὄχι ἡ λαμπρὴ οἰκία, οὔτε τὰ πολυτελῆ κλινοσκεπάσματα, οὔτε τὰ μαλακὰ στρώματα, οὔτε τὸ καλλωπισμένο κρεββάτι, οὔτε τὸ πλῆθος τῶν ὑπηρετῶν. Γιατὶ ὅλα αὐτὰ ἀπορρίπτονται ἀπὸ μᾶς καὶ δὲν ἔχουν καμιὰ σχέση μὲ μᾶς[19]. Αὐτὰ ποὺ ἔχουν σχέση μὲ μᾶς εἶναι ἡ ἐπιείκεια, ἡ περιφρόνηση τῶν χρημάτων, ἡ περιφρόνηση τῆς δόξας, ἡ ἀδιαφορία πρὸς τὴν ἐκ μέρους τῶν πολλῶν τιμή, τὸ νὰ νικοῦμε τὴ φύση μὲ τὴν ἐνάρετη ζωή μας. Αὐτὸ εἶναι εὐσχημοσύνη, αὐτὸ δόξα, αὐτὸ τιμή. Ἀλλ' ἡ αἰτία ὅλων τῶν κακῶν προξενεῖται ἀπὸ τὴν ἀρχὴ ἀκόμη, καὶ πῶς γίνεται αὐτὸ θὰ σᾶς τὸ πῶ ἐγώ.

16. Ἀμέσως μόλις γεννηθεῖ τὸ παιδὶ ὁ πατέρας του μηχανεύεται ὅλα, ὄχι πῶς νὰ ρυθμίσει σωστὰ τὴ ζωή του, ἀλλὰ πῶς νὰ καλλωπίσει αὐτὸ καὶ νὰ τοῦ φορέσει χρυσαφικὰ καὶ ὡραῖα ροῦχα. Γιατί τὸ κάμνεις αὐτό, ἄνθρωπε; Καλά, σὺ ὁ ἴδιος φορᾶς αὐτά· γιατί καὶ τὸ παιδί, ποὺ δὲν γνώρισε ἀκόμα αὐτὴ τὴ μανία, τὸ συνηθίζεις σ' αὐτά; Γιὰ ποιό λόγο τοῦ κρεμᾶς στολίδια στὸ λαιμό του; Σωστὸς δάσκαλος χρειάζεται, ὥστε νὰ παιδαγωγήσει σωστὰ τὸ παιδί, καὶ δὲν χρειάζεται καθόλου τὸ χρυσάφι[20]. Ἐπίσης τοῦ ἀφήνεις μακριὰ μαλλιά, κατ' ἀναλογία μὲ τὸ κορίτσι, κάμνοντας τὸ παιδὶ θηλυπρεπὲς καὶ καθιστώντας μαλθακὴ τὴν ἰσχυρὴ φύση του[21], ἀπὸ τὴν πρώτη στιγμὴ βάζοντας μέσα του τὸ ἔρωτα γιὰ τὰ χρήματα καὶ πείθοντάς το νὰ συγκινεῖται ἀπὸ ἀνώφελα πράγματα. Γιατί κάμνεις μεγαλύτερη τὴν ἐπιβουλὴ ἐναντίον του; γιατί τὸ κάμνεις νὰ κατασαγηνεύεται ἀπὸ τὰ σωματικά; «Ἂν ὁ ἄνδρας», λέγει, «ἔχει μακριὰ μαλλιά, αὐτὸ δὲν εἶναι τιμητικὸ γι' αὐτόν»[22]. Δὲν τὸ θέλει αὐτὸ ἡ φύση· δὲν τὸ ἐπέτρεψε αὐτὸ ὁ Θεός· τὸ πράγμα αὐτὸ ἔχει ἀπαγορευθεῖ· εἶναι ἔργο τῆς ἑλληνικῆς δεισιδαιμονίας. Πολλοὶ κρεμοῦν καὶ στ' αὐτιά τους χρυσαφικά· μακάρι οὔτε καὶ τὰ κορί-

22. *Α' Κορ.* 11,14.

σία· εἴθε μηδὲ κόραι τούτων ἀπήλαυον, ὑμεῖς δὲ καὶ ἐπὶ τοὺς ἄρρενας ἄγετε τὴν λύμην.

17. Τάχα πολλοὶ γελῶσιν ἐπὶ τοῖς λεγομένοις, ὡς μικρῶν ὄντων τούτων. Οὔκ ἐστι μικρά, ἀλλὰ καὶ σφόδρα μεγάλα. Κόρη ἐν τῷ θαλάμῳ τῷ μητρικῷ παιδευθεῖσα πρὸς κόσμον ἐπτοῆσθαι γυναικεῖον, ἐπειδὰν ἐξέλθῃ τὴν πατρῴαν οἰκίαν, δυσχερὴς ἔσται καὶ χαλεπὴ τῷ νυμφίῳ καὶ τῶν τοὺς φόρους ἀπαιτούντων φορτικωτέρα. Εἶπον καὶ ἤδη πρὸς ὑμᾶς, ὅτι ἐκεῖθεν ἡ κακία δυσανάσπαστος γίνεται, ὅτι οὐδεὶς περὶ παρθενίας αὐτοῖς διαλέγεται, οὐδεὶς περὶ σωφροσύνης, οὐδεὶς περὶ ὑπεροψίας χρημάτων καὶ δόξης, οὐδεὶς ταῦτα τὰ ἐν ταῖς Γραφαῖς παρηγγελμένα.

18. Ὅταν τοίνυν ἐκ πρώτης ἡλικίας διδασκάλων ἀπορήσωσιν οἱ παῖδες, τί ἔσονται; Εἰ γὰρ ἐκ κοιλίας τρεφόμενοί τινες καὶ ἕως γήρως παιδευόμενοι οὔπω κατορθοῦσιν, οἱ ἐκ προοιμίων τῆς ζωῆς αὐτῶν τούτοις συνεθιζόμενοι τοῖς ἀκούσμασιν τί οὐκ ἂν ἐργάσωνται δεινόν; Νῦν δὲ ὅπως μὲν τέχνας καὶ γράμματα καὶ λόγους τοὺς αὐτῶν παῖδας παιδεύσαιεν, ἅπασαν ἕκαστος ποιεῖται σπουδήν, ὅπως δὲ τὴν ψυχὴν ἀσκηθεῖεν, τούτου οὐκέτι οὐδεὶς λόγον ἔχει τινά.

19. Οὐ παύομαι παρακαλῶν ὑμᾶς καὶ δεόμενος καὶ ἀντιβολῶν, ὥστε πρὸ τῶν ἄλλων ἁπάντων τέως ὑμῶν ῥυθμίζειν τοὺς παῖδας. Εἰ γὰρ φείδῃ τοῦ παιδός, δεῖξον ἀπὸ τούτου· ἄλλως δὲ καὶ μισθὸν ἔχεις. Ἄκουε γὰρ τοῦ Παύλου λέγοντος· «ἐὰν ἐπιμείνωσι τῇ πίστει καὶ τῇ ἀγάπῃ καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης». Καὶ εἰ σὺ μυρία

23. *Ὁμιλία 49 εἰς τὸ κατὰ Ματθ. 4* (ΕΠΕ 11,30)· «Καὶ οἶδα μὲν ὅτι πολλοῖς μικρολόγος εἶναι δοκῶ ταῦτα περιεργαζόμενος· οὐ μὴν διὰ τοῦτο ἀποστήσομαι. Τὸ γὰρ ἁπάντων αἴτιον τῶν κακῶν τοῦτο, τὸ μικρὰ ταῦτα δοκεῖν εἶναι ἁμαρτήματα καὶ διὰ τοῦτο ἀμελεῖσθαι».

24. *Ὁμιλία Πρὸς πιστὸν πατέρα* (PG 47,358)· «Μεταξὺ μάννα κρόμμυα καὶ σκόροδα καὶ τὰ ἐν Αἰγύπτῳ πάντα ἐζήτουν κακά. Τοσοῦτόν ἐστι συνήθεια κακόν. Εἶτα Ἰουδαῖοι μὲν τοσαύτης ἀπολαύοντες ἐπιμελείας τῆς παρὰ Θεοῦ καὶ δημαγωγὸν ἔχοντες οὕτως ἄριστον καὶ γενναῖον, καὶ φόβῳ καὶ ἀπειλῇ καὶ εὐεργεσίᾳ καὶ κολάσει καὶ παντὶ τρόπῳ παιδαγωγούμενοι, καὶ τοσαῦτα ὁρῶντες θαύματα, οὐκ ἐγένοντο βελτίους· σὺ δὲ τὸν υἱὸν τὸν σὸν νέον ὄντα ἐν Αἰγύπτῳ μέσῃ, μᾶλλον δὲ ἐν μέσῃ τῇ παρατάξει τοῦ διαβόλου στρεφόμενον, οὐδενός τι χρήσιμον συμβουλεύοντος ἀκούοντα, πάντας ἐπὶ τἀναντία αὐτὸν ἄγοντας ὁρῶντα, καὶ πάντων μᾶλλον τοὺς γεννησαμένους καὶ θρεψαμένους, οἴει δυνήσασθαι διαδῦναι τὰς τοῦ διαβόλου παγίδας;».

τσια τους νὰ μὴ τὰ φοροῦσαν, σεῖς ὅμως καὶ τὰ ἀγόρια τὰ ὁδηγεῖτε στὴν καταστροφή.

17. Ἴσως πολλοὶ νὰ γελοῦν γι' αὐτὸ ποὺ λέγω, θεωρώντας αὐτὰ πολὺ ἀσήμαντα[23]. Δὲν εἶναι ὅμως μικρά, ἀλλὰ καὶ πάρα πολὺ μεγάλα. Ἂν τὸ κορίτσι συνηθίσει μέσα στὴ γυναικεία κάμαρα νὰ καταγητεύεται ἀπὸ τὰ γυναικεῖα στολίδια, ὅταν θὰ φύγει ἀπὸ τὸ πατρικὸ σπίτι θὰ εἶναι πολὺ δύσκολη καὶ ἀνυπόφορη στὸ σύζυγό της καὶ πιὸ φορτικὴ ἀπὸ ἐκείνους ποὺ εἰσπράττουν τοὺς φόρους. Σᾶς εἶπα καὶ ἄλλη φορά, ὅτι ἀπὸ ἐκεῖ ἀρχίζει ἡ κακία νὰ γίνεται δυσκολοπολέμητη, ἀπὸ τὸ ὅτι κανένας δὲ τὰ μιλάει γιὰ ἀγνότητα, κανένας γιὰ σωφροσύνη, κανένας γιὰ περιφρόνηση τῶν χρημάτων καὶ τῆς δόξας, κανένας γιὰ ἐκεῖνα ποὺ παραγγέλλει ἡ Γραφή.

18. Ὅταν λοιπὸν ἀπὸ τὴν πρώτη ἡλικία στερηθοῦν τὰ παιδιὰ τοὺς δασκάλους, τί θὰ γίνουν; Γιατί, ἂν μερικοί, ἐνῶ τρέφονται ἀπὸ τὴν κοιλιὰ τῆς μάννας τους καὶ παιδαγωγοῦνται μέχρι καὶ τὰ γεράματα, δὲν κατορθώνουν νὰ γίνουν σωστοὶ ἄνθρωποι, ἐκεῖνοι ποὺ ἀπὸ τὴν ἀρχὴ τῆς ζωῆς τους συνηθίζουν σ' αὐτὰ τὰ ἀκούσματα ποιό κακὸ εἶναι δυνατὸ νὰ μὴ κάνουν[24]; Τώρα ὅμως ὁ καθένας καταβάλλει κάθε φροντίδα πῶς νὰ μάθει στὰ παιδιά του τέχνες καὶ γράμματα, ρητορικὴ ἱκανότητα στοὺς λόγους, πῶς ὅμως θὰ μποροῦσε ν' ἀσκηθεῖ ἡ ψυχή τους, γι' αὐτὸ κανένας δὲν δείχνει κανένα ἐνδιαφέρον[25].

19. Δὲν παύω νὰ σᾶς παρακαλῶ καὶ νὰ σᾶς ἱκετεύω καὶ νὰ ἐπιμένω στὶς παρακλήσεις μου, ὥστε πρὶν ἀπὸ ὅλα τὰ ἄλλα νὰ δίνετε πρῶτα σωστὴ ἀνατροφὴ στὰ παιδιά. Ἂν πραγματικὰ ἀγαπᾶς τὸ παιδί σου, δεῖξε τὴν ἀγάπη σου ἀπὸ αὐτό· ἄλλωστε γι' αὐτὸ τὸ πράγμα θὰ ἔχεις καὶ ἀμοιβή. Γιατὶ ἄκουε τὸν Παῦλο ποὺ λέγει· «ἂν μίνουν σταθεροὶ στὴν πίστη, τὴν ἀγάπη καὶ τὸν ἁγιασμὸ μὲ σωφροσύνη»[26]. Καὶ ἂν σὺ ἔχεις τὴ συναίσθηση ὅτι ἔκαμες ἀμέ-

---

25. *Ὁμιλία 21 εἰς τὴν πρὸς Ἐφ. 2* (ΕΠΕ 21,252)· «Πῶς γὰρ οὐκ ἄτοπον εἰς τέχνας μὲν ἐκπέμπειν καὶ εἰς διδασκαλεῖον καὶ πάντα πράττειν ὑπὲρ τούτου, ἐν δὲ παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου μὴ ἐκτρέφειν τὰ παιδία;».

26. *Α' Τιμ.* 2,15. Βλ. *Ὁμιλία 9 εἰς τὴν Α' πρὸς Τιμ. 2,* (ΕΠΕ 23,264)· «Μηδὲν οὖν ἀλγείτω· ἔδωκεν αὐτῇ ὁ Θεὸς παραμυθίαν οὐ μικράν, τὸ τεκεῖν παιδία. Ἀλλὰ τοῦτο τῆς φύσεως, φησίν· καὶ ἐκεῖνο τῆς φύσεως· οὐ γὰρ μόνον τὸ τῆς φύσεως, ἀλλὰ καὶ τὸ τῆς παιδοτροφίας κεχάρισται. Ἐὰν ἐπιμείνωσι', φησί, 'τῇ πίστει

σαυτῷ σύνοιδας κακά, ἀλλ' ὅμως ἐπινόησον παραμυθίαν τινὰ τοῖς σοῖς κακοῖς. Θρέψον ἀθλητὴν τῷ Χριστῷ. Οὐ τοῦτο λέγω, ὅτι γάμου ἀπάγαγε καὶ εἰς τὰς ἐρημίας ἀπόστειλον καὶ τὸν τῶν μοναχῶν παρασκεύασον ἑλέσθαι βίον· οὐ τοῦτο λέγω. Βούλομαι μὲν τοῦτο καὶ πάντας ηὐχόμην καταδέξασθαι, ἀλλ' ἐπειδὴ φορτίον εἶναι δοκεῖ, οὐκ ἀναγκάζω. Θρέψον ἀθλητὴν τῷ Χριστῷ καὶ ἐν κόσμῳ ὄντα δίδαξον εὐλαβῆ ἐκ πρώτης ἡλικίας.

20. Ἂν εἰς ἁπαλὴν ἔτι οὖσαν τὴν ψυχὴν ἐντυπωθῇ τὰ καλὰ διδάγματα, οὐδεὶς αὐτὰ ἐξελεῖν δυνήσεται, ὅταν σκληρὰ γένηται ὡς τύπος· ὥσπερ καὶ ὁ κηρός. Ἔχεις αὐτὸν ἔτι τρέμοντα καὶ φοβούμενον καὶ δεδοικότα καὶ ὄψιν καὶ ῥῆμα καὶ πᾶν ὁτιοῦν· κέχρησο τῇ ἀρχῇ εἰς δέον. Σὺ πρῶτος ἀπολαύεις τῶν ἀγαθῶν, ἐὰν υἱὸν ἔχῃς καλὸν καὶ τότε ὁ Θεός· σαυτῷ κάμνεις.

21. Λέγονται οἱ μαργαρῖται, ὅταν εὐθέως ληφθῶσιν, ὕδωρ εἶναι. Ἂν μὲν οὖν ἔμπειρος ᾖ ὁ δεχόμενος, ἐπὶ τῆς χειρὸς θεὶς τὴν σταγόνα ἐκείνην καὶ τὴν χεῖρα διακινήσας δεχόμενος ἀποτορνεύει ὑπτίᾳ τῇ χειρὶ ἐπὶ τοῦ θέναρος καὶ περιστρέφων εἰς ἀκρίβειαν ἀποτορνεύει καὶ ποιεῖ σφόδρα στρογγύλον. Ἐπειδὰν δὲ τύχῃ τυπωθῆναι, οὐκέτι κύριός ἐστι διατυπῶσαι. Τὸ μὲν γὰρ ἁπαλὸν πρὸς πᾶν ἐπιτήδειόν

καὶ τῇ ἀγάπῃ καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης'· τουτέστιν, ἐὰν αὐτοὺς ἐν ἀγάπῃ μετὰ τὸ τεκεῖν καὶ ἁγνείᾳ διατηρήσωσιν. Ἐν τούτοις οὐ μικρὸν ἕξουσι τὸν ὑπὲρ τούτων μισθόν, ἀλλὰ καὶ σφόδρα μέγαν, ὅτι ἀθλητὰς ἔθρεψαν τῷ Χριστῷ».

27. *Ὁμιλία 21 εἰς τὴν πρὸς Ἐφ. 1,* (ΕΠΕ 21,250)· «Μὴ εἴπῃς, 'τῶν μοναζόντων ἐστί· μὴ γὰρ μονάζοντα αὐτὸν ποιῶ;'. Οὐκ ἔστιν ἀνάγκη γενέσθαι αὐτὸν μονάζοντα. Τί δέδοικας δέος πολλοῦ κέρδους ἀνάμεστον; Χριστιανὸν αὐτὸν ποίησον. Μάλιστα γὰρ τοῖς κοσμικοῖς ἀναγκαῖον τὰ ἐντεῦθεν εἰδέναι διδάγματα, μάλιστα τοῖς παισίν»· καὶ *Ὁμιλία 43 εἰς τὴν Γεν. 1,* (ΕΠΕ 4,48–50)· «Ποῦ νῦν εἰσιν οἱ λέγοντες, ὅτι οὐχ οἷόν τε ἐν μέσῃ πόλει στρεφόμενόν τινα διασῶσαι τὴν ἀρετήν, ἀλλ' ἀναχωρήσεως δεῖ καὶ τῆς ἐν τοῖς ὄρεσι διατριβῆς, καὶ οὐ δυνατὸν τὸν οἰκίας προεστῶτα καὶ γυναῖκα ἔχοντα καὶ παίδων ἐπιμελούμενον καὶ οἰκετῶν ἐνάρετον εἶναι; Ὁράτωσαν τοίνυν τὸν δίκαιον τοῦτον»· καὶ *Ὁμιλία 55 εἰς τὸ κατὰ Ματθ. 6,* (ΕΠΕ 11, 238–240)· «Ἔστι γὰρ καὶ πόλιν οἰκοῦντα τὴν τῶν μοναχῶν φιλοσοφίαν ζηλοῦν· ἔστι γυναῖκα ἔχοντα καὶ ἐν οἰκίᾳ στρεφόμενον καὶ εὔχεσθαι καὶ νηστεύειν κὶ κατανενύχθαι. Ἐπεὶ καὶ οἱ παρὰ τὴν ἀρχὴν τῶν ἀποστόλων κατηχηθέντες τὰς μὲν πόλεις ᾤκουν, τῶν δὲ τὰς ἐρημίας κατειληφότων τὴν εὐλάβειαν ἐπεδείκνυντο».

28. *Ὁμιλία 3 εἰς τὸ κατὰ Ἰω. 1,* (ΕΠΕ 12, 470–472)· «Μὴ γάρ μοι λεγέτω τις, ὅτι τὰ παιδία πρὸς ταῦτα ἡμῖν ἀπησχολῆσθαι οὐ χρή... Καὶ πῶς οὐ παροξυνεῖτε τὸν Θεὸν πᾶσι μὲν τοῖς ἄλλοις σχολάζοντες, τὸ δὲ τὰ αὐτοῦ μεταχειρίζειν ὀχληρὸν καὶ

τρητα κακά, προσπάθησε μαζὶ μ' αὐτὸ νὰ βρεῖς καὶ κάποια παρηγοριὰ γιὰ τὰ κακά σου. Ἀνάθρεψε ἀθλητὴ γιὰ τὸ Χριστό. Δὲν λέγω αὐτό, νὰ τὸ ἐμποδίσεις νὰ συνάψει γάμο καὶ νὰ τὸ στείλεις στὴν ἔρημο καὶ νὰ το προετοιμάσεις νὰ προτιμήσει τὸ μοναχικὸ βίο· δὲν λέγω αὐτό. Τὸ θέλω βέβαια αὐτὸ καὶ θὰ εὐχόμουν ὅλοι νὰ τὸ δέχονταν, ἀλλ' ἐπειδὴ θεωρεῖται ὅτι εἶναι βαρύ, δὲν ἀναγκάζω. Ἀνάθρεψε ἀθλητὴ γιὰ τὸ Χριστὸ καὶ ζώντας μέσα στὸν κόσμο δίδαξέ τον ἀπὸ τὴν πρώτη του ἡλικία νὰ εἶναι εὐλαβής[27].

20. Ἂν τὰ καλὰ διδάγματα ἐντυπωθοῦν στὴν ψυχὴ ἐνῶ ἀκόμη εἶναι ἀπαλή, δὲ θὰ μπορέσει κανένας νὰ τὰ ἐξαλείψει, ὅταν θὰ γίνει σκληρὴ σὰν τὴ σφραγίδα, ὅπως ἀκριβῶς συμβαίνει καὶ μὲ τὸ κερί[28]. Ἔχεις αὐτὸ ἀκόμη γεμάτο ἀπὸ τρόμο καὶ φόβο καὶ ποὺ φοβᾶται καὶ τὸ πρόσωπό σου καὶ τὰ λόγια σου καὶ ὁ,τιδήποτε ἄλλο· κάμε χρήση τῆς ἐξουσίας ὅπως πρέπει. Σὺ πρῶτος ἀπολαμβάνεις τὰ ἀγαθά, ἂν ἔχεις καλὸ γιὸ καὶ μετὰ ὁ Θεός· γιὰ τὸν ἑαυτό σου κοπιάζεις.

21. Λένε πὼς τὰ μαργαριτάρια, μόλις τὰ βγάλουν ἀπὸ τὸ νερὸ εἶναι σὰν νερό[29]. Ἂν λοιπὸν εἶναι ἔμπειρος αὐτὸς ποὺ τὰ βγάζει, τοποθετώντας τὴ σταγόνα ἐκείνη ἐπάνω στὴν παλάμη τοῦ χεριοῦ του καὶ κινώντας τὸ χέρι του πρὸς ὅλες τὶς κατευθύνσεις καὶ μὲ τρόπο πολὺ προσεκτικὸ τορνεύει αὐτὴν καὶ τὴν κάμνει πάρα πολὺ στρόγγυλη. Ὅταν ὅμως στερεοποιηθεῖ, δὲν μπορεῖ τότε νὰ τῆς δώσει τὸ σχῆμα ποὺ θέλει. Γιατὶ τὸ ἀπαλὸ εἶναι κατάλληλο γιὰ κάθε σχῆμα, ἐπειδὴ δὲν ἔχει ἀκόμη στερεοποιημένη τὴ κατάστα-

---

οὐκ εὔκαιρον εἶναι νομίζοντες τοῖς παισίν; Μή, ταῦτα, μή, ἀδελφοί. Καὶ γὰρ αὕτη καὶ μάλιστα ἡ ἡλικία τούτων δεῖται τῶν ἀκουσμάτων. Ἁπαλὴ γὰρ οὖσα ταχέως ἐναποτίθεται τὰ λεγόμενα, καθάπερ τινὸς σφραγῖδος τῆς ἀκροάσεως ἐν κηρῷ τῇ διανοίᾳ τῇ τούτων ἐντυπουμένης»· καὶ *Ὁμιλ. 2 εἰς τὴν Β' πρὸς Θεσσ. 4,* (ΕΠΕ 23,38)· «...πρὸς γὰρ τὰς διαλέξεις καὶ ἡ ψυχὴ ποιοῦται. 'Φθείρουσι', φησίν, 'ἤθη χρηστὰ ὁμιλίαι κακαί'. Οὐκοῦν ὠφελοῦσιν ὁμιλίαι ἀγαθαί· οὐκοῦν καὶ σωφρονίζουσιν ὁμιλίαι φοβεραί. Ὥσπερ γὰρ κηρός τίς ἐστιν ἡ ψυχή· ἂν μὲν γὰρ ψυχρὰς ἐπαγάγῃς ὁμιλίας, ἐπώρωσας αὐτὴν καὶ ἐσκλήρυνας, ἂν δὲ πεπυρωμένας, ἐμάλαξας· μαλάξας δὲ τυποῖς πρὸς ὅπερ ἂν θέλῃς καὶ τὴν εἰκόνα τὴν βασιλικὴν ἐγχαράττεις».

29. *Ὁμιλία 17 εἰς τὴν Α' πρὸς Τιμ. 3,* (ΕΠΕ 23,438)· «Καλὸν ὁ μαργαρίτης· ἀλλ' ἐννόησον, ὅτι ὕδωρ ἐστὶ θαλάσσιον, ὅτι ἐν τοῖς κόλποις αὐτῆς τὸ πρότερον ἦν ἐρριμένος».

έστι τὴν ἕξιν τὴν οἰκείαν οὐδέπω πεπηγυῖαν ἔχον· διόπερ εὐκόλως πρὸς πάντα ἕλκεται· τὸ δὲ σκληρὸν ὥσπερ ἀπολαβὼν τινα διάθεσιν τὴν σκληρότητα οὐκ εὐκόλως αὐτῆς ἐξίσταται, οὐδὲ πρὸς ἑτέραν μετοικίζεται διάθεσιν.

22. Ἕκαστος τοίνυν ὑμῶν τῶν πατέρων καὶ τῶν μητέρων, καθάπερ τοὺς ζωγράφους ὁρῶμεν τὰς εἰκόνας καὶ τὰ ἀγάλματα μετὰ πολλῆς τῆς ἀκριβείας ἐξασκοῦντας, οὕτω τῶν θαυμαστῶν τούτων ἀγαλμάτων ἐπιμελώμεθα. Προθέντες γὰρ οἱ ζωγράφοι τὸν πίνακα καθ' ἑκάστην ἡμέραν αὐτὸν ἐπιχρίουσι πρὸς τὸ δέον. Οἱ δὲ λιθοξόοι τῶν λίθων καὶ αὐτοὶ τὸ αὐτὸ πράττουσιν, τὸ μὲν περιττὸν περιαιροῦντες, τὸ δὲ ἐνδέον προστιθέντες. Οὕτω δὴ καὶ ὑμεῖς· καθάπερ ἀγαλμάτων τινῶν κατασκευασταί, πρὸς τοῦτο τὴν σχολὴν ἅπασαν ἔχετε τὰ θαυμαστὰ ἀγάλματα τῷ Θεῷ κατασκευάζοντες· καὶ τὸ μὲν περιττὸν ἐξαιρεῖτε, τὸ δὲ ἐνδέον προστίθετε· καὶ καθ' ἑκάστην αὐτὰ περισκοπεῖτε τὴν ἡμέραν, ποῖον ἀπὸ φύσεως ἔχει πλεονέκτημα, ὥστε αὐτὸ αὔξειν, ποῖον ἀπὸ φύσεως ἐλάττωμα, ὥστε αὐτὸ περιαιρεῖν. Καὶ μετὰ πολλῆς τῆς ἀκριβείας πρῶτον μὲν αὐτῶν ἐξορίζετε τὸν τῆς ἀκολασίας λόγον· οὗτος γὰρ μάλιστα ὁ ἔρως ἐνοχλεῖ ταῖς τῶν νέων ψυχαῖς. Μᾶλλον δὲ πρὶν ἢ εἰς τὴν πεῖραν ταύτης ἐλθεῖν δίδαξον αὐτὸν νήφειν, ἐγρηγορέναι, εἰς προσευχὰς ἀγρυπνεῖν, πάντα καὶ λέγοντα καὶ ποιοῦντα τὴν σφραγῖδα ἐπιτίθεσθαι.

23. Νόμισον εἶναι βασιλεὺς πόλιν ἔχων ὑπήκοον τὴν τοῦ παιδὸς ψυχήν· πόλις γάρ ἐστιν ὄντως ἡ ψυχή. Καὶ καθάπερ ἐν τῇ πόλει οἱ

---

30. *Ὁμιλία 21 εἰς τὴν πρὸς Ἐφ. 4,* (ΕΠΕ 21,266)· «Εἰ γὰρ ἄνθρωποι ἀγάλματα ποιοῦντες βασιλέων καὶ εἰκόνας γράφοντες τοσαύτης ἀπολαύουσι τιμῆς, ἡμεῖς τὴν βασιλικὴν εἰκόνα καλλωπίζοντες (εἰκὼν γὰρ τοῦ Θεοῦ ὁ ἄνθρωπος) οὐ μυρίων ἀπολαύσομεν ἀγαθῶν τὸ καθ' ὁμοίωσιν ἀποδιδόντες»· καὶ *Ὁμιλία 20 εἰς τὴν πρὸς Ἐφ. 7* (ΕΠΕ 21,228–229)· «Καθάπερ ἄγαλμα δεχόμενος, οὕτως ἀπὸ τῆς ἑσπέρας ἐκείνης, ἧς ἂν αὐτὴν εἰς τὸν θάλαμον δέχηται διδασκέτω σωφροσύνην..»· καὶ *Ὁμιλία 59 εἰς τὸ κατὰ Ματθ. 7,* (ΕΠΕ 11,394–396)· «Καίτοι γε τῆς τέχνης ταύτης οὐκ ἔστιν ἄλλη μείζων· τί γὰρ ἴσον ρυθμίσαι ψυχὴν καὶ διαπλάσαι νέου διάνοιαν; Καὶ γὰρ παντὸς ζωγράφου καὶ παντὸς ἀνδριαντοποιοῦ τὸν ταύτην ἔχοντα τὴν ἐπιστήμην ἀκριβέστερον διακεῖσθαι χρή. Ἀλλ' ἡμεῖς οὐδένα τούτου ποιούμεθα λόγον, ἀλλ' ὁρῶμεν μόνον, ὅπως παιδευθῇ τὴν γλῶτταν. Καὶ τοῦτο δὲ διὰ χρήματα πάλιν ἐσπουδάκαμεν».

31. *Ὁμιλία εἰς τὴν Ἄνναν 6,* (PG 54,652)· «...καὶ πάσης μὲν κακίας ἀπάγωμεν τοὺς νέους, μάλιστα δὲ ἀσελγείας· χαλεπὸς γὰρ οὗτος ὁ πόλεμος καὶ οὐδὲν οὕτως ἐνοχλεῖ τὴν ἡλικίαν ἐκείνην, ὡς τοῦτο τὸ πάθος. Πανταχόθεν τοίνυν αὐτοὺς τειχί-

σή του, καὶ γι' αὐτὸ εὔκολα παίρνει ὁποιοδήποτε σχῆμα· τὸ σκληρὸ ὅμως, ἐπειδὴ ἔχει ἀποκτήσει τὴ σκληρότητα σὰν κάποια μόνιμη κατάσταση, δὲν εἶναι εὔκολο ν' ἀλλάξει αὐτὴ καὶ νὰ πάρει ἄλλο σχῆμα.

22. Ὁ καθένας λοιπὸν ἀπὸ σᾶς, πατέρας ἢ μητέρα, ὅπως ἀκριβῶς βλέπομε τοὺς ζωγράφους νὰ ἐπεξεργάζονται μὲ μεγάλη προσοχὴ καὶ ἀκρίβεια τὶς εἰκόνες καὶ τὰ ἀγάλματα, ἔτσι ἂς φροντίζετε καὶ σεῖς γιὰ τὰ θαυμαστὰ αὐτὰ ἀγάλματα. Οἱ ζωγράφοι δηλαδὴ ἀφοῦ τοποθετήσουν μπροστά τους τὸν πίνακα καθημερινὰ προσθέτουν τὸ χρῶμα ποὺ χρειάζεται. Οἱ γλύπτες πάλι τὸ ἴδιο κάμνουν καὶ αὐτοὶ ἐπάνω στοὺς λίθους· ἀφαιροῦν ὅ,τι εἶναι περιττὸ καὶ προσθέτουν ὅ,τι λείπει. Ἔτσι λοιπὸν καὶ σεῖς· σὰν ἀκριβῶς κάποιοι κατασκευαστὲς ἀγαλμάτων, σ' αὐτὸ νὰ ἔχετε συγκεντρωμένη ὅλη τὴ φροντίδα σας, κατασκευάζοντας τὰ θαυμαστὰ ἀγάλματα γιὰ τὸ Θεό· νὰ ἀφαιρεῖτε τὸ περιττὸ καὶ νὰ προσθέτετε ἐκεῖνο ποὺ λείπει· καὶ καθημερινὰ νὰ ἐξετάζετε καὶ νὰ βλέπετε ποιό πλεονέκτημα ἔχουν φυσικό, ὥστε νὰ τὸ αὐξάνετε, καὶ ποιό ἐλάττωμά τους εἶναι φυσικό, ὥστε νὰ τὸ ἐξαλείφετε[30]. Καὶ μὲ μεγάλη προσοχὴ πρῶτα πρῶτα νὰ ξεριζώνετε ἀπ' αὐτὰ τὸ αἴτιο τῆς ἀκολασίας· γιατὶ αὐτὸς ὁ ἔρωτας κυρίως ἐνοχλεῖ τὶς ψυχὲς τῶν νέων[31]. Ἢ καλύτερα προτοῦ τὸ παιδὶ γνωρίσει αὐτὴν δίδαξέ το νὰ εἶναι νηφάλιο, προσεκτικό, νὰ καταγίνεται μὲ τὶς προσευχές, καὶ σὲ ὁ,τιδήποτε λέγει ἢ πράττει νὰ κάμνει τὸ σταυρό του[32].

23. Θεώρησε ὅτι εἶσαι βασιλιὰς ποὺ ἔχεις ὑπὸ τὴν ἐξουσία σου μιὰ πόλη, τὴν ψυχὴ τοῦ παιδιοῦ σου· γιατὶ πραγματικὰ εἶναι πόλη

ζωμεν συμβουλαῖς, παραινέσεσι, φόβοις, ἀπειλαῖς...».

32. *Ὁμιλία 12 εἰς τὴν Α' πρὸς Κορ. 7,* (ΕΠΕ 18,348–452)· «Βόρβορον αἱ γυναῖκες ἐν βαλανείῳ λαμβάνουσαι, τροφοὶ καὶ θεραπαινίδες, καὶ τῷ δακτύλῳ χρίσασαι κατὰ τοῦ μετώπου τυποῦσι τοῦ παιδίου· κἂν ἔρηταί τις, 'τί βούλεται ὁ βόρβορος, τί ὁ πηλός;' 'ὀφθαλμὸν πονηρὸν ἀποστρέφει', φησί, 'καὶ βασκανίαν καὶ φθόνον'»· καὶ λίγω πιὸ κάτω· «...πῶς γὰρ αὐτὸ προσάγεις ταῖς χερσὶ τοῦ ἱερέως; εἰπέ μοι· πῶς ἀξιοῖς ἐπὶ τοῦ μετώπου σφραγῖδα ἐπιτεθῆναι παρὰ τῆς τοῦ πρεσβυτέρου χειρός, ἔνθα τὸν βόρβορον ἀπέχρισας; Μὴ ταῦτα, μή, ἀδελφοί· ἀλλ' ἐκ πρώτηυς ἡλικίας πνευματικοῖς αὐτὰ περιφράττετε ὅπλοις καὶ τῇ χειρὶ παιδεύετε σφραγίζειν τὸ μέτωπον· καὶ πρὶν ἢ δυνηθῆναι τῇ χειρὶ τοῦτο ποιεῖν, αὐτοὶ ἐντυποῦτε αὐτοῖς τὸν σταυρόν».

μὲν κλέπτουσιν, οἱ δὲ δικαιοπραγοῦσιν, οἱ δὲ ἐργάζονται, οἱ δὲ ἁπλῶς ὡς ἔτυχεν ἅπαντα πράττουσιν, οὕτω δὴ καὶ ἐν τῇ ψυχῇ διάνοια καὶ λογισμοί· οἱ μὲν στρατεύονται κατὰ τῶν ἀδικούντων, οἷόν εἰσιν ἐν πόλει οἱ στρατιῶται· οἱ δὲ τοῦ παντὸς προνοοῦσιν, καὶ σώματος καὶ οἰκίας, οἷόν εἰσιν οἱ πολιτευόμενοι ἐν ταῖς πόλεσιν· οἱ δὲ ἐπιτάττουσιν, οἷόν εἰσιν οἱ ἄρχοντες· καὶ οἱ μὲν ἀσελγῆ διηγοῦνται, οἷόν εἰσιν οἱ ἀκόλαστοι· οἱ δὲ σεμνά, οἷόν εἰσιν οἱ σώφρονες· καὶ οἱ μέν εἰσιν ἐκτεθηλυσμένοι, οἷόν εἰσιν αἱ γυναῖκες παρ' ἡμῖν· οἱ δὲ ἀνοητότερον διαλέγονται, οἷόν εἰσιν οἱ παῖδες· καὶ τοῖς μὲν ὡς δούλους ἐπιτάττουσιν, ὅπερ εἰσὶν οἱ οἰκέται, οἱ δὲ εὐγενεῖς, ὅπέρ εἰσιν οἱ ἐλεύθεροι.

24. Δεῖ τοίνυν νόμων ἡμῖν, ὥστε τοὺς μὲν πονηροὺς ἐξορίζειν, τοὺς δὲ ἀγαθοὺς ἐγκρίνειν, καὶ μὴ ἐᾶν κατεξανίστασθαι τῶν ἀγαθῶν τοὺς πονηρούς. Καθάπερ γὰρ ἐν πόλει ἂν νόμους τις θῇ πολλὴν τοῖς κλέπταις τὴν ἄδειαν διδόντας, τὸ πᾶν ἀνέτρεψεν· κἂν οἱ στρατιῶται μὴ εἰς δέον κέχρηνται τῷ θυμῷ, τὸ πᾶν ἐλυμήναντο· καὶ ἐὰν τὴν οἰκείαν τάξιν ἕκαστος καταλιπὼν τὴν ἑτέρου μεταδιώκῃ, τῇ πλεονεξίᾳ τὴν εὐταξίαν διέφθειρεν, οὕτω δὴ καὶ ἐνταῦθα.

25. Πόλις τοίνυν ἐστὶν ἡ τοῦ παιδὸς ψυχή, πόλις ἄρτι κτισθεῖσα, πόλις ξένους ἔχουσα πολίτας, οὔπω οὐδενὸς ἐμπείρους. Τοὺς δὲ τοιούτους μάλιστα εὔκολον ρυθμίζειν. Οἱ μὲν γὰρ κακῇ πολιτείᾳ συντραφέντες, οἷόν πέρ εἰσιν οἱ γέροντες, δυσκόλως ἂν μετάθειντο, οὐ μὴν ἀδυνάτως· ἔνεστι γὰρ κἀκείνους μεταστραφῆναι, ἐὰν θέλωσιν· οἱ δὲ παντὸς ἄπειροι εὐκόλως ἂν δέξοιντο τοὺς παρὰ σοῦ νόμους.

26. Τίθει τοίνυν νόμους τῇ πόλει ταύτῃ καὶ τοῖς ἐν τῇ πόλει πολι-

---

33. *Ὁμιλία 3 εἰς τὴν Ἄνναν 4*, (PG 54,658)· «Ἀνελευθέρους καὶ ἀνδραποδώδεις ἐπιθυμίας. Ληστῶν γὰρ χαλεπώτεροι οἱ τοιοῦτοι λογισμοὶ τὴν ἐλευθερίαν τῶν παίδων ἐξανδροποδίζοντες, καὶ δούλους τῶν ἀλόγων ποιοῦσι παθῶν κατακεντοῦντες αὐτοὺς πάντοθεν τὴν διάνοιαν. Διὰ δὴ ταῦτα καθ' ἑκάστην ἡμέραν περισκοπῶμεν, καὶ καθάπερ μάστιγι τῷ λόγῳ χρώμενοι πάντα τὰ τοιαῦτα πάθη τῆς ἐκείνων ψυχῆς ἀπευλάνωμεν, ἵνα τῆς ἄνω πολιτείας μετασχεῖν δυνηθῶσιν ἡμῖν οἱ παῖδες καὶ τὴν ἐκεῖ λειτουργίαν ἐπιτελέσαι πᾶσαν».

ἡ ψυχή[33]. Καὶ ὅπως ἀκριβῶς μέσα στὴν πόλη ἄλλοι κλέβουν, καὶ ἄλλοι ἀποδίδουν δικαιοσύνη, ἄλλοι ἐργάζονται καὶ ἄλλοι ὅλα τὰ κάμνουν ὅπως τύχει, ἔτσι λοιπὸν ἐνεργοῦν καὶ στὴν ψυχὴ ἡ διάνοια καὶ οἱ λογισμοί· ἄλλοι ἀπ' αὐτοὺς στρατεύονται ἐναντίον ἐκείνων ποὺ ἀδικοῦν, ὅπως ἀκριβῶς κάνουν οἱ στρατιῶτες στὴν πόλη· ἄλλοι φροντίζουν γιὰ ὅλο τὸν ἄνθρωπο, καὶ γιὰ τὸ σῶμα καὶ γιὰ τὴν κατοικία, ὅπως ἀκριβῶς κάμνουν στὶς πόλεις οἱ πολίτες τους· ἄλλοι δίνουν ἐντολές, ὅπως ἀκριβῶς οἱ ἄρχοντες στὶς πόλεις· καὶ ἄλλοι ἀπ' αὐτοὺς διηγοῦνται ἀσελγῆ πράγματα, ὅπως ἀκριβῶς κάμνουν οἱ ἀκόλαστοι στὶς πόλεις, ἐνῶ ἄλλοι διηγοῦνται σεμνὰ πράγματα, ὅπως κάμνουν οἱ σώφρονες στὶς πόλεις· ἄλλοι πάλι εἶναι θηλυπρεπεῖς, ὅπως εἶναι οἱ γυναῖκες οἱ δικές μας, ἐνῶ ἄλλοι μιλοῦν καὶ λέγουν ἀνοησίες, ὅπως κάμνουν τὰ παιδιά· καὶ τέλος ἄλλοι ἀπ' αὐτοὺς σὰν δοῦλοι δέχονται διαταγές, ὅπως συμβαίνει μὲ τοὺς δούλους στὶς πόλεις, ἐνῶ ἄλλοι εἶναι εὐγενεῖς, ὅπως εἶναι οἱ ἐλεύθεροι στὶς πόλεις.

24. Χρειαζόμαστε λοιπὸν νόμους, ὥστε τοὺς κακοὺς νὰ τοὺς ἐξορίζομε, ἐνῶ τοὺς καλοὺς νὰ τοὺς ἐπιδοκιμάζομε καὶ νὰ μὴ ἀφήνομε τοὺς κακοὺς νὰ ἐπαναστατοῦν ἐναντίον τῶν καλῶν. Γιατί, ὅπως ἀκριβῶς στὴν πόλη ἂν θεσπίσει κανεὶς νόμους ποὺ νὰ παρέχουν πολλὴ ἐλευθερία στοὺς κλέπτες, αὐτὸς κατέστρεψε τὸ πᾶν, καὶ ἂν οἱ στρατιῶτες δὲν χρησιμοποιοῦν τὸ θυμὸ ὅπως πρέπει, κατέστρεψαν τὸν πᾶν, καὶ ἂν ἐπίσης ὁ καθένας ἀφήσει τὴ θέση του καὶ προσπαθεῖ νὰ καταλάβει τὴ θέση ἄλλου, μὲ τὴν πλεονεξία αὐτὴ κατέστρεψε τὴν εὐταξία, ἔτσι λοιπὸν καὶ ἐδῶ.

25. Πόλη λοιπὸν εἶναι ἡ ψυχὴ τοῦ παιδιοῦ, πόλη ποὺ μόλις κτίσθηκε, πόλη ποὺ ἔχει ξένους πολίτες καὶ ποὺ δὲν ἔχουν καμιὰ ἐμπειρία. Καὶ αὐτοὺς πρὸ πάντων τοὺς πολίτες εἶναι εὔκολο νὰ τοὺς δώσει κανεὶς καλὲς συνήθειες. Γιατὶ ἐκεῖνοι ποὺ ἔζησαν μὲ κακὸ τρόπο στὴ ζωή τους, ὅπως ἀκριβῶς εἶναι οἱ γέροντες, δύσκολα θὰ μποροῦσαν ν' ἀλλάξουν τρόπους, δὲν εἶναι ὅμως αὐτὸ καὶ ἀδύνατο· γιατὶ εἶναι δυνατὸ καὶ ἐκεῖνοι ν' ἀλλάξουν τρόπους, ἂν θέλουν· ἐνῶ ἐκεῖνοι ποὺ εἶναι ἐντελῶς ἄπειροι εὔκολα θὰ δέχονταν τοὺς νόμους σου.

26. Ὅρισε λοιπὸν νόμους στὴν πόλη αὐτὴ καὶ στοὺς πολίτες

τευομένοις φοβεροὺς καὶ σφοδρούς, καὶ τῶν παραβαινομένων γενοῦ προστάτης· οὐδὲν γὰρ ὠφελεῖ τιθέναι νόμους, ἂν μὴ καὶ ἡ ἐκδίκησις ἕποιτο.

27. Τίθει τοίνυν νόμους τῇ πόλει ταύτῃ καὶ πρόσεχε ἀκριβῶς· ὑπὲρ γὰρ τῆς οἰκουμένης ἡμῖν ἡ νομοθεσία, καὶ πόλιν κτίζομεν σήμερον. Ἔστωσαν οὖν οἱ μὲν περίβολοι καὶ πύλαι αἱ τέσσαρες αἰσθήσεις· τὸ λοιπὸν ἅπαν σῶμα ὥσπερ τεῖχος ἔστω, πύλαι δὲ αὐτῷ οἱ ὀφθαλμοί, ἡ γλῶσσα, ἡ ἀκοή, ἡ ὄσφρησις, εἰ βούλει καὶ ἡ ἁφή· διὰ γὰρ τῶν πυλῶν τούτων καὶ εἰσίασι καὶ ἐξέρχονται οἱ τῆς πόλεως ταύτης πολῖται· τουτέστιν οἱ λογισμοὶ διὰ τῶν πυλῶν τούτων καὶ φθείρονται καὶ κατορθοῦνται.

28. Φέρε οὖν πρῶτον ἐπὶ τὴν πύλην ἔλθωμεν τὴν ἀπὸ τῆς γλώσσης, ἐπειδὴ ἡ μάλιστα χρηματίζουσα αὕτη ἐστίν, καὶ πρὸ τῶν ἄλλων ἁπάντων κατασκευάσωμεν αὐτῇ τέως θύρας καὶ μοχλοὺς μὴ ἀπὸ ξύλων μηδὲ ἀπὸ σιδήρου, ἀλλ' ἀπὸ χρυσοῦ. Χρυσῆ γὰρ ὄντως ἐστὶν ἡ πόλις ἡ οὕτω κατασκευαζομένη. Οὐ γὰρ ἄνθρωπός τις, ἀλλ' αὐτὸς ὁ τῶν ὅλων βασιλεὺς ταύτην μέλλει τὴν πόλιν οἰκεῖν, ἐὰν κατασκευασθῇ. Καὶ τοῦ λόγου προϊόντος ὄψεσθε, ὅπου καὶ τὰ βασίλεια αὐτῷ τάττομεν.

Κατασκευάσωμεν οὖν αὐτῇ θύρας καὶ μοχλοὺς ἀπὸ χρυσίου, τὰ λόγια τοῦ Θεοῦ, καθὼς ὁ προφήτης φησίν· «τὰ λόγια τοῦ Θεοῦ ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου»· «ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν». Διδάσκωμεν ταῦτα διὰ παντὸς ἐν τοῖς χείλεσι στρέφεσθαι, καὶ ἐν τοῖς περιπάτοις, μὴ ἁπλῶς μηδὲ περιέργως μηδὲ σπανιάκις, ἀλλὰ διηνεκῶς. Οὐ λεπίδας χρυσοῦ μόνον ἐπικεῖσθαι δεῖ ταῖς θύραις, ἀλλ' ὅλας δι' ὅλου ἀπὸ χρυσοῦ κατεσκευάσθαι παχείας καὶ ναστάς, καὶ λίθους ἔχειν τιμίους ἀντὶ λίθων προσπεπηγότων ἔξω-

---

34. Ὁμιλία 59 εἰς τὸ κατὰ Ματθ. 6, (ΕΠΕ 11,388)· «Τοῦτο γὰρ καὶ νῦν γίνεται· καὶ τῆς ψυχῆς ἡμῖν κακῶς διακειμένης καὶ ἀθλίως καὶ θυμουμένης καὶ λοιδορουμένης... οἰκίας καὶ οἰκετῶν φροντίζομεν». Καὶ ἀμέσως πιὸ κάτω· «Νυνὶ δὲ οὐχ ἑνὸς θηρίου, ἀλλὰ πολλῶν ἡμῖν λογισμῶν τοιούτων τὴν ψυχὴν σπαραττόντων, οὐδὲ αἴσθησιν λαμβάνομεν. Καὶ ἐν μὲν τῇ πόλει τοσαύτην ποιούμεθα σπουδήν, ὡς ἐν ἐρήμῳ τόπῳ καὶ ἐν γαλεάγραις καθείργειν τὰ θηρία· καὶ οὔτε πρὸς τῷ βουλευτηρίῳ τῆς πόλεως οὔτε πρὸς τοῖς δικαστηρίοις οὔτε πρὸς τοῖς βασιλείοις, ἀλλὰ πόρρω που καὶ μακρὰν δεδεμένα κατέχομεν· ἐπὶ δὲ τῆς ψυχῆς, ἔνθα τὸ βουλευτήριον, ἔνθα τὰ βασίλεια, ἔνθα τὸ δικαστήριον, ἀνεῖται τὰ θηρία περὶ τὸν νοῦν αὐτὸν καὶ τὸν

της φοβερούς καὶ αὐστηρούς καὶ γίνε προστάτης ἐκείνων ποὺ παραβαίνονται· γιατὶ δὲν ὠφελεῖ σὲ τίποτε νὰ θεσπίζεις νόμους, ἐὰν δὲν ἀκολουθεῖ καὶ ἡ τιμωρία στοὺς παραβάτες.

27. Ὅρισε λοιπὸν νόμους στὴν πόλη αὐτὴ καὶ πρόσεχε νὰ τηροῦνται μὲ ἀκρίβεια· γιατὶ ἡ νομοθεσία μας εἶναι ὑπὲρ τῆς οἰκουμένης· χτίζομε σήμερα πόλη. Ἂς ὑποθέσομε λοιπὸν ὅτι οἱ περίβολοι καὶ οἱ πύλες εἶναι οἱ τέσσερις αἰσθήσεις· ὅλο τὸ ὑπόλοιπο σῶμα ἂς εἶναι σὰν τεῖχος, ἔχοντας πύλες του τοὺς ὀφθαλμούς, τὴ γλώσσα, τὴν ἀκοή, τὴν ὄσφρηση καὶ ἂν θέλεις καὶ τὴν ἀφή· γιατὶ ἀπὸ τὶς πύλες αὐτὲς καὶ μπαίνουν καὶ βγαίνουν οἱ πολίτες τῆς πόλεως αὐτῆς· δηλαδὴ οἱ λογισμοὶ ἀπὸ τὶς πύλες αὐτὲς καὶ καταστρέφονται καὶ ὁδηγοῦνται στὴν ἐπιτυχία[34].

28. Ἐμπρὸς λοιπὸν ἂς ἔρθομε πρῶτα στὴν πύλη τῆς γλώσας, ἐπειδὴ αὐτὴ πρὸ πάντων εἶναι ἐκείνη ποὺ κάμνει τὴ μεγαλύτερη ἐργασία, καὶ πρὶν ἀπὸ ὅλα τὰ ἄλλα ἂς κατασκευάσομε γι' αὐτὴν πρῶτα θυρόφυλλα καὶ μοχλούς, ὄχι ἀπὸ ξύλα οὔτε ἀπὸ σίδερο, ἀλλὰ ἀπὸ χρυσό. Καὶ πραγματικὰ εἶναι χρυσὴ ἡ πύλη αὐτὴ ποὺ κατασκευάζεται. Γιατὶ δὲν πρόκειται κάποιος ἄνθρωπος νὰ κατοικήσει σ' αὐτὴν τὴν πόλη, ἀλλ' ὁ βασιλιὰς τῶν πάντων, ἂν κατασκευασθεῖ ὅπως πρέπει. Καὶ ὅσο προχωρεῖ ὁ λόγος θὰ γνωρίσετε καὶ ποῦ τοποθετοῦμε τὰ ἀνάκτορα αὐτοῦ.

Ἂς κατασκευάσομε λοιπὸν γι' αὐτὴν θυρόφυλλα καὶ μοχλοὺς ἀπὸ χρυσό, τὰ λόγια τοῦ Θεοῦ, ὅπως λέγει ὁ προφήτης· «τὰ λόγια τοῦ Θεοῦ εἶναι στὸ στόμα μου πιὸ γλυκὰ ἀπὸ μέλι καὶ κερί»[35], καὶ «πιὸ ἐπιθυμητὰ ἀπὸ χρυσάφι καὶ λίθο πολύτιμο»[36]. Ἂς διδάσκομε αὐτὰ νὰ ἔχουν τὰ λόγια αὐτὰ διαρκῶς στὰ χείλη τους, καὶ στοὺς περιπάτους ἀκόμη, ὄχι ἔτσι ἁπλὰ καὶ περίεργα οὔτε καὶ σπάνια, ἀλλὰ διαρκῶς[37]. Καὶ ἂς μὴ τοποθετήσομε στὰ θυρόφυλλα μόνο μιὰ φλούδα χρυσοῦ, ἀλλὰ ἂς τὰ κατασκευάσομε ἐξ ὁλοκλήρου ἀπὸ χρυσὸ χονδρὰ καὶ βαριά, καὶ ἂς ἔχουν ἀπὸ μέσα λίθους πολύτι-

θρόνον τὸν βασιλικὸν κράζοντα καὶ θορυβοῦντα».

35. *Ψαλμ.* 118,103.

36. *Ψαλμ.* 8,10–11.

37. *Ὁμιλία 9 εἰς τὴν πρὸς Κολ. 2*, (ΕΠΕ 22,266)· «Ἐπειδὴ ἡ ἀνάγνωσις ἔχει πόνον καὶ πολὺ τὸ φορτικόν, οὐκ ἐφ' ἱστορίας ἤγαγεν, ἀλλ' ἐπὶ ψαλμούς, ἵνα ὁμοῦ καὶ τέρπῃς τὴν ψυχὴν ᾄδων καὶ ὑποκλέπτῃς τὸν πόνον».

θεν. Μοχλὸς δὲ ἔστω τῶν θυρῶν τούτων ὁ τοῦ Κυρίου σταυρός, ὅλος δι' ὅλου ἀπὸ λίθων κατεσκευασμένος τιμίων καὶ διὰ μέσων βεβλημένος τῶν θυρῶν πλάγιος. Ὅταν δὲ τὰς θύρας οὕτω παχείας κατασκευάσωμεν καὶ χρυσᾶς καὶ τὸν μοχλὸν ἐπιθῶμεν, ἀξίους καὶ τοὺς πολίτας κατασκευάσωμεν· ποίους δὴ τούτους; Ῥήματα παιδεύοντες τὸ παιδίον φθέγγεσθαι σεμνὰ καὶ εὐσεβῆ. Καὶ ξενηλασίαν ποιῶμεν πολλήν, ὥστε μὴ μιγάδας τινὰς καὶ φθόρους ἀνθρώπους ἐπεισιέναι τοῖς πολίταις τούτοις· τοὺς ὑβριστικοὺς λόγους καὶ λοιδόρους, τοὺς ἀνοήτους, τοὺς αἰσχρούς, τοὺς βιωτικούς, τοὺς κοσμικούς, πάντας ἐξελάσωμεν. Καὶ μηδεὶς διὰ τούτων βαδιζέτω τῶν πυλῶν, ἀλλ' ὁ βασιλεὺς μόνος. Καὶ αὐτῷ καὶ τοῖς αὐτοῦ πᾶσιν ἔστω ἀνεῳγμένη αὕτη ἡ πύλη, ἵνα καὶ περὶ αὐτῆς λέγηται· «αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ». Καὶ κατὰ τὸν μακάριον Παῦλον· «εἴ τις ἀγαθὸς λόγος πρὸς οἰκοδομήν, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν». Εὐχαριστία ἔστωσαν οἱ λόγοι, ὕμνοι σεμνοί· περὶ τοῦ Θεοῦ διαλεγέσθωσαν ἀεί, περὶ φιλοσοφίας τῆς ἄνω.

29. Πῶς οὖν ἔσται τοῦτο; καὶ πόθεν αὐτοὺς παιδεύσομεν; Ἂν σφοδροὶ κριταὶ τῶν γινομένων ὦμεν· καὶ γὰρ τῷ παιδὶ πολλὴ ἡ εὐκολία. Πῶς; Οὐχ ὑπὲρ χρημάτων μάχεται, οὐχ ὑπὲρ δόξης· ἔτι παιδίον ἐστίν· οὐχ ὑπὲρ γυναικός, οὐχ ὑπὲρ παίδων, οὐχ ὑπὲρ οἰκίας. Ὥστε ποίαν ἂν ἔχοι ὕβρεως καὶ βλασφημίας τὴν αἰτίαν; πρὸς ὁμήλικας ὁ ἀγὼν ἅπας αὐτῷ.

30. Θὲς νόμον εὐθέως, μηδένα ὑβρίζειν, μηδένα βλασφημεῖν, μὴ

---

38. *Ὁμιλία 55 εἰς τὴν Γεν. 5,* (ΕΠΕ 4,404)· «... καὶ τὰ πάθη τῆς σαρκὸς καταστέλλωμεν καὶ ἐξορίσωμεν ἐκ τῆς ἑαυτῶν ψυχῆς πᾶσαν ἐπιθυμίαν ἄτοπον, πάντα πονηρὸν λογισμόν, ὀργήν, θυμόν, βασκανίαν..».

39. *Ψαλμ.* 117,20.

40. *Ἐφεσ.* 4,29.

41. *Ἐφ.* 5,3–4.

42. *Ὁμιλία 62 εἰς τὸ κατὰ Ματθ. 4,* (ΕΠΕ 11,472)· «Τὸ παιδίον οὐ λυπεῖται, ἐφ' οἷς ἡμεῖς, οἷον ἐπὶ ζημίᾳ χρημάτων καὶ τοῖς τοιούτοις· οὐ χαίρει πάλιν ἐφ' οἷς ἡμεῖς, τοῖς ἐπικήροις τούτοις, οὐκ ἐπτόηται πρὸς κάλλη σωμάτων»· καὶ *Ὁμιλία 58 εἰς τὸ κατὰ Ματθ. 2,* (ΕΠΕ 11,328)· «Καὶ γὰρ φθόνου καθαρὸν τὸ παιδίον καὶ κενοδοξίας καὶ τοῦ τῶν πρωτείων ἐρᾶν, καὶ τὴν μεγίστην κέκτηται ἀρετήν, τὴν ἀφέλειαν καὶ τὸ ἄπλαστον καὶ ταπεινόν... Τὸ παιδίον κἂν ὑβρίζηται κἂν δοξάζηται κἂν τύπτηται κἂν τιμᾶται, οὔτε ἐκεῖθεν δυσχεραίνει καὶ βασκαίνει οὔτε ἐντεῦθεν ἐπαίρεται». Καὶ ἀμέσως πιὸ κάτω· «Τὸ γὰρ τοιοῦτον παιδίον καὶ ἀπονοίας καὶ δοξομανίας

μους, ἀντὶ νὰ ἔχουν ἐξωτερικὰ συγκολλημένους λίθους. Μοχλὸς τῶν θυροφύλλων αὐτῶν ἂς εἶναι ὁ σταυρὸς τοῦ Κυρίου, κατασκευασμένος ἐξ ὁλοκλήρου ἀπὸ πολύτιμους λίθους καὶ τοποθετημένος στὸ μέσο τῶν θυροφύλλων καὶ σὲ θέση πλάγια. Καὶ ὅταν κατασκευάσομε ἔτσι τὰ θυρόφυλλα χονδρὰ καὶ χρυσὰ καὶ τοποθετήσομε καὶ τὸ μοχλό, στὴ συνέχεια ἂς κατασκευάσομε ἀντάξιους αὐτῆς καὶ τοὺς πολίτες της. Καὶ ποιοί εἶναι αὐτοί; Ἂς διδάσκομε τὸ παιδὶ νὰ λέγει λόγια σεμνὰ καὶ εὐσεβῆ. Καὶ ἂς ἀπομακρύνομε προσεκτικὰ κάθε ξένον, ὥστε νὰ μὴ μποῦν ἀνάμεσα στοὺς πολίτες αὐτοὺς τίποτε μιγάδες καὶ φθοροποιοὶ ἄνθρωποι· δηλαδὴ ἂς ἀπομακρύνομε τοὺς ὑβριστικοὺς καὶ χλευαστικοὺς λόγους, τοὺς ἀνόητους, τοὺς αἰσχρούς, τοὺς κοσμικοὺς καὶ τοὺς ἀναγκαίους γιὰ τὴν ἐξεύρεση πόρων ζωῆς[38]. Καὶ κανένας ἂς μὴ μπαίνει ἀπὸ αὐτὲς τὶς πύλες, ἀλλὰ μόνο ὁ βασιλιάς. Καὶ αὐτὴ ἡ πύλη ἂς εἶναι ἀνοιγμένη γι' αὐτὸν καὶ γιὰ ὅλους τοὺς δικούς του, ὥστε νὰ λέγεται καὶ γι' αὐτήν· «αὐτὴ εἶναι ἡ πύλη τοῦ Κυρίου, καὶ μόνο οἱ δίκαιοι θὰ μποῦν ἀπ' αὐτήν»[39]. Καὶ κατὰ τὸν μακάριο Παῦλο, «μόνο ἀγαθὸς λόγος νὰ βγαίνει ἀπ' αὐτὸ γιὰ νὰ οἰκοδομεῖ καὶ νὰ ὠφελεῖ ἐκείνους ποὺ τὸν ἀκοῦν»[40]. Τὰ λόγια του νὰ εἶναι λόγια εὐχαριστίας πρὸς τὸ Θεὸ καὶ ὕμνοι σεμνοί[41]· ἂς μιλοῦν πάντοτε γιὰ τὸ Θεό, γιὰ τὴν οὐράνια φιλοσοφία.

29. Πῶς λοιπὸν θὰ γίνει αὐτό; καὶ μὲ ποιό τρόπο θὰ παιδαγωγήσομε αὐτά; Ἂν εἴμαστε αὐστηροὶ κριτὲς τῶν πράξεών του· γιατὶ αὐτὸ εἶναι πολὺ εὔκολο γιὰ τὸ παιδί. Πῶς; Γιατὶ δὲν ἀγωνίζεται γιὰ χρήματα, οὔτε γιὰ δόξα· εἶναι ἀκόμη παιδί· δὲν ἐνδιαφέρεται γιὰ γυναίκα, οὔτε γιὰ παιδιά, οὔτε γιὰ σπίτι[42]. Ἑπομένως ποιά ἀφορμὴ θὰ μποροῦσε νὰ ἔχει γιὰ ὕβρη καὶ βλασφημία; Ὅλος ὁ ἀγώνας του εἶναι πρὸς τοὺς συνομήλικές του.

30. Ὅρισέ του ἀμέσως νόμο νὰ μὴ βρίζει κανένα, οὔτε νὰ βλα-

καὶ βασκανίας καὶ φιλονεικίας καὶ πάντων τῶν τοιούτων ἀπήλλακται παθῶν, καὶ πολλὰς ἔχον τὰς ἀρετάς, ἀφέλειαν, ταπεινοφροσύνην, ἀπραγμοσύνην, ἐπ' οὐδενὶ τούτων ἐπαίρεται· ὅπερ διπλῆς ἐστι φιλοσοφίας, τό τε κεκτῆσθαι ταῦτα καὶ μὴ φυσᾶσθαι ἐπ' αὐτοῖς»· καὶ *Ὁμιλία 4 εἰς τὴν Α΄ πρὸς Κορ. 6* (ΕΠΕ 18,112)· «Τὰ δὲ παιδία ὑπὲρ οὐδενὸς ἀνέχεται φροντίζειν χρησίμου...».

ὀμνύναι, ἄμαχον εἶναι. Κἂν ἴδῃς τὸν νόμον παραβαίνοντα, κόλασον, ποτὲ μὲν ὄψει σφοδρᾷ, ποτὲ δὲ λόγοις δακεῖν δυναμένοις, ποτὲ δὲ ὀνειδισμοῖς· ποτὲ δὲ κολάκευσον καὶ ἐπαγγέλου· πληγὰς δὲ μὴ συνεχῶς, μηδὲ ἐθίσῃς αὐτὸν οὕτω παιδεύεσθαι· ἂν γὰρ μάθῃ παιδεύεσθαι συνεχῶς, καὶ καταφρονεῖν μαθήσεται· μαθὼν δὲ καταφρονεῖν τὰ πάντα ἀνέτρεψεν. Ἀλλὰ φοβείσθω μὲν ἀεὶ πληγάς, μὴ λαμβανέτω δέ· καὶ ἐπισειέσθω μὲν τὸ σκῦτος, μὴ καταφερέσθω δέ. Καὶ ἀπειλαὶ προχωρείτωσαν μὴ εἰς ἔργον· τοῦτο δὲ μὴ ἔστω δῆλον, ὅτι μέχρις ἀπειλῶν ἐστι τὰ ρήματα· ἀπειλὴ γὰρ τότε καλόν, ὅταν πιστεύηται, ὅτι εἰς ἔργον ἔλθῃ· ἐπεί, ἐὰν τὴν οἰκονομίαν ὁ ἡμαρτηκὼς μάθῃ, καταφρονήσει. Ἀλλὰ προσδοκάτω μὲν παιδεύεσθαι, μὴ παιδευέσθω δέ, ἵνα μὴ σβεννύηται ὁ φόβος, ἀλλ' ἵνα μένῃ καθάπερ πῦρ ἐνακμάζον καὶ πάσας πάντοθεν ἀνέλκον τὰς ἀκάνθας· ἢ καθάπερ μάκελλα ὀξεῖα καὶ βαθεῖα εἰς αὐτὸ σκάπτουσα τὸ βάθος. Ὅταν μέντοι ἴδῃς ἀπὸ τοῦ φόβου κερδάναντα, ἄνες· δεῖ γάρ τινος φύσει τῇ ἡμετέρα καὶ ἀνέσεως.

31. Δίδαξον αὐτὸν ἐπιεικῆ εἶναι καὶ φιλάνθρωπον. Κἂν ἀκόλουθον ἴδῃς ὑβριζόμενον, μὴ περιίδῃς, ἀλλὰ κόλασον τὸν ἐλεύθερον. Ὁ γὰρ εἰδώς, ὅτι οὐδὲ τὸν οἰκέτην ἔξεσται ὑβρίζειν τὸν ἑαυτοῦ, πολλῷ μᾶλλον τὸν ἐλεύθερον καὶ ὁμότιμον οὐ βλασφημήσει οὐδὲ λοιδορή-

---

43. *Ὁμιλία εἰς τὴν Ἄνναν 1* (PG 54, 634)· «Ταῦτα τὰ ἐγκώμια διεδέξατο πάλιν ἡ περὶ τῶν ὅρκων παραίνεσις· ἐπειδὴ γὰρ τὴν ἀγροικίαν ἅπασαν τῆς πόλεως εἴδομεν ἐπιβᾶσαν, ἐβουλήθημεν αὐτοῖς δόντες ἐφόδια ταῦτα οὕτως αὐτοὺς ἐκπέμψαι παρ' ἡμῶν ἅπαντας».

44. *Ὁμιλία εἰς τὸ «Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα» καὶ περὶ παίδων ἀνατροφῆς 9* (PG 51,328, ΕΠΕ τόμ. 27)· «Οὐ βουλόμενοι μαστίξαι οὐδὲ ἐπιτιμῆσαι ρήμασιν, οὐδὲ λυπῆσαι τοὺς ἑαυτῶν υἱοὺς ἀτάκτως ζῶντας καὶ παρανόμως, πολλάκις εἶδον ἐπὶ τοῖς ἐσχάτοις ἁλόντας, εἰς δικαστήριον ἁρπαγέντας, ὑπὸ δημίων ἀποτμηθέντας».

45. *Ὁμιλία εἰς τὸ «Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα» καὶ περὶ παίδων ἀνατροφῆς 8* (PG 51,328, ΕΠΕ τόμ. 27)· «Κατεῖχε μὲν καὶ ἐκώλυεν, οὐ μετὰ τῆς προσηκούσης δὲ ἀκριβείας καὶ σφοδρότητος. Δέον γὰρ μαστιγῶσαι, τῆς πατρῴας ἐκβαλεῖν οἰκίας, πάντα ἐπιδείξασθαι διορθώσεως τρόπον, παρῄνει καὶ συνεβούλευε μόνον... Διὰ τοῦτό, φησιν, ὅτι οὐκ ἐνουθέτει αὐτούς· νουθεσία γάρ ἐστιν οὐκ ἐὰν ἁπλῶς συμβουλεύσωμεν, ἀλλ' ἐὰν σφοδρότερον καὶ τομώτερον καὶ ὅσην ἡ τοῦ τραύματος ἀπαιτεῖ σηπεδών, τοσαύτην ἐπαγάγωμεν τὴν πληγήν. Οὐ τοί-

σφημεῖ, οὔτε νὰ ὁρκίζεται, καὶ ν' ἀποφεύγει τὶς φιλονεικίες[43]. Καὶ ἂν δεῖς ὅτι παραβαίνει τὸ νόμο, τιμώρησέ το, ἄλλοτε μὲ ὕφος αὐστηρό, ἄλλοτε μὲ λόγια ποὺ μποροῦν νὰ πληγώσουν, ἄλλοτε μὲ ἐπιτιμήσεις, καὶ ἄλλοτε πάλι κολάκευσέ το καὶ δός του ὑποσχέσεις. Νὰ μὴ τὸ χτυπᾶς διαρκῶς, οὔτε νὰ τὸ συνηθίσεις σὲ τέτοιο τρόπο παιδαγωγίας· γιατί, ἂν μάθει νὰ παιδαγωγεῖται ἔτσι συνεχῶς, θὰ μάθει καὶ νὰ περιφρονεῖ, καὶ ἂν μάθει νὰ περιφρονεῖ, τότε ὅλα καταστράφηκαν. Ἀλλὰ νὰ φοβᾶται βέβαια πάντοτε τὸ ξύλο, νὰ μὴ δέρνεται ὅμως· καὶ νὰ δείχνεται τὸ μαστίγιο, ἀλλὰ νὰ μὴ μαστιγώνεται. Οἱ ἀπειλὲς ἐπίσης νὰ μὴ πραγματοποιοῦνται· ἀλλ' αὐτὸ νὰ μὴ εἶναι φανερό, ὅτι τὰ λόγια φθάνουν μόνο μέχρι τὶς ἀπειλές· γιατὶ ἡ ἀπειλὴ τότε εἶναι καλή, ὅταν πιστεύεται ὅτι θὰ πραγματοποιηθεῖ· ἂν ὅμως ἐκεῖνος ποὺ ἔφταιξε μάθει τὴν ἐπιείκεια, θὰ δείξει περιφρόνηση[44]. Νὰ περιμένει λοιπὸν τὴν παιδαγωγικὴ τιμωρία, νὰ μὴ τιμωρεῖται ὅμως γιὰ νὰ μὴ σβήνει ὁ φόβος, ἀλλὰ νὰ μένει σὰν ἀκριβῶς φωτιὰ φουντωμένη, καταστρέφοντας ἀπὸ παντοῦ ὅλα τὰ ἀγκάθια· ἢ σὰν κοφτερὴ καὶ μεγάλη τσάπα, ποὺ σκάβει πολὺ βαθιά. Ὅταν ὅμως δεῖς, ὅτι ὁ φόβος ὠφέλησε, ἄφησέ τον· γιατὶ ἡ φύση μας ἔχει ἀνάγκη καὶ ἀπὸ κάποια ἄνεση[45].

31. Δίδαξέ το νὰ εἶναι γεμάτο ἐπιείκεια καὶ φιλανθρωπία καὶ ἂν δεῖς νὰ συμπεριφέρεται μὲ αὐθάδεια στὸ συνοδό του, μὴ τὸ παραβλέψεις αὐτό, ἀλλὰ τιμώρησε τὸν ἐλεύθερο. Γιατί, ἐκεῖνος ποὺ γνωρίζει ὅτι δὲν ἐπιτρέπεται οὔτε πρὸς τὸν δοῦλο του νὰ φέρεται ὑβριστικά, πολὺ περισσότερο δὲν θὰ βλασφημήσει οὔτε καὶ θὰ

νυν ἀρκεῖ τὸ εἰπεῖν οὐδὲ τὸ παραινέσαι μόνον, ἀλλὰ πολὺν ἐπιτειχίσαι δεῖ τὸν φόβον, ὥστε τὴν τῆς νότητος περικόψαι ραθυμίαν». "Ὁ γὰρ περιψύχων τὸν υἱὸν τὸν ἑαυτοῦ, καταδεσμεύσει τὰ τραύματα αὐτοῦ'. Τί ἐστιν, ὁ περιψύχων; Ὁ ἐλεῶν, ὁ κολακεύων, ὁ θεραπεύων ὑπὲρ τὸ μέτρον. Σφοδρότητος γὰρ οὗτος καὶ ἐπιμελείας δεῖται καὶ φόβων. Ταῦτα λέγω, οὐχ ἵνα λίαν τραχεῖς ὦμεν τοῖς παισίν, ἀλλ' ἵνα μὴ εὐκαταφρόνητοι πρὸς αὐτοὺς φαινώμεθα». Καὶ *Ὁμιλία 35 εἰς τὸ κατὰ Ματθ. 4,* (ΕΠΕ 10,520·. «Καὶ πολλάκις ὁ πατὴρ τῷ μὲν παιδαγωγῷ ὑβρίσαντι τὸν παῖδα κατ' ἰδίαν ἐπιτιμᾷ λέγων, 'μὴ ἔσο τραχὺς μηδὲ σκληρός', τῷ δὲ νέῳ τὰ ἐναντία λέγει· 'κἂν ἀδίκως ὑβρίζῃ, φέρε', ἀπὸ τῶν ἐναντίων ἕν τι χρήσιμον συνάγων»· καὶ *Ὁμιλ. 15 εἰς τὸ κατὰ Ματθ. 6* (ΕΠΕ 9,490–492)· «...οὐχ ἁπλῶς διδασκάλους, ἀλλὰ καὶ φοβερούς. Τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ κολακεύοντες οὐδὲ θεραπεύοντες, ἀλλ' ἐπιστύφοντες ὥσπερ τὸ ἅλας, οὕτω ποθεινοὶ πᾶσι γεγόνασιν».

σεται. Ἀπὸ κακίας τὸ στόμα ἀπόρραψον. Ἂν ἴδῃς διαβάλλοντά τινα, ἐπιστόμισον, καὶ τὴν γλῶτταν κατὰ τῶν ἁμαρτημάτων τῶν αὐτοῦ μετάστησον.

32. Ταῦτα καὶ τῇ μητρὶ παραίνει διαλέγεσθαι τῷ παιδὶ καὶ τῷ παιδαγωγῷ καὶ τῷ ἀκολούθῳ, ὥστε πάντας ὁμοῦ φύλακας εἶναι καὶ παρατηρεῖν μηδένα προπηδᾶν τῶν λογισμῶν ἐκείνων τῶν πονηρῶν ἀπὸ τοῦ παιδίου καὶ τοῦ στόματος ἐκείνου καὶ τῶν θυρῶν τῶν χρυσῶν.

33. Καὶ μή μοι νομίσῃς πολλοῦ τὸ πρᾶγμα δεῖσθαι καιροῦ. Ἂν παρὰ τὴν ἀρχὴν ἐπιθῇ καὶ ἀπειλήσῃς καὶ τοσούτους ἐπιστήσῃς φύλακας, δύο μῆνες ἀρκοῦσι, καὶ τὸ πᾶν κατώρθωται καὶ τὸ πρᾶγμα εἰς φύσεως βεβαιότητα καθίσταται.

34. Αὕτη μὲν οὖν ἡ πύλη οὕτως ἀξία γένοιτ' ἂν τοῦ Κυρίου, ὅταν μήτε αἰσχρότης, μήτε εὐτραπελία, μήτε ἀνόητον, μήτε ἄλλο μηδὲν φθέγγηται, ἀλλὰ πάντα τὰ τῷ Δεσπότῃ πρέποντα. Εἰ γὰρ οἱ τὴν σωματικὴν στρατείαν παιδεύοντες τοὺς ἑαυτῶν παῖδας εὐθέως τοὺς στρατευομένους καὶ τοξεύειν διδάσκουσι καὶ χλανίδα ἀμφιέννυσθαι καὶ ἵππον ἀναβαίνειν, καὶ οὐδὲν ἡ ἡλικία κώλυμα γίνεται, πολλῷ μᾶλλον τοὺς ἄνω στρατευομένους τὸν κόσμον ἅπαντα περιτίθεσθαι χρὴ τοῦτον τὸν βασιλικόν. Μανθανέτω τοίνυν τῷ Θεῷ ψάλλειν, ἵνα μὴ σχολάζῃ αἰσχραῖς ᾠδαῖς καὶ διηγήσεσιν ἀκαίροις.

35. Καὶ αὕτη μὲν ἡ πύλη οὕτως ἀσφαλιζέσθω, καὶ οἱ πολῖται κα-

---

46. *Ὁμιλία 6 εἰς Παῦλον* (ΕΠΕ 36,504–506)· «Ἀλλ' εἰ βούλει προαίρεσιν γενναίαν ἔχειν, τοῦτο στερρότερον ἐκείνου γίνεται. Ἢ οὐχ ὁρᾷς τῶν μαρτύρων ξίφεσι τὰ σώματα τεμνόμενα, καὶ τὴν μὲν φύσιν εἴκουσαν τῷ σιδήρῳ, τὴν δὲ προαίρεσιν οὐ παραχωροῦσαν αὐτῷ οὐδὲ ἐλεγχομένην; Οὐκ εἶδες ἐπὶ τοῦ Ἀβραάμ, εἰπέ μοι, προαίρεσιν φύσεως κρατήσασαν ἡνίκα τὸν παῖδα σφαγιάσαι ἐκελεύσθη, καὶ ταύτης ἐκείνην δυνατωτέραν φανεῖσαν; Οὐκ εἶδες ἐπὶ τῶν τριῶν παίδων τὸ αὐτὸ τοῦτο συμβάν; οὐκ ἀκούεις καὶ τῆς ἔξωθεν παροιμίας λεγούσης, ὅτι 'δευτέρα φύσις ἡ προαίρεσις γίνετι ἐκ συνηθείας';»· καὶ *Ὁμιλ. 7 εἰς τὴν Α' πρὸς Κορ. 6* (ΕΠΕ 18,198)· «Ἴστε γὰρ ὡς οὐδὲν οὕτως ἰσχυρὸν παρ' ἀνθρώποις ὡς συνηθείας παλαιὰ τυραννίς. Οὐδὲν γὰρ οὕτω θορυβεῖ ψυχήν, κἂν ἐπὶ χρησίμῳ τινὶ γένηται, ὡς καινοτομεῖν τι καὶ ξενίζειν καὶ μάλιστα ὅταν περὶ λατρείας καὶ τῆς τοῦ Θεοῦ δόξης τοῦτο γίνηται».

47. *Ὁμιλία 17 εἰς τὴν πρὸς Ἐφ. 3* (ΕΠΕ 21,134)· «Ποῦ γὰρ οὐκ ἔστι τοῦτο τὸ νόσημα λοιπόν; ἤδη καὶ ἐν τῇ Ἐκκλησίᾳ εἰσῆκται, ἤδη καὶ τῶν Γραφῶν ἥψατο»· καὶ *Ὁμιλία 21 εἰς τὴν πρὸς Κολ. 1* (ΕΠΕ 22,302)· «Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι.

κακολογήσει τὸν ἐλεύθερο καὶ ὁμότιμό του. Ράψε τὸ στόμα του γιὰ τὰ κακὰ λόγια. Ἂν δεῖς νὰ κατηγορεῖ κάποιον κλεῖσε τὸ στόμα του καὶ μετάφερε τὴ γλώσσα του στὰ δικά του σφάλματα.

32. Αὐτὰ συμβούλευε καὶ τὴ μητέρα καὶ τὸν παιδαγωγὸ καὶ τὸν συνοδό του νὰ τὰ λέγουν στὸ παιδί, ὥστε ὅλοι μαζὶ νὰ εἶναι φύλακες, προσέχοντας νὰ μὴ βγαίνει καμιὰ ἀπὸ τὶς πονηρὲς ἐκεῖνες σκέψεις ἀπὸ τὸ στόμα τοῦ παιδιοῦ καὶ τὶς χρυσὲς θύρες του.

33. Καὶ μὴ νομίσεις, σὲ παρακαλῶ, ὅτι τὸ πράγμα αὐτὸ χρειάζεται πολὺ χρόνο. Ἂν ἀπὸ τὴν ἀρχὴ δείξεις αὐστηρότητα καὶ τὸ φοβερίσεις καὶ βάλεις τόσους φύλακες, εἶναι ἀρκετοὶ δύο μῆνες γιὰ νὰ κατορθωθεῖ τὸ πᾶν καὶ τὸ πράγμα ἀποκτὰ κατὰ κάποιο τρόπο φυσικὴ σταθερότητα[46].

34. Αὐτὴ λοιπὸν ἡ πύλη τῆς γλώσσας τότε θὰ μποροῦσε νὰ γίνει ἐπάξια τοῦ Κυρίου, ὅταν δὲν λέγει οὔτε αἰσχρὰ λόγια, οὔτε εὐτράπελα[47], οὔτε ἀνόητα, οὔτε τίποτε ἄλλο, ἀλλὰ μόνο ὅλα ἐκεῖνα ποὺ ταιριάζουν στὸν Κύριο. Γιατί, ἂν ἐκεῖνοι ποὺ ἑτοιμάζουν τὰ παιδιά τους γιὰ τὴ στρατιωτικὴ ὑπηρεσία, διδάσκουν τοὺς ὑποψήφιους στρατιῶτες καὶ νὰ τοξεύουν καὶ νὰ φοροῦν τὸ στρατιωτικὸ μανδύα καὶ νὰ ἱππεύουν, καὶ δὲν γίνεται κανένα ἐμπόδιο ἡ ἡλικία τους, πολὺ περισσότερο πρέπει νὰ φοροῦν ὅλον αὐτὸν τὸν βασιλικὸ στολισμὸ οἱ στρατιῶτες τῆς οὐράνιας βασιλείας. Ἂς μαθαίνουν λοιπὸν νὰ ψάλλουν στὸ Θεό, γιὰ νὰ μὴ τὰ δίνεται ἡ εὐκαιρία ν' ἀσχολοῦνται μὲ αἰσχρὰ ἄσματα καὶ φλύαρα διηγήματα[48].

35. Ἔτσι λοιπὸν ν' ἀσφαλίζεται αὐτὴ ἡ πύλη καὶ ἐκεῖνοι μόνο

ἅλατι ἠρτυμένος, τουτέστιν μὴ εἰς ἀδιαφορίαν χαρίεν ἐκπίπτειν· ἔνι γὰρ καὶ χαριεντίζεσθαι, ἔνι καὶ μετὰ τῆς προσηκούσης κοσμιότητος».

48. *Ὁμιλία 37 εἰς τὸ κατὰ Ματθ. 5* (ΕΠΕ 10,584)· «Καθάπερ γὰρ ρύπος καὶ πηλὸς τὰ ὦτα τῆς σαρκός, οὕτω τὰ πορνικὰ ᾄσματα καὶ τὰ βιωτικὰ διηγήματα καὶ τὰ χρέα καὶ τὰ περὶ τόκων καὶ δανεισμάτων ρύπου παντὸς χαλεπώτερον ἐμφράττει τῆς διανοίας τὴν ἀκοήν· μᾶλλον δὲ οὐκ ἐμφράττει μόνον, ἀλλὰ ρ οὕτως ἀνίστησι ψυχὴν καὶ πτεροῖ καὶ τῆς γῆς ἀπαλλάττει καὶ τοῦ σώματος ἀπολύει δεσμῶν καὶ φιλοσοφεῖν ποιεῖ καὶ πάντων καταγελᾶν τῶν βιωτικῶν ὡς μέλος συμφωνίας καὶ ρυθμῷ συγκείμενον θεῖον ᾆσμα»· καὶ *Ὁμιλία 9 εἰς τὴν πρὸς Κολ. 2* (ΕΠΕ 22,266)· «Νῦν δὲ σατανικὰς μὲν ᾠδὰς καὶ ὀρχήσεις ἐροῦσιν οἱ παῖδες οἱ ὑμέτεροι, καθάπερ οἱ μάγειροι καὶ οἱ ὀψῶναι καὶ οἱ χορευταί· ψαλμὸν δὲ οὐδεὶς οὐδένα οἶδεν, ἀλλὰ καὶ αἰσχύνη τὸ πρᾶγμα δοκεῖ εἶναι καὶ χλευασία καὶ γέλως».

ταλεγέσθωσαν ἐκεῖνοι· τοὺς δὲ ἄλλους ἔνδον θανατῶμεν, καθάπερ αἱ μέλισσαι τοὺς κηφῆνας, μὴ ἐῶντες ἔξω προχωρεῖν μηδὲ βομβεῖν.

36. Ἴωμεν δὴ καὶ ἐφ' ἑτέραν πύλην· ποίαν δὴ ταύτην; Τὴν ἐγγὺς αὐτῆς κειμένην καὶ πολλὴν πρὸς αὐτὴν τὴν συγγένειαν ἔχουσαν, τὴν ἀκοὴν λέγω. Ἐκείνη μὲν γὰρ ἔσωθεν ἐξιόντας ἔχει τοὺς πολίτας, καὶ οὐδεὶς δι' ἐκείνης εἰσέρχεται, αὕτη δὲ ἔξωθεν εἰσιόντας, καὶ οὐδεὶς δι' αὐτῆς ἐξέρχεται. Πολλὴν τοίνυν ἔχει τὴν συγγένειαν αὕτη πρὸς ἐκείνην· ἂν γὰρ μηδένα τῶν φθόρων καὶ διεφθαρμένων συγχωρῇ τῶν οὐδῶν ἐπιβαίνειν τῶν αὐτῆς, οὐ πολλὴν παρέχει τῷ στόματι τὴν δυσκολίαν· ὁ γὰρ μὴ ἀκούων αἰσχρὰ μηδὲ πονηρὰ οὐδὲ φθέγγεται αἰσχρά· ὡς ἐὰν αὕτη ἀναπεπταμένη πᾶσιν ᾖ, ἐκείνη λυμανεῖται καὶ τοῖς ἔνδον πᾶσι θόρυβον ποιήσει. Καὶ τάχα περὶ ταύτης προτέρας ἐχρῆν ἅπαντα εἰπεῖν καὶ προτέραν ἀποφράξαι τὴν εἴσοδον.

37. Μηδὲν οὖν ἄτοπον ἀκουέτωσαν οἱ παῖδες μήτε παρὰ οἰκετῶν μήτε παρὰ παιδαγωγοῦ μήτε παρὰ τροφέων. Ἀλλὰ καθάπερ τὰ φυτὰ τότε μάλιστα πολλῆς χρείαν ἔχει τῆς ἐπιμελείας, ὅταν ἁπαλὰ ᾖ, οὕτω καὶ οἱ παῖδες· ὥστε τροφέων προνοῶμεν ἀγαθῶν, ἵνα αὐτοῖς ἐκ κρηπῖδος καλὸς θεμέλιος βάλληται, καὶ μηδὲν ὅλως ἐξ ἀρχῆς παραδέχωνται πονηρόν.

38. Μὴ τοίνυν, μηδὲ μύθους ἀκουέτωσαν γραώδεις καὶ ληρώδεις. 'Ὁ δεῖνα', φησί, 'τὴν δεῖνα ἐφίλησεν· ὁ τοῦ βασιλέως υἱὸς καὶ ἡ μικροτέρα θυγάτηρ τόδε ἐποίησεν'. Μηδὲν τούτων ἀκουέτωσαν· ἀλλ'

---

49. *Ὁμιλία εἰς τό, «Διὰ δὲ τὰ πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω», Α' Κορ. 7,2, 1* (PG 51,209, ΕΠΕ τόμ. 27)· «Ὥσπερ οὖν τῷ πυρὶ τὰ ξύλα τροφὴ γίνεται καὶ ὕλη, οὕτω τοῖς πονηροῖς βουλεύμασι ῥήματα. Διὰ τοῦτο οὐ χρὴ πάντα, ἅπερ ἂν ἔχωμεν ἐν διανοίᾳ, φθέγγεσθαι πάντως, ἀλλὰ σπουδάζειν μὲν τῆς διανοίας αὐτῆς ἐξορίζειν τὰς πονηρὰς ἐπιθυμίας καὶ πᾶσαν αἰσχρὰν ἔννοιαν. Εἰ δέ ποτε λαθόντες παραδεξόμεθα ῥυπαροὺς λογισμούς, μηδέποτε διὰ τῆς γλώσσης αὐτοὺς ἐκφέρωμεν, ἀλλ' ἀποπνίγωμεν αὐτοὺς διὰ τῆς σιγῆς. Καὶ γὰρ καὶ θηρία καὶ ἑρπετὰ εἰς λάκκον ἐμπίπτοντα, ἂν μὲν εὕρῃ τινὰ διέξοδον ἄνωθεν ἀναβάντα ἀγριώτερα γίνεται, ἂν δὲ μένῃ κάτω διηνεκῶς συγκεκλεισμένα πάντοτε, ἀπόλλυται ῥᾳδίως καὶ ἀφανίζεται, οὕτω δὴ καὶ τὰ πονηρὰ ἐνθυμήματα· ἂν μὲν εὕρῃ τινὰ διὰ τοῦ στόματος ἡμῶν καὶ τῶν ῥημάτων ἔξοδον, ἀνάπτει τὴν ἔνδον φλόγα, ἂν δὲ ἀποκλείσῃς αὐτὰ διὰ τῆς σιγῆς, ἀσθενέστερα γίνεται καὶ καθάπερ λιμῷ τηκόμενα τῇ σιωπῇ ταχέως ἀποθνήσκει τῇ διανοίᾳ».

50. Ὁμιλία προηγούμενη 1 (PG 51,208–209, ΕΠΕ τόμ. 27)· «Καθάπερ ἐπὶ τῆς αἰσθητῆς τραπέζης κατὰ τὴν φύσιν τῶν ἐδεσμάτων καὶ ἡ τῆς ἐρυγῆς ποιότης ἐκδί-

νὰ θεωροῦνται πολίτες τῆς πόλεως αὐτῆς· ὅλους τοὺς ἄλλους νὰ τοὺς θανατώνομε μέσα σ' αὐτήν, ὅπως ἀκριβῶς οἱ μέλισσὲς τοὺς κηφῆνες, μὴ ἀφήνοντάς τους νὰ βγοῦν ἔξω οὔτε νὰ θορυβοῦν[49].

36. Ἂς ἔρθουμε τώρα σὲ μιὰ ἄλλη πύλη. Ποιά λοιπὸν εἶναι αὐτή; Αὐτὴ ποὺ βρίσκεται κοντὰ στὴν προηγουμένη καὶ ἔχει μεγάλη συγγένεια μ' ἐκείνην, ἐννοῶ τὴν ἀκοή. Γιατὶ ἐκείνη ἔχει τοὺς πολίτες ποὺ βγαίνουν ἀπὸ μέσα πρὸς τὰ ἔξω καὶ κανένας δὲν μπαίνει μέσα ἀπὸ ἐκείνη τὴν πύλη, ἐνῶ αὐτῆς οἱ πολίτες μπαίνουν μέσα ἀπὸ ἔξω καὶ κανένας πολίτης δὲν βγαίνει ἀπ' αὐτήν. Ἔχει λοιπὸν μεγάλη συγγένεια αὐτὴ πρὸς ἐκείνην· γιατί, ἂν δὲν ἀφήνει νὰ μπαίνει ἀπὸ τὴν εἴσοδό της κανένας ἀπὸ τοὺς διαφθορεῖς καὶ διεφθαρμένους, τότε δὲν δυσκολεύεται καὶ πολὺ τὸ στόμα· ἂν δηλαδὴ δὲν ἀκούει αἰσχρὰ καὶ πονηρὰ λόγια, οὔτε καὶ λέγει αἰσχρὰ λόγια· ὅπως πάλι ἂν αὐτὴ εἶναι διάπλατα ἀνοιγμένη σ' ὅλους, θὰ καταστρέψει ἐκείνην καὶ θὰ προξενήσει ἀναστάτωση σ' ὅλους τοὺς μέσα πολίτες[50]. Καὶ ἴσως ἔπρεπε προηγουμένως νὰ μιλήσομε καὶ νὰ ποῦμε ὅλα τὰ σχετικὰ μ' αὐτὴν καὶ νὰ φράξομε πρῶτα τὴν εἴσοδο.

37. Τίποτε λοιπὸν τὸ ἀπρεπὲς νὰ μὴ ἀκοῦν τὰ παιδιὰ οὔτε ἀπὸ τοὺς δούλους οὔτε ἀπὸ τὸν παιδαγωγὸ οὔτε ἀπὸ τὶς τροφούς. Ἀλλά, ὅπως ἀκριβῶς τὰ φυτὰ τότε πρὸ πάντων ἔχουν μεγάλη ἀνάγκη ἀπὸ τὴ φροντίδα μας, ὅταν εἶναι τρυφερά, ἔτσι καὶ τὰ παιδιά. Ἂς φροντίζομε λοιπὸν νὰ βρίσκομε καλὲς τροφούς, ὥστε νὰ μπαίνει ἀπὸ τὴ βάση τους καλὸ θεμέλιο καὶ νὰ μὴ δέχονται αὐτὰ ἀπὸ τὴν ἀρχὴ τίποτε τὸ πονηρό.

38. Οὔτε λοιπὸν ν' ἀκοῦν γραώδη καὶ μωρὰ καὶ ἀνόητα παραμύθια. "Ο τάδε', λέγει, 'φίλησε τὴν τάδε· τὸ βασιλόπουλο καὶ ἡ βασιλοπούλα ἔκαμαν αὐτό'[51]. Τίποτε ἀπὸ αὐτὰ ἂς μὴν ἀκοῦν, ἀλλ' ἂς

δοται, οὕτω δὴ καὶ ἐπὶ τῆς τῶν ρημάτων δυνάμεως, οἷά περ ἂν σιτῶνται τοιαῦτα καὶ ἐρεύγονται πολλοὶ τῶν ἀνθρώπων. Οἷον ἐὰν εἰς θέατρον ἀναβῇς καὶ πορνικῶν ᾀσμάτων ἀκούσῃς, τοιαῦτα καὶ ἐρεύξῃ πάντως εἰς τὸν πλησίον ρήματα· ἂν δὲ εἰς τὴν ἐκκλησίαν ἐλθὼν μετάσχῃς ἀκουσμάτων πνευματικῶν, τοιαύτας ἕξεις καὶ τὰς ἐρυγάς».

51. *Ὁμιλία 5 εἰς τὴν Α' πρὸς Θεσσ. 4* (ΕΠΕ 22,464)· «Ὅταν ἴδῃς, ὥσπερ σώματος τύπῳ γυναῖκας φαινομένας, ὅταν καὶ θεάματα καὶ ᾄσματα οὐδὲν ἕτερον ἀλλ' ἢ ἔρωτας ἀτόπους ἔχοντα· ἡ δεῖνα, φησί, τὸν δεῖνα ἐφίλησε καὶ οὐκ ἐπέτυχε

ἀκουέτωσαν ἕτερα χωρὶς πάσης περιόδου, μετὰ πολλῆς τῆς ἁπλότητος. Δυνατὸν γὰρ καὶ παρὰ παίδων καὶ παρὰ ἀκολούθων· μὴ πάντων· μηδὲ γὰρ πᾶσιν ἐξέστω τοῖς οἰκέταις ἀναμείγνυσθαι, ἀλλ' ἔστωσαν φανεροί, ὥσπερ ἀγάλματι προσιόντες φανεροί, οἱ συναντιλαμβανόμενοι τῆς τέχνης ἡμῖν. Πῶς γὰρ οὐκ ἄτοπον, εἰ μὲν οἰκοδόμοι ἦμεν καὶ ἄρχοντι οἰκίαν ἐκτίζομεν, μὴ πάντας ἁπλῶς τοὺς οἰκέτας ἡμῖν ἐὰν προσιέναι τῇ οἰκοδομίᾳ, νῦν δὲ τῷ βασιλεῖ τῷ ἐπουρανίῳ πόλιν κτίζοντες καὶ πολίτας πᾶσιν ἐπιτρέπειν τὸ ἔργον; Ἀλλ' ὅσοι τῶν οἰκετῶν χρήσιμοι συναντιλαμβανέσθωσαν· εἰ δὲ μηδείς ἐστιν, ἐλεύθερον μισθῷ ζήτησον, ἄνδρα ἐνάρετον, κἀκείνῳ μάλιστα τὸ πᾶν ἐπίτρεψον, ὥστε συναντιλαβέσθαι τοῦ ἔργου.

39. Μὴ τοίνυν ἀκουέτωσαν μύθους τοιούτους. Ἀλλ' ὅταν τῶν πόνων ἀνιῆται τῶν ἀπὸ τῶν μαθημάτων (φιλεῖ γὰρ ἡ ψυχὴ τοῖς παλαιοῖς ἐνδιατρίβειν διηγήμασιν), λέγε πρὸς αὐτόν, πάσης αὐτὸν παιδιᾶς ἀπάγων (φιλόσοφον γὰρ τρέφεις καὶ ἀθλητὴν καὶ πολίτην τῶν οὐρανῶν)· λέγε τοίνυν πρὸς αὐτὸν καὶ διηγοῦ, ὅτι· «ἦσαν παρὰ τὴν ἀρχὴν δύο τινὲς παῖδες πατρὸς ἑνός, ἀδελφοὶ δύο». Εἶτα διαστήσας ἐπήγαγε· «καὶ τῆς αὐτῆς ἐξελθόντες γαστρός. Καὶ ὁ μὲν εἷς πρεσβύτερος, ὁ δὲ νεώτερος. Καὶ ὁ μὲν ἦν γεωργός, ὁ πρεσβύτερος, ὁ δὲ ποιμήν, ὁ νεώτερος. Κἀκεῖνος μὲν ἐξῆγε τὰ ποίμνια ἐπὶ νάπας καὶ λίμνας». Καὶ καταγλύκαινε τὰ διηγήματα, ὥστέ τινα εἶναι τῷ παιδὶ

καὶ ἀπήγξατο»· καὶ *Ὁμιλία 2 εἰς τὴν Β' πρὸς Θεσσ. 4* (ΕΠΕ 23,40)· «Ὁδὸς γὰρ ἐπὶ τὰ ἔργα λόγος ἐστί· πρῶτον ἐννοοῦμεν, εἶτα φθεγγόμεθα, εἶτα πράττομεν», 'πᾶσα διήγησίς σου ἔστω ἐν νόμῳ Ὑψίστου'. Διὸ παρακαλῶ, ἀπὸ τίτθης τὰ παιδία λαμβάνοντες μὴ μύθοις γραϊκοῖς ἐνεθίζωμεν, ἀλλ' ἐκ πρώτης ἡλικίας μανθανέτω, ὅτι κρίσις ἐστί, ὅτι κόλασις...». Ἐπίσης *Ὁμιλία 21 εἰς τὴν πρὸς Ἐφεσ. 1* (ΕΠΕ 21,250–252)· «...τῇ δὲ ἀνοίᾳ προσθήκη γίνεται καὶ τὰ παρὰ τῶν ἔξωθεν λόγων, ὅταν μάθωσιν ἐκεῖ τοὺς παρ' αὐτοῖς θαυμαζομένους ἥρωας παθῶν δούλους ὄντας καὶ δειλοὺς πρὸς θάνατον· οἷον δ' Ἀχιλλεὺς ὅταν μετανοῇ, ὅταν ὑπὲρ παλλακίδος ἀποθνήσκῃ, ὅταν ἕτερος μαθύῃ καὶ ἕτερα πολλὰ τοιαῦτα».

52. *Ὁμιλία 9 εἰς τὴν πρὸς Κολ. 2* (ΕΠΕ 22,266–268)· «Ὥστε μὴ μόνον φίλοις, ἀλλὰ μηδὲ οἰκέταις ἀναμιγνύναι ἑαυτοὺς ἀσφαλίζεσθε· τὰ γὰρ μυρία κακὰ τοῖς ἐλευθέροις ὅταν δούλους αὐτοῖς ἐπιστήσωμεν διεφθαρμένους. Εἰ γὰρ πατρὸς ἀπολαύοντες καὶ φιλοστοργίας καὶ φιλοσοφίας τοιαύτης μόλις διασῴζονται, ὅταν αὐτοὺς ἐκδῶμεν τῇ ἀφειδίᾳ τῶν οἰκετῶν, καθάπερ ἐχθροῖς αὐτοῖς κέχρηνται, νομίζοντες αὐτοῖς τὴν δεσποτείαν εἶναι ἡμεροτέραν, ἂν μωροὺς αὐτοὺς ἀπεργάσωνται καὶ φαύλους καὶ οὐδενὸς λόγου ἀξίους. Πρὸ τῶν ἄλλων οὖν ἁπάντων ταῦτα σπουδάζωμεν».

ἀκοῦν ἄλλα, χωρὶς καμιὰ περιπλοκὴ νοημάτων, ἀλλὰ μὲ μεγάλη ἁπλότητα. Κι αὐτὸ βέβαια εἶναι δυνατὸ νὰ γίνει καὶ ἀπὸ τοὺς δούλους καὶ ἀπὸ τοὺς συνοδούς, ἀλλ' ὄχι ἀπὸ ὅλους· νὰ μὴ ἐπιτρέπεται σ' ὅλους τοὺς δούλους ν' ἀναμειγνύονται[52], ἀλλὰ νὰ εἶναι δοκιμασμένοι ἐκεῖνοι ποὺ θὰ μᾶς βοηθοῦν στὴν τέχνη μας, ὅπως ἀκριβῶς εἶναι ἔμπειροι ἐκεῖνοι ποὺ βοηθοῦν στὴν ἐπεξεργασία τοῦ ἀγάλματος. Γιατὶ πῶς δὲν εἶναι παράλογο, ἂν ἤμασταν οἰκοδόμοι καὶ χτίζαμε τὴν οἰκία κάποιου ἄρχοντα, νὰ μὴ ἀφήναμε εὔκολα ὅλους τοὺς δούλους νὰ παίρνουν μέρος στὸ χτίσιμο, ἐνῶ τώρα ποὺ χτίζομε πύλη γιὰ τὸν ἐπουράνιο βασιλιὰ καὶ πολίτες νὰ ἐπιτρέπομε σ' ὅλους τὸ ἔργο αὐτό; Ἂς μᾶς βοηθοῦν λοιπὸν στὸ ἔργο μας ὅσοι ἀπὸ τοὺς δούλους εἶναι κατάλληλοι· ἂν ὅμως δὲν εἶναι κανένας κατάλληλος, ψάξε τότε νὰ βρεῖς ἐλεύθερο μὲ μισθό, ἄνδρα ἐνάρετο, καὶ σ' ἐκεῖνον πρὸ πάντων ἀνάθεσε τὸ πᾶν, ὥστε νὰ σὲ βοηθήσει στὸ ἔργο σου[53].

39. Ἂς μὴ ἀκοῦν λοιπὸν τέτοια παραμύθια. Ἀλλ' ὅταν μένει ἐλεύθερο ἀπὸ τοὺς κόπους τῶν μαθημάτων (γιατὶ ἡ ψυχὴ ἀγαπᾶ ν' ἀκούει παλαιὰ διηγήματα), λέγε σ' αὐτό τότε τέτοιες ἱστορίες, ἀπομακρύνοντας αὐτὸ ἀπὸ κάθε τὸ παιδαριῶδες[54]· γιατὶ φιλόσοφο ἀνατρέφεις καὶ ἀθλητὴ καὶ πολίτη τῶν οὐρανῶν· λέγε λοιπὸν σ' αὐτὸ τὴν ἑξῆς διήγηση· «ὑπῆρχε στὴν ἀρχὴ ἕνας πατέρας ποὺ εἶχε δυὸ παιδιά, ἀδέρφια». Ἔπειτα, σταματώντας λίγο, πρόσθεσε· «καὶ ποὺ γεννήθηκαν ἀπὸ τὴν ἴδια κοιλιά. Τὸ ἕνα ἦταν μεγαλύτερο καὶ τὸ ἄλλο μικρότερο. Καὶ ἀπὸ αὐτὸ τὸ μεγαλύτερο ἦταν γεωργός, ἐνῶ τὸ μικρότερο βοσκός. Καὶ αὐτό, τὸ νεώτερο, ὁδηγοῦσε τὰ πρόβατα στὶς κοιλάδες καὶ τὶς λίμνες». Καὶ νὰ τὰ διηγεῖσαι μὲ τρόπο εὐχάριστο, ὥστε καὶ εὐχαρίστηση νὰ προξενοῦν στὸ παιδὶ

---

53. *Ὁμιλία 59 εἰς τὸ κατὰ Ματθ. 7* (ΕΠΕ 11,394)· «Καὶ γὰρ καὶ βοσκημάτων οἱ παῖδες ἀτιμότεροι, καὶ ὄνων καὶ ἵππων μᾶλλον ἐπιμελούμεθα ἢ παίδων. Κἂν μὲν ἡμίονόν τις ἔχῃ, πολλὴ ἡ φροντίς, ὥστε ὀνηλάτην εὑρεῖν ἄριστον καὶ μήτε ἀγνώμονα, μὴ κλέπτην, μὴ μέθυσον, μὴ τῆς τέχνης ἄπειρον· ἂν δὲ ψυχῇ παιδὸς ἐπιστῆσαι δέῃ παιδαγωγόν, ἁπλῶς καὶ ὡς ἔτυχε τὸν ἐπελθόντα αἱρούμεθα. Καίτοι γε τῆς τέχνης ταύτης οὐκ ἔστιν ἄλλη μείζων· τί γὰρ ἴσον τοῦ ρυθμίσαι ψυχὴν καὶ διαπλάσαι νέου διάνοιαν;».

54. *Ὁμιλία 34 εἰς τὴν Α΄ πρὸς Κορ. 5* (ΕΠΕ 18Α,438)· «Φιλοσόφους γὰρ ἐγὼ καλῶ τοὺς οὐδὲν περιττὸν ἐπιζητοῦντας».

καὶ τερπνότητα καὶ μὴ ἀποκάμνειν αὐτῷ τὴν ψυχήν. «Ὁ δὲ ἔσπειρεν καὶ ἐφύτευεν· ἔδοξε δή ποτε τούτοις τιμῆσαι τὸν Θεόν. Καὶ ὁ μὲν ποιμὴν τὰ πρωτεῖα τῶν ποιμνίων λαβὼν προσήνεγκε τῷ Θεῷ». Οὐ πολλῷ μᾶλλον ἀντὶ τῶν χρυσομάλλων προβάτων καὶ τῆς τερατείας ἐκείνης ταῦτα διηγεῖσθαι καλόν; Εἶτα αὐτὸν καὶ διανάστησον (ἔχει γάρ τι καὶ ἡ διήγησις) μηδὲν ψευδὲς ἐπιφέρων, ἀλλὰ τὰ ἀπὸ τῆς Γραφῆς. «Ἐπειδὴ γὰρ προσήνεγκεν τῷ Θεῷ τὰ πρωτεῖα, εὐθὲς κατηνέχθη πῦρ ἀπὸ τοῦ οὐρανοῦ καὶ πάντα ἀνήρπασεν εἰς τὸ ἄνω θυσιαστήριον. Ὁ μέντοι πρεσβύτερος οὐχ οὕτως ἐποίησεν, ἀλλ' ἀπέρχεται καὶ ἀπὸ τῶν πόνων αὐτοῦ τὰ πρωτεῖα ἑαυτῷ ταμιευσάμενος προσήνεγκε τῷ Θεῷ τὰ δευτερεῖα. Καὶ οὐδὲ προσέσχεν αὐτοῖς ὁ Θεός, ἀλλ' ἀπεστράφη καὶ ἀφῆκεν αὐτὰ μένειν ἐπὶ τῆς γῆς· ἐκεῖνα δὲ ἄνω ἐδέξατο πρὸς ἑαυτόν». Καθάπερ καὶ ἐπὶ τῶν ἐφεστώτων τοῖς χωρίοις γίνεται, τὸν μὲν τιμᾷ τῶν προσφερόντων καὶ ἔνδον δέχεται ὁ δεσπότης, ἕτερον δὲ ἀφίησιν ἔξω ἑστάναι· οὕτω δὴ καὶ ἐνταῦθα γέγονεν. Τί δὴ οὖν μετὰ ταῦτα γίνεται; «Ἐλυπεῖτο ὁ πρεσβύτερος ἀδελφὸς ὡς ἀτιμασθεὶς καὶ παρευδοκιμηθείς, καὶ ἦν σκυθρωπός. Λέγει πρὸς αὐτὸν ὁ Θεός· 'διὰ τί λελύπησαι; οὐκ ᾔδεις, ὅτι Θεῷ προσφέρεις; διὰ τί με ὕβρισας; τί ἔχων ἐγκαλεῖν; τίνος ἕνεκεν τὰ δευτερεῖά μοι προσήνεγκας;'». Εἰ δὲ δοκεῖ καὶ ἀφελέστερον χρῆσθαι τῇ γλώττῃ, ἐρεῖς, ὅτι «ἐκεῖνος οὐδὲν ἔχων εἰπεῖν ἡσύχασεν», μᾶλλον δὲ «ἐσίγησεν. Μετὰ ταῦτα ἰδὼν τὸν ἀδελφὸν αὐτοῦ τὸν μικρότερον λέγει πρὸς αὐτόν· 'ἐξέλθωμεν εἰς τὸ πεδίον'. Καὶ λαβὼν αὐτὸν δόλῳ ἀνεῖλεν ὁ μείζων ἐκεῖνος. Καὶ ἐνόμιζεν, ὅτι λανθάνει τὸν Θεόν. Ἔρχεται πρὸς αὐτὸν ὁ Θεὸς καὶ λέγει αὐτῷ· 'ποῦ ἐστιν ὁ ἀδελφός σου;' Λέγει ἐκεῖνος· 'οὐκ οἶδα· μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου;' Λέγει πρὸς αὐτὸν ὁ Θεός· 'ἰδοὺ τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς γῆς βοᾷ πρός με'». Παρακαθεζέσθω δὲ καὶ ἡ μήτηρ πλαττομένης οὕτω τῆς ψυχῆς τοῦ παιδίου τοῖς τοιούτοις διηγήμασιν, ἵνα καὶ αὐτὴ συναντι-

55. *Ὁμιλία εἰς τὸ Γ' κεφ. τῆς πρὸς Γαλ. 5* (ΕΠΕ 20,306)· «Ἔθος γὰρ αὐτῷ ἀεὶ τοῦτο ποιεῖν ὥστε καὶ καταγλυκαίνειν τὸν λόγον καὶ εὐπαράδεκτον καὶ εὐμαθέστερον τοῖς παχυτέροις ποιεῖν».

καὶ νὰ μὴ κουράζουν τὴν ψυχή του. «Τὸ ἄλλο ἔσπερνε καὶ φύτευε. Κάποτε λοιπὸν θέλησαν νὰ τιμήσουν τὸ Θεό. Ὁ ποιμένας τότε πῆρε τὰ καλύτερα ἀπὸ τὸ ποίμνιό του καὶ τὰ πρόσφερε στὸ Θεό». Δὲν εἶναι πολὺ καλύτερα ἀντὶ γιὰ τὰ χρυσόμαλλα πρόβατα[55] καὶ τὰ τερατώδη ἐκεῖνα διηγήματα νὰ διηγεῖσαι αὐτά; Ἔπειτα διέγειρε περισσότερο αὐτὸ (γιατὶ ἔχει μιὰ τέτοια δύναμη καὶ ἡ διήγηση) χωρὶς νὰ προσθέτεις τίποτε τὸ ψευδές, ἀλλ' ὅσα λέγει ἡ Γραφή. «Ἐπειδὴ λοιπὸν πρόσφερε στὸ Θεὸ τὰ καλύτερα, ἀμέσως κατέβηκε φωτιὰ ἀπὸ τὸν οὐρανὸ καὶ ἅρπαξε καὶ μετέφερε ὅλα στὸ οὐράνιο θυσιαστήριο. Ὁ μεγαλύτερος ὅμως ἀδελφὸς δὲν ἔκαμε τὸ ἴδιο, ἀλλὰ πηγαίνει καί, ἀφοῦ ἔβαλε στὴν ἀποθήκη του ἀπὸ τοὺς κόπους του τὰ καλύτερα προϊόντα, πρόσφερε στὸ Θεὸ τὰ δεύτερα. Ὁ Θεὸς τότε δὲν τὰ πρόσεξε αὐτά, ἀλλὰ τὰ ἀποστράφηκε καὶ τὰ ἄφησε νὰ μένουν στὴ γῆ, ἐνῶ τοῦ νεώτερου τὰ δέχθηκε κοντά του». Ὅπως ἀκριβῶς γίνεται μὲ τοὺς ἰδιοκτῆτες μεγάλων κτημάτων· ἄλλον ἀπὸ ἐκείνους ποὺ φέρνουν τὰ ἐνοίκια τὸν δέχεται μέσα ὁ κύριος, ἐνῶ ἄλλον τὸν ἀφήνει ἔξω νὰ στέκεται· τὸ ἴδιο λοιπὸν ἔγινε καὶ ἐδῶ. Τί γίνεται λοιπὸν στὴ συνέχεια; «Στενοχωριόταν ὁ μεγαλύτερος ἀδελφὸς ἐπειδὴ περιφρονήθηκε καὶ εἶχε ἀποδειχθεῖ κατώτερος καὶ ἦταν σκυθρωπός. Λέγει πρὸς αὐτὸν ὁ Θεός· 'Γιατί εἶσαι λυπημένος; Δὲν ἤξερες ὅτι προσφέρεις στὸ Θεό; Γιατί δὲ μὲ τίμησες ὅπως ἔπρεπε; γιὰ ποιό πράγμα μπορεῖς νὰ μὲ κατηγορήσεις; γιὰ ποιό λόγο μοῦ πρόσφερες τὰ κατώτερα;'». Καὶ ἂν νομίζεις ὅτι πρέπει νὰ χρησιμοποιήσεις πιὸ ἁπλὰ λόγια, μπορεῖς νὰ τοῦ πεῖς· «Ἐκεῖνος μὴ μπορώντας νὰ πεῖ τίποτε ἡσύχασε», ἢ καλύτερα «ἐσιώπησε. Ὕστερα ἀπ' αὐτὰ ὅταν εἶδε τὸν ἀδελφό του τὸν μικρότερο τοῦ λέγει· 'πᾶμε στὴν πεδιάδα'. Καὶ ἀφοῦ τὸν ὁδήγησε ἐκεῖ μὲ δόλο τὸν ἔπιασε ὁ μεγαλύτερος καὶ τὸν σκότωσε. Καὶ νόμιζε ὅτι τὴν πράξη του αὐτὴ δὲν τὴν γνωρίζει ὁ Θεός. Ἔρχεται πρὸς αὐτὸν τότε ὁ Θεὸς καὶ τοῦ λέγει· 'ποῦ εἶναι ὁ ἀδελφός σου;' τοῦ ἀπαντᾶ ἐκεῖνος· 'δὲν ξέρω· μήπως εἶμαι φύλακας τοῦ ἀδελφοῦ μου;' Λέγει πρὸς αὐτὸν ὁ Θεός· 'νά, τὸ αἷμα τοῦ ἀδελφοῦ σου φωνάζει δυνατὰ ἀπὸ τὴ γῆ πρὸς ἐμένα'». Ἂς κάθεται δίπλα καὶ ἡ μητέρα τὴν ὥρα ποὺ διαπλάθεται ἔτσι ἡ ψυχὴ τοῦ παιδιοῦ μὲ τὰ διηγήματα αὐτά, ὥστε καὶ αὐτὴ νὰ βοηθάει καὶ νὰ ἐπαινεῖ τὰ λεγό-

λαμβάνηται καὶ ἐπαινῇ τὰ λεγόμενα. «Τί οὖν μετὰ τοῦτο γέγονεν; Ἐκεῖνον μὲν ὁ Θεὸς ἐδέξατο εἰς τὸν οὐρανόν, καὶ ἔστιν ἄνω τελευτήσας». Καὶ γὰρ παραδέχεται τὸν περὶ τῆς ἀναστάσεως λόγον τὸ παιδίον τοῖς τοιούτοις διηγήμασιν. Εἰ γὰρ ἐν τοῖς μύθοις τοιαῦτα τερατεύονται, 'ὅτι καὶ ἐποίησεν αὐτήν', φησιν, 'ἡμίθεον', καὶ πιστεύει τὸ παιδίον (καὶ οὐκ οἶδε μὲν ὅπερ ἐστὶν 'ἡμίθεος', οἶδεν δὲ ὅτι μεῖζόν τί ἐστιν ἢ κατὰ ἄνθρωπον, καὶ θαυμάζει εὐθέως ἀκοῦσαν), πολλῷ μᾶλλον, ὅταν περὶ ἀναστάσεως ἀκούῃ καὶ ὅτι εἰς τὸν οὐρανὸν ἀνῆλθεν αὐτοῦ ἡ ψυχή. «Κακεῖνον μὲν εὐθέως ἀνέλαβεν ἄνω· οὗτος δέ, ὁ φονεύσας, διαπαντὸς ἔζη ἐπὶ πολλὰ ἔτη κακῶς πάσχων, φόβῳ καὶ τρόμῳ συζῶν, καὶ μυρία ἔπασχε δεινὰ καὶ ἐκολάζετο καθ' ἑκάστην ἡμέραν». Καὶ εἰπὲ τὴν τιμωρίαν σφοδρῶς, μὴ ἁπλῶς, ὅτι «ἤκουσε παρὰ τοῦ Θεοῦ, ὅτι στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς». Οὐ γὰρ οἶδε τὸ παιδίον, τί ποτε τοῦτό ἐστιν, ἀλλ' εἰπέ· «καθάπερ σὺ τῷ διδασκάλῳ παρεστὼς καὶ ἀγωνιῶν, εἴ ποτε μέλλεις μαστίζεσθαι, τρέμεις καὶ δέδοικας, οὕτω δὴ κἀκεῖνος διαπαντὸς ἔζη προσκεκρουκὼς τῷ Θεῷ».

40. Ἀρκεῖ μέχρι τούτων αὐτῷ· καὶ τοῦτο ἐν μιᾷ ἑσπέρᾳ εἰπὲ δειπνῶν. Καὶ πάλιν ἡ μήτηρ τὰ αὐτὰ λεγέτω. Εἶτα ἐπειδὰν πολλάκις ἀκούσῃ, ἀπαίτησον καὶ αὐτόν. 'Εἰπέ μοι τὸ διήγημα', ἵνα καὶ φιλοτιμῆται. Καὶ ὅταν κατάσχῃ τὸ διήγημα, τότε αὐτῷ καὶ τὸ κέρδος ἐρεῖς. Οἶδε μὲν γὰρ ἡ ψυχὴ καθ' ἑαυτὴν δεχομένη τὸ διήγημα πρὸ τῆς σῆς ἐπεξεργασίας καρποὺς ἐνεγκεῖν, πλὴν ἀλλὰ καὶ σὺ εἰπὲ μετὰ ταῦτα· 'Ὁρᾷς ὅσον κακὸν ἡ γαστριμαργία; ὁρᾷς ὅσον κακόν ἐστι φθονεῖν ἀδελφῷ; ὁρᾷς ὅσον κακόν ἐστι νομίζειν κρύπτειν τὸν Θεόν; Ἐκεῖνος γὰρ πάντα βλέπει καὶ τὰ ἐν τῷ κρυπτῷ γινόμενα'. Ἂν τοῦτο μόνον τὸ δόγμα ἐγκατασπείρῃς τῷ παιδί, οὐ δεήσῃ τοῦ παιδαγωγοῦ, τοῦ

56. Γεν. 4,1–16.

μενα. «Τί ἔγινε λοιπὸν μετὰ ἀπ' αὐτό; Ἐκεῖνον ὁ Θεὸς τὸν δέχθηκε στὸν οὐρανό, καὶ ἀφοῦ πέθανε ἐδῶ ζεῖ ἐκεῖ ἐπάνω»[56]. Πραγματικὰ μετὰ τέτοιου εἴδους διηγήματα ἀποδέχεται τὸ παιδὶ τὴν ἀνάσταση. Γιατί, ἂν στὰ παραμύθια λέγονται τέτοιες τερατολογίες, ὅτι δηλαδὴ 'τὴν ἔκαμε', λέγει, 'ἡμίθεο', καὶ πιστεύει τὸ παιδὶ (καὶ δὲν ξέρει βέβαια τί εἶναι 'ἡμίθεος', γνωρίζει ὅμως ὅτι εἶναι κάτι τὸ ἀνώτερο ἀπὸ τὸν ἄνθρωπο, καὶ ἀκούοντάς το νιώθει θαυμασμό), πολὺ περισσότερο, ὅταν ἀκούει γιὰ ἀνάσταση καὶ ὅτι ἀνέβηκε ἡ ψυχή του στὸν οὐρανό. «Καὶ ἐκεῖνον τὸν πῆρε ἀμέσως στὸν οὐρανό, ἐνῶ αὐτός, ποὺ τὸν φόνευσε, ἔζησε πολλὰ χρόνια στὴ γῆ ὑποφέροντας συνέχεια, ζώντας μὲ σύντροφο τὸ φόβο καὶ τὸν τρόμο, ὑπόφερε ἀμέτρητα κακὰ καὶ καθημερινὰ τιμωροῦνταν». Καὶ περιέγραψε τὴν τιμωρία μὲ τρόπο φοβερὸ καὶ ὄχι μὲ τρόπο μαλακό, λέγοντας «ἄκουσε ἀπὸ τὸ Θεὸ νὰ τοῦ λέγει, 'στενάζοντας καὶ τρέμοντας θὰ ζεῖς ἐπάνω στὴ γῆ'». Βέβαια τὸ παιδὶ δὲν γνωρίζει τί σημαίνει αὐτό, γι' αὐτὸ πές του· 'ὅπως ἀκριβῶς σὺ στεκόμενος μπροστὰ στὸ δάσκαλό σου καὶ ἀγωνιώντας, ἂν κάποτε πρόκειται νὰ μαστιγωθεῖς, τρέμεις καὶ φοβᾶσαι, ἔτσι λοιπὸν καὶ ἐκεῖνος ζοῦσε διαρκῶς, ἐπειδὴ εἶχαν διαταραχθεῖ οἱ σχέσεις του μὲ τὸ Θεό'.

40. Τοῦ εἶναι ἀρκετὰ αὐτὰ μέχρις ἐδῶ· καὶ αὐτὸ νὰ τοῦ τὸ διηγηθεῖς ἕνα βράδυ καὶ ἐνῶ θὰ τρώγετε. Καὶ πάλι νὰ τοῦ τὰ ξαναδιηγηθεῖ τὰ ἴδια ἡ μητέρα του. Ἔπειτα, ἀφοῦ τὰ ἀκούσει πολλὲς φορές, ζήτησε νὰ σοῦ τὰ διηγηθεῖ καὶ αὐτό. Πές του 'διηγήσου μου ἐκείνη τὴν ἱστορία', ὥστε νὰ διεγείρεται καὶ ἡ φιλοτιμία αὐτοῦ. Καὶ ἀφοῦ τὴν μάθει καλὰ τὴν ἱστορία, τότε πές του καὶ τὴν ὠφέλεια ποὺ ἔχει ἀπ' αὐτήν. Βέβαια γνωρίζει ἡ ψυχὴ ἀπὸ μόνη της ὅταν ἀκούει μιὰ διήγηση νὰ ξεχωρίζει καὶ νὰ παίρνει ἀπ' αὐτὴν τοὺς καρποὺς πρὶν ἀπὸ τὴ δική σου ἐπεξεργασία, πλὴν ὅμως πές του καὶ σὺ μετὰ αὐτά· 'βλέπεις πόσο μεγάλο κακὸ εἶναι τὸ νὰ φθονεῖς τὸν ἀδελφό σου; Βλέπεις πόσο μεγάλο κακὸ εἶναι τὸ νὰ νομίζεις ὅτι κρύβεσαι ἀπὸ τὸ Θεό; Γιατὶ ἐκεῖνος τὰ βλέπει ὅλα, καὶ ἐκεῖνα ποὺ γίνονται στὰ κρυφά'. Ἂν αὐτὸ μόνο τὸ δίδαγμα σπείρεις μέσα στὴν ψυχὴ τοῦ παιδιοῦ, δὲν θὰ χρειασθεῖς παιδαγωγό, γιατὶ ὁ φόβος αὐτὸς πρὸς τὸ Θεὸ θὰ βρίσκεται στὴ σκέψη τοῦ παι-

φόβου τούτου τοῦ παρὰ Θεοῦ παντὸς φόβου μᾶλλον ἐφεστῶτος τῷ παιδὶ καὶ κατασείοντος αὐτοῦ τὴ ψυχήν.

41. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐν ἐκκλησίᾳ χειραγωγῶν ἄγε· καὶ σπούδασον αὐτὸν ἄγειν, ὅταν μάλιστα αὕτη ἡ διήγησις ἀναγινώσκηται. Ὄψει γὰρ αὐτὸν γανύμενον καὶ πηδῶντα καὶ χαίροντα, ὅτι ἃ πάντες ἀγνοοῦσιν οἶδεν αὐτός, καὶ προλαμβάνοντα καὶ ἐπιγινώσκοντα καὶ μεγάλα κερδαίνοντα. Καὶ λοιπὸν ἐναποτίθεται τῇ μνήμῃ τὸ πρᾶγμα.

42. Ἔστιν καὶ ἕτερα κερδᾶναι ἐκ τοῦ διηγήματος. Μαθέτω τοίνυν παρὰ σοῦ, ὅτι οὐ χρὴ ἀλγεῖν κακῶς πάσχοντα, ἐνταῦθα εὐθέως ἐκ προοιμίων ὁ θάνατος δείκνυσιν ἐν αὐτῷ τῷ παιδί, εἴ γε τὸν εὐδόκιμον διὰ θανάτου ἔλαβεν ἄνω εἰς τὸν οὐρανόν.

43. Ὅταν τοῦτο παγῇ τὸ διηγήμα ἐν τῇ διανοίᾳ τοῦ παιδός, ἐπάγαγε ἕτερον, οἷον ἑτέρων δύο ἀδελφῶν πάλιν, καὶ εἰπέ· «Ἦσαν ἕτεροι πάλιν δύο ἀδελφοί, πρεσβύτερος πάλι καὶ νεώτερος. Καὶ ὁ μὲν θηρατικὸς ἦν, ὁ πρεσβύτερος, ὁ δὲ οἰκουρός, ὁ νεώτερος». Ἔχει δέ τινα τοῦτο καὶ πλείονα τοῦ προτέρου ἡδονήν, ὅσῳ καὶ πολλὴν τὴν περιπέτειαν καὶ μείζους ἦσαν τὴν ἡλικίαν. «Οὗτοι δὴ οἱ δύο ἀδελφοὶ ἦσαν καὶ δίδυμοι. Ἀλλ᾽ ἐπειδὴ ἐτέχθησαν, τὸν μὲν μικρότερον ἡ μήτηρ ἐφίλει, τὸν μείζονα δὲ ὁ πατήρ. Κἀκεῖνος μὲν ἔξω τὰ πολλὰ

57. *Ὁμιλία 12 εἰς τὴν πρὸς Ἐφ. 1* (ΕΠΕ 21,8)· «Τὸν διδάσκαλον οὐ μόνον συμβουλεύοντα καὶ διδάσκοντα δεῖ κατασκευάζειν καὶ ὀρθοῦν τὰς τῶν μαθητῶν ψυχάς, ἀλλὰ καὶ φοβοῦντα καὶ τῷ Θεῷ παραδιδόναι. Ἐπειδὴ γὰρ τὰ παρὰ τῶν ἀνθρώπων λεγόμενα ὡς παρὰ ὁμοδούλων οὐχ ἱκανὰ καθάψασθαι ψυχῆς, ἀναγκαῖον τῷ Κυρίῳ παραδιδόναι»· καὶ *Ὁμιλία 13 εἰς τὴν πρὸς Ἐφεσ. 1* (ΕΠΕ 21,30–31)· «Καὶ καθάπερ ἐν ὕδατι κατὰ βάθους κείμενοι τὸν ἥλιον οὐκ ἂν δυνηθείημεν ὁρᾶν ὥσπερ διαφράγματος τοῦ πολλοῦ ἄνωθεν ἐπικειμένου ὕδατος, οὕτω δὴ καὶ ἐν τοῖς ὀφθαλμοῖς τῆς διανοίας γίνεται πώρωσις καρδίας, τουτέστιν ἀναισθησία, ὅταν μηδεὶς τὴν ψυχὴν κατασείῃ φόβος». Ἐπίσης *Ὁμιλία 20 εἰς τὴν πρὸς Ἐφ. 9 (ΕΠΕ 21,244)*· «Δίδασκε τοῦ Θεοῦ τὸν φόβον καὶ πάντα ὥσπερ ἀπὸ πηγῆς ἐπιρρεύσει καὶ μυρίων ἔσται ἡ οἰκία τῶν ἀγαθῶν γέμουσα. Ἂν τὰ ἄφθαρτα ζητῶμεν, καὶ ταῦτα ἐπελεύσεται τὰ φθαρτά»· καὶ *Ὁμιλία 2 εἰς τὴν Β' πρὸς Θεσσ. 3* (ΕΠΕ 23,32)· «Ὁ μὲν γὰρ σφόδρα ἐνάρετος οὔτε ἀπὸ φόβου οὔτε ἀπὸ βασιλείας ἐνάγεται, ἀλλὰ δι᾽ αὐτὸν τὸν Χριστόν, καθάπερ Παῦλος ἐποίει».

58. *Ὁμιλία εἰς τὸ «Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα» καὶ περὶ παίδων ἀνατροφῆς, 10* (PG 51,330–331, ΕΠΕ τόμ. 27)· «Καὶ εἰς θεάματα μὲν συνεχῶς συγχωροῦμεν ἀναβαίνειν, εἰς ἐκκλησίαν δὲ οὐκ ἀναγκάζομεν οὐδέποτε, ἀλλὰ κἂν ἅπαξ ἢ δεύτερον παραγένηται τὸ παιδίον, ἁπλῶς καὶ εἰκῇ καὶ μάτην καὶ

διοῦ πάνω ἀπὸ ὁποιοδήποτε ἄλλο φόβο συνταράσσοντας τὴν ψυχή του[57].

41. Καὶ ὄχι αὐτὸ μόνο, ἀλλὰ παῖρνε το ἀπὸ τὸ χέρι καὶ πήγαινέ το στὴν ἐκκλησία καὶ φρόντισε νὰ τὸ πηγαίνεις ἐκεῖ κυρίως τότε ποὺ διαβάζεται αὐτὴ ἡ διήγηση. Γιατὶ τότε θὰ τὸ δεῖς νὰ λάμπει ἀπὸ χαρά, νὰ πηδᾶ καὶ ν' ἀγάλλεται, γιατί, ἐκεῖνα ποὺ ὅλοι τὰ ἀγνοοῦν, τὰ γνωρίζει αὐτό, νὰ προλαβαίνει νὰ τὸ πεῖ αὐτὸ προτοῦ νὰ λεχθεῖ ἀπὸ τὸ ἀναγνώστη, καὶ νὰ καταλαβαίνει τὰ λεγόμενα, ἀποκομίζοντας ἔτσι μεγάλη ὠφέλεια[58]. Καὶ ἔτσι πλέον ἐντυπώνεται ἡ ἱστορία αὐτὴ στὴ μνήμη του.

42. Εἶναι δυνατὸ καὶ ἄλλες ὠφέλειες νὰ ἔχει ἀπὸ τὴ διήγηση αὐτή. Ἂς μάθει ἀπὸ σένα ὅτι δὲν πρέπει νὰ στενοχωριέται ὅταν κακοπαθεῖ, πράγμα ποὺ ἀμέσως ἀπὸ τὴν πρώτη στιγμὴ δείχνει ὁ θάνατος στὸ παιδί, ἀφοῦ ὁ Θεὸς τὸν ἐνάρετο τὸν πῆρε μὲ τὸ θάνατο ἐπάνω στὸν οὐρανό.

43. Ὅταν αὐτὴ ἡ διήγηση ἐντυπωθεῖ στὸ μυαλὸ τοῦ παιδιοῦ, πρόσθεσε ἄλλη, γιὰ παράδειγμα ἐκείνη πάλι ποὺ μιλάει γιὰ δυὸ ἄλλα ἀδέλφια, καὶ πές του· «ἦταν πάλι δυὸ ἄλλα ἀδέλφια, μεγαλύτερο πάλι καὶ μικρότερο. Τὸ μεγαλύτερο ἀπὸ αὐτὰ ἦταν κυνηγός, ἐνῶ τὸ ἄλλο, τὸ μικρότερο, βοηθοῦσε στὸ σπίτι». Αὐτὴ ἡ διήγηση ἔχει καὶ κάποια ἄλλη μεγαλύτερη ἡδονὴ ἀπὸ τὴν προηγούμενη, ὅσο πολὺ πιὸ μεγάλη εἶναι ἡ περιπέτειά της καὶ μεγαλύτερη ἡ ἡλικία τῶν ἀδελφῶν. «Αὐτὰ λοιπὸν τὰ δυὸ ἀδέλφια ἦταν καὶ δίδυμα. Ἀλλὰ ἀφοῦ γεννήθηκαν, τὸν μικρότερο τὸν ἀγαποῦσε ἡ μητέρα, καὶ τὸν μεγαλύτερο ὁ πατέρας. Καὶ ὁ μεγαλύτερος ἀπ' αὐτοὺς περνοῦσε τὸν περισσότερο καιρὸ ἔξω στὰ χωράφια, ἐνῶ ὁ μικρότερος

ψυχαγωγίας ἕνεκεν ἐνταῦθα παραγίνεται. Οὐκ ἐχρῆν δὲ οὕτως· ἀλλ' ὥσπερ εἰς διδασκαλεῖον πέμποντες τῶν μαθημάτων ἀπαιτοῦμεν τὰς εὐθύνας, οὕτω καὶ εἰς ἐκκλησίαν πέμποντες, μᾶλλον δὲ ἄγοντες. Οὐ γὰρ ἑτέροις αὐτοὺς ἐπιτρέπειν, ἀλλ' αὐτοὺς κατέχοντας ἐνταῦθα εἰσιέναι ἐχρῆν καὶ τῆς ἐνταῦθα ἀκροάσεως καὶ διδασκαλίας τὴν μνήμην ἀπαιτεῖν ἔδει. Οὕτω γάρ, οὕτω ῥᾴων ἂν ἐγίνετο καὶ εὔκολος ἡμῖν ἡ τῶν παίδων διόρθωσις· εἰ γὰρ καὶ ἐν τῇ οἰκίᾳ διαπαντὸς ἤκουον ἡμῶν διαλεγομένων περὶ φιλοσοφίας καὶ συμβουλευόντων αὐτοῖς τὰ δέοντα καὶ τὰ ἐνταῦθα αὐτοῖς προσετίθεντο μετ' ἐκείνων, καὶ ταχέως ἂν τῶν καλῶν τούτων σπερμάτων γενναῖον ἡμῖν ἐπεδείξαντο καρπόν. Ἀλλ' οὐδὲν τούτων ποιοῦμεν, ἀλλὰ πάρεργα ἡμῖν τὰ ἀναγκαῖα· κἂν παραινέσῃ τις περὶ τούτων, γέλως εὐθέως· καὶ διὰ τοῦτο τὰ ἄνω κάτω γίνεται, καὶ οὓς οὐ παιδεύουσιν οἱ γονεῖς, οἱ ἔξωθεν παιδεύουσι νόμοι» καὶ

διῆγεν ἐν τοῖς ἀγροῖς, οὗτος δέ, ὁ νεώτερος, ἐπὶ τῆς οἰκίας. Καί ποτε, φησίν, ὁ πατὴρ αὐτοῦ γηράσας λέγει ἐκείνῳ, ὃν ἐφίλει· ἐπειδή, τέκνον, ἐγήρασα, ἄπελθε καὶ ἑτοίμασόν μοι θήραν· τουτέστιν, συλλαβοῦ δορκάδα ἢ λαγωὸν καὶ φέρε καὶ ἕψησον, ἵνα φαγὼν εὐλογήσω σε. Τῷ δὲ μικροτέρῳ τοιοῦτον οὐκ εἶπεν οὐδέν. Ἀκούσασα ἡ μήτη τοῦ πατρὸς ταῦτα λέγοντος καλέσασα τὸν νεώτερόν φησιν πρὸν αὐτόν· 'τέκνον, ἐπειδὴ ὁ πατήρ σου τῷ ἀδελφῷ σου ἐπέταξε κομίσαι αὐτῷ θήραν, ἵνα φαγὼν εὐλογήσῃ αὐτόν, ἄκουσόν μου· καὶ δὴ βάδιζε ἐπὶ τὸ ποίμνιον καὶ λαβὼν ἐρίφους ἁπαλοὺς καὶ καλοὺς ἔνεγκέ μοι, καὶ ἐγὼ ποιήσω ὡς φιλεῖ ὁ πατήρ σου, καὶ εἰσοίσεις αὐτῷ, ἵνα φαγὼν εὐλογήσῃ σε. Ὁ δὲ πατὴρ ἠμβλυώπει ἐκ τοῦ γήρως. Ἐπεὶ οὖν ἤνεγκεν ὁ νεώτερος τοὺς ἐρίφους, ἥψησεν ἡ μήτηρ καὶ βαλοῦσα εἰς πίνακα τὰ ἐδέσματα ἔδωκε τῷ παιδί, καὶ εἰσήνεγκεν. Περιέβαλε δὲ αὐτὸν καὶ δέρματα αἰγῶν, ἵνα μὴ φωραθῇ, ἐπειδὴ οὗτος λεῖος ἦν, ὁ δὲ ἀδελφὸς αὐτοῦ δασύς, ἵνα δυνηθῇ λαθεῖν, καὶ μὴ αἴσθηται ὁ πατήρ· καὶ οὕτως αὐτὸν ἔπεμψεν. Ὁ δὲ πατὴρ νομίσας, ὅτι ἀληθῶς ὁ πρεσβύτερός ἐστιν, φαγὼν εὐλόγησε αὐτόν. Εἶτα μετὰ τὸ πληρωθῆναι τὴν εὐλογίαν ἔρχεται ὁ πρεσβύτερος φέρων τὴν θήραν, καὶ ἰδὼν τὸ γενόμενον ἀναβοήσας ἔκλαυσεν.

44. Ὅρα πόσα ἀπὸ τούτου τίκτεται καλά· καὶ μὴ ἐπεξέλθῃς τῷ παντὶ διηγήματι· ὅρα γὰρ πόσα ἀπὸ τούτου τίκτεται. Πρῶτον ἐν αἰδοῖ καὶ τιμῇ τοὺς πατέρας ἔχουσιν οἱ παῖδες ὁρῶντες οὕτω περιμάχητον οὖσαν τὴν τῶν πατέρων εὐλογίαν· καὶ αἱρήσονται μυρίας λαβεῖν πληγὰς ἢ κατάρας ἀκοῦσαι παρὰ τῶν γονέων. Εἰ γὰρ μῦθός τινος οὕτως αὐτῶν κατέχει τὴν ψυχὴν ὥστε νομίζειν ἀξιόπιστον εἶναι, τὰ ὄντως ἀληθῆ πῶς οὐκ ἂν κατάσχῃ καὶ πολλοῦ φόβου ἐμπλήσῃ; Ὅτι χρὴ γαστρὸς καταφρονεῖν· δεῖ γὰρ κἀκεῖνο λέγειν τὸ διήγημα, ὅτι οὐδὲν ἀπὸ τοῦ πρωτότοκον εἶναι καὶ πρεσβύτερον ἐκέρδανεν· διὰ γὰρ τὴν τῆς γαστρὸς ἀκρασίαν προέδωκε τὸ προτέρημα τῆς πρωτοτοκίας.

Ὁμιλ. 3 εἰς τὸ κατα Ἰω. 1 (ΕΠΕ 12,470)· «Καὶ μὴ μόνον ἐνταῦθα αὐτὴν ἐπιδείκνυσθαι, ἀλλὰ καὶ οἴκοι γενομένους τὸν ἄνδρα πρὸς τὴν γυναῖκα, τὸν πατέρα πρὸς τὸν παῖδα περὶ τούτων διαλέγεσθαι· καὶ λέγειν μὲν τὰ παρ' ἑαυτῶν, ἀπαιτεῖν δὲ τὰ παρ' ἐκείνων καὶ καλὸν τοῦτον εἰσφέρειν ἅπαντας ἔρανον».

ἀσχολοῦνταν μὲ τὰ τοῦ σπιτιοῦ. Κάποτε, λέγει, ὅταν γέρασε ὁ πατέρας, λέγει σ' ἐκεῖνον ποὺ ἀγαποῦσε· 'ἐπειδή, παιδί μου, γέρασα, πήγαινε καὶ φέρε μου κάποιο κυνήγι· δηλαδὴ πιάσε κανένα ζαρκάδι ἢ λαγὸ καὶ φέρε το καὶ ψῆστο, γιὰ νὰ τὸ φάγω καὶ νὰ σὲ εὐλογήσω'. Στὸν μικρότερο δὲν εἶπε τίποτε παρόμοιο. Ὅταν ἄκουσε ἡ μητέρα τὸν πατέρα νὰ τὰ λέγει αὐτὰ κάλεσε τὸν μικρότερο καὶ τοῦ λέγει· 'παιδί μου, ἐπειδὴ ὁ πατέρας σου πρόσταξε στὸν ἀδελφό σου νὰ τοῦ φέρει κυνήγι γιὰ νὰ τὸ φάγει καὶ νὰ τὸν εὐλογήσει, ἄκουσέ μου· πήγαινε στὸ κοπάδι καὶ φέρε μου δυὸ τρυφερὰ καὶ καλοθρεμμένα ἐρίφια καὶ ἐγὼ θὰ τὰ ψήσω ὅπως ἀρέσει στὸν πατέρα σου καὶ θὰ τοῦ τὰ πᾶς νὰ φάγει καὶ νὰ σὲ εὐλογήσει'. Τοῦ πατέρα τους τὰ μάτια εἶχαν ἐξασθενήσει ἐξ αἰτίας τῶν γερατειῶν. Ἀφοῦ λοιπὸν ἔφερε ὁ μικρότερος τὰ ἐρίφια, τὰ ἔψησε ἡ μητέρα, ἔβαλε τὰ φαγητὰ σὲ ἕνα πιάτο, τὰ ἔδωσε στὸ παιδὶ καὶ τὰ πῆγε στὸν πατέρα του. Ἀκόμη τὸν τύλιξε μὲ δέρματα τῶν ἐριφίων, γιὰ νὰ μὴ ἀνακαλυφθεῖ, ἐπειδὴ αὐτὸς ἦταν ἄτριχος, ἐνῶ ὁ ἀδελφός του ἦταν δασύτριχος, ὥστε νὰ ξεγελάσει τὸν πατέρα του καὶ νὰ μὴ τὸν ἀντιληφθεῖ· ἔτσι λοιπὸν τὸν ἔστειλε σ' αὐτόν. Ὁ πατέρας του τότε, ἐπειδὴ νόμισε, ὅτι πραγματικὰ εἶναι ὁ μεγαλύτερος, ἀφοῦ ἔφαγε, τὸν εὐλόγησε. Στὴ συνέχεια, ἀφοῦ δόθηκε ἡ εὐλογία, ἔρχεται ὁ μεγαλύτερος φέρνοντας τὸ κυνήγι, καὶ ὅταν εἶδε ἐκεῖνο ποὺ ἔγινε, ἔβγαλε μεγάλη κραυγὴ καὶ ἔκλαψε'.

44. Πρόσεχε πόσα καλὰ γεννιοῦνται ἀπ' αὐτό· καὶ μὴ διηγηθεῖς ὅλη τὴν ἱστορία. Πρόσεχε, ἐπαναλαμβάνω, πόσα καλὰ γεννιοῦνται ἀπὸ αὐτό. Πρῶτα ὅτι τὰ παιδιὰ σέβονται καὶ τιμοῦν τοὺς γονεῖς τους βλέποντας νὰ εἶναι τόσο περιζήτητη ἡ εὐλογία τοῦ πατέρα· καὶ θὰ προτιμοῦσαν νὰ δεχθοῦν ἄπειρα χτυπήματα παρὰ ν' ἀκούσουν κατάρα ἀπὸ τοὺς γονεῖς τους. Ἂν δηλαδὴ τὸ παραμύθι κάποιου τόσο πολὺ συγκρατεῖ τὴν ψυχή, ὥστε νὰ νομίζει ὅτι εἶναι ἀληθινό, πῶς τὰ πραγματικὰ καὶ ἀληθινὰ δὲν θὰ συγκρατήσουν καὶ δὲν θὰ γεμίσουν τὴν ψυχὴ ἀπὸ πολὺ φόβο; Γιατὶ πρέπει νὰ μάθει νὰ περιφρονεῖ τὴν κοιλιά· καὶ γι' αὐτὸ πρέπει νὰ τοῦ διηγηθεῖς καὶ ἐκείνη τὴν ἱστορία, ὅτι δηλαδὴ 'σὲ τίποτε δὲν ὠφελήθηκε ὁ μεγαλύτερος ἀδελφὸς ποὺ ἦταν πρωτότοκος· γιατί, ἐπειδὴ δὲν εἶχε ἐγκράτεια στὴν κοιλιά, πρόδωσε τὸ προτέρημα τῶν πρωτοτοκίων'.

45. Εἶτα, ἐπειδὰν τοῦτο κατάσχῃ ἀκριβῶς, ἐν ἑτέρᾳ πάλιν ἑσπέρᾳ ἐρεῖς πρὸς αὐτόν· 'Εἰπέ μοι τὸ διήγημα τῶν ἀδελφῶν ἐκείνων τῶν δύο'. Κἂν ἄρξηται λέγειν τὸ τοῦ Κάϊν καὶ Ἄβελ, ἄπαγε αὐτὸν καὶ εἰπέ· 'οὐ τοῦτο ζητῶ, ἀλλ' ἐκεῖνο τῶν ἄλλων δύο, ἔνθα εὐλόγησεν ὁ πατήρ'. Καὶ τὰ τεκμήρια λέγε· μηδέπω γὰρ τίθει τὰ ὀνόματα. Ἐπειδὰν δὲ διηγήσηται τὸ πᾶν, προσύφαινε τὰ ἑξῆς καὶ λέγε.

46. 'Ἄκουσον οὖν, τί μετὰ ταῦτα ἐγένετο. «Ἐζήτει πάλιν οὗτος ἀποκτεῖναι τὸν ἀδελφόν, ὡς ἐκεῖνος ὁ πρότερος, καὶ περιέμενε τοῦ πατρὸς τὴν τελευτήν. Ἀκούσασα ἡ μήτηρ καὶ φοβηθεῖσα ἐφυγάδευσε τὸ παιδίον». Εἶτα ἡ πολλὴ φιλοσοφία τοῦ παιδίου τὴν διάνοιαν ὑπερβαίνουσα, δυναμένη μέντοι μετὰ συγκαταβάσεως καὶ εἰς τὸ τῆς παιδικῆς διανοίας ἁπαλὸν καταφυτευθῆναι, ἂν μεταχειρισώμεθα τὴν διήγησιν. Οὕτω δὴ οὖν ἐροῦμεν πρὸς αὐτόν.

«Οὗτος ὁ ἀδελφὸς ἀπήρχετο καὶ ἦλθεν ἐπί τινα τόπον οὐδένα ἔχων μεθ' ἑαυτοῦ, οὐ δοῦλον, οὐ τροφέα, οὐ παιδαγωγόν, οὐκ ἄλλον οὐδένα. Ἐλθὼν ἐπί τινα τόπον ηὔξατο καὶ εἶπεν· 'Κύριε, δός μοι ἄρτον καὶ ἱμάτιον καὶ διάσωσόν με. Εἶτα καὶ ταῦτα εἰπὼν ἀπὸ τῆς λύπης ἐκοιμήθη. Καὶ εἶδεν ἐν ὕπνοις κλίμακα ἀπὸ τῆς γῆς ἕως τοῦ οὐρανοῦ καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας καὶ αὐτὸν τὸν Θεὸν ἄνω ἑστῶτα ἐπὶ κεφαλῆς, καὶ εἶπεν· 'εὐλόγησόν με'. Καὶ εὐλόγησε καὶ ἐκάλεσεν αὐτὸν Ἰσραήλ».

47. Εὐκαίρως δὲ ἀνεμνήσθην καί με νῦν ὑπῆλθεν ἀπὸ τοῦ ὀνόματος καὶ ἕτερόν τι νόημα. Ποῖον δὴ τοῦτο; Εὐθέως αὐτοῖς ἀπὸ τῆς προσηγορίας παρέχωμεν ἀρετῆς ζῆλον. Μηδεὶς τοίνυν εἰς τὰ τῶν προγόνων σπευδέτω καλεῖν ὀνόματα τὰ παιδία, τοῦ πατρὸς καὶ τῆς μητρὸς καὶ τοῦ πάππου καὶ τοῦ ἐπιπάππου, ἀλλ' εἰς τὰ τῶν δικαίων,

---

59. *Ὁμιλία 38 εἰς τὴν Α' πρὸς Κορ. 8* (ΕΠΕ 18Α,586)· «Ἔστι μὲν γὰρ καὶ ἑτέρα παραμυθία, ἀλλὰ φιλόσοφος καὶ τῶν πολλῶν ὑπερβαίνουσα τὴν παχύτητα...».

60. *Ὁμιλία 21 εἰς τὴν Γεν. 3* (ΕΠΕ 2,68)· «Μὴ τοίνυν μηδὲ ἡμεῖς τὰς τυχούσας προσηγορίας ἐπιτιθῶμεν τοῖς παισίν, μηδὲ τῶν πάππων καὶ τῶν ἐπιπάππων καὶ τῶν πρὸς γένος διαφερόντων τὰς ὀνομασίας αὐτοῖς χαριζώμεθα, ἀλλὰ τῶν ἁγίων ἀνδρῶν τῶν ἐν τῇ ἀρετῇ διαλαμψάντων, τῶν πολλὴν παρρησίαν πρὸς τὸν Θεὸν ἐσχηκότων»· καὶ *Ὁμιλία 51 εἰς τὴν Γεν. 1* (ΕΠΕ 4,276)· «Σκόπει πόση τῶν παλαιῶν ἦν ἡ σύνεσις, μᾶλλον δὲ πόση τοῦ Θεοῦ ἡ σοφία, ὡς καὶ τὰς γυναῖκας παρασκευάζειν μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχε τὰς προσηγορίας τοῖς τεχθεῖσιν ἐπιτιθέναι, ἀλλ' ἐναποτίθεσθαι τῇ τοῦ παιδίου προσηγορίᾳ τῶν μελλόντων ἔσεσθαι τὴν προαναφώνησιν. Καὶ

45. Ἔπειτα, ὅταν τὸ μάθει κι αὐτὸ πάρα πολὺ καλά, ἕνα ἄλλο βράδυ πάλι πές του· 'διηγήσου μου τὴν ἱστορία ἐκείνων τῶν δύο ἀδελφῶν'. Καὶ ἂν ἀρχίσει νὰ λέγει τὴν ἱστορία τοῦ Κάϊν καὶ τοῦ Ἄβελ, σταμάτησέ το καὶ πές του· 'δὲν θέλω αὐτήν, ἀλλ' ἐκείνην τῶν δύο ἄλλων ἀδελφῶν, κατὰ τὴν ὁποία εὐλόγησε ὁ πατέρας'. Καὶ λέγε βέβαια τὰ διακριτικὰ γνωρίσματα, ἀλλὰ μὴ λὲς ἀκόμη τὰ ὀνόματα. Καὶ ἀφοῦ σοῦ διηγηθεῖ ὅλη τὴν ἱστορία, πρόσθεσε σ' αὐτὰ καὶ τὴ συνέχεια καὶ πές.

46. Ἄκουσε λοιπὸν τί ἔγινε μετὰ ἀπ' αὐτά. «Ἤθελε πάλι αὐτὸς νὰ σκοτώσει τὸν ἀδελφό του, ὅπως ἐκεῖνος ὁ προηγούμενος, καὶ περίμενε τὸ θάνατο τοῦ πατέρα του. Αὐτὸ τὸ ἔμαθε ἡ μητέρα καὶ ἐπειδὴ φοβήθηκε φυγάδευσε τὸ παιδί»[59]. Ἔπειτα θὰ γίνει λόγος γιὰ τὴ μεγάλη φιλοσοφία τοῦ μικροῦ ἀδελφοῦ ποὺ δὲν τὴ χωράει τὸ μυαλὸ τοῦ παιδιοῦ, ἀλλ' εἶναι δυνατὸ μὲ κάποια συγκατάβαση καὶ πολὺ προσεκτικὴ διήγηση νὰ καταφυτευθεῖ καὶ στὸ ἁπαλὸ παιδικὸ μυαλό. Ἔτσι λοιπὸν θὰ συνεχίσομε τὴ διήγηση.

«Αὐτὸς ὁ ἀδελφὸς προχωρώντας ἔφθασε σὲ κάποιο μέρος μὴ ἔχοντας κανένα μαζί του οὔτε δοῦλο οὔτε τροφὸ οὔτε παιδαγωγὸ οὔτε κανέναν ἄλλο. Ἀφοῦ λοιπὸν ἦρθε σὲ κάποιο μέρος προσευχήθηκε στὸ Θεὸ καὶ εἶπε· 'Κύριε, δός μου ψωμὶ καὶ ροῦχα καὶ σῶσε με'. Ἔπειτα, ἀφοῦ εἶπε αὐτά, ἀπὸ τὴ λύπη του τὸν πῆρε ὁ ὕπνος. Εἶδε τότε στὸν ὕπνο του μιὰ σκάλα ποὺ ἔφθανε ἀπὸ τὴ γῆ στὸν οὐρανὸ καὶ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαιναν καὶ κατέβαιναν αὐτὴν καὶ τὸν ἴδιο τὸ Θεὸ νὰ στέκεται στὴν κορυφὴ τῆς σκάλας καὶ εἶπε· 'εὐλόγησέ με'. Τὸν εὐλόγησε τότε ὁ Θεὸς καὶ τὸν μετονόμασε Ἰσραήλ».

47. Μὲ τὴν εὐκαιρία αὐτοῦ τοῦ ὀνόματος μοῦ ἦρθε τώρα στὸ νοῦ καὶ μιὰ ἄλλη σκέψη. Ποιά λοιπὸν εἶναι αὐτή; Ἀπὸ τὴν πρώτη στιγμὴ ποὺ δίνομε τὸ ὄνομα στὰ παιδιὰ ἂς τὰ δίνομε καὶ τὸν ζῆλο τῆς ἀρετῆς. Κανένας λοιπὸν ἂς μὴ σπεύδει νὰ δώσει στὰ παιδιὰ τὰ ὀνόματα τῶν προγόνων, τοῦ πατέρα δηλαδή, τῆς μητέρας, τοῦ πάππου καὶ τοῦ προπάππου, ἀλλὰ νὰ δίνονται τὰ ὀνόματα τῶν δικαίων, τῶν μαρτύρων, τῶν ἐπισκόπων, τῶν ἀποστόλων[60]. Ἂς εἶναι

σπανίως εὑρήσεις ὁμωνύμως τοῖς γεννησαμένοις τοὺς τεχθέντας καλουμένους, ἢ τάχα που οὐδαμοῦ· ἀλλὰ κἂν ὁ πατὴρ τὴν προσηγορίαν τῷ παιδὶ μέλλῃ ἐπιτιθέναι,

τῶν μαρτύρων, τῶν ἐπισκόπων, τῶν ἀποστόλων. Ἔστω αὐτοῖς καὶ τοῦτο ζῆλος· ὁ μὲν Πέτρος καλείσθω, ὁ δὲ Ἰωάννης, ὁ δὲ ἑτέραν τινὰ προσηγορίαν ἑνὸς τῶν ἁγίων.

48. Καὶ μή μοι τὰ ἔθη τὰ ἑλληνικά. Οὐ μικρὰ γὰρ αἰσχύνη καὶ κατάγελως, ὅταν ἐν οἰκίᾳ Χριστιανῶν ἔθη τινὰ ἑλληνικὰ ἐπιτελῆται, καὶ ἀνάπτωσι καὶ ἀναμένωσιν ἐπιτηροῦντες τὸν σβεσθέντα πρῶτον καὶ καυθέντα, καὶ ἕτερά τινα τοιαῦτα, ἅπερ οὐ τὸν τυχόντα ὄλεθρον ἐπάγει τοῖς τοιαῦτα ποιοῦσιν. Μὴ γὰρ δὴ νομίσητε μικρὰ εἶναί τινα καὶ εὐτελῆ τὰ γινόμενα.

49. Τοῦτο οὖν καὶ ὑμᾶς παρακαλῶ ταῖς τῶν δικαίων προσηγορίαις ἐπονομάζειν τὰ ὑμέτερα παιδία. Παρὰ μὲν γὰρ τὴν ἀρχὴν εἰκότως ταῦτα ἐγίνετο καὶ ταῖς προσηγορίαις τῶν προγόνων τοὺς παῖδας ὠνόμαζον· παραμυθία γὰρ τοῦ θανάτου ἦν, ἵνα ὁ ἀπελθὼν δοκῇ ζῆν διὰ τῆς ἐπωνυμίας· νῦν δὲ μηκέτι. Ὁρῶμεν γοῦν τοὺς δικαίους οὐχ οὕτω καλοῦντας τοὺς ἑαυτῶν παῖδας· ὁ γὰρ Ἀβραὰμ τὸν Ἰσαὰκ ἐγέννησεν· ὁ Ἰακώβ, ὁ Μωϋσῆς οὐκ ἀπὸ προγόνων ἐκλήθησαν, οὐδέ τινα τῶν δικαίων εὑρήσομεν οὕτω καλούμενον. Πόσης τοῦτο ὑπόδειγμά ἐστιν ἀρετῆς καὶ παράκλησις καὶ ἡ προσηγορία; Ἐπεὶ οὐδὲ ἄλλην εὑρήσομεν τὴν αἰτίαν τῆς μετονομασίας ἢ ταύτην, τὸ ὑπόμνησιν εἶναι ἀρετῆς. «Σὺ γάρ», φησίν, «κληθήσῃ Κηφᾶς, ὃ ἑρμη-

---

ξένην τινὰ καὶ καινὴν ἐπιτίθησιν, ὥστε δι' αὐτῆς προμηνῦσαί τινα τῶν μελλόντων ἔσεσθαι· καὶ ἡ μήτηρ πάλιν ὁμοίως».

61. *Ὁμιλία 4 εἰς τὴν Α' πρὸς Κορ. 6* (ΕΠΕ 18,110–112)· «Νὺξ οὐκ ἐν αἱρετικοῖς οὐδε ἐν Ἕλλησι μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς τοῖς παρ' ἡμῖν δογμάτων ἕνεκεν τοῦ βίου. Πολλοὶ γὰρ τῇ ἀναστάσει διαπιστοῦσιν, πολλοὶ καὶ γένεσιν ἑαυτοῖς ἐπιτειχίζουσιν, πολλοὶ καὶ παρατηρήσεις φυλάττουσιν καὶ κληδονισμοῖς καὶ οἰωνισμοῖς καὶ συμβόλοις, οἱ δὲ καὶ περιάπτοις καὶ ἐπῳδαῖς κέχρηνται»· καὶ *Ὁμιλία 6 εἰς τὴν πρὸς Ἐφεσ. 7* (ΕΠΕ 20,562)· «... μᾶλλον δὲ οὐ νῦν, ἀλλ' εἴ τις κατὰ τὴν ἡμέραν τοῦ Πάσχα πάντας τοὺς προσιόντας καὶ λουομένους μετὰ τὸ προσελθεῖν τοῖς μυστηρίοις ἐξήτασε μετὰ ἀκριβείας, πνεῦμα τοιοῦτο λαβών, ὥστε εἰδέναι τὰ πεπραγμένα αὐτοῖς μετὰ ἀκριβείας, πολλὰ ἂν εὑρέθη βαρύτερα τῶν ἰουδαϊκῶν κακῶν. Καὶ γὰρ οἰωνιζομένους καὶ φαρμακείαις καὶ κληδονισμοῖς καὶ ἐπῳδαῖς κεχρημένους καὶ πεπορνευκότας καὶ μοιχεύσαντας καὶ μεθύσους καὶ λοιδόρους εὗρεν ἄν· πλεονέκτας...».

62. *Ὁμιλία 12 εἰς τὴν Α' πρὸς Κορ. 7* (ΕΠΕ 18,348·350)· «Εἶτα μετὰ τὸν γάμον εἴ ποτε γένοιτο παιδίον, καὶ ἐνταῦθα πάλιν τὴν αὐτὴν ἄνοιαν ὀψόμεθα καὶ πολλὰ σύμβολα γέλωτος γέμοντα. Καὶ γὰρ ἡνίκα ἂν καλεῖσθαι τὸ παιδίον δέῃ, ἀφέντες

λοιπὸν σ' αὐτὰ καὶ τὰ ὀνόματα ἀφορμὴ γιὰ μίμηση· τὸ ἕνα νὰ ὀνομάζεται Πέτρος, τὸ ἄλλο Ἰωάννης καὶ τὸ ἄλλο μὲ κάποιο ἄλλο ὄνομα κάποιου ἀπὸ τοὺς ἁγίους.

48. Καὶ νὰ μὴ τηρεῖτε, παρακαλῶ, τὰ εἰδωλολατρικὰ ἔθιμα. Γιατὶ δὲν εἶναι μικρὴ ντροπὴ καὶ κατάγελως, ὅταν τελοῦνται σὲ σπίτι χριστιανικὸ κάποια εἰδωλολατρικὰ ἔθιμα[61], ὅπως ποὺ ἀνάβουν λυχνάρια καὶ περιμένουν νὰ δοῦν ποιό θὰ καεῖ καὶ θὰ σβήσει πρῶτο[62], καὶ μερικὰ ἄλλα παρόμοια, πράγματα ποὺ προξενοῦν ὄχι τυχαία καταστροφὴ σ' ἐκείνους ποὺ κάμνουν αὐτά. Μὴ δηλαδὴ νομίσετε ὅτι εἶναι μικρὰ καὶ ἀσήμαντα αὐτὰ ποὺ γίνονται.

49. Αὐτὴ λοιπὸν εἶναι ἡ παράκλησή μου πρὸς ἐσᾶς, νὰ δίνετε στὰ παιδιά σας τὰ ὀνόματα τῶν δικαίων. Στὴν ἀρχὴ βέβαια φυσικὸ ἦταν νὰ γίνονταν αὐτὰ καὶ νὰ ἔδιναν στὰ παιδιὰ τὰ ὀνόματα τῶν προγόνων· γιατὶ αὐτὸ ἀποτελοῦσε παρηγοριὰ γιὰ τὸ θάνατο, ἀφοῦ πιστευόταν ὅτι ζεῖ ἐκεῖνος ποὺ πέθανε μὲ τὸ ὄνομα ποὺ δινόταν στὸν ἀπόγονό του· τώρα ὅμως ἂς μὴ γίνεται πλέον αὐτό. Γιατὶ βλέπομε τοὺς δικαίους νὰ μὴ δίνουν ὀνόματα στὰ παιδιά τους ἀκολουθώντας τὴ συνήθεια ἐκείνη. Ὁ Ἀβραὰμ δηλαδὴ γέννησε τὸν Ἰσαάκ· ὁ Ἰακὼβ καὶ ὁ Μωϋσῆς δὲν πῆραν ὀνόματα τῶν προγόνων τους, οὔτε θὰ βροῦμε κάποιον ἀπὸ τοὺς δικαίους νὰ πῆρε ἔτσι τὸ ὄνομά του. Γιὰ πόση ἀρετὴ δὲν εἶναι ὑπόδειγμα αὐτό, καὶ πόση προτροπὴ γιὰ ἀρετὴ δὲν εἶναι τὸ ὄνομα; Καὶ φυσικὰ δὲ θὰ μπορούσαμε νὰ βροῦμε ἄλλη αἰτία ν' ἀλλάξει τὸ ὄνομα, παρὰ αὐτὴν καὶ μόνο, τὸ ν' ἀποτελεῖ αὐτὸ ὑπόμνηση γιὰ τὴν ἀρετή[63]. Γιατὶ λέ-

ἀπὸ τῶν ἁγίων αὐτὸ καλεῖν, ὡς οἱ πατέρες τὸ πρῶτον ἐποίουν, λύχνους ἅψαντες καὶ ὀνόματα αὐτοῖς ἐπιτιθέντες τὸν διαρκέσαντα μέχρι πολλοῦ τοῦ παιδίου ποιοῦσιν ὁμώνυμον, ἐντεῦθεν πολὺν αὐτὸ στοχαζόμενοι βιώσασθαι χρόνον». «Εἰ δέ τινι ταῦτα μικρὰ εἶναι δοκεῖ, μανθανέτωσαν, ὅτι μεγάλων ἐστὶν αἰτία κακῶν καὶ ὅτι οὐδὲ τῷ Παύλῳ τὰ μικρὰ παρορᾶν ἔδοξε».

63. *Ὁμιλία, Ἐπιτίμησις κατὰ τῶν ἀπολειφθέντων κλπ.* (ΕΠΕ 26,458–460). «Εἰ γὰρ ἄνθρωποι τοῖς αὐτῶν παιδίοις οὐχ ἁπλῶς ἐπιτιθέασι τὰ ὀνόματα, ἀλλὰ τὸ μὲν ἀπὸ τοῦ πατρός, τὸ δὲ ἀπὸ τοῦ πάππου, τὸ δὲ ἀφ' ἑτέρων προγόνων καλοῦντες, πολλῷ μᾶλλον ὁ Θεὸς τοῖς ἑαυτοῦ δούλοις οὐχ ἁπλῶς οὐδὲ ἄνευ λόγου τινὸς τὰς προσηγορίας ἐπέθηκεν, ἀλλὰ μετὰ πλείονος σοφίας. Ἄνθρωποι μὲν γὰρ εἴς τε τὴν τιμὴν τῶν ἀπελθόντων εἴς τε ἑαυτῶν παραμυθίαν πολλάκις τοῖς τῶν τετελευτηκότων ὀνόμασι τοὺς ἑαυτῶν υἱοὺς καλοῦσιν, παραμυθίαν τινὰ τῆς τῶν κατοιχομένων τελευτῆς διὰ τῆς τῶν παίδων προσηγορίας ἐπινοοῦντες· ὁ δὲ Θεὸς ἀρετῆς ὑπόμνη-

νεύεται Πέτρος». Διὰ τί; «Ἐπειδὴ ὡμολόγησας»· καὶ «σὺ κληθήσῃ Ἀβραάμ». Διὰ τί; «Ἐπειδὴ ἔσῃ πατὴρ ἐθνῶν». Καὶ Ἰσραήλ, ἐπειδὴ εἶδε τὸν Θεόν. Ἐντεῦθεν οὖν καὶ ἡμεῖς τῆς περὶ τοὺς παῖδας ἐπιμελείας ἀρξώμεθα καὶ ρυθμίζωμεν αὐτούς.

50. Ἀλλ' ὅπερ ἔφην, «εἶδε κλίμακα τεταμένην εἰς τὸν οὐρανὸν καὶ φθάνουσαν ἐκεῖ». Ἐπεισερχέσθω τοίνυν τὸ ὄνομα τῶν ἁγίων εἰς τὰς οἰκίας διὰ τῆς προσηγορίας τῶν παίδων, ἵνα μὴ τὸν παῖδα ρυθμίζῃ μόνον, ἀλλὰ καὶ τὸν πατέρα, ὅταν ἐννοῇ, ὅτι Ἰωάννου ἐστὶ πατήρ, ὅτι Ἠλία, ὅτι Ἰακώβου. Ἂν γὰρ μετ' εὐλαβείας τιθῆται καὶ τῆς εἰς τοὺς ἀπελθόντας τιμῆς καὶ τὴν συγγένειαν ἁρπάζωμεν τῶν δικαίων μᾶλλον ἢ τῶν προγόνων, πολὺ καὶ τοῦτο ὠφελήσει καὶ ἡμᾶς καὶ τοὺς παῖδας. Μη γὰρ ἐπειδὴ μικρόν ἐστι, νομίσῃς μικρὸν εἶναι· ὠφελείας γάρ ἐστιν ὑπόθεσις.

51. Ἀλλ' ὅπερ ἔφην, ἐπανέλθωμεν πάλιν ἐπὶ τὴν ἀκολουθίαν. «Εἶδεν κλίμακα ἐστηριγμένην· ἐπεζήτησεν εὐλογηθῆναι· εὐλόγησεν αὐτὸν ὁ Θεός· ἀπῆλθε πρὸς τοὺς συγγενεῖς τοὺς αὐτοῦ· ἐποίμαινεν». Τὰ περὶ τῆς νύμφης λοιπὸν διαλέγου καὶ τῆς ἐπανόδου, καὶ πολλὰ κερδανεῖ κἀνταῦθεν. Ὅρα γὰρ πόσα μαθήσεται· εἰς Θεὸν ἐλπίζειν παιδευθήσεται, ἀπὸ εὐγενοῦς ὧν καταφρονεῖν μηδενός, μὴ ἐπαισχύνεσθαι τὴν εὐτέλειαν, φέρειν συμφορὰς γενναίως, τἆλλα πάντα.

52. Μετὰ δὴ ταῦτα λέγε αὐξηθέντι καὶ φοβερώτερα διηγήματα. Ἁπαλῇ μὲν γὰρ οὔσῃ τῇ διανοίᾳ μὴ τοσοῦτον ἐπιτίθει βάρος, ἵνα μὴ καταπλήξῃς. Ὅταν δὲ ἐτῶν πεντεκαίδεκα ἢ καὶ πλειόνων γένηται, ἀκουέτω τὰ περὶ τῆς γεέννης· μᾶλλον δέ, ὅταν ἐτῶν δέκα καὶ ὀκτὼ καὶ ἐλαττόνων, ἀκουέτω τὰ περὶ τοῦ κατακλυσμοῦ, τὰ περὶ τῶν Σοδόμων, τὰ κατ' Αἴγυπτον, πάντα ὅσα κολάσεως γέμει, μετὰ πολλῆς τῆς πλατύτητος. Ἐπὶ πλέον δὲ αὐξηθεὶς ἀκουέτω καὶ τὰ τῆς Καινῆς,

---

σιν καὶ διδασκαλίαν, ὥσπερ ἐν στήλῃ χαλκῇ, τῇ προσηγορίᾳ τῶν ἁγίων ἐναποτίθεται».

64. Ἰω. 1,42. 65. Βλ. Ματθ. 16,17-18. 66. Γεν. 17,4 ἑ.

67. Γεν. 32,29. καὶ Ὁμιλία 58 εἰς τὴν Γεν. 2 (ΕΠΕ 4,498)· «Ἰσραὴλ δὲ ἑρμηνεύεται 'ὁρῶν τὸν Θεόν', ἐπειδὴ ὡς ἰδεῖν ἀνθρώπῳ δυνατὸν ἰδεῖν κατηξιώθης Θεόν, διὰ τοῦτο καὶ τὴν προσηγορίαν σοι ταύτην ἐπιτίθημι».

68. Ὁμιλία εἰς τὸ ρητὸν «οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν... » Α' Κορ. 10,1, 6 (PG 51,252)· «Ἂν δέ τινες ὦσιν οἱ τοῖς μέλλουσιν οὐ πιστεύοντες, ἀπὸ τῶν παρελθόντων αὐτοὺς ἐνάγωμεν εἰς τὴν τῆς ἀρετῆς ἐπιμέλειαν

γει, «σὺ θὰ ὀνομασθεῖς Κηφᾶς, ποὺ ἑρμηνευόμενο σημαίνει Πέτρος»[64]. Γιατί; Ἐπειδὴ ἔκαμες τὴν ὁμολογία ἐκείνη[65]. «Καὶ σὺ θὰ ὀνομασθεῖς Ἀβραάμ». Γιατί; «Ἐπειδὴ θὰ γίνεις γενάρχης πολλῶν ἐθνῶν»[66]. Καὶ ὁ Ἰακὼβ μετονομάσθηκε Ἰσραήλ, ἐπειδὴ εἶδε τὸ Θεό[67]. Ἀπὸ ἐδῶ λοιπὸν καὶ ἐμεῖς ἂς ἀρχίσομε τὴ φροντίδα μας γιὰ τὰ παιδιὰ καὶ τὴ διάπλαση τῶν ψυχῶν τους.

50. Ἀλλά, ὅπως εἴπαμε, «εἶδε μιὰ σκάλα στημένη ποὺ ἔφθανε μέχρι τὸν οὐρανό». Ἂς μπαίνει λοιπὸν τὸ ὄνομα τῶν ἁγίων στὰ σπίτια μὲ τὴν ὀνομασία τῶν παιδιῶν, ὥστε νὰ μὴ συντελεῖ μόνο στὴ διαπαιδαγώγηση τοῦ παιδιοῦ, ἀλλὰ καὶ στὴν ὠφέλεια τοῦ πατέρα, ὅταν σκέπτεται, ὅτι εἶναι πατέρας κάποιου Ἰωάννη, κάποιου Ἠλία, κάποιου Ἰακώβου. Ἂν λοιπὸν δίνεται αὐτὸ μὲ εὐλάβεια καὶ μὲ τιμὴ πρὸς ἐκείνους ποὺ πέθαναν καὶ ἐπιδιώκομε πολὺ περισσότερο τὴ συγγένεια μὲ τοὺς δικαίους παρὰ μὲ τοὺς προγόνους, αὐτὸ θὰ ὠφελήσει πολὺ καὶ ἐμᾶς καὶ τὰ παιδιά. Γιατὶ μὴ νομίσεις, ἐπειδὴ εἶναι μικρό, ὅτι αὐτὸ δὲν ἔχει καὶ μεγάλη σπουδαιότητα· ἀποτελεῖ αὐτὸ τὴ βάση τῆς ὅλης ὠφέλειάς του.

51. Ἀλλά, ὅπως προανάφερα, ἂς ἐπανέλθομε στὴ συνέχεια τῆς διηγήσεως. «Εἶδε μία σκάλα στηριγμένη στὸν οὐρανό· ζήτησε τὴν εὐλογία τοῦ Θεοῦ καὶ ὁ Θεὸς τὸν εὐλόγησε· ἔφυγε ἀπὸ ἐκεῖ καὶ πῆγε στοὺς συγγενεῖς του, ὅπου ἔβοσκε τὰ πρόβατα». Στὴ συνέχεια διηγήσου του τὰ σχετικὰ μὲ τὸ γάμο του, μὲ τὴν ἐπιστροφή του στὸ πατρικό του σπίτι, καὶ θὰ ὠφεληθεῖ καὶ ἀπὸ ἐδῶ. Πρόσεχε λοιπὸν πόσα θὰ μάθει· θὰ μάθει νὰ ἐλπίζει στὸ Θεό, νὰ μὴ περιφρονεῖ κανέναν ἂν καὶ εἶναι εὐγενής, νὰ μὴ ντρέπεται γιὰ τὴ φτώχεια του, νὰ ὑπομένει γενναῖα τὶς συμφορὲς καὶ ὅλα τὰ ἄλλα.

52. Στὴ συνέχεια πάλι, ἀφοῦ μεγαλώσει λέγε του καὶ πιὸ φοβερὲς ἱστορίες. Γιατί, ὅσο εἶναι τρυφερὸ τὸ μυαλό του μὴ τὸ φορτώνεις μὲ τόσο μεγάλο βάρος, γιὰ νὰ μὴ τὸ κατατρομάξεις. Ὅταν ὅμως γίνει δεκαπέντε ἐτῶν καὶ περισσότερο ἂς ἀκούει καὶ τὰ σχετικὰ μὲ τὴ γέεννα· ἢ καλύτερα, ὅταν εἶναι δεκαοκτὼ ἐτῶν καὶ κάτω ἂς ἀκούει τὰ σχετικὰ μὲ τὸν κατακλυσμό, μὲ τὰ γεγονότα τῶν Σοδόμων, τὰ ὅσα συνέβηκαν στὴν Αἴγυπτο, καὶ ὅλα ὅσα εἶναι γεμάτα ἀπὸ τιμωρίες[68], καὶ μάλιστα πάρα πολὺ ἐκτεταμένα. Ὅταν πιὰ μεγαλώσει ἂς ἀκούει καὶ τὰ τῆς Καινῆς Διαθήκης, τὰ τῆς χά-

τὰ τῆς χάριτος, τὰ τῆς γεέννης. Τούτοις περίφραττε αὐτοῦ τὴν ἀκοὴν τοῖς διηγήμασι καὶ μυρίοις ἑτέροις καὶ οἴκοθεν παρεχόμενος τὰ ὑποδείγματα.

53. Εἰ δέ τις νόθα τινὰ διηγεῖτο, μηδαμοῦ ἐῶμεν, ὅπερ ἔφην, τινὰ αὐτῷ προσελθεῖν. Ἂν ἴδῃς ἐνώπιον αὐτοῦ δοῦλον αἰσχρολογοῦντα, κόλασον εὐθέως καὶ γενοῦ σφοδρὸς καὶ πικρὸς ἐξεταστὴς τῶν ἡμαρτημένων. Ἂν ἴδῃς κόρην, μᾶλλον δὲ μηδὲ προσίτω κόρη μηδὲ ὑπεκκαιέσθω τὸ πῦρ, πλὴν εἴ που γραῦς καὶ οὐδὲν ἔχουσα ἱκανόν νέον ἑλεῖν· νέας δὲ μᾶλλον ἀπεχέσθω ἢ πυρός. Οὕτω μὲν οὖν οὐδὲν φθέγξεται ἄτοπον, ἂν μηδὲν ἀκούσῃ ἄτοπον, ἀλλὰ τούτοις ἐντρέφηται.

54. Βούλει καὶ ἐφ' ἑτέραν ἴωμεν πύλην, τὴν τῆς ὀσφρήσεως; Καὶ αὕτη πολλὴν εἰσφέρει τὴν βλάβην, ἂν μὴ ἀποφράσσηται, οἷον ἀρώματα, θυμιάματα. Οὐδὲν οὕτως ἐκλύει τόνον ψυχῆς, οὐδὲν οὕτω χαλᾶ, ὡς τὸ εὐωδίαις ἥδεσθαι. 'Τί οὖν', φησίν, 'βορβόρῳ χαίρειν δεῖ;'. Οὐ τοῦτο λέγω, ἀλλὰ μήτε τούτῳ μήτε ἐκείνῳ. Μηδεὶς προσφερέσθω μύρον· εὐθέως γὰρ ὁ ἐγκέφαλος δεχόμενος τὸ πᾶν ἐχάλασε. Ἐντεῦθεν καὶ ἡδοναὶ ἀναρριπίζονται καὶ πολλὴ τοῦ πράγματος ἡ ἐπιβουλή. Καὶ ταύτην οὖν ἀπόφραττε τὴν πύλην· ἡ γὰρ ἐνέργεια αὐ-

---

τὰ κατὰ τοὺς Σοδομίτας διηγούμενοι, τὰ κατὰ τὸν κατακλυσμὸν λέγοντες, τὰ κατὰ τὴν Αἴγυπτον ἀναμιμνήσκοντες, ἵνα, ταῖς ἑτέρων σωφρονισθέντες κολάσεσι καὶ βίον ἄριστον ἐπιδειξάμενοι, καὶ τὸν περὶ τῆς γεέννης καὶ τῆς ἀναστάσεως δέξωνται λόγον. Ἐπεὶ καὶ νῦν ὅσοι τῇ κρίσει διαπιστοῦσιν, οὐδαμόθεν ἑτέρωθεν, ἀλλ' ἀπὸ βίου διεφθαρμένου καὶ πνηροῦ συνειδότος τοῦτο πάσχουσιν»

69. *Ὁμιλία 2 εἰς τὴν Β' πρὸς Θεσσ. 4* (ΕΠΕ 23,40)· «Πᾶσα διήγησίς σου ἔστω ἐν νόμῳ Ὑψίστου· διὸ παρακαλῶ, ἀπὸ τίτθης τὰ παιδία λαμβάνοντες μὴ μύθοις γραϊκοῖς αὐτὰ ἐθίζωμεν, ἀλλ' ἐκ πρώτης ἡλικίας μανθανέτωσαν, ὅτι κρίσις ἐστίν, ὅτι κόλασις· ἐμπηγνύσθω αὐτῶν τῇ διανοίᾳ· οὗτος ὁ φόβος συρριζωθεὶς μεγάλα ἐργάζεται ἀγαθά. Ψυχὴ γὰρ μαθοῦσα ἐκ πρώτης ἡλικίας τῇ προσδοκίᾳ ταύτῃ κατασείεσθαι, οὐ ταχέως ἀποσείεται τοῦτο τὸ δέος· ἀλλ' ὥσπερ τις ἵππος εὐήνιος ἐπικαθήμενον ἔχουσα τὸν τῆς γεέννης λογισμὸν εὔτακτα βαδίζουσα καὶ φθέγξεται καὶ ἐρεῖ χρήσιμα· καὶ οὔτε νεότης οὔτε πλοῦτος οὔτε ὀρφανία οὔτε ἄλλο οὐδὲν αὐτὴν βλάψαι δυνήσεται, οὕτω στερρὸν ἔχουσαν τὸν λογισμὸν καὶ πρὸς πάντα ἀντέχειν δυνάμενον».

70. *Ὁμιλία «Εἰς τὸ δεῖν καὶ ἐν τῇ Πεντηκοστῇ... καὶ πρὸς τῷ τέλει περὶ τῆς Ἄννης» 6* (PG 54,612)· «Οὐδὲν οὕτω σπουδάζειν χρὴ καὶ φροντίζειν τῶν νέων, ὡς σωφροσύνης ἕνεκεν καὶ σεμνότητος. Τοῦτο γὰρ μάλιστα τὸ πάθος ἐκείναις ἐνοχλεῖ

ριτος καὶ τὰ τῆς γέεννας[69]. Μὲ αὐτὰ τὰ διηγήματα καὶ ἄπειρα ἄλλα καθὼς καὶ μὲ παραδείγματα παρμένα ἀπὸ τὴ ζωή σου νὰ περιφράσσεις τὴν ἀκοή του.

53. Ἂν ὅμως κάποιος διηγεῖται νόθες ἱστορίες, ὅπως προανέφερα, νὰ μὴ ἐπιτρέπομε σὲ κανέναν νὰ πλησιάζει αὐτό. Ἂν δεῖς κοντά του δοῦλο νὰ λέγει αἰσχρόλογα, τιμώρησέ τον ἀμέσως καὶ νὰ ἐλέγχεις μὲ αὐστηρότητα καὶ δριμύτητα τὰ παραπτώματά του. Ἂν δεῖς κορίτσι, ἢ καλύτερα οὔτε κἂν νὰ τὸ πλησιάζει κορίτσι οὔτε καὶ νὰ ὑποδαυλίζομε τὴ φωτιά, παρὰ μόνο ἂν ὑπάρχει καμιὰ γρηὰ ποὺ δὲν ἔχει τίποτε ἱκανὸ να σκανδαλίσει τὸν νέο. Τὴ νεαρὴ γυναίκα νὰ τὴν ἀποφεύγει πιὸ πολὺ καὶ ἀπὸ τὴ φωτιά[70]. Ἔτσι λοιπὸν τίποτε τὸ ἀπρεπὲς δὲν θὰ ἐκστομίσει τὸ παιδί, ἂν δὲν ἀκούσει τίποτε τὸ ἀπρεπές, ἀλλὰ θὰ τρέφεται μὲ τὰ ὅσα εἴπαμε.

54. Θέλεις νὰ προχωρήσομε σὲ ἄλλη πύλη, τὴν πύλη τῆς ὀσφρήσεως; Καὶ αὐτὴ πάλι προξενεῖ βλάβη, ἂν δὲν φράσσεται, ὅπως τὰ ἀρώματα καὶ τὰ θυμιάματα. Τίποτε δὲν παραλύει τόσο πολὺ τὴ δύναμη τῆς ψυχῆς, τίποτε δὲν τὴν χαλαρώνει τόσο, ὅσο τὸ νὰ εὐχαριστεῖται κανεὶς μὲ εὐωδιές. ‘Τί λοιπόν’, λέγει, ‘πρέπει νὰ εὐχαριστούμαστε μὲ τὸ βοῦρκο;’. Δὲν λέγω αὐτό, ἀλλ’ οὔτε μὲ αὐτὸ οὔτε μὲ ἐκεῖνο. Κανένας νὰ μὴ δίνει στὸ παιδὶ μύρο· γιατὶ ἀμέσως μόλις ἡ εὐωδιὰ φθάσει στὸν ἐγκέφαλο παραλύει ὅλο τὸ σῶμα[71]. Ἀπὸ ἐδῶ ἐρεθίζονται καὶ οἱ ἡδονὲς καὶ ὑπάρχει κίνδυνος γιὰ πολὺ μεγάλο κακό. Νὰ φράσσεις λοιπὸν καὶ αὐτὴν τὴν πύλη·

ταῖς ἡλικίαις· καὶ ὅπερ ἐπὶ τῶν λύχνων ποιοῦμεν, τοῦτο καὶ ἐπὶ τῶν παιδίων φυλάττωμεν. Πολλάκις γὰρ θεραπαινίδι λύχνον ἁπτούσῃ παρακελευόμεθα μὴ παραγαγεῖν τὸν λύχνον ἔνθα ἂν ᾖ καλάμη ἢ χόρτος ἤ τι τῶν τοιούτων, μήποτε ἀγνοούντων ἡμῶν σπινθήρ τις ἐκπεσὼν καὶ τῆς ὕλης ἐπιλαβόμενος ἐκείνης ὁλόκληρον ἐμπρήσῃ τὴν οἰκίαν. Ταύτην καὶ ἐπὶ τῶν παιδίων πρόνοιαν ἔχωμεν καὶ μὴ παράγωμεν αὐτῶν τὰς ὄψεις ἔνθα θεραπαινίδες ἀσελγεῖς, ἔνθα κόραι ἄσωτοι, ἔνθα δοῦλαι ἀκόλαστοι, ἀλλὰ κελεύωμεν καὶ παρεγγυῶμεν κἂν θεραπαινίδα τοιαύτην ἔχωμεν κἂν γείτονα κἂν ἁπλῶς ἑτέραν τινὰ τοιαύτην, μήτε εἰς ὄψιν μήτε εἰς συνουσίαν λόγων τοῖς νέοις ἔρχεσθαι, ὥστε μὴ σπινθῆρα ἐκεῖθεν ἐκπεσόντα ὁλόκληρον ἀνάψαι τοῦ παιδίου τὴν ψυχὴν καὶ ἀπαραμύθητον γενέσθαι συμφοράν».

71. *Ὁμιλία Περὶ Καλενδῶν καὶ εἰς τὸν Λάζαρον 8* (PG 48,973D, ΕΠΕ τόμ. 34)· «Στρατιώτης εἶ πνευματικός· στρατιώτης δὲ τοιοῦτος οὐ καθεύδει ἐπὶ κλίνης ἐλαφαντίνης, ἀλλ’ ἐπὶ τοῦ ἐδάφους· οὐ χρίεται μύροις· τῶν γὰρ ἡταιρηκότων καὶ διεφθαρμένων ἡ τοιαύτη σπουδή, τῶν ἐπὶ σκηνῆς, τῶν ἐν ἀμελείᾳ ζώντων· σὲ δὲ οὐχὶ

τῆς ἀναπνεῖν τὸν ἀέρα, οὐκ εὐωδίαν δέχεσθαι. Τάχα τινὲς καταγελῶσιν ὡς περὶ μικροῦ φροντιζόντων ἡμῶν, εἰ περὶ τοιαύτης διαλεγόμεθα πολιτείας· οὐκ ἔστι δὲ μικρά, ἀλλὰ τῆς οἰκουμένης πάσης ἐστὶν ἡ ὑπόστασις καὶ ἡ παίδευσις καὶ ὁ ρυθμός, εἰ ταῦτα ἐγίνετο.

55. Ἔστιν καὶ ἑτέρα πύλη τούτων μὲν ὡραιοτέρα, δυσφύλακτος δέ, ἡ τῶν ὀφθαλμῶν· καὶ διὰ τοῦτο καὶ ἄνω κεῖται ἀνεῳγμένη καὶ κάλλος ἔχουσα. Πολλὰς ἔχει τὰς πυλίδας οὐχ ὁρῶσα μόνον, ἀλλὰ καὶ ὁρωμένη, ἂν ᾖ καλῶς ἐκτετορνευμένη.

56. Σφοδρῶν ἐνταῦθα χρὴ τῶν νόμων· καὶ πρώτου μὲν ἑνός, μηδέποτε εἰς θέατρον πεμπέσθω τὸ παιδίον, ἵνα μὴ λύμην ὁλόκληρον καὶ διὰ τῆς ἀκοῆς καὶ διὰ τῶν ὀφθαλμῶν δέχηται. Καὶ ἐν ἀγοραῖς ὁ παιδαγωγὸς μάλιστα τοῦτο ἐπιτηρείτω παριὼν διὰ τῶν στενωπῶν, καὶ παραινείτω τοῦτο, ὥστε μηδέ ποτε δέξασθαι τὴν λύμην ἐκείνην.

57. Ὥστε μὲν οὖν μὴ δέξασθαι ὁρώμενον, πολλά ἐστιν ἐπινοῆσαι, τὸ πολὺ τοῦ καλλωπισμοῦ ἑλεῖν, τὰς ἄνωθεν ἐπικειμένας τρίχας περικείροντα εἰς σεμνότητα. Ἂν δὲ δυσχεραίνῃ τὸ παιδίον ὡς ἀποκοσμούμενον, πρῶτον τοῦτο μαθέτω, ὅτι μέγιστος κόσμος τοῦτό ἐστιν.

58. Ὥστε δὲ μὴ ὁρᾶν, ἱκανὰ πρὸς φυλακὴν τὰ διηγήματα ἐκεῖνα, τὰ κατὰ τοὺς υἱοὺς τοῦ Θεοῦ τοὺς ὀλισθήσαντας εἰς τὰς θυγατέρας τῶν ἀνθρώπων, τὰ κατὰ τοὺς Σοδομίτας, ἡ γέεννα καὶ τὰ ἄλλα ἅπαντα.

59. Ἐνταῦθα μάλιστα ὁ παιδαγωγὸς καὶ ὁ ἀκόλουθος πολλὴν ἔχειν ὀφείλουσι τὴν φροντίδα. Ἀλλὰ δεῖξον αὐτῷ κάλλη ἕτερα, καὶ ἀπάξεις ἐκεῖθεν τοὺς ὀφθαλμούς, οἷον τὸν οὐρανόν, τὸν ἥλιον, τοὺς

μύρων, ἀλλ' ἀρετῆς ἀποπνεῖν δεῖ». καὶ στὴν ἴδια *Ὁμιλία 4* (PG 48,573)· «καὶ γὰρ καὶ τραπέζῃ πολυτελεῖ καὶ μαλακοῖς ἱματίοις καὶ στρωμνῇ μαλακωτέρᾳ καὶ λουτροῖς διηνεκέσι καὶ μύροις καὶ οἴνῳ μύρου οὐδὲν χεῖρον διακειμένῳ καὶ ἑτέρᾳ πολλῇ καὶ διαφόρῳ δαπάνῃ λειτουργοῦντες τῇ σαρκί, πολλὴν ἀπὸ ταύτης παρέχουσιν αὐτῇ τὴν τρυφήν».

72. *Ὁμιλία 7 εἰς τὴν Β' πρὸς Κορ. 7* (ΕΠΕ 19,232 καὶ 226)· «Ἀλλ' ὑγρὸς ὁ ὀφθαλμὸς καὶ γοργὸς καὶ καλῶς ἀποτεταγμένη ἡ ὀφρὺς καὶ κυαναῖ αἱ βλεφαρίδες καὶ ἥμερος ἡ κόρη καὶ γαλανὸν τὸ ὄμμα»· καὶ παρ. 6· «... ὃ δὲ μάλιστά ἐστι τυραννικώτερον μέρος τῆς εὐμορφίας, τῶν ὀφθαλμῶν τὸ κάλλος».

73. *Ὁμιλία 12 εἰς τὴν πρὸς Ρωμ. 8* (ΕΠΕ 16Α,108)· «Λάγνος εἶ καὶ ἄσωτος;

γιατὶ ἔργο αὐτῆς τῆς πύλης εἶναι νὰ ἀναπνέει τὸν ἀέρα καὶ ὄχι νὰ δέχεται εὐωδιές. Ἴσως μερικοὶ γελοῦν νομίζοντας ὅτι ἀσχολούμαστε μὲ ἀσήμαντα, ἀφοῦ μιλᾶμε γιὰ ἕναν τέτοιο τρόπο ζωῆς· ὅμως δὲν εἶναι ἀσήμαντα, ἀλλ' ἂν γίνονταν αὐτά, αὐτὰ εἶναι ἡ ὅλη ὑπόσταση, ἡ παίδευση καὶ ἡ διάπλαση ὅλης τῆς οἰκουμένης.

55. Ὑπάρχει καὶ ἄλλη πύλη ὡραιότερη ἀπ' αὐτές, τὶς προηγούμενες, ἀλλὰ δυσκολοφύλακτη, ἡ πύλη τῶν ὀφθαλμῶν· καὶ γι' αὐτὸ καὶ βρίσκεται ψηλὰ ἀνοιχτὴ καὶ εἶναι πολὺ ὡραία. Ἔχει πολλὲς θυρίδες καὶ ὄχι μόνο βλέπει, ἀλλὰ καὶ βλέπεται, ἂν αὐτὴ εἶναι καλοκαμωμένη[72].

56. Ἐδῶ πρέπει οἱ νόμοι νὰ εἶναι αὐστηροί· ἕνας πρῶτος νόμος εἶναι, ποτὲ τὸ παιδὶ νὰ μὴ στέλνεται στὸ θέατρο, γιὰ νὰ μὴ δέχεται ὁλόκληρη τὴν καταστροφὴ καὶ μὲ τὰ αὐτιὰ καὶ μὲ τὰ μάτια. Ἐπίσης καὶ στὶς ἀγορὲς αὐτὸ πρὸ πάντων νὰ προσέχει ὁ παιδαγωγός, παιρνόντας ἀπὸ τὶς στενωπούς, καὶ αὐτὴ τὴ συμβουλὴ νὰ τοῦ δίνει, ὥστε ποτὲ νὰ μὴ δεχθεῖ ἐκείνη τὴν καταστροφή[73].

57. Καὶ γιὰ νὰ μὴ δεχθεῖ λοιπὸν τὸ παιδὶ τὴν καταστροφὴ βλεπόμενο ἀπὸ ἄσεμνα ἄτομα, εἶναι δυνατὸ νὰ σκεφθεῖ κανεὶς πολλά· νὰ ἐλαττώσει τὸν πολὺ καλλωπισμό, κόβοντας τὰ μαλλιά του κατὰ τρόπο σεμνό. Ἂν ὅμως δυσανασχετεῖ τὸ παιδὶ ποὺ στερεῖται τὸν ὡραῖο στολισμό, πρῶτα ἂς μάθει αὐτό, ὅτι αὐτὸ εἶναι τὸ μεγαλύτερο στολίδι.

58. Γιὰ νὰ μὴ βλέπει λοιπὸν αὐτὸ τὰ ἄσεμνα εἶναι ἀρκετὰ γιὰ τὴν προφύλαξή του τὰ διηγήματα ἐκεῖνα, τὰ σχετικὰ μὲ τοὺς υἱοὺς τοῦ Θεοῦ ποὺ διέπραξαν τὸ ἁμάρτημα μὲ τὶς θυγατέρες τῶν ἀνθρώπων[74], τὰ σχετικὰ μὲ τοὺς Σοδομίτες[75], ἡ γέεννα καὶ ὅλα τὰ ἄλλα.

59. Σ' αὐτὸ πρὸ πάντων ὁ παιδαγωγὸς καὶ ὁ συνοδὸς πρέπει νὰ συγκεντρώσουν ὅλη τους τὴ φροντίδα. Ἐπίσης δεῖξε του καὶ ἄλλα κάλλη καὶ θ' ἀπομακρύνεις ἀπὸ ἐκεῖνα τὰ ἄσεμνα θεάματα τὰ μά-

---

Τίθει σεαυτῷ πάλιν ὅρον, ὥστε μὴ ὁρᾶν εἰς γυναῖκα μήτε εἰς θέατρον ἀναβαίνειν μηδὲ ἐν ἀγορᾷ τὰ ἀλλότρια περιεργάζεσθαι κάλλη. Πολὺ γὰρ εὐκολώτερον τὴν ἀρχὴν μηδὲ ἰδεῖν εὔμορφον γυναῖκα ἢ θεασάμενον καὶ δεξάμενον τὴν ἐπιθυμίαν ἐκβαλεῖν τὸν ἐκ ταύτης θόρυβον».

74. *Γεν.* 6,1–4. 75. *Γεν.* 19,1–29.

ἀστέρας, τῆς γῆς τὰ ἄνθη, τοὺς λειμῶνας, βιβλίων κάλλη· τούτοις τερπέσθω τὰς ὄψεις. Καὶ πολλά ἐστιν ἕτερα βλάβην μὴ φέροντα.

60. Δυσφύλακτος γὰρ αὕτη ἡ πύλη, ἐπειδὴ τὸ πῦρ ἔνδον ἔχει κείμενον καὶ φυσικήν, ὡς ἄν τις εἴποι, τὴν ἀνάγκην. Μαθέτω τὰς θείας ἐπῳδάς. Ἂν μὴ ἔνδοθεν διεγείρηται, οὐ θέλει οὐδὲ ἔξωθεν ἰδεῖν. Μὴ λουέσθω μετὰ γυναικῶν· κακὸν γὰρ τὸ τῆς συνηθείας· μηδὲ εἰς ὄχλους πεμπέσθω γυναικῶν.

61. Ἀκουέτω τὰ κατὰ τὸν Ἰωσὴφ πάντα συνεχῶς· μανθανέτω λοιπὸν τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν, ὅσος τοῖς σωφρονεῖν ἀπόκειται μισθός. Ἐπαγγέλλου καὶ νύμφην ὡραίαν ἄξειν αὐτῷ καὶ τοῦ κλήρου ποιήσειν διάδοχον. Πάντα ἀπείλησον, ἂν ἴδῃς τἀναντία, καὶ λέγε πρὸς αὐτόν· 'οὐκ ἐπιτευξόμεθα, παιδίον, γυναικὸς ἐναρέτου, ἐὰν μὴ πολλὴν ἐπιδείξῃ τὴν φυλακὴν καὶ τῆς ἀρετῆς τὴν ἐπίδοσιν· καὶ ὡς ἂν καρτερήσῃς, ταχέως σε ἐπὶ γάμον ἄξω'.

62. Μάλιστα ἐὰν παιδεύηται αἰσχρὰ μὴ φθέγγεσθαι, ἄνωθεν ἔχει τὴν εὐλάβειαν προκαταβεβλημένην. Διαλέγου αὐτῷ περὶ κάλλους ψυχῆς. Φρόνημα αὐτῷ ἔντικτε κατὰ γυναικῶν. Λέγε ὡς δουλοπρεπὲς ὑπὸ τῆς δούλης καταφρονεῖσθαι, καὶ ὅτι πολλῆς μάλιστα δεῖται τῆς σπουδῆς ὁ νέος. Ὁ μὲν γὰρ φθεγγόμενος ἔσται δῆλος, ὁ δὲ ὁρῶν οὐκ ἔσται δῆλος (ταχεῖα γὰρ αὕτη ἡ αἴσθησις), καὶ δύναται μεταξὺ πολλῶν καθήμενος ταῖς τῶν ὀφθαλμῶν βολαῖς ἑλεῖν ἣν ἂν ἐθέλῃ. Μηδὲν ἐχέτω κοινὸν πρὸς γυναῖκα· χρυσίου μὴ μεταδίδου· μηδεμίαν

---

76. *Ὁμιλία 37 εἰς τὸ κατὰ Ματθ. 7* (ΕΠΕ 10,594–596)· «εἰ γὰρ βούλει ψυχαγωγεῖσθαι, βάδιζε εἰς παραδείσους, ἐπὶ παραρρέοντα ποταμὸν καὶ λίμνας· καταμάνθανε κήπους, ἄκουε τεττίγων ᾀδόντων, ἐπιχωρίαζε σηκοῖς μαρτύρων, ὅπου σώματος ὑγεία καὶ ψυχῆς ὠφέλεια καὶ βλάβος οὐδὲν οὐδὲ μετάνοια μετὰ τὴν ἡδονὴν καθάπερ ἐνταῦθα».

77. *Ὁμιλία 20 εἰς τὴν πρὸς Ἐφ. 1* (ΕΠΕ 21,190–194)· «Οὐ γάρ ἐστιν ἀνδρὸς πρὸς ἄνδρα τοσαύτη οἰκειότης, ὅση γυναικὸς πρὸς ἄνδρα, ἂν ᾖ τις ὡς χρὴ συνεζευγμένος. Ὄντως γάρ, ὄντως πάσης τυραννίδος αὕτη ἡ ἀγάπη τυραννικωτέρα. Αἱ μὲν γὰρ ἄλλαι σφοδραί· αὕτη δὲ ἡ ἐπιθυμία ἔχει καὶ τὸ σφοδρὸν καὶ τὸ ἀμάραντον. Ἔνεστι γάρ τις ἔρως ἐμφωλεύων τῇ φύσει, καὶ λανθάνων ἡμᾶς συμπλέκει ταῦτα τὰ σώματα. Διὰ τοῦτο ἐξ ἀρχῆς ἀπὸ ἀνδρὸς ἡ γυνή, καὶ μετὰ ταῦτα ἀπὸ ἀνδρὸς καὶ γυναικὸς ἀνὴρ καὶ γυνή». Καὶ πιὸ κάτω· «μεγάλα γὰρ ἀπὸ τούτου κακὰ τίκτεται καὶ μεγάλα καλὰ καὶ οἰκίαις καὶ πόλεσιν. Οὐδὲν γὰρ οὕτως ἡμῶν συγκροτεῖ τὸν βίον, ὡς ἔρως ἀνδρὸς καὶ γυναικός. Ὑπὲρ τούτου καὶ ὅπλα πολλοὶ τίθενται, ὑπὲρ τούτου καὶ τὴν ψυχὴν προδιδόασιν».

τια του, ὅπως τὸν οὐρανό, τὸν ἥλιο, τὰ ἀστέρια, τὴ γῆ, τὰ ἄνθη, τὰ λειβάδια, τὰ κάλλη τῶν βιβλίων· μὲ αὐτὰ ἂς τέρπει τὰ μάτια του. Ὑπάρχουν καὶ πολλὰ ἄλλα ποὺ δὲν προξενοῦν βλάβη[76].

60. Εἶναι δυσκολοφύλακτη λοιπὸν αὐτὴ ἡ πύλη, ἐπειδὴ ἔχει μέσα τὴ φωτιὰ καὶ φυσικὴ τὴν ἀνάγκη[77], ὅπως θὰ μποροῦσε κανεὶς νὰ πεῖ. Ἂς μάθει τὶς θεῖες ὑμνωδίες[78]. Ἂν δὲν διεγείρεται ἐσωτερικά, δὲν θέλει οὔτε τὰ ἔξω νὰ βλέπει. Ἂς μὴ λούζεται μαζὶ μὲ τὶς γυναῖκες· γιατὶ εἶναι κακὸ πράγμα ἡ συνήθεια. Οὔτε νὰ στέλλεται σὲ πλῆθος γυναικῶν.

61. Ἂς ἀκούει συνέχεια ὅλα τὰ σχετικὰ μὲ τὸν Ἰωσήφ· μετὰ ἂς μάθει τὰ σχετικὰ μὲ τὴ βασιλεία τῶν οὐρανῶν, τὸ πόση ἀμοιβὴ ἐπιφυλάσσεται στοὺς σώφρονες ἀνθρώπους. Νὰ τοῦ ὑποσχεθεῖς ὅτι θὰ τοῦ βρεῖς καὶ ὡραία νύφη καὶ ὅτι θὰ τὸ κάμεις κληρονόμο σου. Ἂν δεῖς τὰ ἀντίθετα ἀπείλησέ το μὲ κάθε τρόπο καὶ λέγε του· 'δὲν θὰ μπορέσομε, παιδί μου, νὰ βροῦμε ἐνάρετη γυναίκα, ἂν δὲ προφυλαχθεῖς πάρα πολὺ καὶ δὲν ἐπιδείξεις μεγάλη ἀρετή· καὶ ἐφόσον δείξεις ἐγκράτεια, ἀμέσως θὰ σὲ ὁδηγήσω σὲ γάμο'.

62. Πρὸ πάντων ἂν διδάσκεται νὰ μὴ λέγει αἰσχρά, θὰ ἔχει τότε ἀπὸ τὴν ἀρχὴ ριζωμένη μέσα του τὴν εὐλάβεια. Νὰ τοῦ μιλᾶς γιὰ τὴ ὡραιότητα τῆς ψυχῆς. Ἐνστάλαξε μέσα του σωφροσύνη ἀπέναντι στὶς γυναῖκες. Λέγε του ὅτι εἶναι δουλοπρέπεια νὰ περιφρονεῖται ἀπὸ μιὰ δούλη καὶ ὅτι πρέπει ὁ νέος πρό πάντων νὰ προσέχει πάρα πολύ. Γιατὶ ἐκεῖνος ποὺ μιλάει γίνεται ἀντιληπτός, ἐνῶ ἐκεῖνος ποὺ βλέπει δὲν γίνεται ἀντιληπτός (γιατὶ εἶναι πολὺ γρήγορη αὐτὴ ἡ αἴσθηση), καὶ μπορεῖ, ἐνῶ βρίσκεται μαζὶ μὲ πολλοὺς νὰ κυριεύσει μὲ τὶς βολὲς τῶν ματιῶν του τὴ νέα ἐκείνη ποὺ θὰ θελήσει. Ἂς μὴ ἔχει καμιὰ σχέση μὲ γυναίκα· χρήματα μὴ τοῦ δίνεις· καμιὰ γυναίκα νὰ μὴ βλέπει ἐκτὸς ἀπὸ τὴ μητέρα του[79]. Τίποτε τὸ

---

78. *Ὁμιλία 32 εἰς τὸ κατὰ Ἰω. 3* (ΕΠΕ 13,274)· «Εἰ γὰρ αἰσχρολογία καταρρυποῖ καὶ δαίμονας καλεῖ, εὔδηλον ὅτι ἡ πνευματικὴ ἀνάγνωσις ἁγιάζει καὶ τὴν τοῦ Πνεύματος ἐπισπᾶται χάριν. Θεῖαί εἰσιν ἐπῳδαὶ τὰ γράμματα. Ἐπᾴδωμεν τοίνυν ἑαυτοῖς καὶ τοῖς ἐν τῇ ψυχῇ πάθεσιν τὰ ἀπ' ἐκείνων φάρμακα κατασκευάζωμεν. Ἂν γὰρ εἰδῶμεν, τίνα ἐστὶ τὰ ἀναγινωσκόμενα, μετὰ πολλῆς ταῦτα ἀκουσόμεθα τῆς προθυμίας...».

79. *Ὁμιλία Πρὸς τοὺς ἔχοντας παρθένους συνεισάκτους* (ΕΠΕ 29,316–318)· «Καίτοι γε ὁ μακάριος Ἰώβ... οὕτως ἐδεδοίκει τὴν τοιαύτην πάλην καὶ ἐνόμιζεν

ὁράτω γυναῖκα πλὴν τῆς μητρός· μηδὲν ἐπεισιέτω αἰσχρόν· τρυφῆς καταφρονείτω καὶ τῶν ἄλλων τῶν τοιούτων.

63. Ἔστιν καὶ ἄλλη πύλη, οὐ τοιαύτη μέν, οἷαί περ αὗται, ἀλλὰ δι' ὅλου τοῦ σώματος διήκουσα, ἣν ἁφὴν προσαγορεύομεν, δοκοῦσα μὲν κεκλεῖσθαι, ὥσπερ δὲ ἀνεῳγμένη, οὕτω πάντα ἔνδον παραπέμπουσα. Ταύτην μήτε ἁπαλοῖς ἱματίοις μήτε σώμασι προσομιλεῖν ἀφῶμεν. Σκληρὰν αὐτὴν καταστήσωμεν. Ἀθλητὴν τρέφομεν, καὶ τοῦτο ἐννοῶμεν. Μήτε οὖν στρωμναῖς ἁπαλαῖς μήτε ἱματίοις κεχρήσθω. Καὶ ταῦτα μὲν οὕτως ἡμῖν διατετάχθω.

64. Φέρε δὴ καὶ εἰς τὴν πόλιν αὐτὴν εἰσελθόντες γράψωμεν νόμους καὶ διαταξώμεθα, ἐπειδὴ τὰ τῶν πυλῶν ἡμῖν ἔχει καλῶς. Πρῶτον δὲ καταμάθωμεν ἀκριβῶς τὰς οἰκίας καὶ τὰ ταμιεῖα τῶν πολιτῶν, ἔνθα μένουσιν, οἵ τε σφοδροὶ οἵ τε ἐκλελυμένοι.

65. Τῷ μὲν οὖν θυμῷ φασιν εἶναι τόπον καὶ οἰκίαν τὸ στῆθος καὶ τὴν ἐν τῷ στήθει καρδίαν· τῇ δὲ ἐπιθυμίᾳ τὸ ἧπαρ· τῷ λογιστικῷ τὸν ἐγκέφαλον. Ἔστι δὲ ἐκείνου μὲν ἀρετὴ καὶ κακία· ἀρετὴ μὲν

ἀδύνατον εἶναι συνοικοῦντα παρθένῳ μένειν ἁσινῆ καὶ καθαρόν, ὡς μὴ μόνον τῆς συνοικήσεως ταύτης πόρρω καὶ μακρὰν ἑαυτὸν καταστῆσαι, ἀλλὰ καὶ τῆς ὄψεως τῆς ἁπλῶς καὶ ἀπὸ συντυχίας γινομένης, καὶ νόμον ἔθηκε τοῖς ὀφθαλμοῖς τοῖς ἑαυτοῦ, μηδὲ ἁπλῶς εἰς παρθένον ἰδεῖν. Ἤιδει γὰρ σαφῶς, ᾔδει, ὅτι οὐ μόνον τὸν συνοικοῦντα, ἀλλὰ καὶ τὸν βλέποντα περιέργως εἰς ὄψιν παρθενικὴν δύσκολον, τάχα δὲ καὶ ἀδύνατον, τὴν ἐκεῖθεν διαφυγεῖν βλάβην· διὸ ἔλεγε· 'καὶ οὐ συνήσω ἐπὶ παρθένῳ'»· καὶ *Ὁμιλία 17 εἰς τὸ κατὰ Ματθ. 1–2* (ΕΠΕ 9,586, 588, 590)· «τουτέστιν ὁ ποιούμενος ἔργον τὰ λαμπρὰ σώματα περιεργάζεσθαι καὶ τὰς εὐμόρφους ὄψεις θηρᾶν καὶ ἑστιᾶν τῇ θέᾳ τὴν ψυχὴν καὶ προσηλοῦν τὰ ὄμματα τοῖς καλοῖς προσώποις. Οὐ γὰρ τὸ σῶμα ἦλθεν ἀπαλλάξαι τῶν πονηρῶν πράξεων μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν πρὸ ἐκείνου... Ἄλλως δὲ ἐνταῦθα οὐχ ἁπλῶς τὴν ἐπιθυμίαν ἀναιρεῖ, ἀλλὰ τὴν ἐκ τῆς ὄψεως ἐπιγιγνομένην ἐπιθυμίαν. Ὁ γὰρ σπουδάζων ὁρᾶν τὰς εὐμόρφους ὄψεις αὐτὸς μάλιστα τὴν κάμινον ἀνάπτει τοῦ πάθους καὶ τὴν ψυχὴν αἰχμάλωτον ποιεῖ καὶ ταχέως ἐπὶ τὴν πρᾶξιν ἔρχεται». «Τουτέστιν ὁ ἑαυτῷ τὴν ἐπιθυμίαν συλλέγων, ὁ μηδενὸς ἀναγκάζοντος τὸ θηρίον ἐπεισάγων ἠρεμοῦντι τῷ λογισμῷ. Ἅπαξ μὲν γὰρ καὶ δὶς καὶ τρὶς οὕτως ἰδὼν ἴσως δυνήσῃ κρατεῖν· ἂν δὲ συνεχῶς τοῦτο ποιῇς καὶ ἀνάπτῃς τὴν κάμινον, ἁλώσῃ πάντως· οὐ γὰρ ἔξω τῆς ἀνθρωπίνης ἕστηκας φύσεως. Ὁ γὰρ τὴν φλόγα ἀνάψας ἅπαξ καὶ ἀπούσης τῆς ὀφθείσης γυναικὸς πλάττει παρ' ἑαυτῷ διηνεκῶς εἴδωλα πραγμάτων αἰσχρῶν καὶ ἀπ' αὐτῶν πολλάκις ἐπὶ τὸ ἔργον πρόεισιν».

80. *Ὁμιλία Πρὸς τοὺς ἔχοντας παρθένους συνεισάκτους* (ΕΠΕ 29,302)· «Καὶ φιλοσόφων δέ τις ἰδών τινα τῶν αὐτῷ συνόντων καταφιλήσαντα νέον εὔμορφον,

αἰσχρὸ νὰ μὴ μπαίνει στὴν ψυχή του· νὰ μάθει νὰ περιφρονεῖ τὴν τρυφηλὴ ζωὴ καὶ ὅλα τὰ ἄλλα τὰ παρόμοια.

63. Ὑπάρχει καὶ ἄλλη πύλη, ὄχι τέτοια ὅπως οἱ προηγούμενες, ἀλλὰ μιὰ πύλη ποὺ ἁπλώνεται σ' ὅλο τὸ σῶμα μας, τὴν ὁποία τὴν ὀνομάζομε ἀφή, ποὺ φαίνεται ὅτι εἶναι κλειστή, ἀλλὰ σὰν νὰ εἶναι ἀνοιχτή, ὅλα ἔτσι τὰ ἀφήνει νὰ περάσουν μέσα. Αὐτὴν τὴν πύλη νὰ μὴ τὴν ἀφήνομε νὰ ἔρχεται σὲ σχέση οὔτε μὲ ἁπαλὰ ἐνδύματα, οὔτε μὲ σώματα[80]. Ἂς σκληραγωγήσομε αὐτήν. Ἀθλητὴ ἀνατρέφομε, καὶ αὐτὸ ν' ἀποτελεῖ τὴ σκέψη μας. Ἂς μὴ χρησιμοποιεῖ λοιπὸν οὔτε ἁπαλὰ στρώματα οὔτε ἁπαλὰ ἐνδύματα. Ὅλες αὐτὲς λοιπὸν τὶς ἐντολὲς ἔτσι νὰ τὶς ἐφαρμόζετε.

64. Ἐμπρὸς λοιπὸν ἀφοῦ μποῦμε καὶ σ' αὐτὴν τὴν ἴδια τὴν πόλη, ἂς ὁρίσομε νόμους καὶ παραγγέλματα, ἀφοῦ ἔχομε διασφαλίσει καλὰ τὶς πύλες μας. Καὶ πρῶτα ἂς μάθουμε ποιές ἀκριβῶς εἶναι οἱ οἰκίες καὶ τὰ δωμάτια τῶν πολιτῶν στὰ ὁποῖα μένουν καὶ οἱ ἰσχυροὶ καὶ οἱ ἐξαχρειωμένοι.

65. Τόπος, λένε, καὶ κατοικία τοῦ θυμοῦ εἶναι τὸ στῆθος καὶ ἡ καρδιὰ ποὺ βρίσκεται μέσα στὸ στῆθος, τῆς ἐπιθυμίας τὸ ἧπαρ καὶ τοῦ λογικοῦ ὁ ἐγκέφαλος[81]. Στὸ θυμὸ ὑπάγονται ἡ ἀρετὴ καὶ ἡ κα-

ἐθαύμασεν εἰπὼν ὅτι καὶ εἰς πῦρ οὗτος ῥᾳδίως ἂν κυβιστήσειεν ὁ ταύτην τολμήσας διὰ τοῦ φιλήματος ἀνάψαι ἑαυτῷ κάμινον... εἰ γὰρ ὄψις μόνη τοσαύτην ἐπιτίθησιν ὀδύνην, ὅταν καὶ ἀφὴ προσῇ τῆς ὄψεως πολὺ παχυτέρα ἀπόλαυσις, μείζονα αἴρει τὴν φλόγα καὶ δριμυτέραν ἐργάζεται τὴν ἀλγηδόνα καὶ χαλεπώτερον ποιεῖ τὸ θηρίον». Καὶ *Ὁμιλία 29 εἰς τὴν πρὸς Ἑβρ. 3* (PG 63,206, ΕΠΕ τόμ. 24)· «Οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν, οἱ δὲ μὴ τὰ τοιαῦτα ἐν οὐρανοῖς. Τὸ γὰρ μαλακὸν ἱμάτιον καὶ τὴν αὐστηρὰν ἐκλύειν ψυχὴν καὶ διακλᾷ καὶ διαχεῖ· κἂν τραχὺ λάβῃ σῶμα καὶ σκληρόν, ταχέως διὰ τῆς τοιαύτης τρυφεραγωγίας μαλακὸν ποιεῖ καὶ ἀσθενές. Πόθεν γὰρ οἴεσθε ἑτέρωθεν τὰς γυναῖκας οὕτως εἶναι ἀσθενεῖς, εἰπέ μοι; Ἆρα ἀπὸ φύσεως μόνης; Οὐδαμῶς· ἀλλὰ καὶ ἀπὸ τῆς ἀγωγῆς καὶ τῆς ἀνατροφῆς· ἡ γὰρ σκιατροφία, ἡ ἀργία, τὰ λουτρά, τὰ μύρα, τῶν ἀρωμάτων τὸ πλῆθος, τῆς στρωμνῆς ἡ ἁπαλότης, τοιαύτας αὐτὰς ἀπεργάζεται. Ὅτι δὲ τοῦτο ἐστὶν ἀληθές, αἱ ἐπὶ τῶν ἀγρῶν τρεφόμεναι γυναῖκες τῶν ἀστικῶν ἀνδρῶν εἰσιν ἰσχυρότεραι, καὶ πολλοὺς ἂν τοιούτους καταπαλαίσαιεν ἐκεῖναι. Τοῦ δὲ σώματος γενομένου μαλακωτέρου, ἀνάγκη καὶ τὴν ψυχὴν συναπολαύειν τῆς λύμης· τὰ γὰρ πολλὰ καὶ συνδιατίθενται αὐτῆς αἱ ἐνέργειαι τῇ τούτων διαθέσει».

81. *Ὁμιλία 17 εἰς τὸ κατὰ Ματθ. 1* (ΕΠΕ 9,586, 588, 594)· «Ἀρξάμενος γὰρ ἀπὸ τῶν γενικωτάτων ἐν ἡμῖν παθῶν, θυμοῦ λέγω καὶ ἐπιθυμίας (ταῦτα γάρ ἐστι μάλιστα τὰ τυρρανοῦντα ἐν ἡμῖν καὶ τῶν ἄλλων ὄντα φυσικώτερα) μετὰ πολλῆς τῆς

σωφροσύνη καὶ ἐπιείκεια, κακία δὲ θρασύτης καὶ χαλεπότης· τούτου δ' αὖ πάλιν ἀρετὴ μὲν σωφροσύνη, κακία δὲ ἀσέλγεια· καὶ τοῦ λογιστικοῦ ἀρετὴ μὲν φρόνησις, κακία δὲ ἄνοια. Ὅπως οὖν ἡμῖν αἱ ἀρεταὶ τεχθεῖεν ἐν τοῖς τόποις τούτοις καὶ τοιούτους τίκτοιεν τοὺς πολίτας, ἀλλὰ μὴ κακούς, φροντίσωμεν· καθάπερ γὰρ μητέρες τινὲς τῶν λογισμῶν τὰ πάθη ταῦτα καθεστήκασιν.

66. Ἔλθωμεν τοίνυν ἐπὶ τὸ τυραννικόν, τὸν θυμόν. Οὔτε δὴ παντελῶς ἐκκοπτέον τῷ νέῳ αὐτὸν οὔτε πανταχοῦ κεχρῆσθαι συγχωρητέον· ἀλλὰ παιδεύωμεν αὐτοὺς ἐκ πρώτης ἡλικίας, ὅταν μὲν αὐτοὶ ἀδικῶνται, φέρειν, εἰ δέ τινα ἀδικούμενον ἴδοιεν, γενναίως ἐπεξιέναι καὶ τῷ καταπονουμένῳ μετὰ τοῦ προσήκοντος ἀμύνειν μέτρου.

67. Τοῦτο δὲ ἔσται πῶς; Ἐὰν ἐν τοῖς οἰκέταις τοῖς αὐτῶν ἐγγυμνάζωνται καὶ φέρωσι καταφρονούμενοι καὶ μὴ χαλεπαίνωσι παρακουόμενοι, ἐξετάζωσι δὲ ἀκριβῶς τὰ εἰς ἑτέρους πλημμελούμενα. Πανταχοῦ δὲ ἐν τοῖς τοιούτοις ὁ πατὴρ κύριος, παραβαινομένων μὲν τῶν νόμων χαλεπὸς ὢν καὶ ἀφόρητος, κατορθουμένων δὲ μείλιχος καὶ προσηνὴς καὶ πολλοῖς τὸν παῖδα ἐπάθλοις δωρούμενος. Οὕτω γὰρ καὶ ὁ Θεὸς τὴν οἰκουμένην διοικεῖ τῷ φόβῳ τῆς γεέννης καὶ τῇ τῆς βασιλείας ἐπαγγελίᾳ. Οὕτω δὴ καὶ ἡμεῖς τοὺς παῖδας τοὺς ἑαυτῶν.

αὐθεντίας καὶ ὅσης νομοθέτῃ προσῆκον ἦν, διώρθωσέ τε αὐτὰ καὶ μετὰ πάσης ἐκόσμησε τῆς ἀκριβείας». «Καὶ ἐπὶ μὲν τῆς ὀργῆς διορισμόν τινα τέθεικεν εἰπὼν τό, 'εἰκῇ' καὶ 'μάτην', ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καθ' ἅπαξ τὴν ἐπιθυμίαν ἀνεῖλε· καίτοι γε ἀμφότερα ἔμφυτα, καὶ χρησίμως ἡμῖν ἀμφότερα ἔγκειται, καὶ ὀργὴ καὶ ἐπιθυμία· ἡ μὲν ἵνα τοὺς πονηροὺς κολάζωμεν, ἡ δὲ ἵνα παιδοποιῶμεν καὶ τὸ γένος ἡμῖν συγκρατῆται ταῖς τοιαύταις διαδοχαῖς». Παράγρ. 3· «...ἀλλὰ πανταχοῦ τῆς γνώμης τῆς πονηρᾶς ἡ κατηγορία. Οὐ γὰρ ὁ ὀφθαλμός σού ἐστιν ὁ ὁρῶν, ἀλλ' ὁ νοῦς καὶ ὁ λογισμός...» καὶ *Ὁμιλία 17 εἰς τὴν πρὸς Ἐφεσ. 3* (ΕΠΕ 22,136)· «Ταῦτα δὴ οὖν τὰ δύο τῆς ψυχῆς εἴδη ρυθμίσαντες καὶ ὑποζεύξαντες τῷ λογισμῷ καθάπερ ἵππους εὐηνίους, τήν τε ἐπιθυμίαν καὶ τὸν θυμόν, οὕτως ἐπιστήσωμεν τὸν νοῦν ἡνίοχον, ἵνα καὶ τὸ βραβεῖον λάβωμεν τῆς ἄνω κλήσεως».

82. *Ὁμιλία 16 εἰς τὸ κατ. Ματθ. 7* (ΕΠΕ 9,556)· «Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ ἔνοχος ἔσται τῇ κρίσει· οὐ γὰρ πάντη τὸ πρᾶγμα ἀνεῖλε· πρῶτον μὲν ὅτι οὐκ ἔστιν ἄνθρωπον ὄντα παθῶν ἀπηλλάχθαι· ἀλλὰ κρατεῖν μὲν δυνατόν, ἐκτὸς δὲ αὐτῶν εἶναι ἀμήχανον. Ἔπειτα δὲ ὅτι καὶ χρήσιμον ταυτὶ τὸ πάθος, ἂν μετὰ τοῦ προσήκοντος οἴδαμεν αὐτῷ χρῆσθαι καιροῦ». Καὶ πιὸ κάτω· «Τίς οὖν ὁ προσήκων τῆς ὀργῆς καιρός; Ὅταν μὴ ἑαυτοῖς ἀμύνωμεν, ἀλλ' ἑτέρους σκιρτῶντας ἄγχωμεν

κία· ἀρετὴ εἶναι ἡ σωφροσύνη καὶ ἡ ἐπιείκεια, ἐνῶ κακία ἡ θρασύτητα καὶ ἡ σκληρότητα. Τῆς ἐπιθυμίας πάλι ἀρετὴ εἶναι ἡ σωφροσύνη, ἐνῶ κακία ἡ ἀσέλγεια. Τέλος τοῦ λογικοῦ ἀρετὴ εἶναι ἡ φρόνηση, ἐνῶ κακία ἡ ἀφροσύνη. Ἂς φροντίσομε λοιπὸν πῶς θὰ γεννηθοῦν οἱ ἀρετὲς στοὺς τόπους αὐτοὺς καὶ οἱ πολίτες ποὺ θὰ γεννηθοῦν μέσα σ' αὐτοὺς νὰ εἶναι τέτοιοι, δηλαδὴ ἐνάρετοι, καὶ ὄχι κακοί· γιατὶ αὐτὲς σὰν κάποιες μητέρες γεννοῦν τὰ πάθη αὐτὰ τῶν λογισμῶν.

66. Ἂς ἔρθομε λοιπὸν στὸν πιὸ τυραννικὸ πολίτη τῆς πόλεως αὐτῆς, τὸν θυμό. Αὐτὸν λοιπὸν οὔτε νὰ τὸν ξερριζώσομε ἐντελῶς ἀπὸ τὸν νέο, οὔτε νὰ ἀφήσομε νὰ τὸν χρησιμοποιεῖ παντοῦ, ἀλλὰ νὰ ἀσκοῦμε αὐτοὺς ἀπὸ τὴν πρώτη ἡλικία, ὅταν ἀδικοῦνται τὰ ἴδια νὰ ὑπομένουν τὴν ἀδικία, ἂν ὅμως δοῦν κάποιον ἀδικούμενο, νὰ σπεύδουν τότε καὶ μὲ γενναιότητα καὶ μὲ τὸν κατάλληλο τρόπο νὰ ὑπερασπίζονται τὸν ἀδικούμενο[82].

67. Καὶ πῶς θὰ γίνει αὐτό; Ἂν ἀσκοῦνται μὲ τοὺς ὑπηρέτες τους ὥστε νὰ δείχνουν ὑπομονὴ ὅταν περιφρονοῦνται καὶ νὰ μὴ θυμώνουν ὅταν δὲν τοὺς ἀκοῦν, καὶ ἐπίσης ἂν ἐξετάζουν μὲ προσοχὴ καὶ ἀκρίβεια τὰ πταίσματά τους ἀπέναντι στοὺς ἄλλους. Καὶ σ' ὅλες αὐτὲς τὶς περιπτώσεις ὁ πατέρας ἔχει τὴν ἐξουσία, ὥστε, ὅταν παραβαίνονται οἱ νόμοι νὰ εἶναι αὐστηρὸς καὶ ἀνυποχώρητος, ἐνῶ ὅταν κατορθώνεται ἡ τήρησή τους νὰ εἶναι μειλίχιος καὶ προσηνής, προσφέροντας στὸ παιδὶ πολλὰ δῶρα σὰν ἀμοιβή. Γιατὶ ἔτσι καὶ ὁ Θεὸς κυβερνᾶ τὴν οἰκουμένη, μὲ τὸ φόβο τῆς γέεννας καὶ μὲ τὴ ὑπόσχεση τῆς βασιλείας τῶν οὐρανῶν[83]. Ἔτσι λοιπὸν καὶ ἐμεῖς ἂς παιδαγωγοῦμε τὰ παιδιά μας.

καὶ ῥᾳθυμοῦντας ἐπιστρέφωμεν. Τίς δὲ ὁ μὴ προσήκων; Ὅταν ἑαυτοὺς ἐκδικοῦντες τοῦτο ποιῶμεν».

83. *Ὁμιλία 53 εἰς τὸ κατὰ Ματθ. 3* (ΕΠΕ 11,160)· «Μὴ τοίνυν, μηδὲ ἡμεῖς πανταχοῦ κολακεύωμεν τοὺς ὑποκειμένους μηδὲ κολακεύεσθαι παρὰ τῶν ἀρχόντων ζητῶμεν. Καὶ γὰρ ἀμφοτέρων δεῖται ἡ τῶν ἀνθρώπων ψυχὴ τῶν φαρμάκων τούτων. Διὰ δὴ τοῦτο καὶ τὰ κατὰ τὴν οἰκουμένην ἅπασαν ὁ Θεὸς οὕτω διοικεῖ, ποτὲ μὲν τοῦτο ποτὲ δὲ ἐκεῖνο ποιῶν, καὶ οὔτε τὰ χρηστὰ μόνιμα οὔτε τὰ λυπηρὰ καθ' ἑαυτὰ ἀφίησιν εἶναι». Καὶ *Ὁμιλία 19 εἰς τὴν πρὸς Ἐφ. 2* (ΕΠΕ 21,172)· «Μηδὲν πρὸ τοῦ ῥήματος τούτου φθέγγου, 'Εὐχαριστῶ σοι, Δέσποτα'. Καὶ τί λέγω ὑπὲρ τῶν ἐνταῦθα θλίψεων; ὑπὲρ τῆς γεέννης αὐτῆς εὐχαριστεῖν δεῖ τῷ Θεῷ, ὑπὲρ τῶν κολάσεων τῶν ἐκεῖ, ὑπὲρ τῶν τιμωριῶν. Πάνυ γὰρ ἡμᾶς ὠφέλησε τοὺς προσέχοντας ἀντὶ χαλινοῦ

68. Καὶ ἔστωσαν αὐτῶν πολλοὶ πάντοθεν οἱ παροξύνοντες ὥστε ἐγγυμνάζεσθαι καὶ μελετᾶν ἐν τοῖς οἰκείοις φέρειν τὸ πάθος. Καὶ καθάπερ ἐπὶ τῆς παλαίστρας πρὸ τῶν ἀγώνων ἐμμελετῶσι πρὸς τοὺς οἰκείους οἱ ἀθληταί, ὥστε ἐν ἐκείνοις κατορθώσαντες ἀκαταγώνιστοι εἶναι πρὸς τοὺς ἀντιπάλους, οὕτω καὶ ὁ παῖς ἐπὶ τῆς οἰκίας παιδευέσθω. Καὶ πολλάκις ὁ πατὴρ ἢ ὁ ἀδελφὸς ἔστω ὁ μάλιστα τοῦτον ἐπηρεάζων· καὶ ὑπὲρ τῆς ἐκείνου νίκης μάλιστα πάντες σπευδέτωσαν· ἢ ἀμυνέτω τις καὶ ἀντιστήτω παλαίων, ὥστε ἐν ἐκείνῳ αὐτὸν γυμνασθῆναι. Οὕτω δὴ καὶ οἱ παῖδες αὐτὸν παροξυνέτωσαν συνεχῶς, καὶ δικαίως καὶ ἀδίκως, ὥστε μανθάνειν πανταχοῦ κρατεῖν τοῦ πάθους. Ἂν μὲν γὰρ ὁ πατὴρ παροξύνῃ, οὐδὲν μέγα· τὸ γὰρ τοῦ πατρὸς ὄνομα προκαταλαμβάνον τὴν ψυχὴν οὐκ ἀφίησι διαναστῆναι. Ἀλλ' ὁμήλικες, καὶ δοῦλοι καὶ ἐλεύθεροι, τοῦτο ποιείτωσαν, ἵνα ἐν ἐκείνοις μανθάνῃ τὴν ἐπιείκειαν.

69. Ἔστι καὶ ἕτερον· ποῖον δὴ τοῦτο; Ὅταν ὀργίζηται, ἀναμίμνησκε αὐτὸν τῶν οἰκείων παθημάτων, ὅταν πρὸς τὸν παῖδα χαλεπαίνῃ, εἰ μηδὲν αὐτὸς ἥμαρτεν καὶ οἷος ἂν ἦν ἐν τούτοις ὢν αὐτός. Κἂν ἴδῃς τύπτοντα τὸν παῖδα, τούτου δίκην ἀπαίτησον· κἂν ὑβρίζοντα, καὶ τούτου πάλιν. Μήτε δὲ μᾶλλον μαλθακὸς ἔστω μήτε ἄγριος, ἵνα καὶ ἀνὴρ ᾖ καὶ ἐπιεικής. Πολλαχοῦ γὰρ αὐτῷ δεῖ τῆς ἀπὸ τοῦ θυμοῦ βοηθείας, οἷον εἴ ποτε καὶ αὐτὸς παῖδας σχοίη ἢ δούλων γένοιτο κύριος. Πανταχοῦ δὲ τὸ τοῦ θυμοῦ χρήσιμον· ἐκεῖ δὲ μόνον ἄχρηστον, ὅταν ἑαυτοῖς ἀμύνωμεν. Διὰ τοῦτο καὶ Παῦλος ἐφ' ἑαυτῷ μὲν οὐδέποτε τῷ πράγματι κέχρηται, ἐπὶ δὲ τοῖς ἠδικημένοις μόνον. Καὶ Μωσῆς ἰδὼν ἀδικούμενον ἀδελφὸν ἐχρήσατο τῷ θυμῷ καὶ

τῆς γεέννης ὁ φόβος ταῖς καρδίαις ἡμῶν ἐπιτεθείς».

84. *Ὁμιλία 15 εἰς τὴν πρὸς Ἐφ. 4* (ΕΠΕ 21,94)·. «Ταῦτα ἡμῖν νῦν οὐχ ὑπὲρ ἐκείνων εἴρηται, ἀλλ' ὑπὲρ ὑμῶν τῶν ἐλευθέρων, ὥστε μηδὲν ἄσεμνον μηδὲν αἰσχρὸν ποιεῖν, ὥστε μὴ βλάπτειν ἑαυτάς. Ἐὰν ἐν τῇ οἰκίᾳ ταῦτα παιδευθεῖσα ἐπὶ τῆς θεραπαινίδος καὶ προσηνὴς ᾖς καὶ μὴ χαλεπή, πολλῷ μᾶλλον ἐπὶ τοῦ ἀνδρὸς ἔσῃ τοιαύτη. Εἰ γὰρ ἐξουσίας οὔσης μηδὲν τοιοῦτον ἐργαζομένη δειχθῇς, πολλῷ μᾶλλον ἔνθα τὸ κωλῦόν ἐστιν οὐδὲν ἐργάσῃ τοιοῦτον... Θὲς τῷ στόματι χαλινόν, κἂν ἐγγυμνασθῇς θεραπαινίδα ἀντιλέγουσαν φέρειν γενναίως, πρὸς τὴν ὁμότιμον οὐδὲ ὑβρίζουσαν δυσχερανεῖς· μὴ δυσχεραίνουσα δὲ τὴν ἄκραν φιλοσοφίαν κατώρθωσας».

85. *Ὁμιλία 9 εἰς τὴν Α' πρὸς Τιμ. 2* (ΕΠΕ 23,270)· «Οὕτω γὰρ δεῖ ἐκ τῆς πατρικῆς οἰκίας ἐξιέναι πρὸς γάμον, καθάπερ ἀθλητὴν ἐκ τῆς παλαίστρας, πᾶσαν δι'

68. Καὶ ἂς εἶναι πολλοὶ ἐκεῖνοι ποὺ θὰ τὰ παροξύνουν ἀπὸ παντοῦ, ὥστε νὰ ἀσκοῦνται καὶ νὰ μαθαίνουν νὰ ὑπομένουν τὸ πάθος αὐτὸ τοῦ θυμοῦ πρὸς τοὺς δικούς τους[84]. Καὶ ὅπως ἀκριβῶς στὴν παλαίστρα πρὶν ἀπὸ τοὺς ἀγῶνες ἀσκοῦνται οἱ ἀθλητὲς ἔχοντας ἀντιπάλους τοὺς δικούς τους[85], ὥστε, κατορθώνοντας νὰ νικήσουν ἐκείνους, νὰ εἶναι ἀκατανίκητοι ἀπὸ τοὺς πραγματικοὺς ἀντιπάλους τους, ἔτσι καὶ τὸ παιδὶ νὰ ἀσκεῖται στὸ σπίτι του. Καὶ πολλὲς φορὲς ὁ πατέρας ἢ ὁ ἀδελφός του ἂς εἶναι ἐκεῖνος ποὺ θὰ τὸ παρενοχλεῖ πιὸ πολὺ ἀπ' ὅλους, καὶ ὅλοι νὰ ἐπιδιώκουν ἐκεῖνο πάντοτε νὰ εἶναι ὁ νικητής· ἢ νὰ ἀμύνεται κανεὶς καὶ ν' ἀντιστέκεται παλεύοντας μαζί του, ὥστε αὐτὸ νὰ ἀσκηθεῖ μὲ ἀντίπαλό του ἐκεῖνον. Κατὰ τὸν ἴδιο λοιπὸν τρόπο νὰ τὸν ἐρεθίζουν συνέχεια καὶ οἱ δοῦλοι, καὶ δίκαια καὶ ἄδικα, ὥστε νὰ μαθαίνει παντοῦ νὰ ἐξουσιάζει τὸ πάθος τοῦ θυμοῦ. Γιατί, ἂν τὸ ἐρεθίσει ὁ πατέρας, δὲν εἶναι αὐτὸ καθόλου σπουδαῖο· γιατὶ τὸ ὄνομα τοῦ πατέρα συγκρατώντας ἀπὸ τὴν ἀρχὴ τὴν ψυχή του δὲν τὸ ἀφήνει νὰ ὀργισθεῖ. Γι' αὐτὸ αὐτὸ νὰ τὸ κάμνουν οἱ συνομίληκοί του, οἱ δοῦλοι καὶ οἱ ἐλεύθεροι, ὥστε νὰ ἀσκεῖται στὴν ἐπιείκεια δεχόμενο ἀπὸ ἐκείνους τὰ ἐρεθίσματα.

69. Ὑπάρχει καὶ ἄλλος τρόπος ἀσκήσεως. Ποιός λοιπὸν εἶναι αὐτός; Ὅταν ὀργίζεται, ὑπενθύμιζέ του τὰ δικά του πταίσματα, ὅπως ὅταν ὀργίζεται κατὰ τοῦ δούλου, ἂν ἐκεῖνος δὲν ἔσφαλε σὲ τίποτε, καὶ πῶς θὰ τοῦ φαινόταν αὐτὸ ἂν τὸ ἴδιο βρισκόταν στὴ θέση αὐτοῦ. Ἂν πάλι δεῖς νὰ χτυπάει τὸ δοῦλο, τιμώρησέ το ἀμέσως· ἂν τὸν βρίζει, καὶ γι' αὐτὸ πάλι τιμώρησέ το. Καὶ γενικὰ νὰ μὴ εἶναι οὔτε πάρα πολὺ μαλακό, οὔτε σκληρό, ὥστε καὶ ἄνδρας νὰ εἶναι καὶ ἐπιεικής. Γιατὶ παντοῦ χρειάζεται τὴ βοήθεια τοῦ θυμοῦ, ὅπως ἂν κάποτε καὶ τὸ ἴδιο ἀποκτήσει παιδιὰ ἢ γίνει κύριος δούλων. Παντοῦ λοιπὸν ὁ θυμὸς εἶναι χρήσιμος, καὶ τότε μόνο εἶναι ἄχρηστος, ὅταν χρειάζεται νὰ ὑπερασπισθοῦμε τὸν ἑαυτό μας. Γι' αὐτὸ καὶ ὁ Παῦλος ποτὲ δὲν χρησιμοποιεῖ αὐτὸν γιὰ τὸν ἑαυτό του, ἀλλὰ μόνο ὅταν χρειάζεται νὰ ὑπερασπισθεῖ τοὺς ἀδικημένους. Καὶ ὁ Μωϋσῆς χρησιμοποίησε τὸ θυμὸ ὅταν εἶδε τὸν ἀδελφό του νὰ ἀδικεῖται καὶ μὲ μεγάλη γενναιότητα μάλιστα, αὐτὸς

ἀκριβείας ἔχουσαν τὴν ἐπιστήμην, καθάπερ ζύμην ὀφείλουσαν τὸ ὅλον φύραμα εἰς τὸ ἑαυτῆς μεταστῆναι κάλλος».

μάλα γενναίως, ὁ πρᾳότατος πάντων ἀνθρώπων· ἐπειδὴ δὲ ὑβρίσθη, οὐκέτι ἠμύνατο, ἀλλ' ἔφυγεν. Καὶ ταῦτα ἀκουέτω τὰ διηγήματα· ὅταν μὲν γὰρ τὰς πύλας ἔτι κοσμῶμεν, ἐκείνων τῶν ἀφελεστέρων χρεία, ὅταν δὲ εἰσελθόντες τοὺς πολίτας ρυθμίζωμεν, καὶ τούτων τῶν ὑψηλοτέρων καιρὸς διηγημάτων. Ὥστε οὗτος αὐτῷ εἷς νόμος ἔστω, μηδέποτε ἑαυτῷ ἀμύνειν ὑβριζομένῳ ἢ κακῶς πάσχοντι καὶ μηδέποτε ἕτερον περιορᾶν τοῦτο ὑπομένοντα.

70. Ἔσται δὲ καὶ ὁ πατὴρ πολλῷ βελτίων ἐν τῷ ταῦτα διδάσκειν καὶ ἑαυτὸν ρυθμίζων· εἰ γὰρ καὶ μὴ δι' ἕτερόν τι, ἀλλ' ὥστε μὴ τὸ παράδειγμα διαφθεῖραι πολλῷ βελτίων ἔσται ἑαυτοῦ. Ὥστε διδασκέσθω καταφρονεῖσθαι, διαπτύεσθαι. Μηδένα ἀπαιτείτω παρὰ οἰκετῶν οἷα ἐλεύθερος, ἀλλὰ τὰ πλείω ἑαυτῷ διακονείτω. Ἐκεῖνα δὲ μόνον οἱ παῖδες ὑπηρετήτωσαν, ὅσα οὐχ οἷόν τε αὐτὸν ἑαυτῷ διακονήσασθαι· οἷον μαγειρεύειν οὐ δυνατὸν ἐλεύθερον· οὐ γὰρ χρὴ τῶν πόνων ἀφέμενον τῶν ἐλευθέρῳ προσηκόντων τούτοις ἑαυτὸν διδόναι. Ἂν μέντοι δέῃ τοὺς πόδας τοὺς ἑαυτοῦ περιπλύνειν, μηδέποτε τοῦτο ποιείτω δοῦλος, ἀλλ' αὐτὸς ἑαυτῷ· καὶ προσηνῆ τοῖς οἰκέταις ἐργάσῃ τὸν ἐλεύθερον καὶ πολὺ ποθεινόν. Μηδὲ ἱμάτιόν τις ἐπιδιδότω· μηδὲ ἐν βαλανείῳ περιμενέτω τὴν παρ' ἑτέρου θεραπείαν, ἀλλὰ παρ' ἑαυτοῦ πάντα ποιείτω· τοῦτο καὶ εὔρωστον αὐτὸν καὶ ἄτυφον καὶ προσηνῆ ἐργάζεται.

71. Δίδασκε αὐτὸν καὶ τὰ περὶ τῆς φύσεως καὶ τί μὲν δοῦλος, τί δὲ ἐλεύθερος. Λέγε αὐτῷ· 'παιδίον, οὐκ ἦσαν δοῦλοι τὸ παλαιὸν ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων, ἀλλ' ἡ ἁμαρτία τὴν δουλείαν εἰσήγαγεν. Ἐπειδὴ γάρ τις εἰς τὸν πατέρα ἐγένετο ὑβριστής, ταύτην ἔτισε

---

86. *Ἀριθμ.* 12,3. 87. *Ἔξ.* 2,11–15.

88. *Ὁμιλία 22 εἰς τὴν πρὸς Ἐφ. 2* (ΕΠΕ 21,278)·. «Μὴ νομίσῃς», φησίν, «ὅτι τὰ εἰς τὸν δοῦλον ὡς εἰς δοῦλον γινόμενα οὕτως ἀφήσει. Οἱ μὲν γὰρ ἔξωθεν νόμοι διαφορὰν ἴσασι τούτων τῶν γενῶν ἅτε ἀνθρώπων ὄντες νόμοι· ὁ δὲ νόμος ὁ τοῦ κοινοῦ Δεσπότου οὐδεμίαν οἶδε διαφοράν, ἅτε κοινῇ πάντας εὖ ποιῶν καὶ πᾶσι τῶν αὐτῶν μεταδιδούς. Εἰ δέ τις ἔροιτο, πόθεν ἡ δουλεία καὶ διὰ τί εἰς τὸν βίον εἰσῆλθε τὸν ἀνθρώπινον (καὶ γὰρ οἶδα πολλοὺς καὶ ἐρωτῶντας τὰ τοιαῦτα ἡδέως καὶ μαθεῖν βουλομένους), ἐγὼ πρὸς ὑμᾶς ἐρῶ· ἡ πλεονεξία τὴν δουλείαν ἔτεκεν, ἡ βαναυσία, ἡ ἀπληστία. Ἁμαρτία τὸ πρᾶγμα ἔτεκεν, ἡ εἰς τοὺς πατέρας ὕβρις...».

89. *Γεν.* 9,20–25.

ποὺ ἦταν ὁ πιὸ πράος ἀπὸ ὅλους τοὺς ἀνθρώπους[86]· ὅταν ὅμως δέχθηκε τὴν προσβολή, δὲν ἀμύνθηκε, ἀλλ' ἔφυγε[87]. Καὶ αὐτὰ τὰ διηγήματα ἃς τὰ ἀκούει· γιατί, ὅταν ἀκόμη κοσμοῦμε τὶς πύλες, χρειάζονται ἐκεῖνα τὰ διηγήματα ποὺ εἶναι πιὸ ἁπλά, ὅταν ὅμως μποῦμε μέσα καὶ φροντίζομε γιὰ τὴ διακυβέρνηση τῶν πολιτῶν, τότε εἶναι καιρὸς νὰ γίνει χρήση καὶ αὐτῶν τῶν ὑψηλοτέρων διηγημάτων. Συμπέρασμα· αὐτὸς ἃς εἶναι ἕνας νόμος γι' αὐτό· ποτὲ νὰ μὴ ὑπερασπίζεται τὸν ἑαυτό του ὅταν προσβάλλεται ἢ κακοπαθεῖ καὶ ποτὲ νὰ μὴ δείχνει ἀδιαφορία ὅταν αὐτὸ τὸ παθαίνει ἄλλος.

70. Ἀλλὰ καὶ ὁ πατέρας θὰ γίνει πολὺ πιὸ καλύτερος ρυθμίζοντας καὶ τὴ δική του συμπεριφορὰ μὲ τὸ νὰ διδάσκει αὐτὰ στὸ παιδί· ἂν ὄχι γιὰ τίποτε ἄλλο, ἀλλὰ στὴν προσπάθειά του νὰ μὴ διαφθείρει αὐτὸ μὲ τὸ παράδειγμά του, θὰ γίνει πολὺ πιὸ καλύτερος ἀπὸ ὅ,τι εἶναι. Ἂς διδάσκεται λοιπὸν νὰ περιφρονεῖται, νὰ προσβάλλεται. Τίποτε νὰ μὴ ζητεῖ νὰ τοῦ δοθεῖ ἀπὸ τοὺς δούλους ἐπειδὴ εἶναι ἐλεύθερο, ἀλλὰ τὰ περισσότερα γιὰ τὸν ἑαυτό του νὰ τὰ κάμνει τὸ ἴδιο. Σ' ἐκεῖνα μόνο οἱ δοῦλοι νὰ τὸ ὑπηρετοῦν, ὅσα δὲν μπορεῖ τὸ ἴδιο νὰ τὰ κάμει γιὰ τὸν ἑαυτό του· γιὰ παράδειγμα, δὲν εἶναι δυνατὸ νὰ μαγειρεύει ὁ ἐλεύθερος· γιατὶ δὲν πρέπει, παραμερίζοντας τοὺς κόπους ποὺ ἀπαιτοῦνται γιὰ τὸν ἐλεύθερο, νὰ ἐπιδίδεται στὸ ἔργο αὐτό. Ἂν ὅμως χρειάζεται νὰ πλύνει τὰ πόδια του, ποτὲ αὐτὸ νὰ μὴ τὸ κάμνει ὁ δοῦλος, ἀλλὰ τὸ ἴδιο νὰ τὰ πλένει· γιατὶ ἔτσι θὰ κάνει τὸν ἐλεύθερο στὸ δοῦλο καὶ προσηνῆ καὶ πολὺ ἀγαπητό. Οὔτε τὰ ροῦχα του νὰ τοῦ τὰ φέρνει ἄλλος· οὔτε στὸ λουτρὸ νὰ περιμένει νὰ ὑπηρετηθεῖ ἀπὸ ἄλλον, ἀλλ' ὅλα νὰ τὰ κάμνει μόνο του· αὐτὸ καὶ εὔρωστο θὰ τὸ κάμει καὶ ταπεινὸ καὶ προσηνές.

71. Δίδασκέ το καὶ τὰ σχετικὰ μὲ τὴ φύση τοῦ ἀνθρώπου, τί εἶναι δηλαδὴ δοῦλος καὶ τί ἐλεύθερος[88]. Λέγε του· 'παιδί μου, τὴν παλιὰ ἐποχὴ καὶ στὶς ἡμέρες τῶν προγόνων μας δὲν ὑπῆρχαν δοῦλοι, ἀλλ' ἡ ἁμαρτία ἔφερε τὴ δουλεία. Ἐπειδὴ δηλαδὴ κάποιος συμπεριφέρθηκε ὑβριστικὰ πρὸς τὸν πατέρα του, τιμωρήθηκε μὲ αὐτὴ τὴν τιμωρία, ὥστε νὰ γίνει δοῦλος τῶν ἀδελφῶν του[89]. Πρόσεχε λοιπὸν νὰ μὴ γίνεις δοῦλος τῶν δούλων. Γιατί, ἂν ὀργίζεσαι ὅπως ἀκριβῶς ἐκεῖνοι καὶ κάμνεις ὅλα ἐκεῖνα ποὺ κάμνουν αὐτοὶ

τὴν δίκην, ὥστε δοῦλος γενέσθαι τῶν ἀδελφῶν. Ὅρα τοίνυν μὴ τῶν δούλων ᾖς δοῦλος. Ἂν γὰρ ὀργίζῃ καθάπερ ἐκεῖνοι καὶ πάντα πράττῃς τὰ αὐτὰ καὶ μηδὲν αὐτῶν πλέον ἔχῃς κατὰ τὴν ἀρετήν, οὐδὲ κατὰ τὴν ἀξίαν ἕξεις. Σπούδαζε τοίνυν κύριος αὐτῶν εἶναι καὶ γίγνεσθαι μὴ τούτῳ, ἀλλὰ τοῖς τρόποις, μήποτε αὐτὸς ἐλεύθερος ὢν δοῦλος τούτων εὑρεθῇς. Ἢ οὐχ ὁρᾷς πόσοι πατέρες παῖδας μὲν ἀπεκήρυξαν, δούλους δὲ εἰς τὴν ἐκείνων τάξιν εἰσήγαγον; Σκόπει τοίνυν ὅπως μηδὲν τοιοῦτον γένηται· ἐγὼ μὲν γὰρ οὔτε βούλομαι οὔτε εὔχομαι, σὺ δὲ ἀμφοτέρων τούτων κύριος'.

72. *Οὕτω καταπράϋνε τὸν θυμόν, ὡς ἀδελφοῖς κελεύων αὐτὸν κεχρῆσθαι τοῖς οἰκέταις καὶ διδάσκων τὰ περὶ τῆς φύσεως, τὰ τοῦ Ἰὼβ ῥήματα λέγων πρὸς αὐτόν· «εἰ δὲ καὶ ἐφαύλισα», φησίν, «κρῖμα θεράποντός μου ἢ θεραπαίνης κρινομένων αὐτῶν πρός με, τί γὰρ ποιήσω, ἐὰν ἔτασίν μου ποιήσῃ Κύριος; Ἐὰν δὲ καὶ ἐπισκοπήν, τίνα ἀπόκρισιν ποιήσομαι; Πότερον, οὐχ ὡς ἐγὼ ἐγενόμην ἐν γαστρὶ καὶ ἐκεῖνοι γεγόνασιν; Γεγόναμεν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ». Καὶ πάλιν· «εἰ δὲ καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου· τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ πλησθῆναι; Λίαν μου χρηστοῦ ὄντος».*

73. *Ἢ ἁπλῶς σοι δοκεῖ ὁ Παῦλος τὸν οἰκίας οὐκ εἰδότα προεστάναι οὐδὲ ἐπὶ τῆς ἐκκλησίας ἄγειν προστασίαν; Λέγε τοίνυν· 'ἂν ἴδῃς γραφίδα ἀπολωλυῖαν ἢ κάλαμον διακλασθέντα ὑπὸ τοῦ οἰκέτου,*

---

90. *Ὁμιλία εἰς τὴν Πεντηκοστὴν καὶ εἰς τὴν Ἄνναν 3* (PG 54,636)· «Διὰ γὰρ τοῦτο φιλεῖσθαι παρὰ τῶν γεννησάντων ἡμᾶς κατεσκεύασεν ὁ Θεός, ἵνα παιδευτὰς ἔχωμεν ἀρετῆς. Οὐ γὰρ τὸ σπεῖραι ποιεῖ πατέρα μόνον, ἀλλὰ τὸ παιδεῦσαι καλῶς· οὐδὲ τὸ κυῆσαι μητέρα ἐργάζεται, ἀλλὰ τὸ θρέψαι καλῶς. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς καὶ οὐχ ἡ φύσις, ἀλλ' ἡ ἀρετὴ ποιεῖ πατέρας, αὐτοὶ συνομολογήσαιεν ἂν οἱ γονεῖς. Τοὺς γοῦν υἱοὺς τοὺς ἑαυτῶν πολλάκις, ἐπειδὰν φαύλους ἴδωσι γενομένους καὶ εἰς πονηρίαν ἀποσκιρτήσαντας, τῆς συγγενείας τῆς ἑαυτῶν ἐκκόπτουσιν ἀποκηρύττοντες, ἑτέρους ποιοῦντες υἱοὺς οὐδαμόθεν αὐτοῖς πολλάκις προσήκοντας». Καὶ *Ὁμιλία 21 εἰς τὴν πρὸς Ἐφ. 1* (ΕΠΕ 21,250)· «'Μὴ παροργίζετε τὰ τέκνα ὑμῶν', οἷον πολλοὶ ποιοῦσιν ἀποκληρονόμους ἐργαζόμενοι καὶ ἀποκηρύκτους ποιοῦντες καὶ φορτικῶς ἐπικείμενοι, οὐχ ὡς ἐλευθέρους, ἀλλ' ὡς ἀνδραποδώδεις».

91. *Ἰὼβ* 31,13–15.

92. *Ἰὼβ* 31,31 καὶ *Ὁμιλία εἰς τὸν Ἰὼβ* (PG 64,640AB)· «Οὕτω καὶ ἥμερος οὐ μόνον πρὸς τοὺς ἄλλους, ἀλλὰ καὶ πρὸς τοὺς οἰκέτας ἐδείκνυτο· ἐντεῦθεν ἐπιείκεια ἅπασα, ὅταν πρὸς τὸ ὑποτεταγμένον φιλάνθρωπός τις ᾖ καὶ μὴ βίαιος· ἔλεγον γοῦν οἱ θεράποντες· 'τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ ἐμπλησθῆναι;' Ἐνταῦθα τὸν

καὶ δὲν ἔχεις τίποτε περισσότερο ἀπ' αὐτοὺς ὡς πρὸς τὴν ἀρετή, δὲν θὰ ἔχεις οὔτε καὶ κατὰ τὴν ἀξία. Φρόντιζε λοιπὸν νὰ εἶσαι κύριος αὐτῶν καὶ νὰ γίνεσαι ὄχι μὲ αὐτὸ ἀλλὰ μὲ τοὺς τρόπους, γιὰ νὰ μὴ συμβεῖ, ἐνῶ εἶσαι ἐλεύθερος, νὰ γίνεις δοῦλος αὐτῶν. Ἢ δὲ βλέπεις πόσοι πατέρες ἀποκήρυξαν τὰ παιδιά τους καὶ ἔβαλαν στὴ θέση ἐκείνων τοὺς δούλους[90]; Πρόσεχε λοιπὸν νὰ μὴ συμβεῖ τίποτε τέτοιο· γιατὶ ἐγὼ οὔτε τὸ θέλω οὔτε καὶ τὸ εὔχομαι, ἀλλὰ κύριος καὶ τῶν δύο εἶσαι σύ.

72. Ἔτσι καταπράϋνε τὸ θυμό του, συνιστώντας αὐτὸ νὰ συμπεριφέρεται πρὸς τοὺς δούλους σὰν πρὸς ἀδελφοὺς καὶ διδάσκοντάς το τὰ σχετικὰ μὲ τὴν ἀνθρώπινη φύση, λέγοντάς του τὰ λόγια τοῦ Ἰώβ· «ἂν» λέγει, «περιφρόνησα καὶ καταπάτησα τὸ δίκιο τῶν ὑπηρετῶν ἢ τῶν ὑπηρετριῶν μου, ὅταν εἶχαν διαφορὲς μαζί μου, τί θὰ κάνω ἐγὼ ὅταν ὁ Κύριος θὰ μὲ δικάσει; Ὅταν θὰ μὲ ἐπισκεφθεῖ γιὰ νὰ μὲ κρίνει, ποιά ἀπολογία θὰ ἔχω νὰ δώσω; Τί δηλαδή; Δὲν ἔλαβα κι ἐγὼ ὕπαρξη μέσα στὴν κοιλιὰ τῆς μητέρας μου ὅπως καὶ ἐκεῖνοι; Ναί, λάβαμε τὴν ὕπαρξη μέσα στὴν κοιλιὰ κατὰ τὸν ἴδιο τρόπο»[91]. Καὶ πάλι· «μήπως οἱ ὑπηρέτριές μου εἶπαν καὶ ξαναεῖπαν, ποιός θὰ μᾶς δώσει νὰ χορτάσομε ἀπὸ τὸ πλούσιο τραπέζι ποὺ στρώνει γιὰ τὸν ἑαυτό του; Δὲν τὸ εἶπαν, γιατὶ ἐγὼ ἤμουν πολὺ καλὸς ἀπέναντί τους»[92].

73. Ἢ νομίζεις ὅτι ὁ Παῦλος εἶπε τυχαῖα ὅτι ἐκεῖνος ποὺ δὲν γνωρίζει νὰ διοικεῖ τὸ σπίτι του, δὲν πρέπει ν' ἀναλαμβάνει τὴ διοίκηση τῆς Ἐκκλησίας[93]; Λέγε του λοιπόν· 'ἂν δεῖς ὅτι ὁ ὑπηρέ-

ἔρωτα διηγεῖται τῶν οἰκετῶν τὸν μανικόν, ὃν περὶ αὐτὸν εἶχον, διακαεῖς αὐτοῦ καταστάντες ἐρασταί, ἀφ' ὧν αὐτὸς εἰς αὐτοὺς ἐπεδείκνυτο. Οὕτω γάρ, φησίν, 'ἐξεκρέμαντό μου, οὕτως ἀντείχοντο, οὕτως ἦσαν προσηλωμένοι, οὕτως ἐρῶντες, ὡς ἐπιθυμεῖν καὶ αὐτῶν ἐμπλησθῆναι τῶν σαρκῶν διὰ τὸ σφόδρα φιλεῖν καὶ ἐκκαίεσθαι· οὕτω λίαν ἤμην ταῖς θεραπαίναις χρηστὸς καὶ γλυκύς, ὡς εἰ οἷόν τε ἦν καὶ αὐτῶν μου τῶν σαρκῶν ἐμφορηθῆναι, ἡδέως ἂν τοῦτο ἐποίουν'». Καὶ *Ὁμιλία Πρὸς τοὺς καταλειφθέντας 4* (PG 63,433)· «Εἶδες συντετριμμένην διάνοιαν καὶ τῶν ἀνθρώπων τὴν φύσιν ἐπισκεπτομένην μετὰ ἀκριβείας καὶ εἰδυῖαν, τί δοῦλος, τί ἐλεύθερος, τοῦτο τὸ ὑπὸ πολλῶν περιφερόμενον; Διὸ καὶ λογισμὸν ἔθηκε τὸν ἅπαντας ἀνθρώπους πείθοντα μηδὲν πλέον φρονεῖν τῶν οἰκετῶν, κἂν μυριάκις ὦσιν δεσπόται. Τὰ γὰρ ὀνόματα ταῦτα, ὁ δοῦλος καὶ ἐλεύθερος, ὀνόματα μέν ἐστι μόνον ψιλά, πραγμάτων ἔρημα· ἡ δὲ δουλεία ἐν ἁμαρτίᾳ καὶ ἡ ἐλευθερία ἐν δικαιοσύνῃ ὁρίζεται».

93. *Α' Τιμ.* 3,4–5.

μὴ ὀργίζου μηδὲ ὑβρίσῃς, ἀλλ' ἔσο συγγνωμονικός, ἔσο εὐπαραίτητος' (οὕτως ἀπὸ τῶν μικρῶν καὶ τὰς μεγάλας οἴσει ζημίας)· 'ἢ ἱμάντα περὶ τὴν πινακίδα ἀπολωλυῖαν ἢ ἄλυσιν χαλκῆν'. Χαλεποὶ γὰρ ἐν ταῖς τῶν τοιούτων ἀπωλείαις οἱ παῖδες καὶ μᾶλλον ἂν τὴν ψυχὴν προεῖντο ἢ τὸν περὶ ταῦτα γενόμενον κακὸν ἀτιμώρητον ἀφεῖεν ἄν. Ἐκεῖ τοίνυν τὸ τραχὺ μαλασσέσθω τοῦ θυμοῦ. Εὖ γὰρ ἴσθι, ὅτι ὁ περὶ ταῦτα ἀργὸς καὶ ἐπιεικὴς καὶ ἀνὴρ γενόμενος εὐκόλως οἴσει ζημίαν ἅπασαν. Ὅταν τοίνυν πινακίδα ἔχων ἐκ ξύλου μὲν καλοῦ πεποιημένην, καθαρὰν δὲ πάνυ καὶ ῥύπου ἀπηλλαγμένην, εἶτα ἐν ἐκείνῃ ἀλύσεις χαλκαῖ καὶ γραφίδες οὐδὲν ἀργύρου ἀποδέουσαι καὶ ἕτερα τοιαῦτα παιδικά, καὶ ἀπολέσῃ ἢ διαφθείρῃ ὁ ἀκόλουθος, εἶτα ἐκεῖνος μὴ ὀργισθῇ, μεγίστης φιλοσοφίας ἤδη τεκμήριον ἐπεδείξατο. Καὶ μὴ εὐθέως ὠνήσῃ, ὥστε μὴ σβέσαι τὸ πάθος, ἀλλ' ὅταν ἴδῃς οὐκέτι δεόμενον οὐδὲ πάσχοντά τι, τότε θεράπευσον τὸ τραχυνθέν.

74. Οὐκ ἔστι ταῦτα περὶ μικρῶν· περὶ πολιτείας ἡμῖν τῆς οἰκουμένης ἐστὶν ὁ λόγος. Παίδευε αὐτὸν καὶ προτιμᾶσθαι, ἂν ἀδελφὸν ἔχῃ νεώτερον· εἰ δὲ μὴ τοῦτο, καὶ τὸν οἰκέτην· καὶ γὰρ καὶ τοῦτο τῆς μεγίστης φιλοσοφίας.

75. Τὸν μὲν οὖν θυμὸν οὕτω μάλαττε, ὥστε ἡμῖν ἐπεικεῖς τίκτειν τοὺς λογισμούς· ὅταν γὰρ μηδενὶ προσπάσχῃ, ὅταν ζημίαν φέρῃ, ὅταν μὴ δέηται θεραπείας, ὅταν τιμωμένου ἑτέρου μὴ ἀγανακτῇ, πόθεν ὀργιεῖται λοιπόν;

76. Ὥρα δὴ λοιπὸν ἐπὶ τὴν ἐπιθυμίαν ἰέναι. Ἐκεῖ καὶ διπλῇ ἡ σωφροσύνη καὶ διπλῇ ἡ βλάβη, οἶμαι, ὥστε μήτε αὐτὸν καταπορ-

---

94. *Ὁμιλία 4 εἰς τὴν πρὸς Γαλ. 3* (ΕΠΕ 20,334)· «...ὁ δὲ ὀλοφυρμὸς οὐκ ἐπιπλήξεως μόνης, ἀλλὰ καὶ κολακείας ἐστίν· οὔτε γὰρ τραχύνει ὥσπερ ἡ ἐπίπληξις, οὔτε χαλᾷ καθάπερ ἡ θεραπεία, ἀλλ' ἔστι μεμιγμένον φάρμακον, καὶ πολλὴν ἔχει τὴν ἰσχὺν πρὸς παραίνεσιν».

95. *Ὁμιλία Πρὸς πιστὸν πατέρα 8* (PG 47,360–362)· «Μικρὸν εἰς ἀσελγείας λόγον ἡ πορνεία λοιπόν. Ἀγαπητὸν γὰρ εἶναι δοκεῖ τὸ δυνηθῆναι τὰ δίκτυα ταῦτα διαφυγεῖν, καὶ κινδυνεύει λοιπὸν περιττὸν εἶναι τὸ τῶν γυναικῶν γένος, τῶν νέων ἀντ' ἐκείνων πάντα τὰ ἐκείνων πληρούντων. Καὶ οὐ τοῦτό πω τὸ δεινόν, ἀλλ' ὅτι καὶ μετὰ πολλῆς τολμᾶται τῆς ἀναιδείας μύσος τοσοῦτον, καὶ νόμος γέγονεν ἡ παρανομία. Οὐδεὶς δέδοικεν οὐδὲ τρέμει λοιπόν· οὐδεὶς αἰσχύνεται οὐδὲ ἐρυθριᾷ, ἀλλὰ καὶ ἐγκαλλωπίζεται τῷ γέλωτι τούτῳ, καὶ μαίνεσθαι δοκοῦσιν οἱ σωφρονοῦντες καὶ παραπαίειν οἱ νουθετοῦντες· κἂν μὲν ἀσθενέστεροι τύχωσιν ὄντες, συνεκόπησαν ταῖς πληγαῖς· ἂν δὲ δυνατώτεροι, χλευάζονται, γελῶνται, μυρίοις πλύνονται

της σου ἔχασε τὸ μολύβι σου ἢ ἔσπασε τὸν κονδυλοφόρο σου, νὰ μὴ ὀργισθεῖς οὔτε νὰ τὸν βρίσεις, ἀλλὰ νὰ εἶσαι συγχωρητικό, καὶ νὰ μὴ ζητᾶς νὰ σοῦ τὰ ἀντικαταστήσει' (ἔτσι ἀπὸ τὶς μικρὲς θὰ μάθεις νὰ ὑπομένεις καὶ τὶς μεγάλες ζημιές)· ἢ ἂν σοῦ ἔχασε τὸ λουρὶ τῆς πλάκας σου ἢ τὴ χάλικη ἀλυσίδα'. Γιατὶ τὰ παιδιὰ εἶναι πολὺ αὐστηρὰ ὅταν χάνονται τέτοια πράγματα καὶ θὰ προτιμοῦσαν νὰ χάσουν τὴ ζωή τους παρὰ ν' ἀφήσουν ἀτιμώρητο ἐκεῖνον ποὺ τοὺς ἔκαμε αὐτὸ τὸ κακό. Ἐκεῖ λοιπὸν πρέπει νὰ μαλακώνει ἡ τραχύτητα τοῦ θυμοῦ. Γιατὶ πρέπει νὰ ξέρεις καλά, ὅτι ἐκεῖνος ποὺ εἶναι ἀργὸς καὶ ἐπιεικὴς γι' αὐτὰ τὰ πράγματα, ὅταν θὰ γίνει ἄνδρας εὔκολα θὰ ὑπομείνει κάθε ζημιά. Ὅταν λοιπὸν ἔχει πλάκα καμωμένη ἀπὸ καλὸ ξύλο, πολὺ καθαρὴ καὶ χωρὶς καμιὰ βρωμιά, ποὺ ἔχει καὶ χάλκινες ἀλυσίδες, καθὼς καὶ κονδυλοφόρους ποὺ δὲν ὑπολείπονται σὲ τίποτε ἀπὸ τοὺς ἀργυρούς, καὶ ἄλλα τέτοια παιδικὰ πράγματα, καὶ τὰ χάσει ἢ τὰ καταστρέψει ὁ συνοδός του, καὶ ἐκεῖνο δὲν ὀργισθεῖ γι' αὐτό, ἔδωσε ἕνα δεῖγμα μέγιστης φιλοσοφίας. Καὶ μὴ τοῦ τὸ ἀγοράσεις ἀμέσως ἄλλο, ὥστε νὰ μὴ σβήσει τὸ πάθος, ἀλλὰ ὅταν δεῖς ὅτι δὲν τὸ ζητεῖ πλέον οὔτε στεναχωριέται καθόλου, τότε θεράπευσε τὴν τραχύτητα[94].

74. Δὲν εἶναι αὐτὰ λόγια γιὰ ἀσήμαντα πράγματα· εἶναι λόγια ποὺ ἀφοροῦν τὸν τρόπο ζωῆς ὅλης τῆς οἰκουμένης. Παίδευε αὐτό, ἂν ἔχει μικρότερο ἀδελφό, νὰ παραχωρεῖ τὰ πρωτεῖα σ' αὐτόν· ἂν πάλι δὲν ἔχει, νὰ τὸ κάμνει αὐτὸ καὶ στὸ δοῦλο· γιατὶ καὶ αὐτὸ εἶναι δεῖγμα τῆς μέγιστης φιλοσοφίας.

75. Τὸ θυμὸ λοιπὸν ἔτσι μαλάκωνέ του, ὥστε νὰ γεννάει ἐπιεικεῖς λογισμούς· γιατί, ὅταν τίποτε δὲν τὸ συγκινεῖ, ὅταν ὑπομένει τὴ ζημιά, ὅταν δὲν χρειάζεται νὰ ὑπηρετηθεῖ, ὅταν δὲν ἀγανακτεῖ ποὺ τιμᾶται ἄλλος, ἀπὸ ποῦ τότε θὰ ὀργίζεται;

76. Εἶναι καιρὸς πλέον νὰ ἔρθομε στὴν ἐπιθυμία. Σ' αὐτὴν εἶναι διπλὴ καὶ ἡ σωφροσύνη καὶ ἡ βλάβη· πρέπει δηλαδὴ οὔτε ὁ ἴδιος ὁ νέος νὰ πορνεύει[95], οὔτε νὰ πορνεύει σὲ κορίτσια[96]. Λένε οἱ για-

σκώμμασιν. Οὐδὲν ὄφελος δικαστηρίων οὐδὲ νόμων οὐδὲ παιδαγωγῶν, οὐ πατέρων, οὐκ ἀκολούθων, οὐ διδασκάλων· τοὺς μὲν γὰρ ἴσχυσαν διαφθεῖραι χρήμασιν, οἱ δ' ὅπως αὐτοῖς μισθὸς γένοιτο μόνον ὁρῶσι· τῶν δὲ ἐπιεικεστέρων καὶ φροντιζόντων τῆς τῶν ἐμπιστευθέντων αὐτοῖς σωτηρίας οἱ μὲν κλέπτονται ῥᾳδίως καὶ ἀπατῶνται, οἱ δὲ καὶ δεδοίκασι τῶν ἀκολάστων τὴν δύναμιν. Ῥᾷον γὰρ ἄν τις ὑπο-

νεύεσθαι μήτε πορνεύειν εἰς κόρας. Λέγουσι δὲ ἰατρῶν παῖδες ταύτην τὴν ἐπιθυμίαν μετὰ πεντεκαιδέκατον ἔτος σφόδρα ἐπιτίθεσθαι. Πῶς οὖν τὸ θηρίον τοῦτο καταδήσομεν; τί ἐργασόμεθα; ποῖον ἐμβαλοῦμεν αὐτῷ χαλινόν; Οὐκ οἶδα ἕτερον εἰ μὴ τὸν τῆς γεέννης.

77. Πρῶτον μὲν οὖν αὐτὸν θεαμάτων αἰσχρῶν καὶ ἀκουσμάτων ἀπάγωμεν, καὶ μηδέποτε εἰς θέατρον ἀναβαινέτω παῖς ἐλεύθερος. Ἐὰν δὲ ἐπιζητῇ τὴν ἐκεῖ τέρψιν, εἴ τινας εὕροιμεν ὁμήλικας τούτου κατέχοντας ἐπιδεικνύωμεν, ὥστε τῷ ζήλῳ κατέχεσθαι· οὐδὲν γὰρ οὕτως κατορθοῖ ὡς ζηλοτυπία, οὐδὲν οὕτω· καὶ ἐν πᾶσι τοῦτο πράττωμεν, μάλιστα ἂν ζηλότυπος ᾖ· τοῦτο καὶ φόβου καὶ ὑποσχέσεων καὶ πάντων μᾶλλον μείζονα ἔχει τὴν ἰσχύν.

78. Ἔπειτα ἑτέρας ἐπινοῶμεν αὐτῷ τέρψεις ἀβλαβεῖς. Πρὸς ἄνδρας ἁγίους ἀπάγωμεν, ἄνεσιν παρέχωμεν. Τιμῶμεν αὐτὸν πολλοῖς τοῖς δώροις, ὥστε ἀνέχεσθαι τὴν ψυχὴν φέρειν τὴν ἐκεῖθεν ἀτιμίαν. Καὶ ἀντὶ τῶν θεαμάτων ἐκείνων τερπνὰ διηγήματα εἴσαγε, λειμῶνας καὶ λαμπρὰ οἰκοδομήματα. Καὶ μετὰ ταῦτα καταβάλλωμεν ἐκεῖνα τῷ λόγῳ λέγοντες πρὸς αὐτόν, ὅτι 'ὦ τέκνον, ἀνελευθέρων τὰ θεάματα ἐκεῖνα, γυναῖκας ἰδεῖν γυμνουμένας, αἰσχρὰ φθεγγομένας. Ὑπόσχου μηδὲν ἀκούσειν ἄσχημον μηδὲ ἐρεῖν, καὶ ἄπιθι· ἀλλ' οὐ δυνατὸν ἐκεῖ μηδὲν ἀκοῦσαι αἰσχρόν. Ἀνάξια τῶν σῶν ὀφθαλμῶν τὰ γινόμενα. Ἅμα καὶ καταφιλῶμεν αὐτὸν λέγοντες καὶ περιβάλλω-

πτευθεὶς ἐπὶ τυραννίδι διασωθείη ἢ τῶν μιαρῶν ἐκείνων ἀπάγειν πειραθεὶς τὰς ἐκείνων διαφύγοι χεῖράς ποτε· οὕτω καθάπερ ἐπ' ἐρημίας πολλῆς ἐν μέσαις πόλεσιν ἄρρενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργάζονται».

96. *Ὁμιλία 2 εἰς Ἄνναν 6* (PG 54,652)· «Κἂν μὴ ἔχωμεν παιδία, παρ' ἐκείνου αἰτῶμεν· κἂν λάβωμεν, μετὰ πολλῆς ἀνατρέφωμεν αὐτὰ σπουδῆς, καὶ πάσης μὲν κακίας ἀπάγωμεν τοὺς νέους, μάλιστα δὲ ἀσελγείας· χαλεπὸς γὰρ οὗτος ὁ πόλεμος καὶ οὐδὲν οὕτως ἐνοχλεῖ τὴν ἡλικίαν ταύτην ὡς τοῦτο τὸ πάθος. Πανταχόθεν τοίνυν αὐτοὺς ἐπιτειχίζωμεν συμβουλαῖς, παραινέσεσι, φόβοις, ἀπειλαῖς. Ἂν ταύτης περιγένωνται τῆς ἐπιθυμίας, οὐδε ἑτέρᾳ ταχέως ἁλώσονται, ἀλλὰ καὶ χρημάτων ἔσονται κρείττους καὶ μέθης κρατήσουσι καὶ τὰς παροινίας καὶ τὰς πονηρὰς συνουσίας πάσῃ σπουδῇ διακρούσονται, καὶ ποθεινότεροι μὲν ἔσονται τοῖς γεγεννηκόσιν, αἰδεσιμώτεροι δὲ πᾶσιν ἀνθρώποις».

97. *Ὁμιλία 31 εἰς τὴν Α' πρὸς Κορ. 4* (ΕΠΕ 18Α,324)· «Τοῦτο ζῆλος καλός, τὸ μιμεῖσθαι καὶ μὴ πολεμεῖν, τὸ μὴ ἀλγεῖν ἐπὶ τοῖς ἑτέροις ἀγαθοῖς, ἀλλὰ δάκνεσθαι ἐπὶ τοῖς οἰκείοις κακοῖς...».

98. *Ὁμιλία 72 εἰς τὸ κατὰ Ματθ. 3–5* (ΕΠΕ 11,776)· «Βούλεσθε πάλιν ἐπὶ τὴν πόλιν τῆς ἀρετῆς ἴωμεν, τὰς τῶν ἁγίων σκηνάς, τὰ ὄρη λέγω καὶ τὰς νάπας;»

τροὶ ὅτι ἡ ἐπιθυμία αὐτὴ ἐμφανίζεται μὲ σφοδρότητα μετὰ τὸ δέκατο πέμπτο ἔτος. Πῶς λοιπὸν θὰ ἐμποδίσομε αὐτὸ τὸ θηρίο; τί θὰ κάνομε; ποιό χαλινάρι θὰ βάλομε σ' αὐτό; Δὲν ξέρω ἄλλο, παρὰ μόνο τὸ χαλινάρι τῆς γέεννας.

77. Πρῶτα λοιπὸν νὰ τὸν κρατᾶμε μακριὰ ἀπὸ αἰσχρὰ θεάματα καὶ ἀκούσματα καὶ ποτὲ νὰ μὴ πηγαίνει νέος ἐλεύθερος στὸ θέατρο. Ἂν ὅμως θέλει τὴν τέρψη τοῦ θεάτρου, ἂν μὲν βροῦμε τίποτε συνομήλικές του ποὺ δὲν πηγαίνουν στὸ θέατρο, νὰ τοὺς παρουσιάζομε σὰν παράδειγμα, ὥστε νὰ συγκρατηθεῖ μιμούμενο αὐτούς· γιατὶ τίποτε, πραγματικὰ τίποτε δὲν κατορθώνει τόσο, ὅσο ἡ ζηλοτυπία[97]· καὶ σ' ὅλα αὐτὸ νὰ κάμνομε σὲ κάθε περίπτωση, καὶ μάλιστα ὅταν εἶναι ζηλότυπο· αὐτὸ ἔχει κατὰ πολὺ μεγαλύτερη δύναμη καὶ ἀπὸ τὸ φόβο καὶ ἀπὸ τὶς ὑποσχέσεις καὶ ἀπὸ ὅλα.

78. Ἔπειτα νὰ φροντίζομε νὰ βροῦμε γι' αὐτὸ ἄλλες ἀβλαβεῖς τέρψεις. Νὰ τὸ ὁδηγοῦμε σὲ ἅγιους ἄνδρες[98], νὰ τοῦ προσφέρομε ἄνεση. Νὰ τὸ τιμοῦμε μὲ πολλὰ δῶρα, ὥστε νὰ μπορεῖ ἡ ψυχή του νὰ ὑπομείνει τὴν ἀτιμία ἀπὸ τὴν ἀπαγόρευση νὰ πάει στὸ θέατρο. Καὶ ἀντὶ τῶν θεαμάτων ἐκείνων πρόσφερέ του εὐχάριστα διηγήματα, περιπάτους σὲ λειβάδια καὶ ἐπισκέψεις σὲ λαμπρὰ οἰκοδομήματα. Καὶ ὕστερα νὰ κατηγοροῦμε τὰ θεάματα ἐκεῖνα τοῦ θεάτρου λέγοντάς του· 'παιδί μου τὰ θεάματα ἐκεῖνα εἶναι γιὰ ἀνθρώπους ὄχι ἐλεύθερους, τὸ νὰ βλέπει κανεὶς γυναῖκες νὰ γυμνώνονται[99] καὶ νὰ λένε αἰσχρὰ λόγια. Δός μου τὴν ὑπόσχεσή σου ὅτι δὲ θ' ἀκούσεις ἐκεῖ ἄσχημο λόγο καὶ ὅτι δὲ θὰ πεῖς, καὶ πήγαινε· ἀλλὰ δὲν εἶναι δυνατὸ νὰ μὴ ἀκούσεις ἐκεῖ αἰσχρὸ λόγο[1]. Εἶναι ἀνάξια γιὰ τὰ μάτια σου τὰ ὅσα γίνονται ἐκεῖ. Συγχρόνως μὲ τὰ λόγια αὐτὰ ποὺ θὰ τοῦ λέμε νὰ τὸ φιλοῦμε καὶ νὰ τὸ ἀγκαλιάζομε

99. *Ὁμιλία 7 είς τὸ κατὰ Ματθ. 6* (ΕΠΕ 9,248)· «Ἐνταῦθα δὲ πηγὴ πυρὸς πνευματικὴ ἀπὸ ταύτης ἀναβλύζει τῆς τραπέζης· καὶ σὺ ταύτην ἀφεὶς κατατρέχεις εἰς τὸ θέατρον ἰδεῖν νηχομένας γυναῖκας καὶ φύσιν παραδειγματιζομένην...Σὺ δὲ ἀφείς..., εἰς τὴν πηγὴν ἀπέρχῃ τὴν διαβολικήν, ὥστε νηχομένην πόρνην ἰδεῖν καὶ ναυάγιον ὑπομεῖναι ψυχῆς...Ἀλλ' ἡ μὲν νήχεται γυμνουμένη τὸ σῶμα, σὺ δὲ ὁρῶν καταποντίζῃ πρὸς τὸν τῆς ἀσελγείας βυθόν... Εἰ δὲ αἰσχύνῃ καὶ ἐρυθριᾷς τὴν σύγκρισιν φεῦγε τὴν ἐν τῷ θεάτρῳ κολυμβήθραν...».

1. *Ὁμιλία 68 είς τὸ κατὰ Ματθ. 4* (ΕΠΕ 11,664)· «Τοσοῦτο γὰρ τὸ μέσον εὑρήσομεν, ὅσον εἰ ἀγγέλων τις ἤκουσεν ᾀδόντων ἄνω τὴν παναρμόνιον μελῳδίαν ἐκείνην καὶ κυνῶν καὶ χοίρων ἐπὶ τῆς κοπρίας κατορυομένων καὶ γρυζόντων».

μεν ταῖς χερσὶν καὶ ἐπισφίγγωμεν, ὥστε τὸν πόθον δεικνύειν. Τούτοις ἅπασιν αὐτὸν μαλάττωμεν.

79. Τί οὖν; ὅπερ καὶ ἤδη ἔφην, μηδέποτε κόρη προσίτω μηδὲ διακονείτω, ἀλλ' ἤδη προβεβηκυῖα παιδίσκη, γυνὴ γηραλέα. Καὶ ἐπεισαγέσθω τῆς βασιλείας ὁ λόγος καὶ τῶν πάλαι ἐπὶ σωφροσύνῃ λαμψάντων καὶ τῶν ἔξω καὶ τῶν παρ' ἡμῖν, καὶ συνεχῶς τούτοις ἐπαντλῶμεν αὐτοῦ τὴν ἀκοήν. Εἰ δὲ καὶ οἰκέτας ἔχοιμεν σωφρονοῦντας, καὶ ἀπὸ τούτων ἔστω τὰ παραδείγματα· ὅτι σφόδρα ἄτοπον τὸν μὲν οἰκέτην οὕτως εἶναι σώφρονα, τὸν δὲ ἐλεύθερον ἐκείνου φαυλότερον γενέσθαι.

Ἔστιν δὴ καὶ ἕτερον φάρμακον. Ποῖον δὴ τοῦτο; Καὶ νηστεύειν μανθανέτω, εἰ καὶ μὴ ἀεί, ἀλλὰ δύο γοῦν τῆς ἑβδομάδος ἡμέρας, τήν τε Τετράδα καὶ τὴν Παρασκευήν. Καὶ εἰς ἐκκλησίαν προερχέσθω. Καὶ λαμβάνων αὐτὸν ὁ πατὴρ κατὰ τὴν ἑσπέραν, ὅταν τὸ θέατρον διαλύηται, ἐπιδεικνύτω τοὺς ἐκεῖθεν κατιόντας καὶ καταγελάτω τῶν γερόντων, ὅτι δὴ νέων γεγόνασιν ἀσυνετώτεροι, καὶ τῶν νεωτέρων, ὅτι ἐξεκαύθησαν. Καὶ ἐρωτάτω τὸν παῖδα· 'τί δὴ οὗτοι κεκερδάκασιν ἅπαντες; Οὐδὲν ἀλλ' ἢ αἰσχύνην καὶ ὄνειδος καὶ κατάγνωσιν'. Οὐ μικρὸν δὲ ὅλως πρὸς σωφροσύνην ἐστὶ τὸ πάντων ἐκείνων ἀπέχεσθαι καὶ τῶν θεαμάτων καὶ τῶν ἀκουσμάτων.

80. Ἔστι δὴ καὶ ἄλλο· διδασκέσθω μετὰ πολλῆς εὔχεσθαι τῆς σπουδῆς καὶ τῆς κατανύξεως. Καὶ μή μοι εἴπῃς, ὅτι παιδίον οὐκ ἄν ποτε ταῦτα καταδέξαιτο· μάλιστα τὸ παιδίον ὀξυδερκὲς ὂν καὶ διεγηγερμένον ταῦτα ἂν καταδέξαιτο. Καὶ γὰρ πολλὰ τοιαῦτα παραδείγματα ἐν τοῖς παλαιοῖς ὁρῶμεν, οἷον ὁ Δανιήλ, οἷον ὁ Ἰωσήφ. Μὴ γάρ μοι τὰ δεκαεπτὰ ἔτη εἴπῃς τοῦ Ἰωσήφ, ἀλλὰ πρὸς τούτου ἐννόησον, πόθεν τὸν πατέρα εἷλε καὶ τῶν πρεσβυτέρων μᾶλλον αὐτῶν. Ὁ δὲ Ἰακὼβ οὐχὶ νεώτερος ἦν; ὁ δὲ Ἱερεμίας; ὁ δὲ Δανιὴλ οὐχὶ δώδεκα

2. Βλ. Παράγρ. 53 καὶ 62.

3. *Ὁμιλία 7 εἰς τὴν πρὸς Ἑβρ. 3* (PG 63,64–65, ΕΠΕ τόμ. 24)· «Τί οὖν, ὅταν ἴδωμεν νέων χαλεπωτέρους τοὺς γέροντας;... Πῶς γὰρ οὐκ ἄτοπον καὶ συγγνώμης ἐπέκεινα τὸ γινόμενον; γέρων μεθύει, ἐν καπηλείοις καθέζεται, γέρων εἰς ἱπποδρομίας σπεύδει, γέρων εἰς θέατρα ἀναβαίνει, καθάπερ παιδίον τρέχων μετὰ τοῦ πλήθους; Ὄντως αἰσχύνη καὶ γέλως τῇ μὲν πολιᾷ κοσμεῖσθαι ἔξωθεν, ἔνδοθεν δὲ παιδὸς φρόνημα ἔχειν· ...Πῶς σε αἰδεσθήσεται ὁ νέος, ὅταν αὐτοῦ πλέον ἀσελγαίνεις; Ἡ γὰρ πολιὰ τότε αἰδέσιμος, ὅταν τὰ τῆς πολιᾶς πράττῃ· ὅταν δὲ νεωτερίζῃ, τῶν νέων καταγελαστότερος ἔσται».

καὶ νὰ τὸ σφίγγομε στὴν ἀγκαλιά μας, δείχνοντάς του ἔτσι τὴν ἀγάπη μας. Μὲ ὅλα αὐτὰ νὰ τὸ μαλακώνομε.

79. Τί λοιπόν; Ὅπως εἶπα καὶ προηγουμένως[2], ποτὲ νὰ μὴ τὸ πλησιάζει κορίτσι οὔτε νὰ τὸ ὑπηρετεῖ νέα γυναίκα, ἀλλὰ προχωρημένης ἡλικίας ὑπηρέτρια, γυναίκα γηραλέα. Νὰ τὸ μιλᾶμε γιὰ τὴ βασιλεία τῶν οὐρανῶν καὶ γιὰ ἐκείνους τοὺς παλιοὺς ποὺ ἔλαμψαν μὲ τὴ σωφροσύνη τους καὶ τῶν μὴ χριστιανῶν καὶ τῶν Χριστιανῶν, καὶ συνεχῶς μ' αὐτὰ νὰ κατακλύζομε τὰ αὐτιά του. Ἂν μάλιστα συμβαίνει νὰ ἔχομε καὶ ὑπηρέτες σώφρονες, νὰ παρουσιάζομε καὶ ἀπὸ αὐτοὺς τὰ παραδείγματα· ὅτι δηλαδὴ εἶναι πάρα πολὺ παράλογο ὁ δοῦλος νὰ εἶναι τόσο πολὺ σώφρονας, ἐνῶ ὁ ἐλεύθερος νὰ γίνεται πιὸ φαῦλος ἀπὸ ἐκεῖνον.

Ὑπάρχει ἐπίσης καὶ ἄλλο φάρμακο. Ποιό λοιπὸν εἶναι αὐτό; Νὰ μαθαίνει καὶ νὰ νηστεύει, ἂν καὶ βέβαια ὄχι πάντοτε, ἀλλὰ δυὸ μέρες τουλάχιστο τὴν ἑβδομάδα, τὴν Τετάρτη καὶ τὴν Παρασκευή. Νὰ πηγαίνει καὶ στὴν ἐκκλησία. Καὶ κατὰ τὴν ἑσπέρα, ὅταν τελειώνει τὸ θέατρο, παίρνοντάς το ὁ πατέρας ἀπὸ τὸ χέρι, νὰ τοῦ δείχνει ὅλους ἐκείνους ποὺ βγαίνουν ἀπ' αὐτὸ καὶ νὰ καταγελᾶ τοὺς γέροντες[3], γιατὶ ἔγιναν πιὸ ἀνόητοι καὶ ἀπὸ τοὺς νέους, καθὼς καὶ τοὺς νεώτερους, γιατὶ δέχθηκαν τὴ φωτιὰ μέσα τους. Καὶ νὰ ρωτάει τὸ παιδί· 'τί κέρδησαν λοιπὸν ὅλοι αὐτοί; Τίποτε ἄλλο παρὰ μόνο ντροπὴ καὶ ξευτελισμὸ καὶ κατάκριση'. Καὶ γενικὰ δὲν συντελεῖ λίγο πρὸς σωφροσύνη τὸ ν' ἀπέχει τὸ παιδὶ ἀπὸ ὅλα ἐκεῖνα καὶ τὰ θεάματα καὶ τὰ ἀκούσματα.

80. Ὑπάρχει ἐπίσης καὶ ἄλλο φάρμακο· νὰ τὸ μάθομε δηλαδὴ νὰ προσεύχεται μὲ μεγάλη θέρμη καὶ κατάνυξη. Καὶ μὴ μοῦ πεῖς, ὅτι τὸ παιδὶ ποτὲ δὲ θὰ δεχόταν νὰ τὰ κάμει αὐτά· τὸ παιδὶ ποὺ ἔχει ὀρθὴ ἀντίληψη καὶ διεγειρμένη ψυχὴ εὔκολα θὰ τὰ δεχόταν αὐτά. Καὶ πραγματικὰ βλέπομε πολλὰ τέτοια παραδείγματα στοὺς παλιούς, ὅπως ὁ Δανιήλ, ὅπως ὁ Ἰωσήφ. Μὴ μοῦ πεῖς βέβαια, ὅτι ὁ Ἰωσὴφ ἦταν δεκαεπτὰ ἐτῶν τότε[4], ἀλλὰ κοντὰ σ' αὐτὸ σκέψου, πῶς κατόρθωσε νὰ κερδίσει τὴν ἀγάπη τοῦ πατέρα του περισσότερο ἀπὸ τὰ ἄλλα μεγαλύτερα ἀδέλφια του[5]. Ἐπίσης ὁ Ἰακὼβ δὲν ἦταν νεώτερος[6]; Καὶ ὁ Ἱερεμίας ἐπίσης[7]; Ὁ Δανιὴλ πάλι δὲν ἦταν

4. *Γεν.* 37,2. 5. *Γεν.* 37,3. 6. *Γεν.* 28,1 ἑξ. 7. *Ἱερ.* 1,6–7.

ἐτῶν ἦν; ὁ δὲ Σολομὼν οὐχὶ δώδεκα καὶ αὐτὸς ἦν, ἡνίκα τὴν θαυμαστὴν ἐκείνην ηὔξατο; ὁ δὲ Σαμουὴλ οὐχὶ τὸν διδάσκαλον τὸν ἑαυτοῦ νέος ὢν ἐπαίδευεν; Ὥστε μὴ ἀπογνῶμεν· ἐὰν γάρ τις τὴν ψυχὴν νεώτερος ᾖ, ταῦτα οὐ δέχεται, οὐχὶ ἐάν τις τὴν ἡλικίαν. Παιδευέσθω τοίνυν μετὰ πολλῆς τῆς κατανύξεως εὔχεσθαι καὶ ἀγρυπνεῖν κατὰ τὸ δυνατόν, καὶ ὅλως ἐπικείσθω χαρακτὴρ ἀνδρὸς ἁγίου τῷ παιδί. Ὁ γὰρ μήτε ὀμνύναι σπουδάζων μήτε ὑβρίζειν ὑβριζόμενος μήτε λοιδορεῖσθαι καὶ ἀπεχθάνεσθαι, καὶ νηστεύων καὶ εὐχόμενος, ἀπὸ τούτων αὐτῶν ἱκανὴν ἔχει τὴν παράκλησιν πρὸς σωφροσύνην.

81. *Κἂν μὲν ἐπὶ κοσμικὸν ἄγῃς βίον αὐτόν, ταχέως ἄγαγε τὴν νύμφην, μηδὲ περιμείνῃς, ὥστε αὐτὸν στρατεύεσθαι ἢ πολιτικῶν ἅψασθαι πραγμάτων· ἀλλὰ πρῶτον αὐτοῦ τὴν ψυχὴν ῥύθμισον, καὶ τότε τῆς ἔξωθεν φρόντιζε δόξης. Ἢ μικρὸν οἴει τῷ γάμῳ συμβάλλεσθαι τὸ παρθένον παρθένῳ συνάπτεσθαι; Οὐ μικρὸν καὶ πρὸς τὴν τῆς γυναικὸς σωφροσύνην, οὐ πρὸς τὴν τοῦ νέου μόνον. Τὸ δὲ φίλτρον οὐ τότε μάλιστα ἔσται καθαρόν; Ὃ δὲ πάντων μεῖζον, ὁ Θεὸς οὐ τότε ἔσται ἵλεως πλέον καὶ μυρίας τὸν γάμον ἐκεῖνον ἐμπλήσει*

---

8. *Δαν.* 1,3 ἑέ. 9. *Γ' Βασ.* 3,6–9. 10. *Α' Βασ.* 3,1 ἑέ.

11. *Ὁμιλία 9 εἰς τὴν Α' πρὸς Τιμ. 2* (ΕΠΕ 23,266)· «Ταχέως αὐτοῖς γυναῖκας ἄγωμεν, ὥστε καθαρὰ αὐτῶν καὶ ἀνέπαφα τὰ σώματα δέχεσθαι τὴν νύμφην· οὗτοι οἱ ἔρωτες θερμότεροι.

12. *Ὁμιλία 5 εἰς τὴν Α' πρὸς Θεσσ. 3* (ΕΠΕ 22,458)· «Ὅταν οὖν ὁ παῖς αὐξηθῇ πρὸ τῆς στρατείας, πρὸ τοῦ βίου ἄλλου, τὰ περὶ γάμου φρόντιζε. Κἂν ἐκεῖνος ἴδῃ, ὅτι ταχέως αὐτῷ νύμφην ἄγεις καὶ ὅτι βραχὺς ὁ καιρὸς ὁ ἐν μέσῳ, δυνήσεται διακαρτερῆσαι τὴν φλόγα· ἂν δὲ ἐννοήσῃ, ὅτι ῥᾳθυμεῖς σὺ καὶ βραδύνεις καὶ περιμένεις, πότε προσόδους κτήσεται πολλὰς καὶ τότε αὐτῷ τοὺς γάμους ποιήσεις, ἀπογνοὺς πρὸς τὸ μακρὸν τοῦ χρόνου ταχέως ὀλισθήσει πρὸς πορνείαν».

13. *Ὁμιλία 59 εἰς τὸ κατὰ Ματθ. 7* (ΕΠΕ 11,390–392)· «Αἴτιοι δὲ οἱ πατέρες, οἳ τοὺς μὲν πωλοδάμνας ἀναγκάζουσι τοὺς ἵππους τοὺς ἑαυτῶν μετὰ πολλῆς ῥυθμίζειν τῆς ἐπιμελείας καὶ οὐκ ἀφιᾶσιν ἐπὶ πολὺ τοῦ πώλου τὴν ἡλικίαν ἀδάμαστον προελθεῖν, ἀλλὰ καὶ χαλινὸν καὶ τὰ ἄλλα πάντα ἐπιτιθέασιν ἐκ προοιμίων· τοὺς δὲν αὐτῶν νέους ἐπὶ πολὺ περιορῶσιν ἀχαλινώτους περιϊόντας καὶ σωφροσύνης ἐρήμους, πορνείαις καὶ κύβοις καὶ ταῖς ἐν τοῖς παρανόμοις θεάτροις διατριβαῖς καταισχυνομένους, δέον πρὸ τῆς πορνείας γυναικὶ παραδοῦναι, γυναικὶ σώφρονι καὶ σοφωτάτῃ· αὕτη γὰρ τῆς ἀτοπωτάτης ἀπάξει διατριβῆς τὸν ἄνδρα καὶ ἀντὶ χαλινοῦ τῷ πώλῳ γενήσεται». Καὶ *Ὁμιλία 5 εἰς τὴν Α' πρὸς Θεσσ. 2* (ΕΠΕ 22,458–460)· «Ὁ μὴ μαθὼν πορνεύειν οὐδὲ μοιχεύειν εἴσεται· ὁ δὲ ἐκείναις ἐγκυλινδούμενος καὶ ἐπὶ τοῦτο ταχέως ἥξει· κἂν μὴ ὑπάνδροις, ἀλλὰ λελυμέναις συμφθαρῇ γυναιξίν. Τί οὖν

δώδεκα ἐτῶν[8]; Ὁ Σολομὼν δὲν ἦταν κι' αὐτὸς δώδεκα ἐτῶν ὅταν ἔκαμε τὴ θαυμαστὴ ἐκείνη προσευχή[9]; Τέλος ὁ Σαμουὴλ δὲν δίδασκε τὸ δάσκαλο ἐνῶ ἦταν νέος;[10]. Ἐπομένως ἂς μὴν ἀπελπιζόμαστε· γιατὶ αὐτὰ δὲν τὰ δέχεται κάποιος ἂν εἶναι νεώτερος ὡς πρὸς τὴν ψυχή, καὶ ὄχι ἐὰν εἶναι νεώτερος ὡς πρὸς τὴν ἡλικία. Ἂς μαθαίνει λοιπὸν νὰ προσεύχεται μὲ μεγάλη κατάνυξη καὶ νὰ συμμετέχει σὲ ἀγρυπνίες κατὰ τὸ δυνατό, καὶ γενικὰ ἂς προσπαθοῦμε νὰ δώσομε στὸ παιδὶ ἦθος ἁγίου ἄνδρα. Γιατὶ ἐκεῖνος ποὺ δὲν συνηθίζει νὰ ὁρκίζεται, οὔτε νὰ βρίζει ὅταν βρίζεται, οὔτε νὰ κακολογεῖ καὶ νὰ μισεῖ, καὶ ποὺ νηστεύει καὶ προσεύχεται, αὐτὸς ἔχει ἀπὸ ὅλα αὐτὰ μεγάλη τὴν ἐνίσχυση γιὰ σωφροσύνη.

81. Καὶ ἐφόσον τὸν προορίζεις γιὰ τὸν κοσμικὸ βίο, ἀμέσως νὰ τοῦ βρεῖς νύφη[11], καὶ νὰ μὴ περιμένεις πρῶτα νὰ καταταγεῖ στὸ στρατὸ ἢ νὰ καταλάβει πολιτικὰ ἀξιώματα, ἀλλὰ πρῶτα φρόντισε νὰ τακτοποιήσεις τὴν ψυχή του καὶ μετὰ φρόντισε γιὰ τὴν ἐξωτερικὴ δόξα[12]. Ἢ νομίζεις ὅτι συμβάλλει λίγο στὸ γάμο τὸ νὰ νυμφευθεῖ ἕνας παρθένος μιὰ παρθένα; Αὐτὸ συμβάλλει πολὺ καὶ γιὰ τὴ σωφροσύνη τῆς γυναίκας, καὶ ὄχι μόνο γιὰ τὴ σωφροσύνη τοῦ νέου. Καὶ ἡ μεταξύ τους ἀγάπη δὲν θὰ εἶναι τότε πρὸ πάντων καθαρή[13]; Καὶ ἐκεῖνο ποὺ εἶναι τὸ σπουδαιότερο, ὁ Θεὸς δὲ θὰ εἶναι τότε περισσότερο εὐσπλαχνικὸς ἀπέναντί τους καὶ θὰ γεμίσει μὲ ἀμέτρητες εὐλογίες τὸ γάμο ἐκεῖνο, ὅταν συνενώνονται ἔτσι ὅπως

παραινῶ, ὥστε τὰς ρίζας ἐκτέμνειν; Ὅσοι παῖδας ἔχετε νέους καὶ πρὸς τὸν κοσμικὸν αὐτοὺς βίον ἄγετε, ταχέως ὑπὸ τὸν τοῦ γάμου ζυγὸν ἕλκετε. Ἐπειδὴ γὰρ ἔτι νέοις οὖσιν ἐνοχλεῖ τὰ τῶν ἐπιθυμιῶν, τὸν μὲν πρὸ τοῦ γάμου χρόνον παραινέσεσιν, ἀπειλαῖς, φόβοις, ἐπαγγελίαις, μυρίοις ἑτέροις αὐτοὺς κατέχετε· κατὰ δὲ τὸν τοῦ γάμου καιρὸν μηδεὶς ἀναβαλλέσθω (ἰδοὺ νεμφευτρίας φθέγγομαι ρήματα)· ἁρμόζειν ὑμῖν τοὺς παῖδας». Καὶ πιὸ κάτω· «ἀλλ' οἴμοι· ἡ ρίζα τῶν κακῶν ἐνταῦθα ἡ φιλαργυρία. Ἐπειδὴ γὰρ οὐδενὶ μέλει πῶς σώφρων, πῶς ἐπιεικὴς ὁ παῖς γένηται, ἀλλὰ μεμήνασι πρὸς τὸν χρυσὸν ἅπαντες, τούτου ἕνεκεν οὐδεὶς ταύτην ποιεῖται τὴν σπουδήν. Διὸ παρακαλῶ, πρῶτον αὐτῶν τὰς ψυχὰς ρυθμίζειν. Ἂν ἁγνῇ τῇ νύμφῃ προσέλθῃ, ἂν ἐκεῖνο μόνον ἴδῃ τὸ σῶμα, καὶ ὁ πόθος ἔσται σφοδρὸς καὶ ὁ τοῦ Θεοῦ φόβος μείζων καὶ τίμιος ὁ γάμος ὄντως, καθαρὰ καὶ ἀμίαντα δεχόμενος σώματα, καὶ τὰ τικτόμενα πολλῆς εὐλογίας ἔσται μεστὰ καὶ ἀλλήλοις ἤξουσιν, ὅτε νυμφίος καὶ ἡ νύμφη· ἑτέρων γὰρ ἠθῶν ὄντες ἑκάτεροι ἄπειροι ἀλλήλοις ὑποταγήσονται»

εὐλογίας, ὅταν ὡς αὐτὸς ἐπέταξεν, οὕτω συνίωσιν; Καὶ ποιεῖ πρὸς τὴν μνήμην ἔχειν αὐτὸν τὸν ἔρωτα· κἂν τῷ πόθῳ τούτῳ κατασχεθῇ, πάσης καταγελάσεται γυναικός.

82. Ἂν ἐγκωμιάζῃς τὴν κόρην καὶ ἐπὶ κάλλει καὶ ἐπὶ κοσμιότητι και ἐπὶ τοῖς ἄλλοις ἅπασιν, εἶτα προσθείης, ὅτι 'οὐκ ἀνέχεται μαθοῦσα ρᾳθύμως σε διάγοντα συγγενέσθαι σοι', λοιπὸν ὡς ὑπὲρ ἐσχάτων ὄντος αὐτῷ τοῦ κινδύνου πολλὴν ποιήσεται τὴν φροντίδα. Εἰ γὰρ τὸν ἅγιον ἔπεισεν ἐκεῖνον ἀπατηθέντα μνηστῆς ἔρως ἑπτὰ ἔτη δουλεῦσαι πάλιν, μᾶλλον δὲ δεκατέσσερα ἔτη, πολλῷ μᾶλλον ἡμᾶς. Λέγε, ὅτι 'οἱ τῆς νύμφης ἅπαντες, καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ οἱ παῖδες καὶ οἱ γείτονες καὶ οἱ φίλοι, σὲ καὶ τὴν σὴν ἀναστροφὴν περιεργάζονται καὶ πάντες ἀπαγγελοῦσιν ἐκείνῃ'. Κατάδησον αὐτὸν ἤδη τῷ δεσμῷ τούτῳ, δεσμῷ σωφροσύνην ἐργαζομένῳ. Ὥστε κἂν μὴ δύνηται ἐκ πρώτης ἡλικίας ἔχειν γυναῖκα, ἀλλὰ μνηστὴν ἐκ πρώτης ἐχέτω, καὶ φιλοτιμείσθω καλὸς φαίνεσθαι· τοῦτο ἱκανὸν πρὸς ἅπασαν ἀποτροπήν ἐστιν.

83. Ἔστιν καὶ ἕτερον σωφροσύνης φυλακτήριον· συνεχῶς ὁράτω τὸν τῆς ἐκκλησίας προεστῶτα καὶ πολλῶν ἀκουέτω παρ' ἐκείνου τῶν ἐγκωμίων, καὶ πρὸς πάντας τοὺς ἀκούοντας ἐπὶ τούτῳ ἀβρυνέσθω ὁ πατήρ. Αἰδείσθωσαν αὐτὸν ὁρῶσαι κόραι. Καὶ λοιπὸν τὰ διηγήματα καὶ ὁ φόβος ὁ τοῦ πατρὸς καὶ αἱ ἐπαγγελίαι, καὶ μετὰ τού-

14. *Ὁμιλία εἰς τὴν Ἄνναν 6* (PG 54,612)· «Οὐδὲν γὰρ οὕτω τὴν ἡλικίαν ἐκείνην κοσμεῖν πέφυκεν ὡς ὁ τῆς σωφροσύνης στέφανος καὶ τὸ πάσης ἀσελγείας καθαρεύοντα πρὸς γάμον ἐλθεῖν. Οὕτω καὶ αἱ γυναῖκες αὐτοῖς γένοιντ' ἂν ποθειναί, ὅταν μὴ πορνείαν ἡ ψυχὴ προμεμελετηκυῖα μηδὲ διεφθαρμένη ᾖ, ὅταν ἐκείνην εἰδὼς ᾖ τὴν γυναῖκα μόνην ὁ νέος τὴν γάμῳ συναφθεῖσαν αὐτῷ. Οὕτω καὶ οἱ ἔρωτες θερμότεροι καὶ ἡ εὔνοια γνησιωτέρα καὶ ἡ φιλία ἀκριβεστέρα γίνεται, ὅταν μετὰ τοιαύτης φυλακῆς ἐπὶ τοὺς γάμους οἱ νέοι βαδίζωσιν. Ὡς τά γε νῦν γινόμενα οὐ γάμος ἐστίν, ἀλλ' ἁπλῶς χρημάτων ἐμπορία καὶ καπηλεία... ἐντεῦθεν ὁ πρὸς τὴν γυναῖκα ἔρως ὑπορρεῖ καὶ μαραίνεται, τῆς ἐν τοῖς πορνείοις ὁμιλίας ἐκλυούσης αὐτόν. Ὡς ἐὰν σωφρονεῖν μάθῃ, πάντων ποθεινοτέραν τὴν αὐτοῦ γυναῖκα ἡγήσεται καὶ μετὰ πολλῆς αὐτὴν ὄψεται τῆς εὐνοίας καὶ πολλὴν πρὸς αὐτὴν τηρήσει τὴν ὁμόνοιαν· εἰρήνης δὲ οὔσης καὶ ὁμονοίας πάντα εἰς τὴν οἰκίαν ἐκείνην εἰσελεύσεται τὰ ἀγαθά». Ἐπίσης *Ὁμιλία 59 εἰς τὸ κατὰ Ματθ. 7* (ΕΠΕ 11,392)· «Οὐδὲ γὰρ ἑτέρωθεν αἱ πορνεῖαι καὶ αἱ μοιχεῖαι, ἀλλ' ἐκ τοῦ ἀφέτους εἶναι τοὺς νέους. Ἂν γὰρ γυναῖκα ἔχῃ συνετήν, καὶ οἰκίας ἐπιμελήσεται καὶ δόξης καὶ ὑπολήψεως. 'Ἀλλὰ νέος ἐστίν', φησίν. Οἶδα κἀγώ. Εἰ γὰρ Ἰσαὰκ τεσσαράκοντα ἐτῶν ὢν τὴν νύμφην ἤγαγεν ἐν

ἐκεῖνος ἔδωσε ἐντολή; Καὶ αὐτὸ συντελεῖ ὥστε ὁ νέος νὰ θυμᾶται τὴν ἀγάπη αὐτή· καὶ ἂν κυριευθεῖ ἀπὸ τὸν πόθο αὐτό, θὰ περιφρονήσει ὁποιαδήποτε ἄλλη γυναίκα[14].

82. Ἂν ἐπαινεῖς τὸ κορίτσι καὶ γιὰ τὴν ὀμορφιά του καὶ γιὰ τὴν κοσμιότητά του καὶ γιὰ ὅλα τὰ ἄλλα, καὶ ἔπειτα προσθέσεις, 'δὲν θὰ δεχθεῖ αὐτὸ νὰ σὲ παντρευθεῖ ἂν μάθει ὅτι κάμνεις ζωὴ ράθυμη', στὸ ἑξῆς, σὰν αὐτὸ ν' ἀποτελεῖ τὸν πιὸ φοβερὸ κίνδυνο, θὰ καταβάλει πολλὴ φροντίδα. Γιατί, ἂν ὁ ἔρωτας τῆς μνηστῆς ἔπεισε ἐκεῖνον τὸν ἅγιο ποὺ ἐξαπατήθηκε νὰ δουλέψει ἑπτὰ ἀκόμη χρόνια[15], ἢ καλύτερα δεκατέσσερα χρόνια, πολὺ περισσότερο συμβαίνει αὐτὸ μὲ μᾶς. Λέγε του λοιπὸν ὅτι 'ὅλοι οἱ συγγενεῖς τῆς νύφης, καὶ ὁ πατέρας καὶ ἡ μητέρα καὶ οἱ δοῦλοι καὶ οἱ γείτονες καὶ οἱ φίλοι παρακολουθοῦν μὲ προσοχὴ τὴν ὅλη συμπεριφορά σου καὶ θὰ τῆς τὰ ποῦν ὅλοι τους'. Δέσε το γερὰ ἀπὸ τὴ ἀρχὴ μὲ τὸ δεσμὸ αὐτό, μὲ τὸ δεσμὸ ποὺ ὁδηγεῖ σὲ σωφροσύνη. Ὥστε, καὶ ἂν δὲν μπορεῖ ἀπὸ τὴν πρώτη ἡλικία νὰ ἔχει γυναίκα, ὅμως ἂς ἔχει ἀπὸ τὴ πρώτη ἡλικία μνηστή, γιὰ νὰ φιλοτιμεῖται νὰ φαίνεται καλό.

83. Ὑπάρχει καὶ ἄλλο φυλακτήριο τῆς σωφροσύνης· νὰ βλέπει συνέχεια τὸν προϊστάμενο τῆς ἐκκλησίας καὶ ν' ἀκούει ἀπὸ ἐκεῖνον πολλοὺς ἐπαίνους, καὶ νὰ καμαρώνει ὁ πατέρας μπροστὰ σὲ ὅλους ἐκείνους ποὺ ἀκοῦν τοὺς ἐπαίνους αὐτούς. Νὰ ντρέπονται τὰ κορίτσια ὅταν τὸν βλέπουν. Καὶ ἔτσι οἱ διάφορες διηγήσεις, ὁ φόβος ἀπὸ τὸν πατέρα καὶ οἱ ὑποσχέσεις καὶ μαζὶ μ' ὅλα αὐτὰ ἡ ἀμοιβὴ ποὺ ἐπιφυλάσσεται ἀπὸ τὸ Θεὸ καὶ ὅλα ἐκεῖνα τὰ ἀγαθὰ

παρθενίᾳ τὴν ἡλικίαν πᾶσαν ἐκείνην ἄγων, πολλῷ μᾶλλον τοὺς ἐν τῇ χάριτι νέους τὴν φιλοσοφίαν ταύτην ἀσκεῖν ἔδει. Ἀλλὰ τί πάθω; οὐκ ἀνέχεσθε τῆς σωφροσύνης αὐτῶν ἐπιμελεῖσθαι, ἀλλὰ περιορᾶτε καταισχυνομένους καὶ μολυνομένους καὶ ἐναγεῖς γινομένους, οὐκ εἰδότες, ὅτι γάμου κέρδος τὸ καθαρὸν διατηρῆσαι τὸ σῶμα· κἂν τοῦτο μὴ ᾖ, οὐδὲν ὄφελος γάμου. Ὑμεῖς δὲ τοὐναντίον ποιεῖτε· ὅταν μυρίων ἐμπλησθῶσι κηλίδων, τότε αὐτοὺς ἐπὶ γάμον ἄγετε, εἰκῇ καὶ μάτην. 'Δεῖ γὰρ ἀναμεῖναι', φησίν, 'ἵνα εὐδόκιμος γένηται, ἵνα ἐν τοῖς πολιτικοῖς λάμψῃ πράγμασιν'. Τῆς δὲ ψυχῆς ὑμῖν οὐδεὶς λόγος, ἀλλὰ περιορᾶτε αὐτὴν ἐρριμμένην».

15. *Γεν.* 29,18 ἑἑ. Πρόκειται γιὰ τὸν Ἰακώβ.

των ὁ παρὰ τοῦ Θεοῦ κείμενος μισθὸς καὶ ὅσων ἀπολαύσονται οἱ σώφρονες ἀγαθῶν, πολλὴν αὐτῷ παρέξει τὴν ἀσφάλειαν.

84. Προστίθει καὶ τὰς ἐν στρατείᾳ εὐδοκιμήσεις καὶ ἐν τοῖς πολιτικοῖς πράγμασιν. Καὶ πρὸς τούτοις ἔστω καταφρονητικὸς μὲν κατὰ τῆς ἀσελγείας λόγος συνεχῶς, πολλὰ δὲ τῆς σωφροσύνης τὰ ἐγκώμια. Ἱκανὰ ταῦτα πάντα κατασχεῖν τοῦ παιδὸς τὴν ψυχήν. Οὕτως ἡμῖν σεμνοὺς τέξονται τοὺς λογισμούς.

85. Ἔστιν καὶ ἕτερον· ἴωμεν δὲ λοιπὸν ἐπὶ τὸ πάντων κύριον, ὃ τὰ πάντα συγκρατεῖ. Ποῖον δὴ τοῦτο; Τὴν φρόνησιν λέγω. Ἐνταῦθα πολλοῦ τοῦ καμάτου χρεία, ὥστε αὐτὸν ἐργάσασθαι συνετόν, καὶ πᾶσαν ἄνοιαν ἐξελάσαι. Τοῦτο μάλιστα τῆς φιλοσοφίας τὸ μέρος ἐστὶ μέγα καὶ θαυμαστόν, ὥστε εἰδέναι τὰ περὶ Θεοῦ, τὰ περὶ τῶν ἀποκειμένων ἐκεῖ πάντων, τὰ περὶ γεέννης, τὰ περὶ βασιλείας· «ἀρχὴ σοφίας φόβος Κυρίου».

86. Ταύτην οὖν ἐγκαταστήσωμεν αὐτῷ τὴν φρόνησιν καὶ ἐξασκήσωμεν, ὥστε εἰδέναι τὰ ἀνθρώπινα πράγματα, τί ποτέ ἐστι πλοῦτος, δόξα, δυναστεία, καὶ ὥστε αὐτῶν καταφρονεῖν καὶ τῶν μεγίστων ἐφίεσθαι. Καὶ τῶν παραινετικῶν αὐτὸν ἀναμιμνήσκωμεν λόγων· 'τέκνον, τὸν Θεὸν φοβοῦ μόνον καὶ πλὴν αὐτοῦ μὴ φοβοῦ ἕτερον'.

87. Ἀπὸ δὲ τούτων συνετὸς ἔσται ἀνὴρ ἐπίχαρις· οὐδὲν γὰρ οὕτως ἀνόητον ποιεῖ ὡς ταῦτα τὰ πάθη. Ἀρκεῖ πρὸς σοφίαν Θεοῦ φόβος καὶ τὸ περὶ τῶν ἀνθρωπίνων πραγμάτων κρίσιν ἔχειν, οἵαν καὶ προσῆκεν ἔχειν. Ἡ γὰρ κορυφὴ τῆς σοφίας αὕτη ἐστίν, τὸ μὴ πρὸς τὰ παιδικὰ ἐπτοῆσθαι. Παιδευέσθω μηδὲν ἡγεῖσθαι χρήματα, μηδὲν δόξαν ἀνθρωπίνην, μηδὲν δυναστείαν, μηδὲν θάνατον, μηδὲν τὴν παροῦσαν ζωήν· οὕτως ἔσται φρόνιμος. Ἐὰν μετὰ τοιαύτης ζωῆς αὐτὸν

---

16. *Ὁμιλία 3 εἰς τὸ κατὰ Ἰω. 1* (ΕΠΕ 12,470)· «Πλὴν ἀλλὰ διὰ τὴν ἀσθένειαν ὑμῶν οὐ λέγω τοῦτο, οὐδὲ αὐτὰ τῆς ἔξωθεν ἀπάγω σχολῆς, ὥσπερ οὐδὲ ὑμᾶς τῶν πολιτικῶν ἀφέλκω πραγμάτων... ουτως ἡμῖν τῶν γεγηρακότων αἰδεσιμώτεροι γενήσονται καὶ τοῖς πολιτικοῖς χρησιμώτεροι πράγμασιν...».

17. *Ὁμιλία 21 εἰς τὴν πρὸς Ἐφ. 1* (ΕΠΕ 21,246)· «Οὐδὲ ἐνταῦθα περὶ τοῦ Χριστοῦ διαλέγεται, οὐδὲν περὶ τῶν ὑψηλῶν· ἔτι γὰρ πρὸς ἁπαλὰς διαλέγεται διανοίας· διὸ καὶ βραχεῖαν ποιεῖται τὴν παραίνεσιν, ἅτε οὐ δυναμένων τῶν παίδων μακρῷ παρακολουθῆσαι λόγῳ. Διὰ τοῦτο οὐδὲ περὶ βασιλείας τι διαλέγεται· οὐ γάρ ἐστι τῆς ἡλικίας ἐκείνης ταῦτα ἀκούειν· ὅτι μακροχρόνιος ἔσται...».

18. *Παροιμ.* 1,7.

ποὺ θ' ἀπολαύσουν οἱ σώφρονες, θὰ τοῦ προσφέρουν μεγάλη ἀσφάλεια.

84. Πρόσθεσε καὶ τὶς ἐπιτυχίες στὸ στρατὸ καὶ στὰ πολιτικὰ πράγματα[16]. Καὶ μαζὶ μ' αὐτὰ νὰ τοῦ ὁμιλεῖς συνέχεια μὲ περιφρονητικὰ λόγια γιὰ τὴν ἀσέλγεια, καὶ νὰ πλέκεις μεγάλα ἐγκώμια γιὰ τὴ σωφροσύνη. Ὅλα αὐτὰ εἶναι ἱκανὰ νὰ συγκρατήσουν τὴν ψυχὴ τοῦ παιδιοῦ καὶ νὰ τοῦ γεννήσουν σεμνοὺς λογισμούς.

85. Ὑπάρχει καὶ ἄλλο ἕνα· ἂς ἔρθομε τώρα στὸ σπουδαιότερο ἀπὸ ὅλα, τὸ ὁποῖο συγκρατεῖ τὰ πάντα. Ποιό λοιπὸν εἶναι αὐτό; Εἶναι ἡ φρόνηση. Ἐδῶ χρειάζεται πολὺς κόπος, γιὰ νὰ κάμεις αὐτὸ συνετὸ καὶ ν' ἀπομακρύνεις κάθε ἀνοησία. Αὐτὸ τὸ μέρος τῆς φιλοσοφίας εἶναι μεγάλο καὶ θαυμαστό, γιατὶ πρέπει νὰ μάθει τὰ σχετικὰ μὲ τὸ Θεό, τὰ σχετικὰ μὲ ὅλα ἐκεῖνα ποὺ ἐπιφυλάσσονται ἐκεῖ, τὰ σχετικὰ μὲ τὴ γέεννα καὶ τὴν οὐράνια βασιλεία[17]· γιατὶ λέγει, «ἀρχὴ τῆς σοφίας εἶναι ὁ φόβος Κυρίου»[18].

86. Αὐτὴ λοιπὸν τὴ φρόνηση ἂς βάλομε μέσα σ' αὐτὸ καὶ ἂς τὸ διδάξομε, ὥστε νὰ γνωρίσει τὰ ἀνθρώπινα πράγματα, τί δηλαδὴ εἶναι πλοῦτος, δόξα, ἐξουσία, καὶ νὰ μάθει αὐτὰ νὰ τὰ περιφρονεῖ καὶ νὰ ἐπιδιώκει τὰ μέγιστα ἀγαθά. Ἐπίσης νὰ τοῦ ὑπενθυμίζομε τοὺς παραινετικοὺς λόγους· 'παιδί μου, νὰ φοβᾶσαι μόνο τὸ Θεό, καὶ ἐκτὸς ἀπὸ αὐτὸν νὰ μὴ φοβᾶσαι ἄλλον'.

87. Μ' ὅλα αὐτὰ θὰ γίνει συνετὸς ἄνδρας καὶ γεμάτος χάρες· γιατὶ τίποτε δὲν κάμνει τὸν ἄνθρωπο τόσο ἀνόητο, ὅσο αὐτὰ τὰ πάθη. Γιὰ νὰ εἶναι κανεὶς σοφὸς κατὰ Θεὸ ἀρκεῖ ὁ φόβος Θεοῦ καὶ τὸ νὰ ἔχει ὀρθὴ γνώση γιὰ τὰ ἀνθρώπινα πράγματα[19]. Γιατὶ ἡ κορυφὴ τῆς σοφίας εἶναι αὐτή, τὸ νὰ μὴ κυριεύεται ἀπὸ σφοδρὸ πάθος πρὸς πράγματα ποὺ ταιριάζουν σὲ παιδιά. Ἂς παιδεύεται νὰ μὴ θεωρεῖ τίποτε τὰ χρήματα, τίποτε τὴν ἀνθρώπινη δόξα, τίποτε τὴν ἐξουσία, τίποτε τὸ θάνατο, τίποτε τὴν παροῦσα ζωή· ἔτσι θὰ γίνει φρόνιμο. Ἂν μὲ τέτοια ζωὴ καὶ ἄσκησι ὁδηγήσομε αὐτὸ

---

19. *Ὁμιλία Πρὸς πιστὸν πατέρα 12* (PG 47,368)· «Οὕτως ἡ ὄντως σοφία καὶ ἡ ὄντως παίδευσις οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ὁ τοῦ Θεοῦ φόβος. Καὶ μή μέ τις νομιζέτω νομοθετεῖν ἀμαθεῖς τοὺς παῖδας γίνεσθαι· ἀλλ' εἴ τις ὑπὲρ τῶν ἀναγκαίων παρέχοι θαρρεῖν, οὐκ ἂν ἑλοίμην κωλῦσαι καὶ τοῦτο ἐκ περιουσίας γενέσθαι...».

καὶ ἀσκήσεως ἐπὶ τὰς παστάδας ἀγάγωμεν, ἐννόησον ὅσον ἔσται τῇ νύμφῃ τὸ δῶρον.

88. Τοὺς δὲ γάμους ποιῶμεν μὴ μετὰ αὐλῶν, μηδὲ μετὰ κιθάρας, μηδὲ μετὰ ὀρχημάτων· τὸν γὰρ τοιοῦτον νυμφίον ἀτοπίας πολλῆς τοιούτοις αἰσχύνεσθαι. Ἀλλὰ τὸν Χριστὸν καλῶμεν ἐκεῖ· ἄξιος γὰρ αὐτοῦ ὁ νυμφίος λοιπόν. Τοὺς αὐτοῦ μαθητὰς παρακαλῶμεν. Ἐκείνῳ πάντα ἔσται τὰ κάλλιστα. Και αὐτὸς λοιπὸν μαθήσεται οὕτω τοὺς παῖδας ρυθμίζειν τοὺς ἑαυτοῦ, καὶ ἐκεῖνοι τοὺς ἐκείνων, καὶ οὕτως ἔσται σειρὰ χρυσῆ.

89. Ποιῶμεν δὲ αὐτὸν καὶ πραγμάτων ἅπτεσθαι πολιτικῶν τῶν κατα δύναμιν, τῶν οὐκ ἐχόντων ἁμαρτήματα. Ἄν τε γὰρ στρατεύηται, μαθέτω μὴ κερδαίνειν αἰσχρῶς· ἄν τε τοῖς ἀδικουμένοις συναγορεύῃ, ἄν τε ὁτιοῦν τοῦτον.

90. Καὶ ἡ μήτηρ δὲ μαθέτω τὴν αὐτῆς κόρην τούτοις παιδεύειν καὶ πολυτελείας ἀπάγειν καὶ κόσμου καὶ τῶν ἄλλων ἁπάντων, ἅπερ ἐστὶ πορνῶν γυναικῶν. Κατὰ τοῦτον δὴ τὸν νόμον πάντα ποιείτω καὶ τρυφῆς ἀπαγέτω καὶ μέθης, καὶ τὸν νέον καὶ τὴν κόρην. Καὶ γὰρ καὶ τοῦτο μέγα πρὸς σωφροσύνην· τοῖς μὲν γὰρ νέοις ἡ ἐπιθυμία ἐνοχλεῖ, ταῖς δὲ γυναιξὶ τὸ φιλόκοσμον καὶ ἀνεπτερωμένον. Καὶ ταῦτα οὖν πάντα καταστέλλωμεν, καὶ οὕτω δυνησόμεθα ἀρέσαι τῷ Θεῷ τοιούτους τρέφοντες ἀθλητάς, ἵνα δυνηθῶμεν καὶ ἡμεῖς καὶ οἱ παῖδες τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

21. *Ὁμιλία εἰς τό, «Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα...»* (PG 51,330, ΕΠΕ τόμ. 27)· «Ταῦτα καὶ ἡμεῖς καὶ ζῶντες καὶ μέλλοντες τελευτᾶν πρὸς τοὺς παίδας τοὺς ἑαυτῶν διαλεγώμεθα,...καὶ σπουδάζωμεν... Ἐὰν ἀναθρέψῃς σὺ καλῶς τὸ παιδίον, οὕτω κἀκεῖνος τὸν υἱόν τὸν ἑαυτοῦ, καὶ οὗτος τὸν υἱόν· καὶ καθάπερ σειρά τις καὶ ἀκολουθία πολιτείας ἀρίστης μέχρι παντὸς βαδιεῖται, παρὰ σοῦ λαβοῦσα τὴν ἀρχὴν καὶ τὴν ρίζαν καὶ τῆς τῶν ἐγγόνων ἐπιμελείας σοι φέρουσα τοὺς καρπούς». Καὶ *Ὁμιλία 9 εἰς τὴν Α' πρὸς Τιμ. 2* (ΕΠΕ 23,268)· «...τῆς γὰρ ρίζης γενομένης καλῆς οἱ κλάδοι ἐπὶ τὸ βέλτιον ἐκταθήσονται».

22. *Ὁμιλία 9 εἰς τὴν Α' πρὸς Τιμ. 2* (ΕΠΕ 23,268)· «Αἱ γυναῖκες τὰς θυγατέρας μάλιστα διανείμασθε· εὔκολος ὑμῖν ἡ φυλακὴ αὕτη. Περισκοπεῖτε, ὥστε οἰκουροὺς εἶναι· πρὸ δὲ ἁπάντων εὐλαβεῖς εἶναι παιδεύετε, κοσμίας, χρημάτων καταφρονεῖν, ἀκαλλωπίστους μένειν. Οὕτω πρὸς γάμον ἄγετε».

στὸ νυφικὸ δωμάτιο, σκέψου πόσο μεγάλο θὰ εἶναι τὸ δῶρο γιὰ τὴ νύφη!

88. Τοὺς γάμους πάλι νὰ τοὺς κάμνομε ὄχι μὲ αὐλούς, οὔτε μὲ κιθάρες καὶ χορούς· γιατὶ ἕναν τέτοιο νυμφίο θὰ ἦταν πολὺ ἀνόητο νὰ τὸν καταντροπιάζεις μὲ τέτοια. Ἀλλὰ νὰ καλοῦμε ἐκεῖ τὸ Χριστό· γιατὶ ὁ νυμφίος εἶναι ὁ πλέον ἀντάξιος αὐτοῦ. Ἂς προσκαλοῦμε τοὺς μαθητὲς αὐτοῦ. Σ' αὐτὸν τὸν νυμφίο θὰ ὑπάρχουν ὅλα τὰ καλά. Καὶ ὁ ἴδιος θὰ μάθει νὰ παιδαγωγεῖ ἀργότερα ἔτσι τὰ παιδιά του καὶ ἐκεῖνα τὰ δικά τους παιδιά, καὶ ἔτσι θὰ σχηματισθεῖ μιὰ χρυσῆ σειρά[21].

89. Ἂς ἀσκοῦμε αὐτὸ νὰ συμμετέχει κατὰ δύναμη καὶ σὲ πολιτικὰ πράγματα, ποὺ ὅμως δὲν εἶναι ἁμαρτωλά. Ἂν δηλαδὴ στρατευθεῖ, ἂς μάθει νὰ μὴ κερδίζει μὲ αἰσχρὸ τρόπο· ἐπίσης ἂν γίνει συνήγορος τῶν ἀδικουμένων ἢ ὁ,τιδήποτε ἄλλο παρόμοιο.

90. Καὶ ἡ μητέρα ἐπίσης νὰ μάθει νὰ παιδαγωγεῖ τὴν κόρη μ' αὐτὰ ποὺ εἴπαμε γιὰ τὸ ἀγόρι, ἀπομακρύνοντας αὐτὴν ἀπὸ τὴν πολυτέλεια καὶ τὰ στολίδια καὶ ἀπὸ ὅλα τὰ ἄλλα, πράγματα ποὺ εἶναι τῶν πορνῶν γυναικῶν[22]. Ὅλα λοιπὸν νὰ τὰ κάμνει σύμφωνα μ' αὐτὸ τὸ νόμο, ἀπομακρύνοντας ἀπὸ τὴν τρυφὴ καὶ τὴ μέθη καὶ τὸν νέο καὶ τὴν κόρη. Καθόσον καὶ αὐτὸ εἶναι μεγάλο πράγμα γιὰ σωφροσύνη· γιατὶ τοὺς νέους τοὺς ἐνοχλεῖ ἡ σαρκικὴ ἐπιθυμία, ἐνῶ τὶς γυναῖκες ἡ φιλοκοσμία καὶ ἡ ἐλαφρομυαλιά[23]. Ὅλα αὐτὰ λοιπὸν νὰ τὰ ἐμποδίζομε καὶ ἔτσι θὰ μπορέσομε νὰ ἀρέσομε στὸ Θεό, ἀνατρέφοντας τέτοιους ἀθλητές, γιὰ νὰ μπορέσομε καὶ ἐμεῖς καὶ τὰ παιδιά μας νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθεῖ σ' ἐκείνους ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

23. *Ὁμιλία 10 εἰς τὴν πρὸς Κολ. 6* (ΕΠΕ 21,298)· «Θυγάτριον ἔχεις; Ὅρα μὴ διαδέξηται τὴν βλάβην· φιλεῖ γάρ πως πρὸς τὰς ἀνατροφὰς τὰ ἤθη ρυθμίζεσθαι καὶ μιμεῖσθαι τὰ τῶν μητέρων ἤθη. Ἔσο ὑπόδειγμα τῇ θυγατρὶ σωφροσύνης· κόσμησαι τὸν κόσμον ἐκεῖνον καὶ ὅρα, πῶς τούτου καταφρονήσεις. Ὄντως γὰρ ἐκεῖνα κόσμος ἐστίν, ταῦτα δὲ ἀκοσμία».



ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα στὴ σελίδα ἁπλῶς ποὺ βρίσκονται.

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

1. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Β

Γ

Δ

N

O

Π

Υ

Φ

Χ

Ψ

ΠΕΡΙΧΟΜΕΝΑ

Φωτοστοιχειοθεσία: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΕΛΕΥΘ. ΜΕΡΕΤΑΚΗ
Ἀρμενοπούλου 30 – Τηλ. 200 621 – Θεσσαλονίκη

Ἐκτύπωση Ὄφσετ: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΦΩΤΗ ΠΑΛΑΙΟΧΩΡΙΝΟΥ
Κατσιμίδου 30 – Τηλ. 928 592 – Θεσσαλονίκη

Βιβλιοδεσία: Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ
Λαχανᾶ 17 – Τηλ. 839 414 – Θεσσαλονίκη